

1

ACTA

ET

DIPLOMATA

GRAECA MEDII AEVI

SACRA ET PROFANA

COLLECTA EDIDERUNT

FRANCISCUS MIKLOSICH ET IOSEPHUS MÜLLER

VOLUMEN PRIMUM

ΧΑΡΑΛ. Ι. ΣΠΑΝΟΣ
ΙΠΠΟΚΡΑΤΟΥΣ 23
ΑΘΗΝΑΙ — ΕΛΛΑΣ

ACTA

PATRIARCHATUS

CONSTANTINOPOLITANI

MCCCXV — MCCCCII

E CODICIBUS MANU SCRIPTIS BIBLIOTHECAE PALATINAE VINDOBONENSIS

SUMPTUS PRAEBENTE CAESAREA SCIENTIARUM ACADEMIA

EDIDERUNT

FR. MIKLOSICH
PROF. UNIVERSIT. VINDOBONENSIS.

ET

IOS. MÜLLER
PROF. UNIVERSIT. PATAVINAE.

TOMUS PRIOR

VINDOBONAE
CAROLUS GEROLD
MDCCCLX

266409

266409

ΑΝΕΤΥΠΩΘΗ ΑΠΟ ΤΟ ΕΚΔΟΤΙΚΟ ΚΑΤΑΣΤΗΜΑ
ΧΑΡΑΛΑΜΠΟΥΣ ΣΠΑΝΟΥ
ΙΠΠΟΚΡΑΤΟΥΣ *23*
ΑΘΗΝΑΙ — ΕΛΛΑΣ
ΣΕ 300 ΑΝΤΙΤΥΠΑ
ΥΠΟΓΕΓΡΑΜΜΕΝΑ ΚΑΙ ΗΡΙΘΜΗΜΕΝΑ
ΑΠΟ ΤΟΝ ΕΚΔΟΤΗ

Narodna in univerzitetna knjižnica LJUBLJANA

N 155/1975

.ius libri exscripta sunt exemplaria trecenta.

Cum historia plurimorum Europae populorum in dies maius incrementum capiat in lucem prodeuntibus quotidie tabulis publicis, nulla adhuc exstat collectio diplomatum actorumve spectantium historiam imperii byzantini; neque id mirum: quae enim huius generis servata sunt, aut in bibliothecis et tabulariis latent, aut, per innumeros libros dispersa, ne curiosis quidem harum rerum innotuerunt. cum vero apertum et manifestum sit, collectionem tabularum publicarum historiae imperii byzantini plurimam allaturam esse lucem, consilium cepimus colligendi et edendi diplomata et acta graeca, non solum ea, quae nondum edita servantur in bibliothecis et tabulariis, verum etiam ea, quae typis iam vulgata sunt, sive ad res ecclesiasticas pertinent sive ad civiles.

Et primum quidem visum est edere acta, quae continentur duobus libris manu scriptis bibliothecae palatinae Vindobonensis, Hist. Graec. XLVII et XLVIII (olim LXV et LXVI), foliorum 308 et 222, qui libri circa medium saeculum decimum sextum ab Augerio Gislain de Busbecke Constantinopoli Vindobonam allati inscribuntur Συνοδικαὶ ῥίσεις καὶ ἐκκλησιαστικῶν παρασημειώσεων ἔγγραφα σημειώματα

vel Κωδίκια τῶν συνοδικῶν παρασημειώσεων. continent vero hi duo codices — unicae protocolli synodi constantinopolitanae reliquiae — ea quae acta sunt in hac synodo ab anno MCCCXV ad annum MCCCCII regnantibus patriarchis Ioanne XIII., Esaia, Ioanne XIV., Isidoro, Callisto I., Philotheo, Nilo, Antonio, Macario, Callisto II. et Matthaeo.

Ut benevolus lector videat, quanti momenti hi codices sint ad accuratius cognoscendam historiam Graecorum medii aevi, liceat nobis afferre Petri Lambecii in commentariis de bibliotheca Caesarea Vindobonensi VIII. 1065 de iis sententiam: „Continentur iis (codicibus) varia variorum constantinopolitanorum aliorumque patriacharum graecorum recentiorum synodica aliaque diplomata, quae ego in praesens propter angustias temporis non possum debita diligentia satis accurate considerare nec propter multitudinem suam singulatim recensere; fiet tamen hoc, volente Deo, alias, cum mihi posthac fuerit plus otii: sunt enim profecto hi duo codices magni momenti ob multas authenticas et autographas historiae ecclesiasticae orientalis notitias, quas vix alibi uspiam amplius reperiri existimo.“ Quibus addantur ea, quae de nostris codicibus disseruntur in libro russico: Журналъ народнаго просвѣщенія. 1847. vol. LIV. отдѣл. II. 131—164; in Slavische Bibliothek I. 123—258; et in Sitzungsberichte der Kaiserlichen Akademie der Wissenschaften, Philosophisch-historische Classe, vol. VII. 323—354; et vol. IX. 336—419.

Confidimus viros talium rerum peritos esse confessuros, codices hos nostros non parvi esse momenti non solum ad accuratius exquirendam historiam ecclesiae orientalis, verum etiam ad illa tandas res civiles imperii byzantini, Serbiae et Russiae, ad accuratius cognoscendum ius graeco-romanum,

neque minus eos valere ad explicandam geographiam terrarum olim subiectarum imperatori Romanorum.

Quod attinet ad rationem, qua in hoc primo volumine editorum munere functi sumus, pauca nobis dicenda videntur: textum codicis intactum reliquimus, correctis tantum apertis librariorum mendis et adiecta interpunctione. si qua verba addenda putavimus, uncis inclusimus. quorumdam actorum summam tantum exhibuimus, eorum scilicet quae aliis eiusdem generis integris exscriptis nihil novi videbantur continere praeter id, quod paucis verbis explicari posset: librum enim sine necessitate augeremus, si omnia acta integra exscriberemus, quibus verbi gratia episcopus in aliam transfertur ecclesiam, vel quibus episcopo alia ecclesia per adiunctionem confertur. huic volumini addidimus indicem chronologicum omnium actorum: acta, quae anni nota carent, ei anno sunt adscripta, ad quem secundum ordinem, quo sese in codice excipiunt, pertinere videntur; alteri addemus indices historicum et geographicum in ambo volumina et prolegomena, in quibus nonnulla explicare conabimur, maximam partem aliis explicanda relinquentes, contenti, si viri docti profitebuntur, nos editorum officio non nimis male functos esse. unum tantum hic proponendum videtur: cum enim narratur, metropolitae cuidam v. g. Serrarum, Melenici collatum esse locum v. g. Traianupoleos, Rhodi ὁ τόπος τοῦ Τραϊανουπόλεως, τοῦ Ῥόδου (CCCII, CCCIII) etc., hoc ita est intelligendum, metropolitam Serrarum, Melenici ubique: ἔν τε στάσεσι καὶ καθέδραις ταῖς μετὰ τῆς ἱερᾶς καὶ μεγάλης συνόδου καὶ πανταχοῦ (CCCII.) occupaturum esse locum metropolitae Traianupoleos, Rhodi etc. Cf. Andronici Palaeologi Senioris (1282—1320) indicem ecclesiarum throno constantinopolitano parentium (ὅπως νῦν ἔχουσι

τάξεως), quem edidit vir clarissimus Th. L. F. Tafelius in libro, qui inscribitur Constantinus Porphyrogenitus de provinciis regni byzantini pag. 51—53, quo indice docemur, inter 109 vel 110 metropoles Serrarum metropolim fuisse quadragesimam sextam, Traianupoleos vero quadragesimam quartam; metropolim Melenici occupasse locum quinquagesimum quintum, Rhodi vero quadragesimum quintum.

Restat, ut gratias agamus quam maximas Caesareae scientiarum Academiae, sine cuius adiumento librum hunc non potuissemus emittere.

Vindobonae maio mense 1860.

Editores.

I.

(Κωδίκιον τῶν συνοδικῶν παρασημειώσεων γεγονὸς ἐπὶ τῶν ἡμερῶν τοῦ παναγιωτάτου πατριάρχου κῦρ Ἰωάννου τοῦ Γλυκέως.)

I. Sine anno.

Joannes XIII. confirmat jura et privilegia monasterii Mesopotami. (Initium deest.)

. . . . καὶ τάξις ἀποδοθήσεται, καὶ ταῦτα αὐτῆς τὰ ἐπίγεια συνέχειν ὥσπερ λέγεται δυναμένης καὶ τὰ οὐράνια, ἄλλως τε καὶ τὸ διὰ πάσης ἡπλῶσθαι τῆς Ῥωμαίων γῆς τὰ τῆς μεγάλης ταύτης ἐκκλησίας τοῦ θεοῦ δίκαια, δύο ταῦτα καὶ μέγιστα μαρτυρεῖ τό τε πάντα τὰ τῶν ἐκκλησιῶν ταὐτὸ δ' εἰπεῖν καὶ τὰ τῶν χριστιανῶν εἰς αὐτὴν τὴν πρώτην, καὶ μεγίστην τοῦ θεοῦ ἐκκλησίαν ἀνάγκην ἔχειν τὸν ἀεὶ χρόνον βλέπειν καὶ ἀποτείνεσθαι, καὶ ἔτι τὸ τοῖς ἐκ θεοῦ βασιλεῦσι καὶ τὸ ἄρχειν ἐκεῖθεν παραλαβοῦσι καὶ περισώζουσιν εὐνοϊκῶς ὑποπίπτειν καὶ ὑποσπόνδως ἔχειν καὶ ὑποτάττεσθαι· ταῦτα γὰρ θεοῦ νόμος ὁ ἄνωθεν, ταῦτα παρὰ πάντων χρέα τοῖς βασιλεῦσι κείμενα καὶ τῇ ἐκκλησίᾳ θεοῦ, τούτοις καὶ στοιχεῖν ὀφείλουσι καὶ πειθαρχεῖν καθάπαξ πᾶν ἁπανταχῇ χριστιανικὸν σύστημα καὶ συνάθροισμα. καὶ ταῦτα μὲν οὕτως καὶ βέλτιον ἐσκέφθαι ταύτῃ καὶ μὴ ἂν ἄλλως ἔχειν δοκεῖ. ἐπεὶ δὲ οἱ τοιοῦτοι Μεσοποταμῖται μοναχοὶ καὶ τοῦτο τῆς ἡμῶν ἐδεήθησαν μετριότητος ἐπιβεβαιῶσαί τε καὶ κρατῦναι καὶ τὰ αὐτοῖς προσόντα σιγίλλια καὶ λοιπὰ δικαιώματα, δικαίαν ὡς εἰκὸς ἡγησαμένη καὶ προσδεξαμένη καὶ τὴν ἐπὶ τούτοις αὐτῶν αἴτησιν ἐπικυροῖ καὶ ταῦτα διὰ τοῦ παρόντος αὐτῆς ὑπομνήματος ἡ μετριότης ἡμῶν, καὶ ἐπισκήπτει καὶ βούλεται πάντη κεκτῆσθαι ταῦτα τὸ ἀπαράθραυστόν τε καὶ ἀπερίτρεπτον καὶ βεβαίας εἶναι τὰς περιλήψεις καὶ διαστίξεις αὐτῶν, ὅθεν καὶ τῶν εἰρημένων χάριν καὶ τῆς ἐπὶ πᾶσι καὶ παρὰ πάντων ἀνενοχλησίας καὶ ἡ παροῦσα τῆς ἡμῶν μετριότητος ἐξετέθη

ὑπόμνησις, ὀφείλουσα τῇ διαληφθείσῃ σεβασμίᾳ τοῦ Μεσοποτάμου μονῇ περιεῖναι εἰς διηνεκῆ τὴν ἀσφάλειαν †.

† Εἶχεν ἡ ὑπογραφὴ τὸ· Ἰωάννης ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης †.

II. Sine anno.

Joannes XIII., ad solium patriarchale evectus, patriarcham Magnae Antiochiae Constantinopolim vocat.

† Πιττάκιον πατριαρχικὸν πρὸς τὸν Ἀντιοχείας.

† Ἁγιώτατε δέσποτα πατριάρχα θεουπόλεως Μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ. τὰ τῆς καθ'ἡμᾶς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ τὰ τοῦ πατριαρχικοῦ θρόνου τῆς βασιλίδος ταύτης τῶν πόλεων ὅτι πρὸ καιροῦ ἐν στερήσει γεγόνασιν ἀρχιερέως καὶ πατριάρχου, ἔφθασε πάντως γνωρίσαι ἡ ἁγιότης σου. ἤδη δὲ γνωρίζομεν καὶ δῆλον ποιοῦμεν αὐτῇ, ὡς εὐδοκίᾳ καὶ χάριτι τοῦ θεοῦ κατὰ τὴν μεγάλην βουλὴν καὶ οἰκονομίαν τῶν κριμάτων αὐτοῦ προσελάβετο καὶ ἐκάλεσεν ἡμᾶς εἰς τὴν λειτουργίαν καὶ ὑπηρεσίαν αὐτοῦ, καὶ καθέστησεν ἐπὶ τοῦ πατριαρχικοῦ θρόνου τῆς θεοδοξάστου ταύτης Κωνσταντινουπόλεως. ὅτι γοῦν καὶ ὁ κατὰ τὴν ἁγιότητά σου ὑψηλὸς τῆς θεουπόλεως Ἀντιοχείας θρόνος στερούμενος ἦν πρὸ καιροῦ κατὰ τὸν ὅμοιον τρόπον γνησίου ἀρχιερέως καὶ πατριάρχου, εὐδοκοῦντος δὲ τοῦ θεοῦ ἀπέλαβε τὴν σὴν ἁγιότητα, οὕπω δὲ ἔφθασεν ἡ ἁγιότης σου καταλαβεῖν περὶ τὰ ἐνταῦθα μέρη καὶ εἰς τὴν ἀδελφικὴν συνελθεῖν ὁμιλίαν καὶ κοινωνίαν τῇ καθ'ἡμᾶς ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ, κατὰ τοῦτό τε καὶ δι' ἄλλας τινὰς ἀναγκαίας χρήσεις καὶ αἰτίας ηὐδόκησεν ἤδη ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, ὁ παρὰ θεοῦ προστάτης καὶ κραταιὸς πρόμαχος καὶ ἐπὶ πᾶσι συνέριθος καὶ βοηθὸς διάπυρος καὶ φροντιστὴς ἀδιάλειπτος τῶν ἐκκλησιῶν αὐτοῦ, καὶ τοῦτο τὸ καλὸν ἐνεργῆσαι διὰ βασιλικῶν γραμμάτων, τὸ προσκαλέσασθαι δηλονότι τὴν σὴν ἁγιότητα εἰς τὰ ἐνταῦθα· καὶ τοίνυν καὶ ἡμεῖς σὺν πολλῇ τοῦτο τῇ πνευματικῇ εὐφροσύνῃ καὶ τῇ κατὰ θεὸν ἡδονῇ προσδεξάμενοι ἄσμενοι καὶ πρόθυμοι διὰ τῶν παρόντων γραμμάτων καὶ αὐτοὶ

τὰ καθ'ἡμᾶς τε δηλοποιοῦμεν, ὡς εἴρηται, καὶ τὸν πόθον τῆς σῆς ἐπιδημίας οὐκ ὀλίγον ὄντα εἰς τὸ ἐμφανὲς παριστῶμεν. ἔργον τοίνυν τὸ ἀπὸ τοῦδε καὶ τῆς σῆς ἐστιν ἁγιότητος τὴν παρ' ἑαυτῆς πρὸς τὸ καλὸν τοῦτο ἑτοιμότητα ἐπιδεῖξαι καὶ βουληθῆναι κόπου τε ὑπεριδεῖν καὶ μήκους καὶ πόνων καὶ δυσχερείας τῆς ἐν τῷ μέσῳ καὶ σπεῦσαι ἐπί τε τῷ τοῖς θείοις αὐτοκράτορσι καὶ βασιλεῦσιν ἡμῶν ἐντυχεῖν καὶ ἡμᾶς ἀδελφικῶς συγγενέσθαι καὶ πνευματικῶς εὐφρανθῆναι καὶ κοινὴν τὴν δόξαν ἀναπέμψαι θεῷ. ὄντως γὰρ, ἁγιώτατε δέσποτα, ἀληθής ἐστι καὶ σφόδρα ἀληθὴς ὁ προφητικὸς καὶ δαυιτικὸς λόγος ὡς „οὐδὲν τοῖς ἀδελφοῖς καὶ μάλιστα τοῖς κατὰ πνεῦμα οὔτε κάλλιον οὔτε χαριέστερον καὶ τερπνότερον γένοιτο, ἀλλ' ἢ τὸ κατοικεῖν ἐπὶ τὸ αὐτὸ" διαπαντὸς μὲν καὶ ἀδιαστάτως ταῖς γνώμαις καὶ τοῖς ὀρθοῖς δόγμασι καὶ φρονήμασιν, ὅτε δὲ τῶν δυνατῶν ἐστι, καὶ τοῖς σώμασι καὶ τῇ κατὰ πρόσωπον ὄψει καὶ ὁμιλίᾳ, εἰς τοῦτο γὰρ καὶ τόπος καὶ διάστημα καὶ αἱ κατὰ τὰς ἐκκλησίας ἰδίαι χρεῖαι ἀναίτιον καὶ ἀνεύθυνον καὶ ἄλυπον ποιοῦσι πολλάκις καὶ τὴν διάστασιν. νῦν δὲ τοῦ καιροῦ διδόντος καὶ τοῦ θεοῦ μάλιστα εὐδοκοῦντος καὶ συνεργοῦντος μὴ βραδυνάτω μηδ' ἀναβαλέσθω ἡ ἁγιότης σου, ἀλλὰ καταλαβέτω τὴν ἡμῶν ἀποπληρώσων καὶ τὴν ἑαυτῆς τῇ τοῦ θεοῦ χάριτι ἔφεσιν. †.

III. (6823—1315) julio ind. XIII.

Synodus patriarchae Joanni XIII. confert reditus quatuor sedium metropolitanarum.

† Εἴπερ τι τῶν ἀπαραιτήτων καὶ τοῦτο χρέος ἴσμεν μάλιστα τῶν πάντων ἀναγκαιότατον, τὴν περὶ τοὺς τεκόντας στοργὴν καὶ τὸ μηδὲν αὐτῶν προτιμᾶν καὶ προτιθέναι τοὺς ἐξ αὐτῶν, ἀλλὰ πάντα τἆλλα τούτων νομίζειν δεύτερα καὶ πάνθ'ἑνός, τῆς πρὸς αὐτοὺς εὐνοίας τε καὶ σπουδῆς, ἀντισταθμῶντας φαίνεσθαι καὶ ἀνταξιοῦντας, ἅτε δὴ καὶ τοῦ μεγίστου πάντων αἰτίους, τῆς εἰς τὸ φῶς προόδου, γεγεννημένους αὐτοῖς καὶ διὰ τούτου καὶ τῶν ἄλλων πάντων ὧν ἐντεῦθεν ἀπέλαυσαν μετὰ θεοῦ τὴν κτῆσιν παρασχόντας καὶ τὴν αἰτίαν. εἰ δ'ἐπὶ τῶν σωματικῶν ἀναγκαίως ταῦτα συντηρεῖσθαι ὀφείλεται, πολλῷ μᾶλλον ἂν ἐπὶ τῶν πνευματικῶν ὀφειλομένως ἔχειν καὶ πρὸς ἀνάγκην εἴη γίνεσθαι τὰ τοιαῦτα καὶ πᾶσι τρόποις κρατεῖν. βούλεται δὲ ὁ λόγος, ὅτι τῇ μητρὶ τῶν ἐκκλησιῶν, τῇ ἁγιωτάτῃ δηλαδὴ μεγάλῃ τοῦ θεοῦ

ἐκκλησίᾳ, ἦσαν μὲν οὐκ ὀλίγαι πρόσθεν αἱ πρόσοδοι, καὶ ἁβρῶς εἶχεν οὐ μόνον τῶν εἰς χρεῖαν ἡκόντων, ἀλλὰ καὶ τοῦ πολλοῖς καὶ διὰ πολλῶν τῶν τρόπων ἐνδεῶς ἔχουσιν ἐπαρκεῖν· ἐπεὶ δ' ἡ τῶν πραγμάτων σύγχυσις καὶ ἀνωμαλία καὶ ἡ περὶ ταῦτα τοῦ χρόνου καὶ τῆς ἐναντίας φορᾶς ἀλλοίωσις καὶ μεταβολὴ καὶ αὐτῶν δὴ τῶν ἐκκλησίας ἥψατο καὶ εἰς στενότητα καὶ ὕφεσιν τῶν προσόδων ἤγαγεν, ἦν μὲν τῶν εἰκότων καὶ παρ' ἡμῶν αὐτῶν, ἕκαστον τῶν ὑπ' αὐτὴν τελούντων ἀρχιερέων συνεισφέρειν τι καὶ ἀφορμὰς διδόναι τοῦ εὐπορεῖν ὡς μητρὶ τῇ τοῦ θεοῦ ἁγίᾳ μεγάλῃ ἐκκλησίᾳ, τὸ δὲ μὴ εὐγνωμόνως ἔχειν μηδὲ κοινῇ τῇ ψήφῳ καὶ προμηθείᾳ τὰ δυνατὰ καὶ προνοεῖν αὐτῆς καὶ συναίρεσθαι ἕν τι τῶν ἀτοπωτάτων ἐδόκει καὶ πόρρω τῆς καθ' ἡμᾶς πνευματικῆς καὶ γνώμης καὶ διακρίσεως. διὰ ταῦτα καὶ κοινῇ διασκεψάμενοι πάντες οἱ τὸν τῆς ἱερᾶς συνόδου συμπληροῦντες θειότατον σύλλογον δεῖν ἔγνωμεν καὶ ἐψηφισάμεθα, ἐπεὶ ἐν τῷ παρόντι εὑρηνται γνησίων λειπόμεναι ἀρχιερέων τινὲς τῶν ὑπὸ τὴν πατριαρχικὴν περιωπὴν μητροπόλεων, ὑποκεῖσθαι τῇ ἁγίᾳ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ καὶ πληροῦν τὰς ἐν αὐτῇ χρείας διὰ τῶν ἐξ αὐτῶν προσοδημάτων, τὴν ἁγιωτάτην μητρόπολιν Κυζίκου ἄνευ τῆς ἰδιοπαιηθείσης τρίτης μερίδος ἐξ αὐτῆς, ἐφ' ἑτέρᾳ χρείᾳ τῶν ἀναγκαίων οὔσῃ καὶ ἀπαραιτήτων καὶ ταύτῃ, ἔτι δὲ ὑποκεῖσθαι μετὰ τῆς τοιαύτης μητροπόλεως καὶ τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Προικονήσου, ὡσαύτως ὑποκεῖσθαι καὶ τὴν ἁγιωτάτην μητρόπολιν Φιλιππουπόλεως, ἀλλὰ δὴ καὶ τὴν τῆς Τραϊανουπόλεως μετὰ τῶν ὑπ' αὐτὰς ἐπισκοπῶν, ὅθεν καὶ καθέξει τὰς τοιαύτας ἁγιωτάτας ἐκκλησίας κατὰ τὴν ἡμετέραν ψῆφον καὶ διάγνωσιν ὁ παναγιώτατος ἡμῶν δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης ἐφ' ὅρῳ τῆς οἰκείας ζωῆς καὶ ἀρχιερατείας, καὶ οὐδεμία τις ἔσται παρ' οὐδενὸς μεταβολὴ περὶ τὴν τοιαύτην συνοδικὴν ἡμῶν πρᾶξιν ἢ μετάθεσις καὶ ἀλλοίωσις τῆς περὶ τούτων ψήφου καὶ γνώμης ἡμῶν. εἰ μέντοι ὁ ἐκ θεοῦ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς, ὁ τῆς ἁγίας ἐκκλησίας φροντιστὴς καὶ κηδεμὼν ἐν πᾶσι καὶ προνοητής, κρεῖττόν τι καὶ μεῖζον κατὰ τὴν ἑαυτοῦ περὶ τὰ καλὰ πάντα πρόθεσιν καὶ τὴν ὑπὲρ τῆς ἐκκλησίας σπουδὴν ἐθελήσει ἐς ὕστερον ὑπὲρ αὐτῆς καταπρᾶξαι καὶ ἐπιδείξασθαι, ἐξέσται πάντως τὰ κρείττω σὺν θεῷ καὶ μείζω περὶ αὐτῆς καὶ βουλεύεσθαι καὶ διαπράττεσθαι, τὰ δὲ νῦν ἡμῖν δεδογμένα κρατήσει καὶ στερχθήσεται ἀμετά-

τρεπτα, καὶ συμπροχωρήσει σωζόμενα τῇ ζωῇ καὶ ἀρχιερατείᾳ, ὡς εἴρηται, τοῦ παναγιωτάτου δεσπότου ἡμῶν τοῦ οἰκουμενικοῦ πατριάρχου. τῆς γὰρ ὑπὲρ τούτων ἀσφαλείας καὶ βεβαιώσεως ἕνεκεν καὶ ἡ παροῦσα ἔγγραφος συνοδικὴ πρᾶξις γεγονυῖα παρ' ἡμῶν ἐξεδόθη ταῖς οἰκείαις ἡμῶν ὑπογραφαῖς πιστωθεῖσά τε καὶ κατασφαλισθεῖσα κατὰ μῆνα ἰούλιον τῆς ἐνισταμένης τρισκαιδεκάτης ἐπινεμήσεως τοῦ ,ζωϞ εἰκοστοῦ τρίτου ἔτους. εἶχε καὶ ὑπογραφάς·

Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας Ἰωάννης τῇ παρούσῃ πράξει συναινέσας ὑπέγραψα †.

† Ὁ ταπεινὸς μητροπολίτης Σάρδεων Γρηγόριος καὶ αὐτὸς ὑπέγραψα †.

† Ὁ ταπεινὸς μητροπολίτης Νικομηδείας Κύριλλος καὶ αὐτὸς ὑπέγραψα †.

† Ὁ ταπεινὸς μητροπολίτης καὶ ὑπέρτιμος Ἀγαθοπόλεως Ἰγνάτιος †.

† Ὁ ταπεινὸς μητροπολίτης Μονεμβασίας ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου Σωφρόνιος †.

† Ὁ ταπεινὸς μητροπολίτης Ποντοηρακλείας καὶ ὑπέρτιμος Ἰωάννης †.

† Ὁ ταπεινὸς μητροπολίτης Θεουπόλεως Προύσης καὶ ὑπέρτιμος Νικόλαος †.

† Ὁ μητροπολίτης Περγάμου, πρόεδρος Αἴνου καὶ ὑπέρτιμος Ἀρσένιος †.

† Ὁ ταπεινὸς μητροπολίτης Παλαιῶν Πατρῶν, ἔξαρχος πάσης Ἀχαΐας καὶ ὑπέρτιμος Μιχαήλ †.

† Ὁ ταπεινὸς μητροπολίτης Σερρῶν καὶ ὑπέρτιμος Νικόλαος †.

† Ὁ ταπεινὸς μητροπολίτης Φιλίππων καὶ ὑπέρτιμος Καλλίνικος †.

† Ὁ ταπεινὸς μητροπολίτης Χριστουπόλεως καὶ ὑπέρτιμος Ἱερόθεος †.

† Ὁ μητροπολίτης Δυρραχίου καὶ ὑπέρτιμος Γρηγόριος †.

† Ὁ μητροπολίτης Μιτυλήνης Διονύσιος †.

† Ὁ ταπεινὸς μητροπολίτης Μηθύμνης καὶ ὑπέρτιμος Μαλαχίας †.

† Ὁ ταπεινὸς μητροπολίτης Διδυμοτείχου καὶ ὑπέρτιμος Θεόδουλος †.

† Ὁ ταπεινὸς ἀρχιεπίσκοπος Βιζύης Νικόλαος †.

† Ὁ ταπεινὸς ἀρχιεπίσκοπος Κίου Γρηγόριος †.

† Ὁ ταπεινὸς ἀρχιεπίσκοπος Γαρέλλης Παῦλος †.

† Ὁ ταπεινὸς ἀρχιεπίσκοπος Ῥρύσεως Γεράσιμος †.

† Ὁ ταπεινὸς ἀρχιεπίσκοπος Λοπαδίου καὶ Μελιτουπόλεως Ἰωαννίκιος †.

IV. (6823—1315) julio ind. XIII.

Joannes XIII. monachos monasteriorum Batopedii et Esphigmeni in Monte Sancto monet, ut lites componant:

† Ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ἡ τοῦ πλείονος ἔφεσις καὶ ἡ πρὸς ἀλλήλους στάσις, ἡ τὸ μέγα καὶ τίμιον σῶμα Χριστοῦ, τοὺς ἐξ αὐτοῦ δηλονότι Χριστοῦ καὶ ὑπ' αὐτῷ συναρμοττομένους καὶ ταττομένους διαιροῦσα καὶ διακόπτουσα καὶ τὰ οἰκεῖα μέλη σπαράττειν πείθουσα ὡς ἀλλότρια· οὕτω γὰρ ἂν ἡ εἰρήνη, τὸ παρὰ πάντων ἐπαινούμενον ἀγαθόν, ὁ κοινὸς ἀπὸ Χριστοῦ κλῆρος, τὸ θεῖον μελέτημα καὶ καλλώπισμα ἐν ἅπασιν ἐτηρεῖτο καὶ οὔποτε ἀπελείπετο. ἐχρῆν μὲν οὖν εἰδότας ἅπαντας ἀκριβῶς ὡς θεοῦ καὶ τῶν θείων ἐγγὺς, εἰ δὲ δεῖ τὸ μεῖζον εἰπεῖν, καὶ υἱοὶ θεοῦ, ὅσοι τὸ τῆς εἰρήνης καλὸν ἀσπαζόμενοι φαίνονται, τῷ δὲ ἐναντίῳ τῇ στάσει ἀπεχθανόμενοι, καὶ ὡς εἰρήνη καὶ ἀγάπη καὶ τὰ τοιαῦτα ὁ θεὸς ἡμῶν ὀνομάζεται, ἡμῖν πάντως παρέχων καὶ διὰ τῶν ὀνομάτων μεταποιεῖσθαι τούτων τῶν ἀρετῶν, στέργειν αὐτὴν καὶ πάντα ἐλάττω τοῦ ταύτης ἀγαθοῦ τίθεσθαι καὶ τῶν μὲν ὀχληρῶν καταφρονεῖν, τῆς δ' ἐν αὐτοῖς περιεργίας καὶ τοῦ πολυπραγμονεῖν τοῖς βουλομένοις ἐξίστασθαι καὶ πάντα τὰ τοιαῦτα ἁπλῶς ἡγεῖσθαι κατὰ τὸν θεῖον ἀπόστολον σκύβαλα, ὥστε αὐτὴν δὴ τὴν εἰρήνην καὶ δι' αὐτῆς τὸν ἐκείνης κληροδότην καὶ χορηγὸν κερδῆσαι Χριστὸν, ὠνησαμένους πάντως τῶν μικρῶν καὶ φθαρησομένων τὰ μεγάλα καὶ μὴ λυόμενα. ἐπεὶ δὲ τοσοῦτον ἴσχυσεν ὁ τοῦ γένους ἡμῶν ἀπ' ἀρχῆς ἐχθρὸς καὶ πολέμιος, οἷς αὐτὸς στασιάσαι τολμήσας καὶ ὑπὲρ τὴν ἀξίαν ἀρθῆναι τραχηλιάσας ἐφάνη κατέναντι θεοῦ παν-

τοκράτορος καὶ τῆς ἀντικειμένης γενέσθαι μοίρας, ὥστε πολλοὺς τῶν νῦν πείθειν ὁμονοίας μὲν καὶ τοῦ ταύτης ὀλιγωρεῖν καλοῦ, τοῦ δ' ἐναντίου, ᾧ τὸ τῆς στάσεως ὄνομα πρόσεστι, περιέχεσθαι. τὸ δὲ ἔτι τούτων δεινότερον, ὅτι μὴ μόνον ἐν ἀνθρώποις ἐπτοημένοις περὶ τὴν τοῦ κόσμου τοῦδε σκηνὴν καὶ μηδὲν ἐκ τῆς ἔξω περιπλανήσεως ταὐτὸ τοῦτο διενεργεῖν, ἀλλ' ἤδη καὶ πολλοῖς τῶν μοναχῶν, οἷς κόσμος καὶ τὰ ἐν κόσμῳ σταυροῦσθαι ὀφείλεται, δέον ἡμᾶς ἑτοίμους εἶναι πρὸς τὰς αὐτοῦ μεθοδείας ἀνθίστασθαι καὶ πάντας πείθειν μὴ τοῖς τούτου σοφιστικοῖς ἁλίσκεσθαι δελεάσμασιν, εἰ δέ τις καὶ στάσις ἐκ μικροψυχίας συμβῇ, ταύτην σπουδαίως ὅτι μάλιστα ἀποτίθεσθαι, εἰρήνην δὲ ἀντιλαμβάνειν καὶ τὴν ἐκ ταύτης εὐστάθειαν. οἷον γὰρ δὴ καὶ τοῖς κατὰ τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω ἀσκουμένοις μοναχοῖς ἐν τῇ σεβασμίᾳ βασιλικῇ μονῇ τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένῃ τοῦ Βατοπεδίου συμβέβηκεν, ὡς τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς οἱ ἐν τῇ κατ' αὐτὸ δὴ τὸ Ἅγιον Ὄρος σεβασμίᾳ βασιλικῇ μονῇ τοῦ δεσπότου σωτῆρος Χριστοῦ καὶ ἐπικεκλημένῃ τοῦ Ἐσφιγμένου ἀσκούμενοι μοναχοὶ ἀρτίως ἀνέφερον. ἀγρός τις ἔστιν ἐλαϊκὸς πλησίον τῆς τοῦ Βατοπεδίου μονῆς ἐξ ἀμνημονεύτων χρόνων ἤδη ἀνήκων τῇ κατ' αὐτοὺς τοιαύτῃ μονῇ, δι' ὃν πολλάκις ἀμφιβολίαι τινὲς καὶ διενέξεις ἔφθασαν γενέσθαι μεταξὺ τῶν εἰρημένων δύο μονῶν καὶ συνεχεῖς ἐγκλήσεις, πειρωμένων τῶν μοναχῶν τῆς σεβασμίας μονῆς τοῦ Βατοπεδίου κατασχεῖν τὸν τοιοῦτον ἀγρὸν κατ' οὐδὲν ἕτερον, ἀλλ' ἢ ὅτι δὴ πλησιάζει τῇ κατ' αὐτοὺς τοιαύτῃ μονῇ, ὡς ἐντεῦθεν οἰομένων προσήκειν αὐτῇ, ὥστε καὶ πολλὴν τὴν διενόχλησιν καὶ ἐπίθεσιν τοὺς ἐν τῇ τοῦ Ἐσφιγμένου μονῇ ἐκ τῶν τοιούτων ὑφίστασθαι Βατοπεδηνῶν, κἀντεῦθεν καὶ εἰς στάσιν τὸ πρᾶγμα χωρῆσαι καὶ μάχης καὶ τόλμης ἔργα κατ' ἀλλήλων τοὺς μοναχοὺς διαπράξασθαι, καίτοι πολλάκις αὐτῶν δὴ τῶν Βατοπεδηνῶν ἱκανῶς ἀποκρουσθέντων διὰ τοπικῶν κρίσεών τε καὶ ἐξετάσεων, αὐτοὺς δὲ ὅμως οὐδαμῶς ἠρεμεῖν, ἀλλὰ πρό τινος ἤδη καιροῦ καί τινας οὐκ ὀλίγους τῶν Βατοπεδηνῶν παρ' οὐδὲν τὸ τῆς εὐταξίας ποιησαμένους καλὸν ἐν αὐταῖς ταῖς νηστίμοις τῶν ἡμερῶν ἐπὶ τὸν ἀγρὸν ἀτάκτως ἐπενεχθῆναι τοῖς Ἐσφιγμενίταις μοναχοῖς καὶ πλεῖστα μὲν τῶν ἐν αὐτῷ ἐκτεμεῖν ἐλαϊκῶν δένδρων, τῶν ἐκεῖσε δὲ οἰκιῶν τὰς μὲν κατασπᾶσαι καὶ καταβαλεῖν εἰς γῆν, τὰς δὲ θέσθαι πυρὸς παρανάλωμα· δι' ἃ καὶ ἀνέφε-

ρον οἱ τῆς τοῦ Εσφιγμένου μονῆς, καὶ ἐδεήθησαν συνοδικῆς ἡμῶν διαγνώσεως, τὴν ζημίαν ἐπιβοώμενοι καὶ τὰ παλαιγενῆ τούτων ἔγγραφα καὶ τὰ τῶν κρίσεων σημειώματα, ἔτι γε μὴν καὶ τὰ ἐπὶ τούτοις σεπτὰ βασιλικὰ προστάγματα ἐμφανίζοντες. ἐπεὶ δὲ ἔδει παρεῖναι καὶ ἀπολογεῖσθαι καὶ τὸ μέρος τῆς σεβασμίας τοῦ Βατοπεδίου μονῆς παρῆν ὅ τε καθηγούμενος αὐτῶν μετὰ καί τινων ἐκ τῆς μονῆς ἐκκρίτων μοναχῶν καὶ τῶν εἰρημένων ἐπακροώμενος, ἔλεγε μὲν καὶ αὐτὸς, οὕτω ταῦτα συμβῆναι καὶ ἐς τόσον προελθεῖν τὰ τῆς στάσεως, οὐ μὴν δὲ εἰδήσει τούτου ἢ γνώμῃ τὰ τοιαῦτα γενέσθαι, ἀλλ' ὁρμῇ τινι ἐκ τοῦ τυχόντος καὶ ἀπροόπτου πραχθῆναι ταυτὶ παρὰ τῶν εἰς τοῦτο ὁρμηθέντων μοναχῶν, ἔτι δὲ ἰσχυρίζετο, καὶ ἐπὶ πλεῖον τὰ τῆς στάσεως προχωρῆσαι, εἴ γε καὶ εἰς τὸ ἑξῆς τὸν τοιοῦτον ἀγρὸν οἱ τοῦ Ἐσφιγμένου καθέξουσιν· ἀπαιτούμενος δὲ ὑπὸ τῆς ἡμῶν μετριότητος καὶ εἴ τι περὶ τούτων ἔχει δικαίωμα ἐμφανίσαι, οὐδὲν οὐδ' ὅλως εἶχεν ὑποδεῖξαι ἢ ἐμφανίσαι, εἰ μὴ μόνον ἐπέφερεν, ὅτι πλησιάζει, ὡς δὴ καὶ ἄνωθεν εἴπομεν, τῇ κατ' αὐτούς τοιαύτῃ μονῇ ὁ ἀγρὸς, καὶ διὰ τὸ ἔγγιστα εἶναι καὶ ἑνοῦσθαι τοῖς δικαίοις αὐτῶν ἅμα καὶ προσήκειν αὐτῇ. ἡ μετριότης τοίνυν ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Μονεμβασίας, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Παλαιῶν Πατρῶν, τοῦ Σερρῶν, τοῦ Φιλίππων, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Μηθύμνης, τοῦ Διδυμοτείχου καὶ τῶν ἱερωτάτων ἀρχιεπισκόπων τοῦ Βιζύης, τοῦ Κίου, τοῦ Γαρέλλης καὶ τοῦ Βρύσεως διέγνω καὶ ἀπεφήνατο· ἐπειδὴ χρόνοι παρῆλθον πλεῖστοι καὶ εἰς τὸ ἀμνημόνευτον σχεδὸν ἥκοντες, ἐξ οὗ τὸν ἀγρὸν οἱ ἐν τῇ τοῦ Ἐσφιγμένου μονῇ κατεῖχόν τε καὶ ἐνέμοντο, καὶ παλαιγενῆ δικαιώματα ἐνεφάνισαν καὶ σεπτὰ βασιλικὰ προστάγματα, τοῖς δικαιώμασιν ἐς ὕστερον εἰς ἔδρασμὸν ἐπακολουθήσαντα, βεβαιοῦντα τῇ μονῇ τό τε ἐπὶ τῷ ἀγρῷ παντάπασιν ἀνενόχλητον, ἔτι δὲ καὶ τὴν χρῆσιν τῆς ἀρδείας τοῦ ἐκεῖσε ὕδατος αὐτῇ ἀπονέμοντα κατὰ τὴν ἤδη προβᾶσαν περὶ τούτου κρίσιν πρότερον τοπικὴν, διὰ ταῦτα δίκαιον εἶναι κατέχειν καὶ νέμεσθαι καὶ εἰς τὸ ἑξῆς τοὺς ἐν τῇ ῥηθείσῃ μονῇ τοῦ Ἐσφιγμένου τὸν τοιοῦτον ἀγρὸν, καὶ μὴ εὑρίσκειν παρὰ τοῦ μέρους τῆς δηλωθείσης μονῆς τοῦ Βατοπεδίου τούτου ἕνεκεν δυναστείαν τὴν τυχοῦσαν ἢ διενόχλησιν, μήτε ἐπ' αὐτῇ δὴ τῇ νομῇ καὶ κατοχῇ τοῦ ἀγροῦ καὶ

τῇ ἀνέκαθεν περιοχῇ αὐτοῦ, μήτε ἐπὶ τῇ χρήσει τῆς ἀρδείας τοῦ εἰρημένου ὕδατος, ἔτι δὲ ἀνοικοδομῆσαι τοὺς Βατοπεδηνοὺς τὰ πυρπολη-
θέντα καὶ καταβληθέντα οἰκήματα παρ' αὐτῶν ἢ τὴν ἐπ' αὐτοῖς καὶ τὴν
ἄλλην ἅπασαν ἀποδοῦναι ζημίαν, καθὼς ἂν διαγνοῖεν τὰ περὶ τῆς ζη-
μίας οἱ τὴν περὶ τούτου ἀνατεθέντες παρ' ἡμῶν ποιήσασθαι διάγνωσιν·
ὀφείλουσι γὰρ ἐμφανιζομένου τοῦ παρόντος τῆς ἡμῶν μετριότητος ὑπο-
μνήματος συνέλευσιν ποιήσασθαι κατὰ τὴν ἐπὶ τοῖς τοιούτοις κρατοῦ-
σαν ἐν τῷ Ὄρει τάξιν τε καὶ συνήθειαν ὅ τε εἰς τὴν τοῦ Πρώτου
ἐνοχὴν ἀνατεθησόμενος τῶν ἐκεῖσε σεβασμίων μονῶν, ἀλλὰ δὴ καὶ
οἱ λοιποὶ τιμιώτατοι καθηγούμενοι τῶν ἐν τῷ αὐτῷ Ὄρει σεμνοτέρων
μονῶν καὶ λοιποί τινες τῶν ἐκεῖσε τιμίων καὶ πνευματικῶν ἀνδρῶν,
καὶ ποιήσασθαι, ὡς διεταξάμεθα, τὴν διάγνωσιν καὶ ἐκτίμησιν τῆς ἐν
τῷ ἀγρῷ γενομένης παρὰ τῶν Βατοπεδηνῶν ζημίας καὶ ἱκανοποι-
ῆσαι ταύτην, ὃν εἴρηται τρόπον, πρὸς τὸ μέρος τῆς τοῦ Ἐσφιγμένου
μονῆς· πλὴν οὕτω μὲν τὴν νικῶσαν εἴληφεν ἡ τοῦ Ἐσφιγμένου μονὴ
καὶ τὴν δεσποτείαν ἔχειν ἐφήφισται τοῦ ἀγροῦ, ἔτι δὲ ἀπολαβεῖν καὶ
τὴν ἐν τῷ ἀγρῷ γενομένην αὐτοῖς ζημίαν παρὰ τῶν Βατοπεδηνῶν.
ἀλλ' ἐπειδὴ, ἀνθρώπους ὄντας τοὺς ἐν ταῖς εἰρημέναις τοῦ Βατοπε-
δίου καὶ τοῦ Ἐσφιγμένου μοναῖς, οὐδὲν ἀπεικὸς καὶ πάλιν τι τῶν τοι-
ούτων ἐκ μικροψυχίας παθεῖν, καὶ τοῦτο εἴωθε συμβαίνειν ὡς τὰ
πολλὰ, ἐπεὶ καὶ φύσει πρόχειρον ἡ κακία καὶ πολὺς ἐπὶ τὸ χεῖρον ὁ
ῥοῦς ἢ μᾶλλον πλατεῖά τις, εὐαγγελικῶς εἰπεῖν, ἡ εἰς αὐτὴν ὁδὸς
καὶ εὐρύχωρος, καὶ χρὴ πᾶσιν ἀνθρώποις, μοναχοῖς γε μὴν μάλιστα,
ἅτε κόσμῳ νεκρωθεῖσι καὶ κοσμικοῖς, μηδεμίαν διδόναι τῷ πονηρῷ πάρ-
οδον, ἀλλὰ παροῦσαν μὴν εἰρήνην περιέπειν, ἀποῦσαν δὲ ἀνακαλεῖ-
σθαι πάσῃ σπουδῇ, καὶ πάντα ἐλάττω ἡγεῖσθαι τῆς ἐν Χριστῷ ὁμο-
νοίας, κτήματά τε καὶ πράγματα· ἐπεὶ οὖν οὕτω ταῦτα καὶ οὐδὲν
οὕτω περιποιητὸν εἰς ὁμόνοιαν ὡς τὸ περιαιρεῖσθαι τὰς ὑποκειμέ-
νας καὶ ἐρεθιζούσας εἰς τὸ κακὸν ἀφορμὰς, δεῖν ἔγνω καὶ διὰ τοῦτο
ἡ μετριότης ἡμῶν, ὡσὰν οἱ τὴν εἰρημένην ἐξέτασιν καὶ ἱκάνωσιν
ταχθέντες ποιῆσαι τίμιοι καὶ πνευματικοὶ ἄνδρες, ὑπομνήσαντες τοὺς
ἐν ἀμφοτέραις ταῖς μοναῖς τὸ τῆς εἰρήνης ὅσον καλὸν καὶ ὅσον αὖ
κακὸν τὸ τῆς ταραχῆς τε καὶ διαστάσεως καὶ πᾶσιν οἷς εἰκὸς περὶ
τούτων πρὸς αὐτοὺς χρησάμενοι λόγοις, πᾶσαν ἐπιμέλειαν ποιήσαιντο
καὶ σπουδὴν, ὥστε ἑνί γε τῷ τρόπῳ εἰς καταλλαγὰς αὐτοὺς ἐμβιβάσαι

καὶ τὴν εἰς τὸ ἑξῆς μνηστεῦσαι εἰρηνικὴν ἐπὶ τῷ πράγματι κατάστασιν καὶ πεῖσαι τοὺς τοιούτους, εἰ δυνατόν, ἢ πράσει ἢ ἀνταλλαγῇ τῇ πρεπούσῃ καὶ ᾗ ἂν οἱ τοῦ Ἐσφιγμένου ἀρέσκοιντο, τὴν ἐπὶ τῷ ἀγρῷ διάλυσιν ποιήσασθαι τῶν ὀχλήσεων, καταδεξαμένων δηλονότι τῶν τοῦ Ἐσφιγμένου ἢ πωλῆσαι ἢ ἀνταλλάξαι πρὸς τοὺς Βατοπεδηνοὺς τὸν τοιοῦτον ἀγρόν, ἐπειδὴ καὶ οἱ Βατοπεδηνοί, εἰ βούλοιντο τοῦ ζητουμένου ἐπιτυχεῖν, ἱκανῇ ὀφείλουσι χρήσασθαι τῇ συγκαταβάσει, ὥστε πεῖσαι καὶ ἐφελκύσασθαι τοὺς ἐν τῇ τοῦ Ἐσφιγμένου μονῇ προθύμως σχεῖν καὶ αὐτοθελῶς πρὸς ἢ τὴν πρᾶσιν ἢ τὴν ἀνταλλαγὴν τοῦ ἀγροῦ καὶ τοῦ οἰκείου αὐτοῖς ἐκχωρῆσαι δικαίου. εἰ δ' ἄρα μὴ οὕτω ταῦτα προβαίη, μηδὲ πειθόμενοι φαίνοιντο ἐπὶ τῇ συμβάσει οἱ τοῦ Ἐσφιγμένου, τότε δὴ πάντως ἐξ ἀνάγκης κατὰ τὸ δίκαιον στερχθήσεται καὶ διαμενεῖ ἐπ' ἀμφοτέραις καὶ εἰς τὸ ἑξῆς ταῖς μοναῖς ἡ παλαιὰ ἐπὶ τῷ ἀγρῷ νομὴ καὶ συνήθεια, καὶ οὔτε παρὰ τὴν κοινὴν τοῦ Ὄρους τάξιν καὶ διατύπωσιν ἐνεργήσουσιν οἱ τῶν ἀμφοτέρων μονῶν πρὸς ἀλλήλους ἐπὶ τῷ τοιούτῳ ἀγρῷ, ὥστε ἢ ζῶα ἐπεισάγειν ἢ ἕτερόν τι ποιεῖν παρὰ τὰ κοινῇ κρατήσαντα τοῦ Ὄρους ἔθιμα, οὔτε μὴν παρὰ τὴν ἰδίαν αὐτῷ συνήθειαν τὴν ἐκ παλαιῶν τῶν χρόνων ἐν αὐτοῖς τηρηθεῖσαν διαπράξονταί τι, ἀλλὰ μενοῦσι πρὸς ἀλλήλους ἀπρόσκοποι, καὶ ἀρκεσθήσονται ἐπὶ τοῖς ἑαυτῶν ἰδίοις καὶ καθαρῶς ἀνήκουσιν αὐτοῖς, μηδεμίαν τοῦ λοιποῦ προσάγοντες ἀφορμὴν, ἐπεὶ τὸ μὴ ἐμμένον τούτοις ἐξ ἀμφοτέρων τῶν μερῶν τῇ πρεπούσῃ καθυπαχθήσεται ζημίᾳ καὶ εὐθύνῃ βαρείᾳ ὑποπεσεῖται πνευματικῇ. τῶν γὰρ εἰρημένων χάριν καὶ τῆς εἰς τὸ ἑξῆς διαμονῆς αὐτῶν τε καὶ βεβαιώσεως καὶ τὸ παρὸν ὑπομνηματῶδες γράμμα τῆς ἡμῶν μετριότητος ἐκτεθὲν καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι αὐτῆς πιστωθὲν ἐπεδόθη τῷ μέρει τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ δεσπότου σωτῆρος Χριστοῦ τῆς ἐπικεκλημένης τοῦ Ἐσφιγμένου εἰς διηνεκῆ τὴν ἀσφάλειαν. μηνὶ ἰουλίῳ ἰνδ. ιγ' †.

† Εἶχε ἡ ὑπογραφὴ τὸ· Ἰωάννης ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης †.

V. (6824—1315) septembri ind. XIV.

Synodus absolvit monachum Ignatium monasterii Sanctae Annae.

(Initium deest.)

. . . καὶ ἠρώτησα αὐτὸν, καὶ ἀπελογήσατο προς . . . . (ἀ)πλοϊκῷ λόγῳ καὶ ἐξ ἀγάπης οὕτως, ὅτι ὁ Θεόφιλος ἐκεῖνος, ὡς ἦλθεν εἰς τὴν Ἀνατολὴν, ὠνόμασεν ἑαυτὸν Ἱεροσολυμίτην, καὶ εἶχεν ἐκ τούτου φήμην μεγάλην, καὶ ἔβλεπον ἐκεῖνον πολλοὶ ὡς καλὸν ἄνθρωπον. ἀπῆλθον οὖν κἀγὼ, καὶ εἶδον αὐτὸν, καὶ ὡμίλησα πρὸς ὀλίγον· ὕστερον δὲ, ὡς ἐγνώσθη, ὅτι οὐκ ἔστιν Ἱεροσολυμίτης, ἀλλ' ὁ κατάρατος Θεόφιλος, κατήργησαν καὶ ἀνεθεμάτισαν πάντες αὐτὸν, καὶ ἐγὼ δὲ ὁμοίως κατήργησα καὶ ἀνεθεμάτισα αὐτόν. ταῦτά μοι εἶπεν ὁ κῦρ Ἰγνάτιος ἐντὸς τῆς Ἁγίας Σοφίας καὶ πλέον οὐδέν. αὕτη ἐστὶν ἡ ἀλήθεια, καὶ πλέον οὐ γινώσκω. ὁ μέντοι μοναχὸς Ἰγνάτιος παρὼν καὶ ἀκροώμενος ἀνέφερε καὶ αὐτὸς, ὡς πατρίδα μὲν ἔσχε τὴν Ἀθαναΐδα, ἔφυ δὲ πατέρων τὰ χριστιανῶν πρεσβευόντων καὶ εὐσεβῆ τὴν τοῦ γένους ἄνωθεν ἑλκόντων σειρὰν, τῆς ἡλικίας δὲ δωδέκατον ἔτος ἄγων ὑπὸ παιδευτῇ τῷ ἀνεψιῷ τοῦ ἀρχιερατεύοντος ἐκεῖσε τὰ θεῖα ἐδιδάσκετο γράμματα, ᾧ δὴ καὶ δόξαν κατὰ μοναχοὺς ἀποκείρασθαι καὶ ἀποκειραμένῳ μέντοι ἐν τῇ περὶ τὸ Ἀτραμύτιον μονῇ τῶν ἁγίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης ἠκολούθησε καὶ οὗτος, καὶ τοῦ μοναχικοῦ κατὰ τὴν αὐτὴν μονὴν ἠξίωται σχήματος. μετὰ χρόνους δὲ τρεῖς ἐκεῖθεν ἐξελθόντι καὶ εἴς τι μονύδριον περὶ τὴν αὐτὴν Ἀθαναΐδα, τῷ τοιούτῳ μοναχῷ Ἰγνατίῳ διαφέρον ἐκ γονικότητος, συνῆν καὶ συνδιῆγεν αὐτῷ, ἑξαμηνιαῖον δὲ καιρὸν εἰς τὸ αὐτὸ μονύδριον ἄμφω διαβιβάσαντες ἀκηκόασιν ἐκ φήμης ἐπιστῆναί τινα τῷ τόπῳ μοναχὸν, καλούμενον Σεραπίωνα Ἱεροσολυμίτην καὶ ἐν τῷ Σιναΐῳ ὄρει ἀσκήσαντα, καὶ ἐντυχὼν αὐτῷ ὁ ἱερομόναχος Κύριλλος (οὕτω γὰρ ὁ τοῦ ἐπισκόπου ἀνεψιὸς μετωνόμασται) καὶ ὑποστρέφας πολὺς ἦν ἐπαινέτης ἐκείνου, τὸ εὔστροφόν τε τῆς γλώττης καὶ τὴν πλοκὴν τοῦ λόγου καὶ τὸ πρὸς ἀρετὴν σπουδαῖον τιθεὶς ἐν θαύματι. εἶτα πρὸς τὴν αὐτῶν μονὴν ἐκεῖνον καταλαβόντα εἶδε τ . . . . . καὶ ὁ τοιοῦτος μοναχὸς Ἰγνάτιος, καὶ δεύτερον πάλιν εἶδε πεμφθεὶς πρὸς αὐτὸν προσαγορείας χάριν παρὰ τοῦ ῥηθέντος Κυρίλλου. εἶτα κἀκεῖνος τοὺς ἰδίους μαθητὰς ἀντιπροσαγορεύσοντας αὐτῷ ἐξαπέστειλε τοὺς αὐτοὺς δὲ καὶ πρὸς τὸν χατζύκην,

δειλιῶν γὰρ ἦν ἰδεῖν τοῦτον, μὴ ἐντεῦθεν, ὅστις ἐστί, φανερωθείη, πληροφορίαν δὲ ὅμως λαβὼν τοῦ μὴ ἐγνωσμένος αὐτῷ εἶναι ἐνέτυχε τούτῳ δὴ τῷ χατζύκῃ. ἔπειτα μαθὼν, καὶ τοὺς περὶ τὴν μονὴν τῶν Σανίδων τόπους ἐπιτηδειοτέρους εἰς ἀναχώρησιν εἶναι καὶ τῶν κοσμικῶν θορύβων ἀπηλλαγμένους καὶ ἐπιστῆναι αὐτοῖς βουλόμενος, ζητῶν ἦν τὸν αὐτῷ συνοδεύσοντα, καὶ ἐπεὶ αὐτὸς δὴ οὗτος ὁ Ἰγνάτιος εἶχέ τινα κατεπείγουσαν χρείαν ἐπὶ τῷ βιβλίον τι λαβεῖν ἐκεῖθεν καὶ μεταγράψαι τῷ εἰς ἐκκλησίαρχον ἀρτίως εὑρισκομένῳ τῆς αὐτῆς τοῦ Πιπερᾶ μονῆς μοναχῷ Ἀρκαδίῳ, συνώδευσε τὸν τρόπον τοῦτον ἐκείνῳ πλήν, καταντησάντων ἀμφοτέρων εἰς τὴν δηλωθεῖσαν τῶν Σανίδων μονήν, δέδωκεν εἴδησιν ὁ ῥηθεὶς Ἰγνάτιος περὶ τούτου τῷ χρηματίσαντι καθηγουμένῳ τῆς αὐτῆς μονῆς ἐκείνῳ κῦρ Ἀγάθωνι, ἀνδρὶ τὰ θεῖα ἐξησκημένῳ, καὶ τὴν ἐπιδημίαν ἐκείνου ὁ αὐτὸς κῦρ Ἀγάθων διὰ τὴν κρατοῦσαν ὑπὲρ αὐτοῦ φήμην ἀποδεξάμενος, προσεῖπε μὲν αὐτὸν ἡδέως καὶ προσεφθέγξατο, κατενόησε δὲ ὅμως ἐκεῖνον ἐξ ὧν ἤκουε λέγοντά τε καὶ ἐγκαυχώμενον μηδὲν πνευματικὸν ἔχειν, ἀλλὰ τοῖς ματαίοις ἔτι φέρειν ἐπιχάσκουσαν τὴν ψυχὴν φιλοτιμίας καὶ φιλοδοξίας πάθει τῆς ἐπὶ τοῖς λόγοις καὶ τοῦ δι' αὐτῶν σεμνύνεσθαι ἐνισχόμενον. πλὴν ἐκεῖθεν μεταβάντες εἰς τὸ Χαρίορος τῷ φαινομένῳ μὲν, ὡς αὐτὸς ἔλεγεν, ἵνα τοὺς ἐκεῖσε διαφερομένους τῇ ἐκκλησίᾳ ἴδῃ καὶ τῶν παρ' αὐτῶν λεγομένων ἐπακούσῃ, ἀπὸ ξένης δῆθεν ἐλθὼν, καὶ μὴ γινώσκων τὰς τῶν σκανδαλιζόντων δῆθεν αὐτοὺς ἀφορμὰς, τῇ δ' ἀληθείᾳ ἐπὶ τῷ εὑρεῖν τὸν ὑποχωρήσαντα πρὸ μικροῦ ἐκ τῶν αὐτοῦ μαθητῶν, ὡς ὕστερον δέδεικται. εἰσῄει γὰρ αὐτὸν ἔννοια, μὴ φανερωθῇ ὑπ' αὐτοῦ, ὅμως παραβαλὼν ἐν αὐτοῖς καὶ εὑρὼν τὸν ζητούμενον, πρὸς τὴν Ἀθαναΐδα πάλιν ὑπέστρεφε μετ' αὐτοῦ. ὑποστρέφοντα δὲ κατέσχον περί που τὸ Ἀτραμύτιον, οἵτινες ἐκ τῶν βασιλικῶν παραμονῶν ἐζήτουν καὶ ἀνηρεύνων αὐτὸν ἀποσταλέντες ἐπὶ τούτῳ λαβεῖν ἐπειγόμενοι. ἔνθα δὴ καὶ φανεροῦ γεγονότος, αὐτὸν ἐκεῖνον εἶναι τὸν θεοστυγῆ καὶ ἀπόβλητον καὶ ἀποκεκηρυγμένον Θεόφιλον, ὁ μοναχὸς Ἰγνάτιος, προσελθὼν καὶ ἐξυβρίσας ὡς ἀπατεῶνα καὶ πλάνον καὶ ἀναθέματι καθυποβαλὼν ὑπὸ παρουσίᾳ καὶ τοῦ πρωτοφάλτου τῆς ἐκκλησίας Ἀτραμυτίου, ἔτι νῦν περιόντος τῷ βίῳ καὶ τῇ νήσῳ Μιτυλήνῃ ἐνδιατρίβοντος, εἰς τὴν ἰδίαν αὖθις ἐπανῆλθε μονὴν τὴν τῆς ἁγίας Ἄννης. ἐν αὐτῇ γὰρ ἦν μετὰ τοῦ εἰρημένου Κυρίλλου κα-

τηντηκὼς, ὡς εἴρηται, καὶ διάγων, ἔνθα δὴ καὶ εὑρὼν τὸν μοναχὸν Θεοδόσιον, ὅς ἐστι διέπων ἤδη τὰ τῆς ἐνταῦθα σεβασμίας μονῆς τοῦ ἁγίου Ἀνδρέου, ἀνήγγειλε τὰ περὶ τούτου αὐτῷ. μετὰ τρεῖς δὲ μῆνας ἐκεῖθεν ὑποχωρήσας καὶ πρὸς τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω καταλαβὼν, συνῆν τῷ τιμιωτάτῳ ἐν μοναχοῖς κῦρ Γερμανῷ τῷ Φιλαρέτῳ χρόνων ἤδη παρελθόντων ἐξ ἐκείνου εἴκοσι δύο. καὶ ἔκτοτε οὐχ εὕρηται οὐδὲ ὤπται ὑπό τινος οὐδὲ καταμεμαρτύρηται τῷ κακίστῳ Θεοφίλῳ τρόπῳ οἱῳδήτινι ἐντυχὼν, ὥστε ἢ εἰς ὁμιλίαν αὐτῷ συνελθεῖν ἢ κοινωνίαν ὅλως σχεῖν τινα πρὸς αὐτὸν, ἕως ἐν τοῖς ζῶσιν ἐκεῖνος ἦν. τοιαύτην καὶ ὁ τοιοῦτος μοναχὸς Ἰγνάτιος τὴν ἀναφορὰν ποιησάμενος μάρτυρας εἰς παράστασιν προεβάλετο ἀπὸ μὲν τῆς εἰρημένης μονῆς τῆς ἁγίας Ἄννης τοὺς εὑρισκομένους ἐν τῇ τοιαύτῃ τοῦ Ἱπερᾶ μονῇ, τόν τε δηλωθέντα ἐκκλησίαρχον αὐτῆς τὸν Ἀρκάδιον, τὸν Κάλλιστον, τὸν Νίκανδρον, τὸν Νέστορα, τὸν Κύριλλον καὶ τὸν Ἰάκινθον, ἀπὸ δὲ τῆς μονῆς τῶν Ζυγανῶν ἐκ γειτόνων οὔσης τῇ τῆς ἁγίας Ἄννης μονῇ, τοὺς εὑρισκομένους ἐν τῇ τοῦ Μυρελαίου μονῇ, τὸν ἡγουμενικῶς αὐτῆς προϊστάμενον τιμιώτατον ἐν μοναχοῖς κῦρ Γαλακτίωνα, τὸν μοναχὸν Θεοδόσιον, τὸν Μακάριον, τὸν Δωρόθεον, τὸν Γεννάδιον καὶ τοὺς διαληφθέντας, τόν τε μοναχὸν Θεοστήρικτον τὸν χατζύκην καὶ τὸν μοναχὸν Θεοδόσιον τὸν εὐνοῦχον. ὧν δὴ καὶ μαρτυρησάντων οὕτω καὶ μὴ ἄλλως ἔχειν τὰ εἰρημένα διέγνωμεν καὶ ἀπεφηνάμεθα, ἀθῷον παντάπασιν ἐκ τοῦ εἰρημένου ἐγκλήματος τυγχάνειν τὸν δηλωθέντα μοναχὸν Ἰγνάτιον οὐ μόνον, ὅτι μὴ εἰδὼς τῷ θεοστυγῆ ἐκείνῳ ἐνέτυχε καὶ ἐπὶ τρισὶ μόναις ἡμέραις ἐκείνῳ συνώδευσε, ποιουμένῳ τὴν εἰρημένην ὁδοιπορίαν, ἀλλὰ καὶ πολλῷ μᾶλλον, ὅτι γνωσθέντα τοῦτον καὶ ἀνεθεμάτισε καὶ ἀπεκήρυξε, καὶ ἐξ ἐκείνου ἀποβεβλημένον ἔχει καὶ ἀνομολογεῖ καὶ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀλλότριον, ὅθεν καὶ οὐδεμίαν ἀπὸ τῆς τοιαύτης κατηγορίας ἕξει τὸ ἀπὸ τοῦδε μέμφιν ἢ κατάγνωσιν ὁ αὐτὸς μοναχὸς Ἰγνάτιος, ἀλλὰ ὡς ἀνέγκλητον καὶ ἕνα τῶν ὀρθοδόξων καὶ εὐσεβῶν καὶ τῶν γνησίων τῆς ἐκκλησίας υἱῶν, ὥσπερ δῆτα καὶ εἶναι διέγνωσταν θεοῦ χάριτι, πάντες αὐτὸν προσδέξονται καὶ πάσης αὐτῷ τῆς ὀφειλομένης χριστιανικῆς κοινωνίας ἀκολύτως καὶ μετὰ πληροφορίας καθαρᾶς μεταδώσουσι καὶ συμμεθέξουσιν. ὑπὲρ τούτου γὰρ καὶ τῆς ἐπὶ τούτῳ ἀσφαλείας καὶ τὸ παρὸν γράμμα ἡμῶν συνοδικῶς τῆς ὑποθέσεως ἐξετα-

σθείσης καὶ διαγνωσθείσης ἐπεδόθη τῷ εἰρημένῳ μοναχῷ Ἰγνατίῳ ὑποσημανθὲν καὶ ταῖς ἡμετέραις ὑπογραφαῖς καὶ ἀπολυθὲν μηνὶ σεπτεμβρίῳ ἰνδ. ιδ' †.

† Ὁ Ἡρακλείας Ἰωάννης
ὁ Νικομηδείας Κύριλλος
ὁ Χαλκηδόνος Θεόδουλος
ὁ Γαγγρῶν Κωνσταντῖνος
ὁ Προύσης Νικόλαος
ὁ Παλαιῶν Πατρῶν Μιχαήλ
ὁ Φιλίππων Καλλίνικος
ὁ Δυρραχίου Γρηγόριος
ὁ Μελενίκου Ἰωάννης
ὁ Διδυμοτείχου Θεόδουλος
ὁ Κίου Γρηγόριος
ὁ Λοπαδίου Ἰωαννίκιος
ὁ Μηδείας Νίφων.
ὁ Σάρδεων Γρηγόριος
ὁ Νικαίας Πέτρος
ὁ Θεσσαλονίκης Ἱερεμίας
ὁ Ποντοηρακλείας Ἰωάννης
ὁ Περγάμου Ἀρσένιος
ὁ Σερρῶν Νικόλαος
ὁ Χριστουπόλεως Ἱερόθεος
ὁ Μιτυλήνης Διονύσιος
ὁ Μηθύμνης Μαλαχίας
ὁ Βιζύης Νικόλαος
ὁ Γαρέλλης Παῦλος
ὁ Νυμφαίου Θεόδουλος.

VI. Sine anno.

Synodus dirimit controversiam matrimonialem.

Ἀνέφερεν ἐπὶ τῆς ἡμῶν μετριότητος προκαθημένης συνοδικῶς ὁ ἀπὸ τῶν παιδοπούλων τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος Κωνσταντῖνος ὁ Παλάτης, ὡς ἡ ἐκ τῆς αὐτῆς αὐτῷ χώρας οὖσα τοῦ Μελενίκου .... ἡ Ἀλαμανίνα καλουμένη συνεφώνησε λαβεῖν δι' ἐγκολπίων εἰς γαμβρὸν ἐπὶ τῇ ἰδίᾳ θυγατρὶ τὸν Ταρχανειώτην Γεώργιον, ὃς δὴ καὶ ἰδὼν τὴν κόρην οὐκ ὀλίγα βεβλαμμένην μέρη τοῦ σώματος περί τε τὸ πρόσωπον δηλαδὴ καὶ θάτερον τῶν ὀφθαλμῶν, ἔτι δὲ καὶ τὰς χεῖρας, διέλυσεν αὐτίκα τοὺς τοιούτους δεσμούς· ἣν δὲ κατέλιπεν ἐκεῖνος, ἀπάτῃ μετ' ἐκεῖνον χρησαμένη συνέδησε τούτῳ δι' ἀρραβώνων νυκτὸς, μὴ συμπραξάντων ἐπὶ τούτῳ μηδὲ συναινεσάντων τῶν γονέων αὐτοῦ, μηδὲ γνόντων, δι' ἣν αἰτίαν ὁ ῥηθεὶς Ταρχανειώτης τὴν μεθ' ἑαυτοῦ διέλυσε συμφωνίαν, ὡς ὕστερον ἐγνώσθη· εἶτα γνοὺς οὗτος τὴν ἀπάτην, ἀπέστερξεν αὐτίκα τὸ τοιοῦτον συνοικέσιον. καὶ πειρώμενος τέλεον ἀποφυγεῖν, ἐμπεσὼν δὲ καὶ εἰς μῖσος πρὸς τὴν κόρην καὶ μὴ δυνάμενος ὅλως συνοικῆσαι μετ' αὐτῆς, ἀπηλλοτριώθη καὶ ἐξέφυγε παντελῶς ἀπὸ τοῦ τοιούτου τόπου, καὶ ἀπῆλθεν εἰς μέρος

ἀλλότριον, μηδὲ εἰς γάμον ἢ εὐλόγησιν ἔννομον ἀνασχόμενος συνελθεῖν μετὰ τῆς γυναικὸς, ὥστε καὶ ἐπὶ τέσσαρσιν ἤδη χρόνοις φυγὰς ἦν τῶν οἰκείων καὶ τῶν ῥωμαϊκῶν ὁρίων. νῦν δὲ ἐπανελθὼν καὶ ἔτι ἀποστόργως ἔχων καὶ μίσει κατεχόμενος κατὰ τῆς γυναικὸς ἀδιαλλάκτῳ καὶ φόνον ἀπειλῶν καὶ πᾶν εἴ τι χείριστον κατὰ τῆς γυναικὸς δράσαι, εἰ ἀναγκασθῇ τὴν μετ' αὐτῆς συνοίκησιν, ᾐτήσατο διαγνώσεως τυχεῖν συνοδικῆς παρὰ τῆς ἡμῶν μετριότητος, προσθεὶς καὶ ὡς ἐπεβούλευσε τῇ ζωῇ τούτου διὰ μαγγανείας τε καὶ λοιπῆς κακουργίας ἡ πενθερὰ μετὰ τῆς αὐτοῦ γυναικὸς, ἐπεὶ μὴ ἔβλεπον αὐτὸν συντιθέμενον τῇ ἐπὶ τούτῳ γαμικῇ πράξει· ὅθεν καὶ διέγνω ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Μονεμβασίας, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Παλαιῶν Πατρῶν, τοῦ Σερρῶν, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Μελενίκου, τοῦ Μηθύμνης, τοῦ Διδυμοτείχου, τοῦ Κίου καὶ τοῦ Γαρέλλης, δεῖν εἶναι διὰ τὰς εἰρημένας αἰτίας τὸ τοιοῦτον συνοικέσιον διαστάσει λυθῆναι, τὸ μὲν διὰ τὸ μὴ συμπρᾶξαι τοὺς γονεῖς τοῦ εἰρημένου Παλάτου ἐπὶ τῷ τοιούτῳ συνοικεσίῳ, τὸ δὲ καὶ διὰ τὸ ἐπὶ τοσούτοις χρόνοις κρατῆσαν κατὰ τῆς γυναικὸς τοῦ ἀνδρὸς ἀκατάλλακτον μῖσος, καὶ ἔτι γε δι' ἣν, ὡς ὁ Παλάτης ἰσχυρίζετο, προφανῶς τὴν πενθερὰν ἐνεργῆσαι κακουργίαν διὰ μαγγανείας εἰς ἐπιβουλὴν τῆς ζωῆς αὐτοῦ, δι' ἣν καὶ φόνον ἀντηπείλει τῇ γυναικί. ἔσονται τοίνυν τὸ ἀπὸ τοῦδε διῃρημένοι οἱ ῥηθέντες, καὶ ἑκάτερος εἰς ἕτερον, καθὼς ἂν θελήσῃ, μεταβήσεται γάμον ἀκολύτως. εἴ γὰρ, καὶ μή τινος αἰτίας οὔσης τῇ γυναικὶ, ἱκανὸν ἂν ἦν μόνον πρὸς τὴν διάζευξιν κατὰ νόμους, ὅτι μὴ καὶ οἱ γονεῖς συνῄνεσαν τοῦ ἀνδρὸς, πολλῷ μᾶλλον ἂν καὶ χρονίου μίσους ὄντος καὶ τῶν ἄλλων αἰτιῶν, νομίμως ἁρμόσειε τὰ τῆς διαζεύξεως. ἐπεὶ δὲ ἀνηνέχθη τῇ ἡμῶν μετριότητι καὶ ὡς οὗτος δὴ ὁ Παλάτης, παρ' ὅσον τῇ πενθερικῇ αὐτοῦ οἰκίᾳ ἐνδιέτριψε, λαβὼν καί τινα τῶν καταγραφέντων αὐτῷ εἰς προῖκα πραγμάτων, ἐν τῇ ἀποφυγῇ αὐτοῦ συνεπιφερόμενος ἀνάλωσε, δεῖν ἔγνω καὶ περὶ τούτου ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ αὐτὴν ἱερᾶς συνόδου καὶ ἀπεφήνατο, ἱκανωθῆναι πρὸς τὸ μέρος τῆς γυναικὸς, ὅσον ἂν παρ' αὐτοῦ ἀφαιρεθὲν καὶ ἀναλωθὲν φανείη, καὶ ἀποδοθῆναι παρὰ τοῦ μέρους τοῦ εἰρημένου Παλάτου καὶ τῶν πατρόθεν ἀνηκόντων αὐτῷ πραγμάτων

κατὰ τὸ ἀνελλιπὲς, καθὰ καὶ ἐπὶ τούτῳ ἔγγραφον ἐποιήσαντο ὑπόσχεσιν οἱ παρατυχόντες ἐνταῦθα τῇ κρίσει ἀπὸ τῶν γνησίων τοῦ αὐτοῦ Παλάτου, ἐν ᾗ δὴ ὑποσχέσει παρ' αὐτῶν καθωμολόγηται καὶ ὑπέσχηται καὶ τὰ κατὰ νόμους τῇ γυναικὶ ἀνήκοντα ἐπὶ τῇ προικὶ ἀποδοθῆναι, καὶ ὀφείλουσιν, ὡς ὑπέσχηνται, καὶ ἀποδοθῆναι. ταῦτα μέντοι ὀφείλει πρᾶξαι, ὥστε καὶ εἰς πέρας ἐξενεχθῆναι, ὁ ἱερώτατος μητροπολίτης Μελενίκου, ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸς, ὡς καὶ ἀμφοτέρων τῶν μερῶν ὑπὸ τὴν ἐνορίαν αὐτοῦ ὄντων καὶ ὡς προειδὼς τὰ τῆς ὑποθέσεως καὶ συνδικάσας ἡμῖν καὶ συναποφηνάμενος. τούτου γὰρ χάριν ἐπιδέδοται τῷ διαληφθέντι Κωνσταντίνῳ τῷ Παλάτῃ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

VII. Sine anno.

Joannes XIII. episcopum Chii a clericis suis accusatum in ius vocat.

Θεοφιλέστατε ἐπίσκοπε Χίου. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. γραφὴ ἀπεστάλη παρὰ τῶν κληρικῶν τῆς κατὰ σὲ τοιαύτης ἁγιωτάτης ἐπισκοπῆς, αἰτιάματα διαλαμβάνουσα καθαπτόμενα τῆς θεοφιλείας σου καὶ συνοδικῆς δεόμενα ἐξετάσεώς τε καὶ διαγνώσεως. παρεγγυᾶται οὖν τῇ θεοφιλείᾳ σου ἡ μετριότης ἡμῶν καταλαβεῖν ἐνταῦθα ἐπὶ τῷ ἀπολογήσασθαι ταῦτα δὴ τὰ κινηθέντα κατ' αὐτῆς αἰτιάματα, ἕως εὔθετός ἐστι περὶ τὸν πλοῦν καὶ ἐπιτήδειος ὁ καιρός. εἰ γὰρ μὴ ἀπαντήσῃς, καὶ μόνοι οἱ τὰ τοιαῦτα αἰτιάματα κινοῦντες κληρικοὶ καταλάβωσιν, οὐκέτι γράμμα δέξῃ τῆς ἡμῶν μετριότητος ἕτερόν σε πρὸς τὰ ὧδε μετακαλούμενον, ἀλλὰ τὸ παρὸν ἔσται σοι καὶ ἀντὶ δευτέρου καὶ τρίτου μηνύματος, καὶ συνοδικὴ ἀπόφασις ἐξενεχθήσεται ἐπὶ σοὶ ὡς φυγοδικοῦντι κατὰ τὴν τῶν ἱερῶν κανόνων ἀκριβῆ παρατήρησιν. διὰ τοῦτο δὴ καὶ καταλαβέτω ἡ σὴ θεοφίλεια προσλαβοῦσα μεθ' ἑαυτῆς καὶ τὸν χαρτοφύλακα τῆς σῆς ἁγιωτάτης ἐκκλησίας, ὡσὰν καὶ οὗτος ἀπολογήσηται, ἅπερ κατ' αὐτοῦ παρὰ τῶν τοιούτων κληρικῶν ἐκινήθησαν αἰτιάματα. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς θεοφιλείας σου †.

VIII. Sine anno.

Joannes XIII. clericos insulae Chii in synodum vocat, ut accusationem contra episcopum comparatam probent.

† Εὐλαβέστατοι κληρικοὶ τῆς κατὰ τὴν νῆσον Χῖον ἁγιωτάτης ἐπισκοπῆς, σύ τε οἰκονόμε, σὺ πρωτέκδικε, σὺ πρεσβύτερε Νικήτα βεστάρχα, καὶ σὺ Λέον Καλόθετε, ἀγαπητὰ κατὰ κύριον τέκνα τῆς ἡμῶν μετριότητος. ἡ γραφὴ ὑμῶν διεκομίσθη καὶ ἀνεγνώσθη τῇ ἡμῶν μετριότητι, ἥτις καὶ διελάμβανεν αἰτιάματα κατὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς καθ' ὑμᾶς τοιαύτης ἁγιωτάτης ἐκκλησίας καὶ τοῦ χαρτοφύλακος τοῦ Πετζιμέντου, δεόμενα συνοδικῆς ἐξετάσεώς τε καὶ διαγνώσεως. ἔγραψεν οὖν ἡ μετριότης ἡμῶν, ἵνα καταλάβῃ ἐνταῦθα ὁ τοιοῦτος ὑμῶν ἀρχιερεὺς μετὰ τοῦ αὐτοῦ χαρτοφύλακος, καὶ ἀπολογήσωνται ἀμφότεροι, περὶ ὧν ἐγκαλοῦνται. παρακελεύεται δὲ καταλαβεῖν καὶ ὑμᾶς ἐπὶ τῷ ἀπελέγξαι καὶ παραστῆσαι τούτοις τὰ τοιαῦτα ἐγκλήματα· εἰ δ' ἴσως οὐ βούλονται ἀπαντῆσαι, καταλάβετε ὑμεῖς, ἵνα συνοδικὴ ἀπόφασις ἐπὶ τούτοις ὡς φυγοδικοῦσιν ἐξενεχθῇ κατὰ τὴν τῶν ἱερῶν κανόνων ἀκριβῆ παρατήρησιν. ἡ χάρις τοῦ θεοῦ εἴη μεθ' ὑμῶν †.

IX. Sine anno.

Synodus metropolitae Philipporum mandat, ut simul cum archiepiscopo Dramae causam quandam diiudicet.

† Ἱερώτατε μητροπολῖτα Φιλίππων, ὑπέρτιμε, ἀγαπητὲ κατὰ κύριον ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. ἡ θεία τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μεγάλη παπίαινα, γνησιωτάτη κατὰ πνεῦμα θυγάτηρ τῆς ἡμῶν μετριότητος, εὐγενεστάτη κυρὰ Εὐδοκία ἡ Νεστογγόνισσα ἀνήνεγκε συνοδικῶς τῇ ἡμῶν μετριότητι, ὡς ἀνεδέξατο καὶ εἰσεποιήσατό τινα κόρην ἑπταετῆ, καὶ ἐπιμελῶς ἀνέτρεφε ταύτην ἐπὶ χρόνοις ἱκανοῖς, καὶ οἷα γνησίαν παῖδα σχεδὸν ἔστεργεν, ὡς καὶ οὐκ ὀλίγα πράγματα καταπιστεῦσαι αὐτῇ, τὰ μὲν εἰς παρακαταθήκην, τὰ δὲ ἵνα ὑπὲρ προικὸς αὐτῇ δώσει, ἡνίκα συζεύξῃ ταύτην κατὰ νόμους ἀνδρί· ἡ δὲ, ὥσπερ ἐπιλαθομένη τῶν πρὸς αὐτὴν ἐκείνης εὐεργεσιῶν, τοῖς ἐναντίοις αὐτὴν ἠμείψατο, καὶ ἀπαυθαδιάσασα οὐ μόνον διέβαλε ταύτην καὶ περιέσυρε καὶ ἐπιβούλως ἐξουθένησεν, ἀλλὰ καὶ

ἄνδρα παρὰ γνώμην αὐτῆς ἠγάγετο, καὶ τὰ τοιαῦτα πράγματα ἔτι κατέχει παρ' ἑαυτῇ. ὧν χάριν καὶ ἐδεήθη ἡ αὕτη μεγάλη παπίαινα τῆς ἡμῶν μετριότητος ὥστε ἐπανασωθῆναι πάλιν ταῦτα αὐτῇ, δι' ἣν ἐπεδείξατο ἡ εἰρημένη ἀχαριστίαν καὶ ἐπίβουλον γνώμην πρὸς αὐτήν. διέγνω τοίνυν ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Θεσσαλονίκης, τοῦ Μονεμβασίας, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Παλαιῶν Πατρῶν, τοῦ Σερρῶν, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Μυτιλήνης, τοῦ Μηθύμνης, τοῦ Διδυμοτείχου, τοῦ Βιζύης, τοῦ Κίου, τοῦ Γαρέλλης καὶ τοῦ Μηδείας, δικαίαν εἶναι τὴν αἴτησιν τῆς τοιαύτης μεγάλης παπιαίνης, ὅθεν καὶ ἐδικαίωσε, προηγουμένως μὲν λαβεῖν τὴν εἰρημένην μεγάλην παπίαιναν ἐκ τῆς τοιαύτης γυναικὸς, ὅσα παρακαταθήκης καὶ φυλακῆς χάριν ταύτῃ κατεπιστεύσατο, εἶτα ἐξέτασιν γενέσθαι, εἰ κακῶς οὕτω διετέθη πρὸς αὐτὴν ἐκείνη, καὶ ταῦτα δὴ τὰ ἄτιμα καὶ ἀχάριστα ἐτόλμησεν ἐπ' αὐτῇ ἀντὶ τῆς ὀφειλομένης εὐγνωμοσύνης, καὶ τούτων ἀληθῶς ἔχειν ἀναφανέντων ἀπολαβεῖν αὐτὴν καὶ ὅσα εἰς προῖκα δοῦναι πρὸς ἐκείνην προέθετο, ἐπεὶ παρὰ γνώμην αὐτῆς, μετὰ τοῦ δεῖξαι καὶ τὴν τοσαύτην ἀγνωμοσύνην, ἔλαβε τὸν ἄνδρα, ὃν αὐτοβούλως ἔσχε. παραδηλοῖ σου τοίνυν τῇ ἱερότητι ἡ μετριότης ἡμῶν προσλαβέσθαι καὶ τὸν ἱερώτατον ἀρχιεπίσκοπον Δράμας, ἀγαπητὸν ἡμῶν κατὰ κύριον ἀδελφὸν καὶ συλλειτουργὸν, καὶ ἅμα τούτῳ τὴν ὑπόθεσιν ἐξετάσαι, καὶ ἐχούσης ταύτης, ὡς ἀνηνέχθη, πρᾶξαι καὶ οἰκονομῆσαι, ὥστε ἀπολαβεῖν ταύτην δὴ τὴν μεγάλην παπίαιναν καὶ ὅσα προικὸς χάριν δοῦναι πρὸς ἐκείνην ὑπέσχετο· καταδικάζεται γὰρ ὑπὸ τῶν νόμων ἡ τοιαύτη γυνὴ ἐκπεσεῖν τῆς τοιαύτης χάριτος καὶ δόσεως, τὸ μὲν ὡς ἐπὶ τοσοῦτον ἐξουθενήσασα τὴν ἑαυτῆς εὐεργέτιν, τὸ δὲ καὶ ὡς παρ' εἴδησιν αὐτῆς ἀγαγομένη τὸν ἄνδρα. γενέσθω τοίνυν, καθὼς ἡ μετριότης ἡμῶν παραδηλοῖ σου τῇ ἱερότητι διὰ τοῦ παρόντος γράμματος, ὃ καὶ ἀντιστραφήτω τῷ μέρει τῆς διαληφθείσης θείας τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μεγάλης παπιαίνης δι' ἀσφάλειαν. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος †.

X. Sine anno.

Synodus metropolitae Antiquarum Patrarum confert metropolim Lacedaemoniorum per adiunctionem.

† Οὐκ ἀνεγκλήτους κρινεῖ τις τῶν ἁπάντων ἡμᾶς, μὴ πάντα τρόπον προθυμουμένους προμηθείας ἀξιοῦν τούς τε ἄλλους ἐν χρείᾳ ὄντας τῆς δυνατῆς, καὶ μάλιστά γε ὅσοι τῆς χρείας οὐκ ἔξω μένουσιν ἐκ τῶν συμπληρούντων τὴν καθ' ἡμᾶς ἱερὰν σύνοδον, ἀγαπητῶν ἡμῶν κατὰ κύριον ἀδελφῶν καὶ συλλειτουργῶν. εἰ γὰρ αὐτοὶ μὲν πάσῃ κατὰ χρέος σπουδῇ τῶν πνευματικῶν ἀγώνων καὶ πόνων, ἐφ' οἷς ἂν δέοι, ἡμῖν συναντιλήφονται, ἡμεῖς δὲ μὴ κατὰ τὸ εἰκὸς ἅπαν αὐτῶν προνοησόμεθα, πάντως ἂν μικρὰ φροντίζειν δόξαι μὲν τοῦ καλοῦ, τὰ προσήκοντα τούτοις μὴ ἀντεισφέροντες. δηλοῖ δὲ ὁ λόγος, ὅτι δὴ τὴν αὐτὴν μὲν τοῖς λοιποῖς κατ' αὐτὸν ἀρχιερεῦσι σπουδὴν συμβαλλόμενός ἐστιν ἐπὶ τοῖς προκειμένοις ἡμῖν ἱεροῖς ἔργοις καὶ πράγμασι πρὸς τοῖς ἄλλοις τῶν ἀδελφῶν καὶ ὁ ἱερώτατος μητροπολίτης Παλαιῶν Πατρῶν καὶ ὑπέρτιμος, οὐκ εὐπόρως δὲ ὅμως τῶν πρὸς αὐτάρκειαν ἔχων εὑρηται, ἔνθεν τοι καὶ ἀναγκαῖον ἡ μετριότης ἡμῶν εἶναι καὶ προσῆκον ἐνόμισε, φροντίσαι τούτου καὶ προμηθεύσασθαι. καί γε κοινῇ ψήφῳ τε καὶ γνώμῃ τῆς ὁμηγύρεως τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Θεσσαλονίκης, τοῦ Μονεμβασίας, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Σερρῶν, τοῦ Ἀμάστριδος, τοῦ Φιλίππων, τοῦ Χριστουπόλεως, τοῦ Μιτυλήνης, τοῦ Μηθύμνης, τοῦ Δυρραχίου, τοῦ Διδυμοτείχου, τοῦ Βιζύης, τοῦ Κίου, τοῦ Λοπαδίου, τοῦ Νυμφαίου καὶ τοῦ Μηδείας, διέγνω καὶ κατεπράξατο μετ' αὐτῶν, κατὰ λόγον ἐπιδόσεως παρασχεῖν τούτῳ δὴ τῷ ἱερωτάτῳ ἀρχιερεῖ τὴν ἁγιωτάτην τῶν Λακεδαιμονίων μητρόπολιν, τὸ μέν τι ὡς σχολάζουσαν, τὸ δέ τι καὶ οὐ μακρὰν ἀφισταμένην τῆς κατ' αὐτὸν τοιαύτης ἁγιωτάτης ἐκκλησίας, ἵν' οὕτω καὶ ῥᾳδίως ἔχοι τὸν ἐν ἀμφοτέραις χριστώνυμον τοῦ κυρίου λαὸν διιθύνειν καὶ πρὸς τὴν σωτηρίαν χειραγωγεῖν. καθέξει τοίνυν ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης Παλαιῶν Πατρῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀχαΐας, ταύτην δὴ τὴν ἁγιωτάτην ἐκκλησίαν καὶ τὰ ἐν αὐτῇ πάντα, καὶ ἐπ' ἀδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ καὶ διακόνους προβιβάζειν καὶ πρε-

σβυτέρους, ἔτι δὲ καὶ ἡγουμένους ἐγκαθιστάναι, καὶ ἁπλῶς τῶν ἐκείνης πάντων μεθέξει, ὅσα γε καὶ γνήσιος ἀρχιερεὺς, ἄνευ μέντοι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὅθεν ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς ὄντως ἀγιωτάτης ἐκκλησίας τῶν Λακεδαιμονίων καὶ οἱ ὑπὸ τὴν ἐνορίαν ταύτης τελοῦντες καὶ πνευματικὴν ἐπικράτειαν ἱερωμένοι, μονάζοντες καὶ τὸ λοιπὸν χριστώνυμον πλήρωμα ὑποδέξασθαι τοῦτον, ὡς προσήκει, καὶ διὰ πάσης ἄγειν αἰδοῦς καὶ τιμῆς, καί γε τὴν καθήκουσαν ὑποταγὴν τούτῳ καὶ εὐπείθειαν ἀπονέμειν, ὡς ἀρχιερεῖ αὐτῶν καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ, ἐφ' οἷς ἂν ὑπ' αὐτοῦ νουθετοῖντο καὶ ἐπιτάττοιντο πρὸς σωτηρίαν συντείνουσι τῶν ψυχῶν αὐτῶν. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος, τῇ ὑπογραφῇ τῆς ἡμῶν μετριότητος πιστωθεῖσα, εἰς ἀσφάλειαν ἐπιδέδοται †.

XI. Sine anno.

Gregorius, patriarcha Alexandriae, profitetur orthodoxam fidem.

† Ἐπεὶ κρίμασιν οἷς οἶδε θεὸς εἰς τὸ μέγα τῆς πατριαρχείας ἀνήχθην ἀξίωμα, καὶ πατριάρχης Ἀλεξανδρείας τετίμημαι, τὸν τῆς ἡμῶν ὁμολογίας ἐκτίθημι λίβελλον, καὶ πρὸς τὸν κράτιστον ἐκπέμπω τοῦτον καὶ ἅγιόν μου αὐτοκράτορα, ὃν καὶ προστάξαι παρακαλῶ τῷ ἁγιωτάτῳ ἐμφανισθῆναι καὶ οἰκουμενικῷ πατριάρχῃ καὶ τῇ περὶ αὐτὸν θείᾳ καὶ ἱερᾷ συνόδῳ· οὕτω γὰρ ἂν καὶ εἰς τοὺς ἑτέρους πάντας τὰ τῆς ἐμῆς ἀληθοῦς ὁμολογίας καὶ ἀσφαλοῦς διαβήσεται.

† Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς

βασιλείας οὐκ ἔσται τέλος, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιοῦν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν, προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. ἀμήν. πρὸς τούτοις ὁμολογῶ θεὸν τὸν πατέρα, θεὸν τὸν υἱόν, θεὸν τὸ πνεῦμα τὸ ἅγιον, ἐν τρισὶ τελείαις ὑποστάσεσι ἕνα θεὸν παντέλειον, ἐν μιᾷ οὐσίᾳ καὶ θεότητι τρεῖς ὑποστάσεις ὑφεστώσας καθ' ἑαυτὰς, εἰς ἃς καὶ βεβάπτισμαι καὶ τετελείωμαι καὶ πνευματικῶς ἀναγεγέννημαι, τὸν δὲ υἱὸν τοῦ θεοῦ τὸν προαιώνιον λόγον, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν καὶ φιλανθρωπίαν ἄμετρον καὶ ἀνείκαστον εὐδοκίᾳ πατρὸς ἀϊδίου καὶ συνεργίᾳ τοῦ παναγίου πνεύματος ἐπὶ σωτηρίᾳ κατελθόντα τοῦ γένους ἡμῶν καὶ σάρκα λαβόντα δίχα θελήματος ἀνδρὸς καὶ σπορᾶς ἐκ τῶν πανάγνων καὶ ἁγίων αἱμάτων τῆς παναμώμου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ διπλοῦν ἐκ γαστρὸς αὐτῆς ὁμολογῶ προελθεῖν, θεὸν ὁμοῦ τε καὶ ἄνθρωπον, τέλειον ὅλον θεότητι, οὐ γὰρ ἐτράπη τοῦθ' ὅπερ καὶ ἦν, τέλειον τὸν αὐτὸν ἀνθρωπότητι, οὐ γὰρ ἐτράπη τοῦθ' ὅπερ προσείληφεν, τὸν αὐτὸν ἕνα τῇ ὑποστάσει ἐν δύο φύσεσι, γνωριζόμενον ἐνεργείαις τε καὶ θελήσεσιν, ἐν αἷς ἔδρασε καταλλήλως τά τε θεῖα καὶ τὰ ἀνθρώπινα. ἔτι γε μὴν καὶ τὸ ἐκ τοῦ πατρὸς ἀρρήτως ἐκπορευόμενον πνεῦμα πανάγιον καὶ ἐν υἱῷ ὁμολογῶ ἀναπαύεσθαι καὶ πνεῦμα τούτου καὶ εἶναι καὶ λέγεσθαι, ὡς αὐτῷ τε καὶ τῷ πατρὶ συμφυὲς καὶ ὁμότιμον. ταῖς δ' ἁγίαις καὶ οἰκουμενικαῖς ἑπτὰ συνόδοις ἑπόμενος τὰς θείας καὶ ἱερὰς εἰκόνας σχετικῶς προσκυνῶ καὶ ἀσπάζομαι, τὴν τοῦ κυρίου δηλονότι καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς αὐτοῦ τε παναγνου μητρὸς καὶ θεοτόκου, τῶν ἀποστόλων, προφητῶν καὶ μαρτύρων καὶ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων αὐτῷ, ἐξαιτούμενος ταῖς πρεσβείαις αὐτῶν ἵλεων εἶναί μοι τὸ θεῖον καὶ κατευθῦνον ἐν ἅπασι, προσπτύσσομαι πίστει καὶ φόβῳ ἀσπάζομαι καὶ τὰ ἅγια λείψανα τούτων, ὡς χάριτος θείας ἀνάπλεα. πᾶσαν βίβλον θεόπνευστον τῆς παλαιᾶς διαθήκης καὶ τῆς καινῆς ἀποδέχομαι καὶ ἀσπάζομαι, ἔτι γε μὴν καὶ τοὺς βίους καὶ τὰ συγγράμματα τῶν θεσπεσίων πατέρων καὶ διδασκάλων καὶ ἀσκητῶν. πρὸς δὲ τῷ θείῳ βαπτίσματι καὶ τὸ μο-

ναχικὸν σχῆμα ὑψηλόν τε εἶναι ὁμολογῶ καὶ ἐπῃρμένον καὶ ὄντως ἀγγελικὸν καὶ πάσης ἁμαρτίας καθαρτικὸν διὰ τῆς τελείας ἐπιβιώσεως. καὶ ἵνα συντόμως εἴπω, οἱ ἀπόστολοι, ὡς ἐδίδαξαν, οἱ μάρτυρες, ὡς ὡμολόγησαν, οἱ προφῆται, ὡς προεκήρυξαν, οἱ διδάσκαλοι, ὡς ἐδογμάτισαν, ἡ ὀρθόδοξος πίστις, ὡς ἐκρατύνθη, ἡ ἁγία καὶ ζωαρχικὴ τριὰς, ὡς ἐβράβευσεν, οὕτως πιστεύω, οὕτως ὁμολογῶ, οὕτως κηρύττω, δεχόμενος καὶ στέργων καὶ ἀσπαζόμενος ἐκ μέσης ψυχῆς τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, ἔτι δὲ καὶ τὰς κατὰ τόπους ὀρθοδόξως γεγεννημένας, ἀλλὰ μὴν καὶ ὅσα οἱ ἐν ταύταις ἅγιοι πατέρες ἡμῶν καὶ διδάσκαλοι, θείῳ κινούμενοι πνεύματι, ἐδέξαντό τε καὶ ἔστερξαν, ἀποβαλλόμενος καὶ ὑποβάλλων τῷ ἀναθέματι καὶ πᾶν, ὅσον ἀπεβάλοντο καὶ ἀνεθεμάτισαν, πρὸς δὲ καὶ πᾶσαν αἱρετικὴν κοινωνίαν καὶ πλάνην, αὐτοῖς ἑπόμενος τοῖς ἁγίοις καὶ θεοφόροις πατράσιν ἡμῶν. ταύτῃ τῇ ὁμολογίᾳ συνέζησα, ταύτῃ καὶ συζήσω τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι, μετ' αὐτῆς εὖ οἶδα καὶ ἀπελεύσομαι, τῷ ἀδεκάστῳ καὶ θείῳ βήματι ἐκείνῳ παραστησόμενος, δι' αὐτῆς καὶ τῶν αἰωνίων ἐλπίζω τυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἐπιτυχεῖν πρεσβείαις τῆς ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν θεοειδῶν ἀγγέλων καὶ πάντων τῶν ἁγίων. ἀμήν. †.

† Εἶχεν ἡ ὑπογραφή· Γρηγόριος ἐλέῳ θεοῦ πάπας καὶ πατριάρχης Ἀλεξανδρείας, Αἰγύπτου, Λιβύης, Πενταπόλεως καὶ πάσης Αἰθιοπίας †.

XII. Sine anno.

Joannes XIII. respondet ad professionem fidei Gregorii, patriarchae Alexandriae, invitans eum, ut Cpolim veniat.

† Ἁγιώτατε δέσποτα, πάπα καὶ πατριάρχα Ἀλεξανδρείας, Πενταπόλεως, Αἰγύπτου, Λιβύης καὶ πάσης Αἰθιοπίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ. ὡς καλὸν τὸ ἔθος καὶ ὁ νόμος μακάριος ὁ ταῖς καθ' ἡμᾶς καὶ πρώταις τῶν ἐκκλησιῶν τοῦ θεοῦ ἄνωθεν ἐς δεῦρο κρατήσας καὶ τοῖς τε πρὸ ἡμῶν καὶ ἔτι τοῖς ἄνω ἔργῳ τε καὶ χρόνῳ βεβαιωθεὶς καὶ ἐς ἡμᾶς ἐκεῖθεν παραπεμφθείς· ἥ τε γὰρ παλαιότης τοῦ νόμου καὶ τὸ διὰ τοσούτου σεμνὸν τοῦ ἔθους καὶ ἐνεργὸν τὸ πολυωφελὲς αὐτοῦ ταῖς ἐκκλησίαις τοῦ θεοῦ δείκνυσι καὶ παρίστησιν, ἥ τε παρακολουθοῦσα καὶ ἐμφανῶς παρισταμένη τοῦ

πράγματος ὠφέλεια ἐπὶ πολὺ τοῦ χρόνου καὶ τὸ κράτος αὐτῷ συνέστησεν, ὥστε ἑκατέρωθεν ἡμῖν τοῦτο καὶ τηρητέον καὶ σπουδαστέον καὶ ἐπὶ τῶν ἔργων δείκνυσθαι ἄξιον. τίς δὴ οὗτος ἡμῖν ὁ νόμος, καὶ ὁποῖον ἄρα τὸ τοῖς γράμμασι δηλούμενον ἔθος, καὶ ὅθεν τὴν ἀρχὴν λαβὸν διὰ πολλῶν τῶν μέσων εἰς ἡμᾶς κάτεισιν; οὐδὲν ἕτερον, ἀγιώτατε δέσποτα, οὐδὲ πάλαι μὲν κείμενον, νῦν δὲ παρ' ἡμῶν, οἷα δὴ τοὺς ἄλλους λανθάνον, εἰς τὸ μέσον προενεχθὲν καὶ φανέν, ἀλλ' αὐτὸ δὴ τοῦτο, ὃ καλῶς ἐπισταμένη καὶ ἡ σὴ ἁγιότης πρό τινος ἤδη καιροῦ πρὸς ἡμᾶς κατεπράξατο καὶ ἐνήργησεν. ἔφθασε γὰρ πρὸς τὴν ἡμῶν πάντων ἀδελφότητα τὸν ἑαυτῆς ἐξαποστείλασα λίβελλον καὶ τρανώσασα δι' αὐτοῦ καὶ εἰς προὔπτον ἡμῖν καὶ δι' ἡμῶν τοῖς πᾶσι προθεῖσα τὸ καθαρὸν αὐτῆς θεοῦ χάριτι καὶ ἀκίβδηλον καὶ πάσης ὀρθοδοξίας ἐχόμενον περὶ θεοῦ φρόνημα, ὃν δὴ λίβελλον καὶ ἀναγνόντες καὶ μετὰ τῆς πρεπούσης ἀδελφικῆς καὶ πνευματικῆς δεξάμενοι διαθέσεως καὶ τὰ ἐν αὐτῷ καταμαθόντες εὐσεβῶς καὶ θεαρέστως ἔχοντα καὶ ὀρθοδόξως τὰ τῆς σῆς ὁμολογίας ἀνακηρύττοντα, θεῷ τε τὴν χάριν καὶ τὴν εὐχαριστίαν ἀποδεδώκαμεν, τῷ τὴν αὐτοῦ ἐκκλησίαν εἰς ἓν οἰκοδομοῦντι καὶ συνάγοντι τῆς πίστεως φρόνημα καὶ καταργοῦντι πάσας τὰς τοῦ πονηροῦ μηχανὰς καὶ κατατομάς, καὶ τῇ ἁγιότητί σου τὴν ὀφειλομένην ἀδελφικὴν καὶ ἱεραρχικὴν κοινωνίαν ἀπεπληρώσαμεν, τὸ μνημόσυνον αὐτῆς κατὰ τὸ ἐκκλησιαστικὸν ἔθος ἐν ταῖς καθ' ἡμᾶς ἱεροτελεστίαις ἀδελφικῶς δεξάμενοι καὶ ἀνακηρύττεσθαι μετὰ τῆς λοιπῆς ἡμῶν πατριαρχικῆς ἀδελφότητος ἀποτάξαντες. ἦν οὖν ἡμῖν κατὰ σκοπόν, εὐθὺς ἅμα τῷ τὰ γράμματα τῆς σῆς δέξασθαι ἁγιότητος καὶ ἡμᾶς ἀντεπιθεῖναι τὰ ἴσα καὶ, ὅπως ἔσχομεν πρός τε τὰ αὐτῆς γράμματα καὶ τὸν λίβελλον, παραστῆσαι καὶ διὰ γραμμάτων δηλῶσαι· τοῦ καιροῦ δὲ μὴ παρασχόντος τὸ εὔθετον, νῦν, ὅτε ἔξεστι, καὶ γράφομεν καὶ δηλοποιοῦμεν πρὸς τὴν σὴν ἁγιότητα, καὶ παριστῶμεν καὶ αὐτοὶ τὰ τοῦ ἡμετέρου φρονήματος, ὡς ὁμογνωμονοῦμεν θεοῦ χάριτι καὶ τῷ λιβέλλῳ κατὰ πάντα ἀρεσκόμεθα, ἐπειδὴ τῆς ὀρθοτάτης ἦν ἐχόμενος διανοίας τῶν τοῖς πατράσι καὶ ἡμῖν πρεσβευομένων δογμάτων. εἴη τοίνυν εὐλογητὸς ὁ θεὸς καὶ σωτὴρ ἡμῶν, ὁ φιλάνθρωπος κύριος, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος εἰς ταύτην τὴν χάριν τῆς ἀδελφικῆς ὁμονοίας καταστήσας ἡμᾶς· χαίρομεν δὲ καὶ ἐπευφραινόμεθα τῇ ἀδελφικῇ σου συμπνοίᾳ καὶ τῷ ταὐτῷ

τοῦ φρονήματος, ἁγιώτατε δέσποτα, ὥστε καὶ ποθοῦμεν ἐντεῦθεν καὶ δι' ἐφέσεως πλείστης ἔχομεν, ὥσπερ τῷ πνεύματι, οὕτω δὴ καὶ τῇ σωματικῇ καὶ τοπικῇ παρουσίᾳ ἀλλήλοις συναφθῆναι καὶ εἰς ἓν γενέσθαι καὶ τῷ θεῷ κοινὴν τὴν παρ' ἡμῶν ὀφειλομένην λειτουργίαν καὶ μυσταγωγίαν τελέσαι. οὐ μόνον δὲ τοῦτο ἡμῖν διὰ σπουδῆς καὶ πόθου κατὰ τὸ προσῆκον γίνεται, ἀλλὰ πολλῷ πλέον καὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, ὁ τῶν καλῶν ἁπάντων διάπυρος ἐραστής, ὁ τῶν ἐκκλησιῶν τοῦ θεοῦ καὶ πρόμαχος καὶ προνοητὴς καὶ ζηλωτὴς καὶ σπουδαστὴς ἀκατάπαυστος, ἠδόκησεν ἤδη μετὰ τῶν ἄλλων καὶ τοῦτο τῇ ἡμῶν ἀδελφότητι καταπράξασθαι, ὥστε τὴν τῆς ἁγιότητός σου εἰς τὰ ἐνταῦθα ἐπιδημίαν καὶ ἐκζητῆσαι καὶ εἰς πέρας ἐλθεῖν ποιῆσαι θεοῦ χάριτι, καὶ τοίνυν βασιλικὰ μετὰ τῶν ἐρχομένων πρέσβεων ἐπέμφθησαν ἤδη γράμματα καὶ σεπτὰ προστάγματα, τὴν τῆς σῆς ἁγιότητος ἄφιξιν οἰκονομοῦντα. καὶ αὐτὴν δὲ ἐκκαλούμεθα τὴν ἁγιότητά σου, ὅπερ εἰδότες καὶ ἡμεῖς, ὡς ἀσμένως καὶ αὐτὴ ἡ σὴ ἁγιότης καὶ θελήσει καὶ ἐπισπεύσει, ὅμως τῷ τοῦ πράγματος κινούμενοι πόθῳ καὶ διὰ τῶν παρόντων γραμμάτων ἐπεγείρομεν τὴν περὶ τὸ καλὸν τοῦτο σπουδὴν καὶ προθυμίαν τῆς σῆς ἁγιότητος, καὶ ἀξιοῦμεν ἀόκνως καὶ προθύμως, εἰς ὅσον ἔνεστι, τῆς πρὸς τὰ ὧδε φερούσης ἅψασθαι· ἔσται γὰρ τοῦτο πλείστης μὲν καὶ τῆς κατὰ θεὸν ἡμῖν εὐφροσύνης αἴτιον, πλείστης δὲ μᾶλλον καὶ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι ἀποδοχῆς ἄξιον, τὸ δὲ μεῖζον, ὅτι καὶ εἰς δόξαν ἔσται τοῦτο τῶν εὐσεβῶν καὶ τοῦ γένους τῶν χριστιανῶν, ὅταν γὰρ αἱ τοῦ θεοῦ ἐκκλησίαι ὁμοφρόνως ἔχωσι καὶ συμβατικῶς, καὶ οἱ τὰ πρῶτα φέροντες τῆς αὐτῶν ποιμαντικῆς ἐξουσίας παρὰ θεοῦ ὁμοφρόνως ἔχωσιν καὶ τὰ πάντα κοινωνικῶς, τότε καὶ ὁ πολέμιος τοῦ γένους τῶν χριστιανῶν, ὁ ἀντικείμενος σατὰν, βάλλεται καὶ τιτρώσκεται καὶ τῶν σκανδάλων ἀφίσταται καὶ ὑποχωρεῖ, ἐπιλάμπει δὲ τὸ τῆς εἰρήνης καὶ ὁμοφροσύνης καλὸν, καὶ τὸ χριστώνυμον ἅπαν πλήρωμα σκιρτᾷ καὶ ἀγάλλεται, καὶ ὡς ὑφ' ἑνὶ χορῷ κοινὴν ἀναπέμπει τὴν δοξολογίαν θεῷ, δι' ἧς καὶ ἡμεῖς, ὡς κορυφαῖοι καὶ ἀρχηγοὶ τοῦ τοσούτου καλοῦ καὶ ἀρχιποιμένες θεοῦ χάριτι μεγάλας καὶ τὰς ἀμοιβὰς παρ' αὐτοῦ ἐκδεχόμεθα, ὧν γένοιτο καὶ ἐπιτυχεῖν ἡμᾶς καὶ συνευφρανθῆναι πνευματικῶς, νῦν μὲν τῇ κατὰ σῶμα ταύτῃ ἐπιδημίᾳ καὶ ἑνοποιήσει τῆς σῆς ἁγιότητος τῶν μυστικῶν χαρίτων καὶ

ἅμα τῶν κατὰ θέαν καὶ ὁμιλίαν ἀλλήλοις συναπολαύσαντας, ἐσύστερον δὲ καὶ ἐν τοῖς ἀπεράντως διαιωνίζουσιν τῶν παρὰ τῆς μακαρίας καὶ ὁμουσίου καὶ ἀγαθοδώρου τριάδος ἐλλάμψεων ἀξιωθέντας, (εἰ μὲν μέγα τοῦτο καὶ ὑπὲρ ἡμᾶς, εἴη δὲ ὅμως τῇ ἐκεῖθεν φιλανθρωπίᾳ καὶ χάριτι) καὶ φωτοειδῶν ἐκεῖ καὶ ἀκηράτων τέρψεων συμμετασχόντας πᾶσιν τοῖς θεαρέστως τὴν τοῦ θεοῦ ποίμνην κατὰ τὸ αὐτοῦ βούλημα διιθύνασιν, ὧν τῇ εὐαγεῖ μερίδι καὶ ἡμᾶς ὁ πανάγαθος συνέταξε κύριος †.

XIII. Sine anno.

Joannes XIII. patriarchae Hierosolymorum nunciat se solium patriarchale ascendisse.

† Ἁγιώτατε δέσποτα, ἀρχιποιμὴν τῶν θείων Ἱεροσολύμων, πατριάρχα τῆς ἁγίας Σιών, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ. οὐκ ἀνήκοον ὑπολαμβάνομεν διαμεῖναι τὴν ἁγιότητά σου τῆς περὶ τῶν καθ' ἡμᾶς πραγμάτων ἀποκαταστάσεως, ἀλλ' ἐξ ἱκανοῦ ἀναμαθεῖν ἴσως, ὅπως τὰ καθ' ἡμᾶς προέβη εὐδοκίᾳ καὶ χάριτι τοῦ πανα-γάθου καὶ πανοικτίρμονος θεοῦ, καὶ ὡς αὐτοῦ νεύσει καὶ βουλήσει καὶ οἰκονομίᾳ τῆς ἀρρήτου σοφίας αὐτοῦ ἐπὶ τὸν πατριαρχικὸν τοῦτον ἀνήχθημεν θρόνον τῆς θεοδοξάστου καὶ βασιλίδος τῶν πόλεων. ὅπερ οὖν ἴσως συνέβη καὶ τῇ ἁγιότητί σου τοῦ μὴ γράψαι μέχρι νῦν πρὸς ἡμᾶς αἴτιον, τοῦτ' αὐτὸ καὶ ἡμῖν τοῦ μὴ γράμματα διαπέμψαι τῇ ἁγιότητί σου τὴν αἰτίαν προυξένησεν· ἦν δὲ, ὡς ἔγωγε οἶμαι, καὶ ἀμφοτέροις τὸ κώλυμα ἡ τοῦ τόπου διάστασις ἐπὶ πλεῖστον οὕτω διαιροῦσα τὰ καθ' ἡμᾶς σωματικῶς καὶ μακρὰν ἀλλήλων ἀπείργουσα, εἰ καὶ τῷ πνεύματι θεοῦ χάριτι καὶ τῇ κατὰ θεὸν κοινωνίᾳ οὐδὲν ἀλλήλων οὐδ' ὁπωσοῦν διεστάμεθα. οὕτως ἡμεῖς τῇ περὶ τὴν σὴν ἁγιότητα πληροφορίᾳ καὶ πρὶν γράψαι καὶ πρὶν γράμματα δέξασθαι παρ' αὐτῆς συνδεδέμεθα πνευματικῶς πρὸς αὐτὴν, καὶ ἀδιαστάτως ἔχομεν, μηδὲν μήτε τοῦ βραχέος καιροῦ πληροφορεῖν μὴ δυναμένου βεβαίως, μήτε τοῦ τοπικοῦ διαστήματος ἡμᾶς ἐν τῇ κατὰ θεὸν ἀγάπῃ διαιροῦντος καὶ διαστέλλοντος. οὐ μικρὸν γὰρ ἦν ἐμπύρευμα, θειότατε δέσποτα, πρὸς τὸν θεῖον πόθον καὶ τὸν πνευματικὸν ἔρωτα δυνάμενον ἐκκαῦσαι ἡμᾶς ἡ πρὸ καιροῦ περὶ τὰ ἐνταῦθα γενομένη διατριβὴ τῆς σῆς ἁγιότητος, ἀλλ' ἐκ τῆς ὀλίγης συνουσίας καὶ ὁμιλίας καὶ θέας ἡμῶν ἐκείνης

εἰς πολλὴν ἡμᾶς ἐκίνησας τὴν κατὰ θεὸν πληροφορίαν, εἰς πολλὴν τὴν πνευματικὴν καὶ θερμὴν διάθεσιν. πάλαι τοίνυν ποθοῦντες καὶ γράμμασι τὰ περὶ ἡμῶν δηλῶσαι τῇ σῇ ἁγιότητι, οὐκ ἔφθημεν τοῦτο διαπράξασθαι, παρὰ τῆς εἰρημένης κωλυθέντες, νῦν δὲ πρέσβεων βασιλικῶν αὐτόθι καταλαμβανόντων καὶ ἡμεῖς τὸ εἰκὸς δι' αὐτῶν πληροῦμεν καὶ γράφομεν, ἅμα μὲν τὰ καθ' ἑαυτοὺς, ὡς ἔφημεν, δηλοῦντες, εἰδότες, ὡς ἡδέως καὶ ἡ σὴ ἁγιότης τὰ περὶ τῆς τῶν ὧδε ἀποκαταστάσεως ἀκούσεται. τί γὰρ ἂν καὶ εἴη τοῖς ὑψηλοῖς καὶ κατὰ σὲ τελείοις τοῦ θεοῦ ποιμέσι καὶ ἱεράρχαις ἄκουσμα χαριέστερον καὶ τερπνότερον, ἢ τὸ περὶ τῆς καταστάσεως καὶ εὐσταθείας τῶν ἐκκλησιῶν τοῦ θεοῦ ἀκούειν; ἅμα δὲ καὶ τὴν σὴν ἁγιότητα πρὸς τὰ ἴσα ἐκκαλούμενοι γράμματα, ἀναμανθάνειν σπεύδοντες, ὅπως θεοῦ χάριτι καὶ τὰ τῶν αὐτόθι ἐκκλησιῶν καὶ τὰ τῶν ὑπ' αὐτὰς χριστιανῶν ἔχουσι πράγματα, ὅταν γὰρ καλῶς ἔχοντα καὶ ἀνέσεως ἀπολαύοντα, ταῦτα ἡμῖν ἀγγέλλωνται καὶ γνωρίζωνται, μάρτυς ἡμῖν ὁ καρδιογνώστης γίνεται, ὅσης εὐθυμίας, ὅσης τέρψεως, ὅσης τῆς πνευματικῆς ἡδονῆς ὑπὲρ τούτου κατεμπιπλάμεθα. διὰ τοῦτο δὴ καὶ γράμμασι τὰ περὶ τούτων ἡμῖν δηλωθήτω παρὰ τῆς σῆς ἁγιότητος, εἰς πολλὴν γὰρ ἐσόμεθα τὴν κατὰ θεὸν ἡμῖν τέρψιν καὶ ἀποδοχὴν, καὶ εἰς τὸ ἑξῆς δὲ αὖθις διὰ παντὸς μὴ διαλιμπανέτω σου ἡ ἁγιότης τὰ αὐτὰ ποιοῦσα καὶ γράμμασι τὴν πρὸς ἡμᾶς διάθεσιν καὶ κοινωνίαν σημαίνουσα, μᾶλλον δὲ καὶ τοῖς πράγμασιν, ἐπεὶ καὶ ἡμεῖς οὐ μόνον τοῖς γράμμασιν, ἀλλ' ἔτι καὶ ἐν τοῖς μείζοσι καὶ ὄντως ὑψηλοῖς τῶν καθ' ἡμᾶς πραγμάτων, ἐν ταῖς ἀρρήτοις δηλαδὴ καὶ θείαις ἁγιστείαις καὶ μυσταγωγίαις τοῦ παναγεστάτου καὶ σεπτοτάτου βήματος καὶ ἀποδεδώκαμεν καὶ ἀποδιδόαμεν τὰ τῆς ἱερᾶς κοινωνίας κατὰ τὸ ἔθος τῇ σῇ ἁγιότητι, ὡς καὶ τῇ εὐσεβείᾳ καὶ πίστει καὶ τοῖς ἱεροῖς δόγμασιν ὁμογνωμονοῦντες καὶ ὁμοφρονοῦντες καὶ συνορθοδοξοῦντες ἐν πᾶσι τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι †.

XIV. (6824—1315) 2. decembris. ind. XIV.

Synodus quosdam ecclesiasticos condemnat.

† Ἐρρήθη ἐξ ἀκοῆς καὶ μέχρι τοῦ ἐκ θεοῦ βασιλέως ἔφθασεν, ὅτι δὴ τελουμένης τῆς παννύχου στάσεως ἐν τῇ ἑορτῇ τοῦ μεγάλου ἐν ἁγίοις πατρὸς ἡμῶν τοῦ Χρυσοστόμου συνῆν μετὰ τῶν ἡμφιεσμένων τὴν ἱερατικὴν στολὴν καί τις ἐκ τῆς σεβασμίας βασιλικῆς τοῦ Προδρό-

μου μονῆς τὸν τοῦ διακόνου βαθμὸν ἔχων καλούμενος Θαλάσσιος, ἔμπροσθεν καὶ ἔγγιστά τινος ἱερομονάχου ἱστάμενος, ὀνομαζομένου Ἰωαννικίου, οὗ δὴ καὶ τὸν νοῦν τοῖς ψαλλομένοις προσέχοντος ὁ τοιοῦτος ἱερομόναχος λίχνον ἐπιβαλὼν ὄμμα τῷ ὡραρίῳ τούτου ὑφείλετο μέρος τι ἐκεῖθεν ἀποτεμών, μετὰ μικρὸν δὲ ὁ διάκονος οὗτος, αἰσθόμενος τοῦ τολμήματος, πολὺ ἦν ὀχλῶν ἐκεῖνον καὶ πρὸς τὴν ἀπόδοσιν τοῦ κλαπέντος ἐκβιαζόμενος, τοῦ δὲ μηδὲν ὑφελέσθαι διατεινομένου, ὁ τοῦ Προικονήσου ἐκείνου ἀδελφὸς, ὁ ἱερομόναχος Λουκᾶς πλησίον εὑρισκόμενος καὶ τὸν ὄχλον ἀκηκοὼς, ἐπείπερ εἶχέ τινα πρὸ χρόνων εἰδὼς ἱερομόναχον ἁλόντα ἐπὶ κλοπῇ ἱερατικοῦ φελωνίου καὶ ἐπιτραχηλίου, τοῦτον ἐκεῖνον εἶναι ὑπώπτευσε, καὶ λέγων διετείνετο ζητηθῆναι τὸν τοιοῦτον, ὃς δὴ καὶ ζήτηθεὶς εὕρηται· οὐ μέντοι ἦν ἐκεῖνος ὁ τὸ ὡράριον ὑφελόμενος, ἀλλὰ τὸ μὲν ὡράριον εὕρηται παρὰ τῷ σύνεγγυς ἱσταμένῳ ἱερομοναχῷ, οὗτος δὲ εὑρήται κατασιγάζων καὶ παραινῶν, μὴ ἔκδηλα γενέσθαι τὰ τῆς κλοπῆς. τούτων δὲ γενομένων καὶ εἰς τὰς ἡμῶν ὕστερον παραγενομένων ἀκοὰς, ἔτι δὲ ζητηθέντων καὶ τῶν μοναχῶν κατὰ τάχος ὁρισμῷ καὶ προσταγῇ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος περὶ τὰ τοιαῦτα ζήλῳ θείῳ καὶ σπουδῇ μεγίστῃ χρωμένου πανταχῇ καὶ σφοδρῶς αὐτοῦ κατὰ τῶν τοιούτων φερομένου, συλλαμβάνονται, καὶ πρὸς τὸ καθ' ἡμᾶς ἱερὸν συνοδικὸν δικαστήριον ἄγονται. ἐξετάζει τοίνυν τὰ τοιαῦτα τούτων ἐγκλήματα ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, καὶ εὑροῦσα τούτους, τὸν μὲν ἐξελεγχθέντα ὑπὸ τοῦ αὐτοῦ διακόνου ὡς ἀποτεμόντα καὶ ἀφελόμενον τὸ κλαπὲν μέρος τοῦ ὡραρίου, τὸν δὲ ἔκ τε τοῦ τοιούτου ἱερομονάχου Λουκᾶ καὶ τοῦ ἀπολέσαντος τὰ εἰρημένα πρεσβυτέρου τοῦ ..... ἱερατικῶς ἐξυπηρετοῦντος τῷ θείῳ ναῷ τῆς ἁγίας τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἀναλήψεως, ὅθεν δὴ καὶ ταῦτα ἐκλάπησαν, ἐξελεγχόμενον ὁμοίως, ὡς πρότερον μὲν ἀφείλετο τούτου φελώνιον καὶ ἐπιτραχήλιον, καὶ ἁλόντα ἐπὶ τῇ τούτων κλοπῇ προφανῶς, τό τε δὲ μετὰ τῆς γενομένης κλοπῆς τοῦ ὡραρίου κατασιγάζειν καὶ ἀποκρύπτειν πειρώμενον καὶ πείθοντα, κατεδίκασεν αὐτῶν τῆς ἱερωσύνης καθαίρεσιν, ὡς ἀληθῶς ἐνεχομένων τοῖς τοιούτοις ἐγκλήμασι τῆς κλοπῆς. εἰ γὰρ ὁ ἁλοὺς κλοπῇ τινος οὐκ ἀφιερωμένου θεῷ πράγματος ἀπογυμνοῦται κατὰ τὸν ἀποστολικὸν κανόνα τῆς ἱερωσύνης ἀσυμπαθῶς, πολλῷ μᾶλλον ἂν εἴη προσ-

ήκων τῇ τοιαύτῃ καταδίκῃ ὁ φωραθείς τε καὶ κρατηθεὶς εἰς ἱερῶν πραγμάτων κλοπήν. ἔσονται τοιγαροῦν οἱ τοιοῦτοι τὸ ἀπὸ τοῦδε ἀποτετμημένοι τοῦ τῶν ἱερέων χοροῦ. ἐπεὶ δὲ καὶ ὁ ἐκ τοῦ κάστρου τοῦ Νικητιάτου πρεσβύτερος Θεόδωρος ὁ Ῥαδηνὸς, ὥσπερ ἐπιλαθόμενος πρέσβυς πρὸς θεὸν ὑπὲρ τῶν ἐξ αὐτοῦ δὴ θεοῦ βασιλέων ὀφείλων εἶναι, τῇ πρὸς αὐτοὺς δυσνοίᾳ αὐτήσας ἐκίνησε γλῶσσαν ματαίαν καὶ χείλη δόλια καὶ βλασφημίαν καὶ ἀδικίαν εἰς τὸ βασίλειον ὕφος ἐλάλησε, περιὼν ἀλλοτρίας πόλεις, εἶτα καὶ ἐνταῦθα ἐπανιὼν ἤνοιξε τὸ στόμα καὶ ἐξέχεεν, ὃν ἔτρεφεν ἐκ τῆς τοιαύτης δυσνοίας ἰόν· ὡς καὶ αὐτὸν συνοδικῶς παριστάμενον καὶ ἐξεταζόμενον καὶ δίχα τινὸς ἐλέγχοντος ἀνομολογῆσαι τὰ τοιαῦτα, ἅτινα καὶ ἡμεῖς ἀκοαῖς ἀπαράδεκτα κρίναντες οὐδὲ προφέρειν δέον οὐδ' ἐκτιθέναι ἡγησάμεθα, καθαιρέσει καὶ τοῦτον σὺν πάσῃ δίκῃ καὶ ψήφῳ προσηκούσῃ ὑπεβάλομεν. ταῦτα ἐλαλήθη καὶ ἐπράχθη προκαθημένης τῆς ἡμῶν μετριότητος συνοδικῶς καθ' ἡμέραν δευτέραν τοῦ δεκεβρίου μηνὸς τῆς ιδ' ἰνδ. καὶ κατεστρώθη δι' εἴδησιν.

XV.

Monachus quidam Joannicius promittit se amplius sacra non esse celebraturum.

† Ἐγὼ μοναχὸς Ἰωανίκειος ὑπόσχομαι δια τῆς παρούσης μου ἐγγράφου ἀσφαλίας, ἐπεὶ ἔπραξα ἀνόσιον ἔργον καὶ αφηρέθην τὴν ἱεροσύνην μου, ἀπὸ τοῦδε κε εἰς τὸ ἑξῆς ου μὴ γυρεύσω, ινα καὶ πάλην ἱερουργίσαι. εἰ δέ ποτε φοραθο εἰς τοῦτο τὴν ἐμφάνιαν τῆς παρούσης μου ἐγγράφου ἀσφάλιαν, ἵνα εἰμὶ ὑπεύθηνος τι δικαία κρίση τῆς αγιας τοῦ θεοῦ ἐκλησίας. διὰ γὰρ τοῦτο κε τὴν παροῦσαν μου ἔγγραφον ἀσφάλιαν πεπίηκα.

† Ὁ ἐν μονα(χοῖς ἐλάχιστος Ἰωαννίκιος).

XVI. (6824—1315) decembri ind. XIV.

Synodus tres controversias dirimit.

† Ι. Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ ἀπὸ τῆς Κίου Ἰωάννης ὁ Καλεστὴς, καὶ ἀνέφερεν ὡς φωραθεῖσα ἡ τούτου σύζυγος ὁμιλῆσαι ἀλλοτρίῳ ἀνδρὶ καὶ ἐλεγχομένη περὶ τούτου καὶ ἐξεταζομένη ἀνωμολόγησε τὴν μοιχείαν, καὶ ἀσφάλειαν ἐξέθετο

ἔγγραφον, ἵνα μηδόλως μετὰ ταῦτά ποτε ἀναζητήσῃ συνοικῆσαι αὐτῷ, εἴ γε μόνον παρ' αὐτοῦ τὰ διαφέροντα προικόθεν αὐτῇ λήψεται. μέντοι καὶ ἀποδοὺς οὗτος τὴν προῖκα πᾶσαν αὐτῇ διῆγεν ἐπὶ τέσσαρσι χρόνοις καθ' ἑαυτόν, νῦν δὲ προφασιζομένη ἡ τοιαύτη γυνὴ ἀποστερεῖσθαι καὶ ἑτέρων προικῴων αὐτῆς ὑπερπύρων εἴκοσι, καθέλκει τοῦτον καὶ ἐκβιάζεται πρὸς τὴν ἐκείνων ἀπόδοσιν· ἡ δὴ καὶ αὐτὴ ἡ γυνὴ παροῦσα τῷ δικαστηρίῳ καὶ τῶν εἰρημένων ἀκροωμένη διετείνετο μάτην καὶ ψευδῶς ὑπὸ τοῦ ἀνδρὸς διαβάλλεσθαι, ὅτι δὴ ἀνωμολόγησεν ἁλῶναι μοιχείᾳ, τοῦ δὲ μάρτυρας ἱκανοὺς παραστήσαντος, ἐφ' ὧν τε αὕτη ἑκοῦσα τὸ τοιοῦτον ἀνωμολόγησεν ἔγκλημα, καὶ δι' ὧν ἀπέχειν τούτου ἐγγράφως ἐξησφαλίσατο, διαβεβαιωσαμένων ἀληθῶς ταύτῃ παρ' αὐτοῦ χρεωστεῖσθαι καὶ τὰ τοιαῦτα ὑπέρπυρα. ὅμως ἡ μετριότης ἡμῶν καὶ οὕτω δεῖν ἔγνω ἀπόπειραν αὐτοῖς προσαγαγεῖν καὶ ἀνάγκην, ἵνα καὶ αὖθις τὴν μετ' ἀλλήλων δέξωνται συνοίκησιν, ἐπεὶ μὴ προφανὲς ἦν τὸ ἔγκλημα οὐδὲ διὰ μαρτύρων ἐμφανῶς συνιστάμενον, καὶ ὅτι παντάπασιν ἀπηρνεῖτο καὶ αὖθις ἡ γυνὴ τὸ μὴ ἑκοῦσα ἀνομολογῆσαι τὰ περὶ τούτου. ὅτι δὲ αὐτῷ δὴ τῷ ἀνδρὶ τὰ τῆς μοιχείας ὡς ἀληθῆ ἐν τῇ ψυχῇ ἔφθασαν ἐμπαγῆναι καὶ βεβαιωθῆναι, ἐξ ὧν παρὰ τῆς γυναικὸς ἤκουσεν αὐτὴν ἀνομολογουμένην, καὶ οὐδὲν οὐδ' ὅλως ἦν ἐντεῦθεν μετατιθέμενος, ἀλλὰ μᾶλλον καὶ εἰς μῖσος ἦν ἐμπεπτωκὼς ἀκατάλλακτον, ἐν τῷ μέρει δὲ καὶ αὐτὴ παρητεῖτο καὶ ἀπεστρέφετο τὴν μετὰ τούτου συνοίκησιν ὡς ἀτιμοποιοῦ καὶ δεδοικυῖα, ὡς μή τι καὶ κατὰ τῆς ζωῆς αὐτῆς τολμήσοι θανατηρὸν καὶ ἐπικίνδυνον, διέγνω συνοδικῶς ἡ μετριότης ἡμῶν διὰ ταῦτα, ἀποδοῦναι μὲν τὸν ἄνδρα τῇ γυναικὶ τὰ ῥηθέντα εἴκοσι ὑπέρπυρα, κρατῆσαι δὲ καὶ ἐνεργηθῆναι ἐν αὐτοῖς εἰς τέλος καὶ τὴν διάζευξιν διά τε τὸ ἀκατάλλακτον αὐτῶν μῖσος καὶ διὰ τὴν ἑκούσιον αὐτῶν ἐπὶ τοσούτοις χρόνοις διάστασιν, ὥστε καὶ μετὰ τὸ ἀποδοῦναι τὸν ἄνδρα τὰ εἰρημένα ὑπέρπυρα πρὸς αὐτὴν ὀφείλει ὁ τοιοῦτος καὶ εἰς τὸ ἑξῆς ἰδίως διάγειν καὶ ἑτέραν, εἴ γε βούλοιτο, γυναῖκα ἑαυτῷ ἀγαγέσθαι. τούτου γὰρ χάριν ἐπιδέδοται πρὸς αὐτὸν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ μηνὶ δεκεβρίῳ ἰνδ. ιδ' †.

II. † Ἀναφορὰ γέγονεν ἐπὶ τῆς ἡμῶν μετριότητος προκαθημένης συνοδικῶς παρὰ τοῦ ἀπὸ τῆς θεοσώστου πόλεως Θεσσαλονίκης σεβαστοῦ κῦρ Γρηγορίου τοῦ Μοσχοπούλου, ὡς ὁ Κουρουλάκης ἐκεῖνος.... συνέζευξε τὴν ἰδίαν θυγατέρα νομίμως ἀνδρὶ κατὰ πρῶτον συνοικέσιον τῷ Μαγατηνῷ, καὶ πράγματα προικὸς χάριν αὐτῷ κατεγράφατο ὑπερπύρων τιμώμενα λιτρῶν δεκαέξ. τοῦ γαμβροῦ δὲ τελευτήσαντος ἐπὶ παιδὶ θήλει, ἠγάγετο ἕτερον ἐπ' αὐτῇ, τὸν Πατρίκιον, συμφωνήσας καὶ ἑτέρας λίτρας τέσσαρας πρὸς ταῖς δεκαέξ αὐτῷ δοῦναι, καὶ δοὺς μόνας ἐκ τῶν εἴκοσι λίτρας πέντε, τὰς λοιπὰς καὶ τὴν ἐγγόνην κατεῖχε παρ' ἑαυτῷ. εἶτα ἐλειτούργησε τὸ χρεὼν ἡ γυνὴ, παῖδας δύο καταλιποῦσα, καὶ τούτων μετ' αὐτὴν τὸν βίον ἀπολιπόντων ὁ πατὴρ οὗτος δὴ ὁ Πατρίκιος εἰς δεύτερον συνοικέσιον ἔλαβεν ἑαυτῷ γυναῖκα, τὴν θυγατέρα τοῦ Μοσχοπούλου, οὗ δὴ καὶ τελευτήσαντος ἀδιαθέτου καὶ ἄπαιδος, ὅτι μὴ ἱκανὰ ἐκείνου εὕρηνται πράγματα, ὡς ἂν ἐκ τούτων ἱκανωθείη τὸ ὀφειλόμενον κατὰ νόμους ὑπόβολον τῆς προικὸς περιισταμένης εἰς λίτρας ἑπτὰ πρὸς ταῖς εἴκοσιν, ἐδεήθη ὁ τοιοῦτος Μοσχόπουλος ἱκανωθῆναι αὐτῷ τὸ λοιπαζόμενον κατὰ νόμους ἀπὸ τῶν ἀνηκόντων τοῖς παισὶ κατὰ κληρονομίαν τῶν μητρῴων πραγμάτων, ὡς λογιζόμενος ἀνήκειν ταῦτα τῷ πατρὶ μετὰ τὴν τῶν παίδων αὐτοῦ τελευτήν. παρὸν δὲ τῷ δικαστηρίῳ καὶ τὸ μέρος τοῦ Κουρουλάκη καὶ ἀκροώμενον τῆς περὶ τούτου ἀναφορᾶς τοῦ Μοσχοπούλου, ταῦτὰ μὲν κἀκεῖνος συνωμολόγει, προσετίθει δὲ ὅμως, ὅτι περιῆν ἔτι τῷ βίῳ ἡ μάμμη, ἡ τοῦ Κουρουλάκη δηλονότι γυνὴ, μετὰ τὸ τελευτῆσαι τοὺς παῖδας, προσεπιφέρει καὶ ὡς ἀπὸ τῶν τοιούτων πραγμάτων ἔφθασεν ἀποδοθῆναι ποσότης ὑπερπύρων λιτρῶν ἑπτὰ τῇ ἐγγόνῃ τοῦ Κουρουλάκη, μεθ' ὧν καὶ ἑτέραν ποσότητα λαβοῦσα συνεζεύχθη κατὰ νόμους ἀνδρὶ, καὶ ἐπὶ τούτοις ἐζήτει γενέσθαι διάγνωσιν τῆς ἡμῶν μετριότητος. διέγνω τοίνυν ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Θεσσαλονίκης, τοῦ Μονεμβασίας, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Παλαιῶν Πατρῶν, τοῦ Σερρῶν, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Βιζύης, τοῦ Κίου, τοῦ Γαρέλλης καὶ τοῦ Μηδείας, δεῖν εἶναι τὴν ἀποκατάστασιν καὶ διαίρεσιν τῶν τοιούτων πραγμάτων κατὰ τὴν τῆς νεαρᾶς γενέσθαι διαταγὴν, ἐπειδὴ, ὡς εἴρηται, ἐπέζη τῶν παίδων τοῦ τοιούτου

Πατρικίου ἀποθανόντων ἡ τούτων μάμμη, ἡ τοῦ Κουρουλάκη γυνή, ὅθεν καὶ ἀπεφήνατο, ὡς ἐπεὶ τῇ τοῦ Κουρουλάκη ἐγγόνῃ τῇ ἐκ τοῦ πρώτου ἀνδρὸς τῆς θυγατρὸς αὐτοῦ ἔφθασε δοθῆναι ἡ ἀνήκουσα μερὶς ἀνελλιπῶς, μᾶλλον δὲ καὶ μετὰ πλεονασμοῦ τινος ἀπὸ τῶν μητρῴων αὐτῆς πραγμάτων, τὰ ἐναπολειφθέντα ἀπὸ τῶν αὐτῶν πραγμάτων τῆς θυγατρὸς τοῦ Κουρουλάκη καὶ εὑρισκόμενα παρὰ τῷ μέρει αὐτοῦ ἐνωθῆναι καὶ συμποσωθῆναι μετὰ τῆς ποσότητος τῶν πέντε λιτρῶν, αἳ τῷ Πατρικίῳ ἐδόθησαν, ὡς εἴρηται, εἶτα διαίρεσιν γενέσθαι τῶν τοιούτων πραγμάτων εἰς μερίδας τρεῖς καὶ κατὰ τὴν διαταγὴν τῆς νεαρᾶς τὴν μὲν μίαν μερίδα περιελθεῖν τῷ μέρει τοῦ Πατρικίου ὡς ἀπὸ τῆς κληρονομίας τῶν παίδων αὐτῷ ἀνήκουσαν, ὥστε ἀπὸ τῆς τοιαύτης μερίδος καὶ τῶν ἑτέρων ἰδίων αὐτοῦ πραγμάτων καὶ τὴν ἱκάνωσιν τοῦ ὑποβόλου γενέσθαι τῷ μέρει τῆς γυναικὸς αὐτοῦ, τῆς θυγατρὸς δηλονότι τοῦ Μοσχοπούλου, ἀπὸ δὲ τῶν ἑτέρων δύο μερίδων τὴν μὲν μίαν περιελθεῖν τῷ μέρει τῆς ἐπιζησάσης μάμμης τῶν παίδων τοῦ Πατρικίου, τὴν δὲ ἑτέραν τρίτην μερίδα διανεμηθῆναι ὑπὲρ τῶν ψυχῶν τῶν εἰρημένων παίδων τοῦ Πατρικίου καὶ τῆς μητρὸς αὐτῶν, γενέσθαι μέντοι τὴν διανέμησιν παρὰ τῆς κατὰ τὴν αὐτὴν θεόσωστον πόλιν Θεσσαλονίκης ἁγιωτάτης ἐκκλησίας, εἰδήσει καὶ ἀμφοτέρων τῶν μερῶν. ἐπεὶ δὲ τὸ αὐτὸ μέρος τοῦ Κουρουλάκη καὶ περὶ ζευγηλατείου λόγον ἐκίνησεν, ὡς ἐξωνήθη τοῦτο παρὰ τοῦ Πατρικίου ἐκ τῶν προικῴων τῆς γυναικὸς ὑπερπύρων, διέγνωσται, ἵνα καὶ τὸ τοιοῦτον ζευγηλατεῖον, εἰ ὁμολογουμένως ἀπὸ τῶν τοιούτων ὑπερπύρων τῆς προικὸς ἐξωνήθη, εἴπερ βούλεται ἐντεῦθεν δέξασθαι τὸ μέρος τοῦ Κουρουλάκη τὸ τοιοῦτον ζευγηλατεῖον εἰς τὴν ἀνήκουσαν αὐτῷ μερίδα, γένηται ἐν προτιμήσει καὶ δέξηται τοῦτο, εἰς ὅσην ἂν ποσότητα ἀναφανείη ἐξωνηθέν, εἰ δ' ἴσως πλεονάζοι καὶ τὸ τίμημα τοῦ τοιούτου ζευγηλατείου πλείονος εὑρισκόμενον ποσότητος παρὰ τὴν ἀνήκουσαν τῷ μέρει τοῦ Κουρουλάκη μερίδα, ἀντιστραφείη παρὰ τοῦ αὐτοῦ μέρους τοῦ Κουρουλάκη ἡ πλεονάζουσα ἀπὸ τοῦ τιμήματος ποσότης. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος τῷ διαληφθέντι μέρει τοῦ Κουρουλάκη εἰς ἀσφάλειαν ἐπιδέδοται.

† Ἔτους τὸ μηνὶ δεκεβρίῳ ἰνδ. ιδ' †.

III. † Ἐφίστανται τῷ καθ' ἡμᾶς ἱερῷ συνοδικῷ δικαστηρίῳ ἥ τε δούκαινα κυρὰ Θεοδώρα ἡ Βαλσαμίνα καὶ ἡ νύμφη ταύτης κυρὰ Εὐδοκία ἡ Φιλανθρωπηνή, καὶ ᾐτήσαντο ἀντικριθῆναι, περὶ ἧς εἶχον διενέξεως ἐπί τινι ζευγηλατείῳ, Χαλκοτουβίῳ καλουμένῳ· καὶ πρώτως μὲν ἀνήνεγκεν ἡ Βαλσαμίνα, ὡς ὁ πατὴρ αὐτῆς ἐκεῖνος ὁ Ἄγγελος κατεγράψατο εἰς προῖκα σὺν ἄλλοις πράγμασι καὶ τὸ τοιοῦτον ζευγηλατεῖον αὐτῇ, εἶτα καταντήσαντος τοῦ πατρὸς αὐτῆς εἰς στενότητα βιωτικῆς κυβερνήσεως λόγῳ παρέσχεν, ὡς δὴ πατρὶ τούτῳ νέμεσθαι τὸ ἥμισυ τοῦ τοιούτου ζευγηλατείου, ἕστ' ἂν τοῖς ζῶσι συγκαταλέγηται, αὐτὸς δὲ, ὥσπερ ἐπιλαθόμενος, δέδωκεν εἰς προῖκα τοῦτο κατ' ἐξουσίαν τῇ ἐγγόνῃ αὐτοῦ τῇ θυγατρὶ τῆς εἰρημένης Φιλανθρωπηνῆς, ὅθεν καὶ ἔστιν ἐξ ἐκείνου τὸν τρόπον τοῦτον ἀποστερουμένη τοῦ προικόθεν ἀνήκοντος αὐτῇ τοῦδε κτήματος. παροῦσα δὲ καὶ ἡ τοιαύτη Φιλανθρωπηνὴ ἀνέφερεν, ὡς τέτακται μὲν παρὰ τοῦ πατρὸς πᾶν τὸ ζευγηλατεῖον τοῦτο εἰς προῖκα πρὸς αὐτὴν δὴ τὴν Βαλσαμίναν δοθῆναι, μέλλοντος ἐπ' αὐτῇ γαμβρὸν ἀγαγέσθαι τὸν τοῦ ὑπερτίμου υἱόν, πρὶν δὲ ὅμως τὸ τοιοῦτον συνοικέσιον τελεσθῆναι, ἀνετράπη, καὶ κατεγράφη μόνον πρὸς αὐτὴν τὸ ἥμισυ τούτου, καὶ ἦν ὁ πατὴρ ἐξ ἐκείνου κατέχων τὸ ἕτερον ἥμισυ καὶ νεμόμενος μετὰ τοῦ ἐν αὐτῷ ἀμπελίου, προικοδοτήσας μετὰ ταῦτα καὶ γῆν ζευγαρίου ἑνὸς ἐκ τοῦ τοιούτου ἡμίσεως τῷ υἱῷ αὐτοῦ, τῷ ἀνδρὶ δηλονότι τῆς αὐτῆς Φιλανθρωπηνῆς. μεθ' ἱκανοὺς χρόνους εἰς ταὐτὸ γνώμης ἐλθὼν τῷ ἐπὶ θυγατρὶ γαμβρῷ αὐτῆς τῷ Χειλᾶ συνέπραξε μετ' αὐτοῦ καὶ διὰ γραμμάτων ἐκύρωσεν, ἔχειν μὲν τοῦτον δὴ τὸν γαμβρὸν τὴν ἀνήκουσαν τῷ πάππῳ μερίδα καὶ δεσπόζειν αὐτῆς, παρέχειν δὲ ἀντ' ἐκείνης τούτῳ τὰ πρὸς ζωὴν αὐτοῦ καὶ παντοίαν ἄλλην κυβέρνησιν ἄχρι τέλους τῆς αὐτοῦ βιοτῆς. καὶ ἐπεκράτησεν ἡ τοιαύτη πρᾶξις στερχθεῖσα μέχρι καὶ τελευτῆς τοῦ τοιούτου Ἀγγέλου. ὅμως καὶ μέλλων τελευτᾶν ὁ αὐτὸς Ἄγγελος, ἠσφαλίσατο καὶ ἐνδιαθήκως, ἵνα μηδεὶς τῷ γαμβρῷ τῷδε γένηταί ποτε δι' ὄχλου ἐπὶ τῇ κατοχῇ τῆς τοιαύτης μερίδος ἐκείνου καὶ κυριότητι, τὴν μέντοι ἑτέραν μερίδα προσεμαρτύρησε καὶ ἠσφαλίσατο κατέχεσθαι καὶ αὖθις παρὰ τῆς εἰρημένης θυγατρὸς αὐτοῦ, τῆς Βαλσαμίνης δηλονότι. ταῦτα οὖν ἀνενέγκασα ἡ εἰρημένη Φιλανθρωπηνὴ, ἐνεφάνισεν εἰς παράστασιν καὶ τὸ πρὸς τὸν ἄνδρα ταύτης τοῦ πατρὸς σύμφωνον καὶ τὴν μετὰ τοῦ γαμβροῦ αὐτῆς

ἔγγραφον συμφωνίαν καὶ τὴν διαθήκην ἐκείνου. ἡ μέντοι γε δηλωθεῖσα Βαλσαμίνα ἀπαιτουμένη προτεῖναι καὶ αὐτὴ τὸ ἴδιον σύμφωνον εἰς δικαίωσιν ἑαυτῆς ἢ παραστῆσαι, εἰ ἐκράτησε καὶ ἐνεμήθη καὶ τὴν ἡμίσειαν μερίδα τοῦ ζευγηλατείου τὴν ὑπὸ τῷ πατρὶ μετὰ τὸ προικοδοτηθῆναι αὐτὴν τὴν λοιπὴν ἡμίσειαν, νομὴν μέν τινα οὐ παρέστησε, γράμμα δὲ μόνον ἐνεφάνισεν ὡς δὴ σύμφωνον, φέρον μὲν προταγὰς ἄνωθεν γεγραμμένας τοῦ τε πατρὸς καὶ λοιπῶν προσγενῶν, ὥσπερ εἴθισται, πλὴν ἀμάρτυρον κάτωθεν καὶ ἀβέβαιον καὶ μήτε ὑπογραφῇ τινος ἑτέρου πιστούμενον, μήτε αὐτοῦ δὴ τοῦ γράψαντος ταβελλίωνος, καὶ ταῦτα ὄντος καὶ τούτου ἐν πολλοῖς κατεγνωσμένου, ὡς πεπλασμένα καὶ ψευδῆ ἐν τοῖς παρ' αὐτοῦ σημειωμένοις συμφώνοις ἐγγράφοντος καὶ διὰ τοῦτο καὶ ἀργίαν καταδικασθέντος τῆς τοιαύτης ταβουλλαρικῆς ὑπουργίας. διὰ ταῦτα δὴ καὶ διέγνω ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Θεσσαλονίκης, τοῦ Μονεμβασίας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Σερρῶν, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Βιζύης, τοῦ Κίου, τοῦ Γαρέλλης καὶ τοῦ Μηδείας, κατέχειν μὲν καὶ εἰς τὸ ἑξῆς τὸν γαμβρὸν τῆς δηλωθείσης Φιλανθρωπηνῆς καὶ τὴν θυγατέρα αὐτῆς τὴν παρὰ τοῦ πάππου περιελθοῦσαν αὐτοῖς μερίδα ἡμίσειαν τοῦ διαληφθέντος ζευγηλατείου μετὰ τοῦ ἐκεῖσε ἀμπελίου, ὥσπερ δῆτα καὶ ἐς δεῦρο κατεῖχε, καὶ ἐπ' ἀδείας ἔχειν ἐπὶ ταύτῃ πάντα, ὅσαπερ ἐπὶ τοῖς ἰδίοις οἱ γνήσιοι δεσπόται παρὰ τῶν θείων νόμων προτρέπονται διαπράττεσθαι, τὸ δέ γε μέρος τῆς Βαλσαμίνης ἀπέχειν ὀχλεῖν τούτους χάριν τῆς τοιαύτης μερίδος, ὡς μηδὲν μηδόλως ἔχον δίκαιον ἐπ' αὐτῇ, καθὼς ἀναδέδεικται, ὅθεν καὶ ἡσυχάσει τοῦ λοιποῦ καὶ οὐ πειράσεταί ποτε ὀχλῆσαι περὶ τούτου τὸ μέρος τοῦ τοιούτου γαμβροῦ καὶ τῆς θυγατρὸς τῆς Φιλανθρωπηνῆς ἐπὶ τῇ αὐτοῦ διακατοχῇ καὶ νομῇ, δεδικαιωμένων αὐτῶν παρὰ τῶν νόμων καὶ ἐξ ὧν προέτεινον δικαιωμάτων. ἐπὶ τοῦτο γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος εἰς τὴν εἰσέπειτα ἀσφάλειαν αὐτοῖς ἐπιδέδοται †.

† Εἶχε τὸ· μηνὶ δεκεβρίῳ ἰνδ. ιδ' †.

XVII. Sine anno.

Synodus episcopum Sinopes a sede sua expulsum praeponit ecclesiis Sidae, Sylaei et Leontopoleos, quae propter incursiones infidelium antistitibus carent.

† Μακρὸς μὲν χρόνος, ἐξ οὗ οὐ γέγονε τῇ ἁγιωτάτῃ μητροπόλει Σίδης ἀρχιερεύς, τὸ δ' αἴτιον, ὅτι δὴ ἐπὶ τοσοῦτον ὑπερίσχυσε τὸ δεινόν, καὶ οὐκ ἀσφαλὴς ἡ εἰς τὰ ἐκεῖσε φέρουσα κατέστη ἐκ τῆς τῶν ἀλλοφύλων ἐθνῶν ἐπιθέσεως· πλὴν ἡ μετριότης ἡμῶν ὀφειλομένως ἔχουσα καὶ τοῖς μακρὰν ἐκ τῶν ὑπὸ τὴν καθ' ἡμᾶς ἁγιωτάτην ἐκκλησίαν τελούντων τοῦ κατὰ ψυχὴν συμφέροντος προμήθειαν ὡς δυνατὸν ἐπιδείκνυσθαι, καὶ διὰ φροντίδος θεμένη, ὅπως ἂν καὶ ὁ ὑπὸ τὴν τοιαύτην μητρόπολιν χριστώνυμος τοῦ κυρίου λαὸς πνευματικὴν ἐπίσκεψιν ἔχῃ, ἐπείπερ εὗρε τὸν θεοφιλέστατον ἐπίσκοπον Σινώπης ἐκτοπισθέντα τῆς λαχούσης αὐτὸν καὶ ταύτῃ ἐνσκήψαντος ἐκ μακροῦ καὶ ὑπερισχύσαντος τοῦ δεινοῦ, οἰκονομίᾳ χρησαμένη, ἣν δὴ συνήθως καὶ οἱ πρὸ ἡμῶν οἰκονομοῦντες ἦσαν ἐν περιστατουμέναις ἐκκλησίαις, ἀλλαχῇ τε καὶ κατ' αὐτὴν τὴν ἁγιωτάτην μητρόπολιν Σίδης, κοινῇ γνώμῃ καὶ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Μονεμβασίας, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Παλαιῶν Πατρῶν, τοῦ Σερρῶν, τοῦ Φιλίππων, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Μηθύμνης, τοῦ Διδυμοτείχου, τοῦ Βιζύης, τοῦ Κίου καὶ τοῦ Γαρέλλης, ἄδειαν αὐτῷ δέδωκε καὶ προέτρεψεν, ἀρχιερατικῶς διεξάγειν τὸν χριστιανικὸν πάντα λαόν, ὅσος τε ἐν τῇ ἐνορίᾳ τῆς μητροπόλεως καὶ ὅσος ἐν τῇ ἐπαρχίᾳ ταύτης εὑρίσκεται· ὡσαύτως προέτρεψε συνοδικῶς ἡ μετριότης ἡμῶν τούτῳ δὴ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Σινώπης ἀρχιερατικῶς προΐστασθαι καὶ τοῦ ὑπὸ τὴν ἁγιωτάτην τοῦ Συλαίου μητρόπολιν καὶ τοῦ ὑπὸ τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν τῆς Λεοντοπόλεως εὑρισκομένου χριστωνύμου λαοῦ, ὡς τῶν τοιούτων ἐκκλησιῶν ἐν στενότητι καὶ ὀλιγότητι τοῦ χριστιανικοῦ λαοῦ γεγονυιῶν, κρίμασι θεοῦ, ἅμα δὲ καὶ ἐν τοῖς αὐτῶν θείοις ναοῖς ἱερουργεῖν καὶ καθιστᾶν διακόνους καὶ πρεσβυτέρους καὶ πάντων ἁπλῶς μετέχειν τῶν ἐφειμένων γνησίοις ἀρχιερεῦσιν, ἄνευ μέντοι τῆς τοῦ προβιβάζειν καὶ χειροτονεῖν ἐπισκόπους καὶ

τῆς τῶν ἱερῶν συνθρόνων ἐγκαθιδρύσεως. ὀφείλουσι τοίνυν πάντες οἱ ὑπὸ τὴν πνευματικὴν ἐπικράτειαν καὶ διοίκησιν τῶν εἰρημένων ἐκκλησιῶν εὑρισκόμενοι χριστιανοὶ δέξασθαι τὸν εἰρημένον θεοφιλέστατον ἐπίσκοπον Σινώπης ὡς ἀρχιερέα αὐτῶν καὶ ἔχειν πρὸς αὐτὸν τιμὴν πᾶσαν καὶ ὑπακοὴν καὶ εὐπείθειαν, ἐφ' οἷς ἂν ἔχῃ πρὸς αὐτοὺς διδάσκειν εἰς σωτηρίαν συντείνουσι τῶν ψυχῶν αὐτῶν· ἐπεὶ γὰρ οὗτοι μέσον ἐθνῶν, ὡς εἴρηται, εὑρίσκονται, καὶ χρῄζουσιν ὁδηγοῦ μάλιστα καὶ χειραγωγοῦ πρὸς τὰ ἀρέσκοντα τῷ θεῷ, καὶ ἔχουσιν ἤδη τὸν παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν ἱερᾶς συνόδου πεμφθέντα πρὸς αὐτοὺς τοιοῦτον ἀρχιερέα, δέξονται πάντες τὰ παρ' αὐτοῦ διδασκόμενα θεοφιλῆ καὶ ψυχωφελῆ, καὶ τῶν κακῶν καὶ παροργιζόντων θεὸν ἀποφεύξονται, βεβαίως γινώσκοντες, ὅτι ὁ ἀντιπράξων τούτῳ καὶ ἐναντιωθησόμενος ἐξ αὐτῶν, ἐφ' οἷς μέλλει πρὸς αὐτοὺς διδάσκειν εἰς ὠφέλειαν τῶν ψυχῶν αὐτῶν ἀφορῶσιν, εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν ἁγίαν σύνοδον τὰ τῆς ἐναντιώσεως διαπράξεται, προτρέψασαν τούτῳ ἀρχιερατικῶς παιμαίνειν αὐτούς· ὅθεν καὶ πάντες οὗτοι τὰ καθ' ἑαυτοὺς τῷ τοιούτῳ ἀρχιερεῖ ἀναθήσουσι, καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσουσι μόνου, ὁδηγούσης πρὸς τὰς ζωηφόρους τῆς σωτηρίας νομὰς καὶ ἀποτρεπούσης ἐκ τῶν ἐπιβούλων καὶ σφαλερῶν, ὡς ἂν ἐν τῷ καιρῷ τῆς μελλούσης ἀνταποδόσεως εὕρωσι παρὰ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ τὰ αἰώνια ἐκεῖνα καὶ ἄφθαρτα ἀγαθά, ἃ ἡτοίμασε τοῖς ἀγαπήσασιν αὐτὸν ἐκ ψυχῆς καὶ τὰς σεπτὰς αὐτοῦ φυλάξασιν ἐντολάς †.

XVIII. Sine anno.

Synodus episcopum Zeli praeponit metropoli Amasiae, quae ob dominationem Persarum diu carebat antistite.

† Τοῖς λαχοῦσι προεδρεύειν λαοῦ καὶ εἰς οἰκονόμους εἶναι ψυχῶν τοῦτ' ἂν εἴη πάντως ἐναργὲς γνώρισμα, μὴ μόνον τοῖς ἐγγὺς τῶν ὑπ' αὐτοὺς τελούντων τοῦ κατὰ ψυχὴν συμφέροντος προμήθειαν ἐπιδείκνυσθαι, ἀλλὰ καὶ τοῖς μακρὰν μάλιστα καὶ μέσον ἀλλοφύλων οἰκοῦσιν ἐθνῶν καὶ ὑφορωμένοις ἐκ τοῦ σχεδὸν ἐκεῖθεν τὸν ψυχικὸν κίνδυνον, ἐπεὶ καὶ ἀνάγκη πᾶσα τῶν ἀνὰ χεῖρας μᾶλλον τὸ κινδυνεῦον ἀπολέσθαι μέρος ἀναζητεῖν καὶ τὴν σωτηρίαν ἐκείνῳ περιποιεῖσθαι καὶ πραγματεύεσθαι. οἷοι δὴ τυγχάνουσιν ὄντες καὶ οἱ ὑπὸ τὴν

ἁγιωτάτην πνευματικῶς τελοῦντες τῆς Ἀμασείας μητρόπολιν, καὶ γὰρ οὗτοι γράμματα πρὸς τὴν ἡμῶν ἐξαπέστειλαν μετριότητα διαλαμβάνοντα, ὅτι δὴ τῆς κατ' αὐτοὺς τοιαύτης ἐκκλησίας ἐξ ἱκανῶν χρόνων γνησίου ἀρχιερέως ἐστερημένης, δι' ἅπερ ἐκεῖσε τῷ χρόνῳ συνέβησαν δυσχερῆ. εἶχον μὲν καὶ οὕτως ἀρχιερέα αἰτήσασθαι, ἐπεὶ δὲ καθ' ὑπερβολὴν ὑπερίσχυσε τὸ δεινὸν ἐκ τῆς κατεχούσης τούτους περσικῆς τυραννίδος, ὡς μηδὲ τὸν ἐσόμενον ἀρχιερέα εὐμαρῶς ἢ καὶ ὁπωσοῦν ἐπιστῆναι δυνηθῆναι ἐκεῖσε, ἀλλὰ καὶ τῷ γενομένῳ καὶ ἐπιστάντι συναντήσειν τὰ πράγματα κακῶς περιουσίᾳ τῶν δυσχερῶν, ἐδεήθησαν εἰς ποιμένα πνευματικὸν καὶ διδάσκαλον δοθῆναι αὐτοῖς τὸν θεοφιλέστατον ἐπίσκοπον Ζήλου, τῆς αὐτῆς ὄντα μητροπόλεως ἐπίσκοπον, καὶ γεννηθέντα καὶ τραφέντα παρ' αὐτοῖς καὶ δὴ καὶ ἔργῳ διαφόρως τούτων ὑπερζηλώσαντα καὶ ἐπιτηδείως ἔχοντα τὰ πλείω τῶν ἀνιαρῶν ἀναστέλλειν. ἡ μετριότης οὖν ἡμῶν, ἀναμαθοῦσα παρ' ἀνδρῶν ἀξιοπίστων, ἀληθῆ τυγχάνειν τὰ πεμφθέντα τοιαῦτα γράμματα πρὸς αὐτήν, κοινῶς συνδιασκεψαμένη τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἡρακλείας, τῷ Σάρδεων, τῷ Νικομηδείας, τῷ Μονεμβασίας, τῷ Ποντοηρακλείας, τῷ Προύσης, τῷ Περγάμου, τῷ Παλαιῶν Πατρῶν, τῷ Σερρῶν, τῷ Φιλίππων, τῷ Χριστουπόλεως, τῷ Δυρραχίου, τῷ Μιτυλήνης, τῷ Μηθύμνης, τῷ Διδυμοτείχου, τῷ Βιζύης, τῷ Κίου καὶ τῷ Γαρέλλης, ἐπείπερ εὗρε καὶ ἀλλοτε συνήθως οἰκονομίαν ἐν ἐκκλησίαις περιστατουμέναις γενέσθαι παρὰ τῶν πρὸ ἡμῶν, δέδωκεν ἄδειαν καὶ προέτρεψεν ἤδη μετὰ τῆς περὶ αὐτὴν ἱερᾶς συνόδου τούτῳ δὴ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ζήλου, προΐστασθαι ἀρχιερατικῶς καὶ διεξάγειν τὸν χριστιανικὸν πάντα λαόν, ὅσος τε ἐν τῇ ἐνορίᾳ τῆς εἰρημένης μητροπόλεως καὶ ὅσος ἐν τῇ ἐπαρχίᾳ ταύτης εὑρίσκεται, ὥστε δὴ καὶ ἐν τῷ θείῳ ναῷ τῆς αὐτῆς μητροπόλεως ἱερουργεῖν αὐτὸν καὶ καθιστᾶν πρεσβυτέρους καὶ διακόνους καὶ πάντων ἁπλῶς μετέχειν τῶν ἐφειμένων γνησίοις ἀρχιερεῦσιν, ἄνευ μέντοι τοῦ προβιβάζειν καὶ χειροτονεῖν ἐπισκόπους καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὀφείλει τοίνυν πᾶς ὁ ὑπὸ τὴν πνευματικὴν ἀνάκρισιν τῆς τοιαύτης ἐκκλησίας εὑρισκόμενος τοῦ κυρίου λαός, ἱερωμένοι, μονάζοντες καὶ λοιποί, δέξασθαι τὸν δηλωθέντα θεοφιλέστατον ἐπίσκοπον Ζήλου ὡς ἀρχιερέα αὐτῶν καὶ ἔχειν πρὸς αὐτὸν τιμὴν πᾶσαν καὶ ὑπακοὴν καὶ εὐπείθειαν, ἐφ' οἷς ἂν ἔχῃ

πρὸς αὐτοὺς διδάσκειν εἰς σωτηρίαν συντείνουσι τῶν ψυχῶν αὐτῶν. ἐπεὶ γὰρ οὗτοι μέσον ἐθνῶν, ὡς εἴρηται, εὑρίσκονται, καὶ χρῄζουσιν ἀναγκαίως ὁδηγοῦ μάλιστα καὶ χειραγωγοῦ πρὸς τὰ ἀρέσκοντα τῷ θεῷ, καὶ ἔχουσιν ἤδη τὸν παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν ἱερᾶς συνόδου πεμφθέντα πρὸς αὐτοὺς τοιοῦτον ἀρχιερέα, δέξονται πάντες τὰ παρ' αὐτοῦ διδασκόμενα θεοφιλῆ καὶ ψυχωφελῆ, καὶ τῶν κακῶν καὶ παροξυνόντων θεὸν ἀποστήσονται, βεβαίως γινώσκοντες, ὅτι ὁ ἀντιπράξων τούτῳ καὶ ἐναντιωθησόμενος ἐξ αὐτῶν, ἐφ' οἷς μέλλει πρὸς αὐτοὺς διδάσκειν εἰς ὠφέλειαν τῶν ψυχῶν αὐτῶν ἀφορῶσιν, εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν ἁγίαν σύνοδον τὰ τῆς ἐναντιώσεως διαπράξεται, τὴν τούτῳ προτρέψασαν ἀρχιερατικῶς ποιμαίνειν αὐτούς· ὅθεν καὶ τὰ καθ' ἑαυτοὺς πάντες οὗτοι τῷ αὐτῷ ἀρχιερεῖ ἀναθήσουσι, καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσουσι μόνου, ὁδηγούσης πρὸς τὰς ζωηφόρους τῆς σωτηρίας νομὰς καὶ ἀποτρεπούσης ἐκ τῶν ἐπιβούλων καὶ σφαλερῶν, ὡς ἂν ἐν τῷ καιρῷ τῆς μελλούσης ἀνταποδόσεως εὕρωσι παρὰ χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ τὰ αἰώνια καὶ ἄφθαρτα ἀγαθά, ἃ ἡτοίμασε τοῖς ἀγαπήσασιν αὐτὸν ἐκ ψυχῆς καὶ τὰς σεπτὰς αὐτοῦ φυλάξασιν ἐντολάς †.

XIX. Sine anno.

Joannes XIII. notum facit fidelibus metropolis Myrorum, presbyterum Michaëlem Archontem aliosque rite ordinatos esse.

† Εὐλαβέστατοι κληρικοὶ τῆς ἁγιωτάτης τῶν Μυρέων μητροπόλεως καὶ ὁ ὑπὸ τὴν ἐπαρχίαν ταύτης καὶ ἐπικράτειαν λοιπὸς ἅπας τοῦ κυρίου λαός, ἀγαπητὰ κατὰ κύριον τέκνα τῆς ἡμῶν μετριότητος. χάριν, εἰρήνην, ἔλεος καὶ εὐλογίαν, ἔτι δὲ καὶ ψυχικὴν σωτηρίαν ἐπεύχεται ὑμῖν ἐκ θεοῦ ἡ μετριότης ἡμῶν. ὁ ἀπὸ τῶν αὐτόθι παρὼν πρεσβύτερος Μιχαὴλ ὁ Ἄρχων ἀνέφερε πρὸς τὴν ἡμῶν μετριότητα, ὅτι σκανδαλίζονταί τινες ἐπ' αὐτῷ τε καὶ ἑτέροις πρεσβυτέροις, διὸ ἐχειροτονήθησαν παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Κυάνων, ὃν ἐχειροτόνησεν ὁ Λουκᾶς ἐκεῖνος ἀρχιερεὺς γενόμενος ἐν τῇ καθ' ὑμᾶς τοιαύτῃ ἐκκλησίᾳ κατὰ τὸν καιρὸν τῆς ἐκκλησιαστικῆς ἐκείνης συγχύσεως καὶ ταραχῆς. τοῦτο γοῦν γινώσκετε πάντες, ὅτι διὰ τὴν αἰτίαν ταύτην οὐκ ἔχουσιν ἐμποδισμὸν εἰς τὴν ἱερωσύνην αὐτῶν οἱ τοιοῦτοι πρεσβύτεροι· ἡ γὰρ ἐκκλησία τοῦ θεοῦ κατὰ λόγον

οἰκονομίας καὶ διακρίσεως καὶ κατὰ τρόπους, οὓς οἶδεν αὕτη καὶ ἐνεργεῖ ἐν τοῖς τοιούτοις κατὰ καιρούς, συνεχώρησε τότε καὶ ἐνέδωκεν ἱερουργεῖν καὶ πράττειν ἀκολύτως τὰ ἱερατικὰ τοὺς χειροτονηθέντας παρὰ τοῦ δηλωθέντος Λουκᾶ ἐπὶ ὠφελείᾳ καὶ ἁγιασμῷ καὶ καταρτισμῷ τοῦ αὐτόθι χριστιανικοῦ λαοῦ, καὶ ἐπεὶ παρὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας συνεχωρήθησαν καὶ ἀπελύθησαν, οὐδεὶς ὀφείλει ἔχειν ἀμφιβολίαν τινὰ καὶ δισταγμὸν εἰς τούτους, ἀλλὰ ὀφείλουσι δέχεσθαι πάντες αὐτοὺς καὶ προσέρχεσθαι ὡς ἱερεῦσι θεοῦ καὶ ἁγιάζεσθαι ὑπ' αὐτῶν, εἰ μή τινες τούτων ἕτερον ἐμπόδιον ἔχουσι τῆς ἱερωσύνης κωλῦον. ἐπεὶ δὲ ἀνέφερεν ὁ εἰρημένος πρεσβύτερος ὁ Ἄρχων, ὅτι εὑρίσκεται κατέχων τὴν ἁγιωτάτην ἐπισκοπὴν τοῦ Στενοῦ, παρακελεύεται ἡ μετριότης ἡμῶν, ἵνα κατέχῃ καὶ ἔτι ταύτην, καὶ δέχωνται καὶ τιμῶσιν αὐτὸν πάντες οἱ ἐκεῖσε χριστιανοί, καὶ πείθωνται τούτῳ καὶ ὑπακούωσιν, ἐφ' οἷς ἂν οὗτος ἔχῃ πρὸς αὐτοὺς διδάσκειν καὶ παραινεῖν ἀφορῶσιν εἴς τε ὠφέλειαν τῶν ψυχῶν αὐτῶν καὶ σύστασιν καὶ συντήρησιν τῶν ἐκκλησιαστικῶν δικαίων. ἀφέμενοι οὖν τῶν σκανδάλων, οἵτινες σκανδαλίζονται, εἰρηνευέτωσαν καὶ δεχέσθωσαν τὸν τοιοῦτον πρεσβύτερον καὶ τοὺς ἑτέρους, καθὼς παρακελεύεται ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος, ὁ καὶ ὀφείλει προσεῖναι τῷ ῥηθέντι πρεσβυτέρῳ Μιχαὴλ τῷ Ἄρχοντι εἰς ἀσφάλειαν †.

XX. Sine anno.

Synodus dirimit controversiam.

† Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ ἀπὸ τοῦ κάστρου τοῦ Πελαδαρίου Ἰωάννης ὁ Σαγιτᾶς, καὶ ἀνέφερεν, ὡς τῆς μητρὸς αὐτοῦ χήρας οὔσης καὶ ἀπροστάτου, δυναστείᾳ χρησάμενος ὁ Φορδηνὸς ἐκεῖνος κατέσχε καὶ ἰδιοποιήσατο χωράφιον γονικόθεν διαφέρον αὐτῷ, καὶ δέδωκε πρὸς αὐτὴν ἕτερον γυναικός τινος Γαβαλίνης καλουμένης, ἣν εἶχεν ὑπὸ τὴν ἑαυτοῦ παροικίαν, καὶ ἦν ἐπὶ χρόνοις ἱκανοῖς, ἐρημίᾳ τοῦ κωλύοντος, κατέχων τε καὶ νεμόμενος σὺν τῷ ἰδίῳ ἀδελφῷ Μιχαὴλ τοῦτο δὴ τὸ χωράφιον τοῦ αὐτοῦ Σαγιτᾶ, ἐπεὶ καὶ οὗτος νεωτάτης ἡλικίας τηνικαῦτα ἐτύγχανεν· τοῦ τοιούτου δὲ Φορδηνοῦ παρελθόντος ἀντεκρίθησαν ἐπὶ τοῦ πατριαρχεύσαντος πρὸ ἡμῶν ἡ τοιαύτη Γαβαλίνα καὶ ὁ ῥηθεὶς Σαγιτᾶς, καὶ

ἐκ συνοδικῆς ἀποφάσεως ὑπεξέστη οὗτος τῇ γυναικὶ ταύτῃ τοῦ χωραφίου αὐτῆς, ἐπιλαβόμενος δὲ αὐτὸς τοῦ οἰκείου μετεποιήσατο τοῦτο εἰς ἀμπέλιον. εἶτα ἠνώχλησέ τις αὐτῷ περὶ τοῦ τοιούτου κτήματος πρεσβύτερος Στέφανος, καλούμενος ὁ Μεσημβρηνός, ὃς εἶχε νύμφην ἐπὶ τῷ υἱῷ αὐτοῦ τὴν τοῦ Μιχαὴλ θυγατέρα, ἀνακαλούμενος αὐτῷ, ὡς εἰς προῖκα ταύτῃ καταγραφέν. καὶ ἀναδραμόντων ἀμφοτέρων ἐνταῦθα ἐπὶ τῷ ἀντικριθῆναι συνοδικῶς καὶ ἀναφορὰν ποιησαμένων τῆς ὑποθέσεως, οὐκ ἀνέμεινεν ὁ τοιοῦτος πρεσβύτερος κρίσιν ἐπ' αὐτῇ λαβεῖν καὶ ἀπόφασιν, ἀλλ' ὑποχωρήσας καὶ καταλαβών, ἔνθα τὸ ἀμπέλιον, ἀνέσπασε τὰ φυτευθέντα παρὰ τοῦ εἰρημένου Σαγιτᾶ κλήματα, ὧν χάριν καὶ ἐδεήθη τῆς ἡμῶν μετριότητος ὁ αὐτὸς Σαγιτᾶς, φέρων ἀνὰ χεῖρας καὶ τὸ δικαιοῦν αὐτὸν τῆς συνοδικῆς διαγνώσεως γράμμα, προβαλλόμενός τε καὶ μάρτυρα τὸν ἱερώτατον μητροπολίτην Προύσης, ὑπέρτιμον, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, οὗ δὴ καὶ βεβαιωσαμένου, ὅτι ἐπιστὰς τῷ τοιούτῳ . . .

finis deest.

XXI. (6824—1315) decembri ind. XIV.

Synodus revocat decretum, per quod cura animarum in ecclesia Leontopoleos demandabatur episcopo Sinopes, praeponitque eidem ecclesiae metropolitam Pisidiae.

† Ἔφθασεν οὐ πρὸ πολλοῦ τινος ἡ μετριότης ἡμῶν ἀναθέσθαι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Σινώπης διαγνώσει καὶ ψήφῳ συνοδικῇ τήν τε ἁγιωτάτην μητρόπολιν Σίδης καὶ τὴν ἁγιωτάτην μητρόπολιν Συλαίου, ὡς ἂν κατέχῃ τε καὶ ἐπισκοπικῶς αὐτὰς διεξάγῃ, ἅτε δὴ γνησίων ἀρχιερέων ἐκ μακροῦ χηρευούσας, ὡς παρὰ τῶν ἀθέων ἐθνῶν κατακυριευθείσας, παραχωρήσει θεοῦ, ἅμα δὲ καὶ διὰ τὸ καὶ τοῦτον ἐξ ἱκανοῦ στερηθῆναι τῆς οἰκείας ἐπισκοπῆς, ὥς τινων ἐκεῖ συμβάντων πραγμάτων, ὧν ἕνεκεν οὐδ' ὅλως αὐτῷ συμφέρουσα ἦν ἡ πρὸς τὰ ἐκεῖσε ἐπάνοδος, συνεξητήσατο μέντοι ὁ τοιοῦτος Σινώπης καὶ τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν κατέχειν Λεοντοπόλεως. ἡ μετριότης οὖν ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, ὡς τῆς ἁγιωτάτης μητροπόλεως Πισσιδίας ἀρχιερέως ἀμοιρούσης τῷ τότε, ᾗ μάλιστα γειτονιάζειν τὴν τοιαύτην ἀρχιεπισκοπὴν Λεοντοπόλεως νῦν ἔγνωμεν, ἑτέρου τότε μηδενὸς παραδείξαντος

ἡμῖν, ὡς ἔχει τὸ πρᾶγμα, καὶ τοῦτο συγκατενεύσαμεν ἐκείνῳ τοῦ συμφέροντος ἕνεκεν τοῦ ὑπ' αὐτὴν χριστωνύμου λαοῦ, καὶ δὴ καὶ γράμματι ταῦτα ἐπεκυρώσαμεν. ἀλλὰ νῦν ἤδη ὁ ἱερώτατος μητροπολίτης Πισσιδίας, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κῦρ Γρηγόριος καὶ ἕτεροι, ἀκριβῶς εἰδότες τὰ τοῦ τόπου, διασαφοῦσιν ἡμῖν τὰ τοῦ πράγματος καὶ τὰ τοῦ τόπου ὡς ἔχει, καὶ ὡς πολλῶν μὲν ἡμερῶν διαστήματι, δυσχερείαις τε ἐθνικαῖς ὁ Σινώπης ἐπίσκοπος τῆς εἰρημένης ἀρχιεπισκοπῆς διείργεται Λεοντοπόλεως, ἐν ταῖς εἰρημέναις ἐκκλησίαις μέλλων διατρίβειν, τῇ τε Σίδης καὶ τοῦ Συλαίου, καὶ οὐκ ἂν ἐκείνῳ δυνατὸν εἴη, εἰ μὴ καὶ πάνυ τοι δυσχερὲς τὸν ὑπὸ τὴν Λεοντόπολιν ἐπισκοπεῖν τοῦ κυρίου λαὸν καὶ τὰ εἰκότα πνευματικῶς αὐτοῦ προμηθεύεσθαι, τῇ κατ' αὐτὸν δὲ μάλιστα τοῦτον ἁγιωτάτῃ μητροπόλει Πισσιδίας ἔγγιστα πάντη διάκειται ἡ αὐτὴ Λεοντόπολις, κἀντεῦθεν αὐτῷ μᾶλλον τῶν ἄλλων ἡ τῶν ἐκεῖσε θεοσεβῶν ψυχῶν κηδεμονία τε καὶ κυβέρνησις ἔσται ῥᾳδία. ὡς οὖν οὕτω ἔχει τὸ ἀληθὲς, ἐπληροφορήθημεν, καὶ θείῳ ζήλῳ κινηθέντα πρὸς τοῦτο τὸν ἀρχιερέα κατενοήσαμεν, μεταβολὴν ἔσχε τὰ τῆς γνώμης ἡμῖν πρὸς τὸ ἁρμοδιώτερον καὶ συμφερώτερον, καὶ διὰ τοῦτο ἀφελέσθαι μὲν τὸν Σινώπης τὴν ἀρχιεπισκοπὴν Λεοντοπόλεως ἀπεφηνάμεθα ψήφῳ κοινῇ, τῷ ῥηθέντι δὲ ἱερωτάτῳ μητροπολίτῃ Πισσιδίας τὴν αὐτῆς τε καὶ πάντων τῶν ὑπ' αὐτὴν τελούντων ποιμαντικὴν ἀνατιθέαμεν διεξαγωγὴν διὰ τοῦ παρόντος συνοδικοῦ γράμματος, ὅση δηλονότι τοῖς ὁμοίῳ τρόπῳ χηρευούσας κατέχουσιν ἐκκλησίας ἐφεῖται, ἄνευ μέντοι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ἀξιώτερον γὰρ εἰς τοῦτο κρίνομεν τοῦ Σινώπης αὐτὸν δὴ τοῦτον τὸν ἱερώτατον μητροπολίτην Πισσιδίας καὶ ὡς πολλῷ πλησιέστερον ἐκείνου πρὸς τὴν Λεοντόπολιν εὑρισκόμενον, ὡς δεδήλωται, κἂν τούτῳ πλείονος εὐποροῦντα δυνάμεως εἰς πνευματικὴν ἐπιστασίαν τῶν ἐκεῖ φιλοχρίστων, καὶ ὅτι τῷ τοιούτῳ μᾶλλον, ὡς τῆς ἱερᾶς μεγάλης συνόδου τελοῦντι· τὴν προεδρίαν τῇδε τῆς ἐκκλησίας ἡγησάμεθα προσήκειν, ἔνθεν τοι καὶ ὁ μὲν Σινώπης τὴς κατοχῆς ἐκστήσεται ἤδη τῆς ῥηθείσης ἁγιωτάτης ἀρχιεπισκοπῆς Λεοντοπόλεως, ταῖς εἰρημέναις ἁγιωτάταις ἐκκλησίαις ταύταις ἀρκούμενος κατὰ τὸ γεγονὸς αὐτῷ γράμμα, ἀντιλήψεται δὲ τὸ ἀπὸ τοῦδε καὶ φροντιεῖ τῶν εἰς σωτηρίαν τεινόντων τοῦ ὑπὸ τὴν διαληφθεῖσαν ἀρχιεπισκοπὴν χριστωνύμου πλη-

ρώματος, καὶ τῶν αὐτῆς ἁπάντων δικαίων κατὰ τὸ ἀνῆκον μεθέξει ὁ ἱερώτατος μητροπολίτης Πισσιδίας. οἱ μέντοι ὑπὸ τὴν τοιαύτην ἐκκλησίαν Λεοντοπόλεως τελοῦντες ὀφείλουσιν ὑποδέξασθαι αὐτὸν ἀσμένως, μηδεμίαν πρὸς τοῦτον ἀπείθειαν ἐνδειξάμενοι ἢ διχόνοιαν ἔχοντές τινα διὰ τὸ πρὸς τὸν Σινώπης προβὰν γράμμα, ὑποταγήσονται δὲ μᾶλλον τῷ ἀρχιερεῖ τῷδε Πισσιδίας, καὶ οὓς εὐήκοον αὐτῷ ὑποθήσουσιν ἐπὶ πᾶσιν, οἷς ἂν πρὸς αὐτοὺς ἔχῃ λέγειν εἰς δόξαν μὲν ἀφορῶσι θεοῦ, ψυχικὴν δ' αὐτῶν σωτηρίαν καὶ τῶν τῆς ἁγίας ἐκκλησίας δικαίων σύστασιν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα γεγονὸς τῷ ἱερωτάτῳ μητροπολίτῃ Πισσιδίας καὶ ὑπερτίμῳ κῦρ Γρηγορίῳ παρὰ τῆς ἡμῶν μετριότητος ἐπιδέδοται εἰς ἀσφάλειαν.

† Εἶχε τὸ· δεκεβρίῳ ἰνδ. ιδ' †.

XXII. (6824—1315) decembri ind. XIV.

Synodus condemnat duos clericos.

† Μηνὶ δεκεβρίῳ ἰνδ. ιδ' ἡμέρᾳ παρασκευῇ ἐκινήθησαν αἰτιάματα κατὰ πρεσβυτέρου τοῦ Ὑαλέως, ἓν μὲν, ὡς μετὰ τὸ ἱερουργῆσαι αὐτὸν ἐν τῷ θείῳ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου τοῦ ἀπὸ τῶν Μαμουδέρτων, εἰσῆλθεν ἐκεῖσε κύων, καὶ τῶν παρατυχόντων ἀπελαυνόντων αὐτὸν εἶπε τολμηρῶς πάντη καὶ ἀναίδως φωνὴν ἔξω τελοῦσαν τῆς χριστιανικῆς ὅλως καταστάσεως ὁ τοιοῦτος πρεσβύτερος· ἄφετε αὐτὸν, ὅτι τὸ „προσέλθετε" ἤκουσε, καὶ εἰσῆλθε. δεύτερον, ὅτι μέλλοντος γενέσθαι ἁγιασμοῦ ἐν τῷ τοιούτῳ ναῷ ἐκομίσθη τούτου χάριν σκάφη μεγάλη, καὶ ἰδὼν ὁ αὐτὸς πρεσβύτερος τὸ μέγεθος τῆς τοιαύτης σκάφης, τελεσθέντος τοῦ ἁγιασμοῦ εἶπε μετὰ τῆς ὁμοίας ἀναιδείας ὅτι· ἀπὸ τοῦ νῦν εἰσάξατε καὶ χοῖρον ἐν αὐτῇ. καὶ τρίτον ὡς ἱερέως τινὸς καλουμένου .... σκάνδαλα ἔχοντος μετ' αὐτοῦ τε καὶ ἑτέρων ἐτόλμησεν εἰπεῖν ὅτι· σὲ οὐ τοῦ παναγίου πνεύματος ἡ χάρις ἐχειροτόνησεν, ἀλλ' ἡ τοῦ διαβόλου. ταῦτα δὲ ἐμαρτύραντο ἀληθῶς ἔχειν οἱ συγκληρικοὶ τοῦ εἰρημένου πρεσβυτέρου. διὰ τοῦτο καὶ κατεδίκασεν αὐτὸν ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Μονεμβασίας, τοῦ Γαγγρῶν, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Σερρῶν, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ

Βιζύης καὶ τοῦ Μηδείας, καθηρημένου τοῦ λοιποῦ τυγχάνειν καὶ ἀπηλλοτριωμένον τοῦ τῶν ἱερέων χοροῦ, μείζονα λογισαμένη καὶ κρίνασα τὴν ἐν τοῖς εἰρημένοις λόγοις τόλμην καὶ ἀδιαφορίαν κακίστην καὶ ἀσυνειδησίαν πάθους τινὸς προφανοῦς τῶν σωματικῶν, ἐπεὶ καὶ μείζονα τὰ ἐνοικοῦροῦντα τῇ ψυχῇ πάθη, δι' ἧς τῷ θεῷ τὴν λογικὴν λατρείαν προσφέρομεν τῶν σωματικῶν μολυσμῶν, ὅταν δηλονότι πρὸς τὴν εὐσέβειαν καὶ εἰς αὐτὸ τὸ θεῖον ἀπὸ ψυχῆς καὶ τῶν ἐκεῖθεν λογισμῶν καὶ λόγων κατὰ γνώμην ἁμαρτάνωμεν, ὥστε καὶ ἐπειδὴ τῶν τοιούτων λόγων ἐξελεγχομένων καὶ μαρτυρουμένων καὶ τῆς καταδίκης κατὰ τοῦ εἰπόντος ἐξενηνεγμένης..... ἀρχιερέων. ἦν δὲ οὗτος ὁ τῆς Κίου ἀρχιεπίσκοπος..... τὴν ἐν τοῖς ῥηθεῖσι λόγοις ἁμαρτίαν ἐποιεῖτο, καὶ συγγνώμης ἠξίου τὸν εἰπ(όντα) τῇ ἡμῶν μετριότητι καὶ τῇ περὶ αὐτὴν ἱερᾷ καὶ θείᾳ συνόδῳ κατὰ θεῖον ζῆλον βάρους (ἐπιτιμήσε)ως.... ἄξιος. καὶ μέντοι καὶ οὐκ ἀπεσχόμεθα τῇ θερμότητι τοῦ ζήλου..... χάριτι θεοῦ μετὰ τὸ πρέπον καὶ ἀνῆκον ἐπιθέσθαι. καὶ τούτῳ βάρος τῆς ἐπιτιμήσεως, ὡς ἂν διὰ τούτου καὶ τοῦ ἀποτεταγμένου καιροῦ τὸ τῆς, ἐφ' οἷς οὐκ ἔδει, συγγνώμης ἀποτριψαιτο αἰτίαμα.

Τῷ αὐτῷ μηνὶ ἡμέρᾳ δευτέρᾳ ἐκινήθησαν αἰτιάματα καὶ κατὰ τοῦ εὑρισκομένου ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ ἁγίου μεγαλομάρτυρος καὶ μυροβλύτου Δημητρίου καὶ ἐπικεκλημένῃ τῶν Παλαιολόγων ἱερομονάχου Θεοδοσίου, καὶ ἐξεταζομένων τούτων καί τινων ἤδη καὶ φανερουμένων, αὐτὸς προλαβὼν παρῃτήσατο καὶ ὡμολόγησεν ἀποθέσθαι τὰ τῆς ἱερωσύνης, ἀνάξιον ταύτης ἑαυτὸν εἶναι διαβεβαιωσάμενος ἐνώπιον τῆς ἡμῶν μετριότητος καὶ τῶν ἀναγεγραμμένων ἱερωτάτων ἀρχιερέων, ὅθεν καὶ ἐστέρχθη ἡ τοιαύτη ψῆφος κατ' αὐτοῦ †.

XXIII. (6824—1316) ianuario ind. XIV.

Joannes XIII. metropolitam Thessalonices jubet dissentientibus clericis poenas ecclesiasticas imponere.

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. ἐπειδή, ὅτε εὐδοκίᾳ τοῦ παναγάθου καὶ εἰρηνοδότου θεοῦ οἱ ἀπὸ τῶν διαφερομένων πρότερον ἀδελφῶν ὡμονόησαν καὶ συνῆλθον

εἰς τὴν κοινωνίαν καὶ ἕνωσιν τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, μετὰ τῶν ἄλλων κεφαλαίων τῶν τότε λαληθέντων καὶ συμφωνηθέντων ἐπὶ τῷ τὰ τῆς εἰρήνης τελεσθῆναι χάριτι θεοῦ, ἐλαλήθη ὕστερον καὶ ἐτάχθη καὶ τοῦτο, ἵνα δηλονότι διὰ τὰς ἐν τῷ μεταξὺ χρόνῳ. τῆς διαφορᾶς καὶ ἔχθρας γενομένας, οἷα δὴ τὰ ἀνθρώπινα, πρὸς ἀμφότερα τὰ μέρη παρ' ἀλλήλων αἰτίας οὐ καλὰς καὶ μέμψεις τὰ μὴ ὄντα μηδὲ ταληθῆ κατ' ἀλλήλων ὑπο τῆς φιλονεικίας καὶ διαφορᾶς πλαττόντων καὶ συκοφαντούντων καὶ ὑβριστικῶς κατηγορούντων, ἐπιταχθῇ καὶ δοθῇ διὰ τοῦτο εἰς ἀμφότερα τὰ μέρη κανών τις καὶ πνευματικὴ ἐπιτίμησις, ὥστε διὰ τῆς τοιαύτης ἐπιτιμήσεως, εἴ τι καὶ προσετρίβη ἐκ τῶν εἰρημένων αἰτιῶν ἑκατέρῳ τῶν μερῶν ἁμαρτήματος αἴτιον, λυθείη καὶ τοῦτο, καὶ ἀπαλλαγῶσι παντάπασιν οἱ ἐξ ἑκατέρου μέρους ἀδελφοὶ τῆς ἐντεῦθεν μέμψεως, καὶ καθαρὸν τὸ τῆς εἰρήνης ἐπιλάμψειε φῶς εἰς αὐτούς, μηδεμιᾶς ἐπισκοτούσης ἐκ μικροψυχίας ἀφορμῆς καὶ συνθολούσης αὖθις καὶ ταραττούσης τὰς τῶν ἑκατέρων συνειδήσεις, ὃς δὴ τρόπος τῆς ἐκκλησίας ἐνηργήθη τότε καὶ ἐπράχθη ἐν τοῖς ἄλλοις, ἐν δὲ τῇ μεγαλοπόλει Θεσσαλονίκης καὶ τῇ ἐνορίᾳ τῆς κατὰ σὲ ἁγιωτάτης ἐκκλησίας οὐκ ἔφθασεν ἐνεργηθῆναι διὰ τὸ μὴ εὑρίσκεσθαι ἐν αὐτῇ γνήσιον ἀρχιερέα. ἀρτίως μέντοι χάριτι καὶ φιλανθρωπίᾳ θεοῦ (ἀποκατέστης) καὶ καταλαμβάνεις τὴν τοιαύτην ἁγιωτάτην ἐκκλησίαν γνήσιος ποιμὴν καὶ ἀρχιερεύς . . . ἐπιτρέπει (ἡ μετριότης) ἡμῶν διὰ τοῦ παρόντος γράμματος ἅμα τῇ περὶ (αὐτὴν ἱερᾷ καὶ θείᾳ συνόδῳ), καταλαβὼν ἐκεῖσε εἰς τὴν κατὰ σὲ τοιαύτην ἁγιωτάτην ἐκκλησίαν ..... ωσιν οἱ ἐκεῖσε εὑρισκόμενοι, ὑπὸ τῶν διαφερομένων πρότερον ἀδελφῶν ἐκπληρωθῆναι καὶ ἐνεργηθῆναι εἰς ἀμφότερα τὰ μέρη τὴν τοιαύτην τάξιν τοῦ ἐπιτιμίου, καθὼς καὶ ἐξ ἀρχῆς ἐτάχθη παρὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐνταῦθα, δέξῃ καὶ οἰκονομήσῃς γενέσθαι καὶ ἐκπληρωθῆναι τοῦτο, καθὼς εἴρηται, διὰ τὰς ἀναγεγραμμένας αἰτίας. εἰ δ' ἴσως ἀναβάλλονται τοῦτο κατά τινα τρόπον, ἐάσῃς τὰ περὶ τούτου καὶ σὺ, ὡς οὐδὲν οὐδαμῶς οὐδὲ οὕτω παραβλαπτομένης τὸ παράπαν τῆς μετὰ τῶν ὁμονοεῖν αἱρουμένων ἀδελφῶν εἰρήνης, χάριτι τοῦ παντοδυνάμου καὶ φιλανθρώπου καὶ εἰρηνάρχου θεοῦ.

† Εἶχε τὸ· μηνὶ ἰανουαρίῳ ἰνδ. ιδ' †.

XXIV. Sine anno.

Synodus dirimit controversiam de hereditate.

† Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ἡ ἀπὸ τῆς χώρας τῶν Ἀννακοσίων Μαρία ἡ τοῦ Γαβριὴλ, καὶ ἀνέφερεν, ὡς ἄνδρα κατὰ νόμους εἶχέ τινα Θεόδωρον, καλούμενον τὸν Μαμάτζην, καὶ τούτου τὸν βίον ἀπολιπόντος ἐπὶ παιδὶ οὐκ ἠθέλησε δευτέροις ὁμιλῆσαι γάμοις, ἀλλ' ἔστιν ἐν σωφροσύνῃ διάγουσα καὶ τῆς ψυχῆς φροντίζουσα τοῦ ἀνδρός. εἶτα μετὰ δεκαπέντε νῦν χρόνους καὶ τοῦ παιδὸς τελευτήσαντος πειρῶνται οἱ ἀνδράδελφοι ταύτην ἀφελέσθαι, ἣν ἐκείνῳ δὴ τῷ υἱῷ αὐτῆς ἀνήκουσαν μερίδα παρέσχον ἐκ τοῦ περιελθόντος τούτοις κτήματος ἀπὸ κληρονομίας τοῦ πατρὸς αὐτῶν, ἀδιαθέτου τὸ χρεὼν λειτουργήσαντος, οὗ χάριν καὶ ἐδεήθη τῆς ἡμῶν μετριότητος. παρόντες δὲ τῷ διακαστηρίῳ καὶ οἱ τοιοῦτοι ἀνδράδελφοι, καὶ τὰ εἰρημένα τῆς νύμφης ταύτης δὴ τῆς Μαρίας διεξιούσης ἀκούοντες, ταὐτὰ μὲν ἦσαν καὶ αὐτοὶ συνομολογοῦντες, διετείνοντο δὲ ὅμως ἐν τῷ μέρει, δοῦναι τούτους πρὸς τὸν ἀνεψιὸν τὴν τοιαύτην μερίδα καὶ δικαίους εἶναι πάλιν, ἐκείνου παρελθόντος, ταύτην λαβεῖν. διέγνω οὖν ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Μονεμβασίας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Σερρῶν, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Βιζύης, τοῦ Κίου καὶ τοῦ Μηδείας, μὴ ἔχειν ὅλως ἐκ τῶν ἱερῶν νόμων δικαιολογίαν τοὺς ἀνδραδέλφους ἐπὶ τῇ δηλωθείσῃ μερίδι, ἐπεὶ γὰρ τοῦ πατρὸς αὐτῶν ἴδιον ἦν τὸ κτῆμα, καὶ ὡς τὸ πρόσωπον φέροντι τοῦ ἀδελφοῦ δεδώκασι καὶ τῷ ἀνεψιῷ τὸ ἀνῆκον, οὐχ οὗτοι δίκαιοί εἰσι κατ' αὐτοὺς τοὺς θείους νόμους ἀναζητεῖν τοῦτο κληρονομεῖν, ἀλλ' ἔξει τὴν τούτου κληρονομίαν εἰς ἀναφαίρετον ἡ ἐκείνου μήτηρ, δι' ὃν δὴ καὶ τὰ τοῦ ἀνδρὸς ἐκληρονόμησε ..... πράγματα, ὅθεν καὶ ὀφείλουσι παύσεσθαι οἱ τοιοῦτοι ἀνδράδελφοι δι' ὄχλου ..... τούτου χάριν αὐτήν. διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος (τῇ διαληφθείσῃ) Μαρίᾳ τῇ τοῦ Γαβριὴλ εἰς ἀσφάλειαν ἐπιδέδοται †.

† Εἶχε .....

XXV. Sine anno.

Synodus metropolitae Chalcedonis confert archiepiscopatum Maroneae per adiunctionem.

† Προσῆκον ἔργον ἄρα τοῖς λαχοῦσιν ἄρχειν καὶ ἰδιαίτατον μάλιστα τῶν συνδιαφερόντων αὐτοῖς τὰς ἐπὶ τῆς ἀρχῆς φροντίδας, ἐφ' οἷς ἀναγκαίως χρῄζουσι προμηθεύεσθαι καὶ ἀνενδεεῖς καθιστᾶν πραγματευομένοις τὸν τρόπον τοῦτον καὶ οἰκονομουμένοις τὸ ἐπίμονον ἔχειν ἐκείνους καὶ ἀντέχον καὶ γενναῖον περὶ τὰς προκειμένας καὶ φροντίδας καὶ ἐργασίας, ὥστ' εἶναι καὶ ἱκανοὺς καὶ προθύμους συναγωνιστὰς καὶ συλλήπτορας, ἐπεὶ τῶν συναιρομένων ἀμελουμένων ἀνάγκη πᾶσα καὶ αὐτοὺς τό γ' ἐξ ἐκείνων μέρος ἐλλελεῖφθαι τῆς προσηκούσης σπουδῆς. ταῦτά τοι καὶ ἡ μετριότης ἡμῶν, ὡς ἕν τι τῶν μάλιστα εἰκότων, μᾶλλον δὲ καὶ ἀναγκαιοτάτων ἐν σπουδῇ τῇ προσηκούσῃ σὺν θεῷ τίθεται, καὶ φροντίδος οὐ τῆς ἐλαχίστης ἀξιοῖ, ὥστε τοῖς μὴ ἱκανῶς ἔχουσιν ἐκ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων ἑαυτοῖς τὰ πρὸς τὴν χρείαν ἐξαρκεῖν, τὴν δυνατὴν προμήθειαν ἐπιδείκνυσθαι καὶ τὸ ἐνδέον ἀναπληροῦν, ἵν' οὕτω καὶ αὐτοὶ ἀνενδότῳ ἔχωσι προθυμίᾳ συνεφάπτεσθαι καὶ συναντιλαμβάνεσθαι τῶν πνευματικῶν ἀγώνων αὐτῇ. τοιοῦτος δὴ ὢν τυγχάνει καὶ ὁ ἱερώτατος μητροπολίτης Χαλκηδόνος, ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, πολὺ μὲν κἀν τοῖς καιρίοις τὸ παρ' ἑαυτοῦ χρήσιμον παρεχόμενος, ἔχων δὲ ὅμως ἐνδεῶς τῆς προσηκούσης αὐταρκείας αὐτῷ. μέντοι καὶ, ὡς προσῆκε, προμηθευσαμένη τούτου ἡ μετριότης ἡμῶν κοινῇ ψήφῳ καὶ κρίσει καὶ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Μονεμβασίας, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Μύρων, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Βιζύης, τοῦ Κίου καὶ τοῦ Μηδείας, παρέσχεν αὐτῷ κατὰ λόγον ἐπιδόσεως τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Μαρωνείας, ὅθεν καὶ καθέξει αὐτὴν ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Χαλκηδόνος καὶ ὑπέρτιμος καὶ τὰ ὑπ' αὐτὴν πάντα, καὶ ἐπ' ἀδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους, ἔτι δὲ καὶ ἡγουμένους ἐγκαθιστᾶν, καὶ ἁπλῶς τῶν ἐκείνης πάντων μεθέξει, ὅσα γε καὶ γνήσιος ἀρχιερεύς, ἄνευ μέντοι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὅθεν ὀφείλουσιν

οἵ τε κληρικοὶ τῆς δηλωθείσης ἁγιωτάτης ἐκκλησίας Μαρωνείας καὶ οἱ ὑπὸ τὴν ἐνορίαν ταύτης τελοῦντες καὶ πνευματικὴν ἐπικράτειαν, ἱερωμένοι, μονάζοντες καὶ τὸ λοιπὸν χριστώνυμον πλήρωμα, δέξασθαι τοῦτον καὶ διὰ πάσης ἄγειν αἰδοῦς καὶ τιμῆς καὶ τὴν προσήκουσαν ὑποταγὴν τούτῳ καὶ εὐπείθειαν ἀπονέμειν ὡς ἀρχιερεῖ αὐτῶν καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ, ἐφ' οἷς ἂν ὑπ' αὐτοῦ νουθετοῖντο καὶ ἐπιτάττοιντο πρὸς σωτηρίαν συντείνουσι τῶν ψυχῶν αὐτῶν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος τούτῳ δὴ τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, εἰς ἀσφάλειαν ἐπιδέδοται †.

XXVI. (6824—1316) februario ind. XIV.

Synodus concedit, ut duo lectores promoveantur ad diaconorum gradum.

I. † Μηνὶ φεβραρίῳ ἰνδ. ιδ' ἐδέησε τῷ ἀπὸ τῆς χώρας τῶν Μαμουδέρτων Μιχαὴλ τῷ Σγουρανῷ εἰς ἀναγνώστην εὑρισκομένῳ προβιβασθῆναι εἰς τὸν τοῦ διακόνου βαθμόν, καὶ ἐκινήθη λόγος συνοδικῶς, ὡς πρὸ τριῶν ἤδη χρόνων προσῆλθε τῷ ἱερωτάτῳ μητροπολίτῃ Νικομηδείας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Βιθυνίας, ἐπὶ τῷ σφραγισθῆναι εἰς ἀναγνώστην παρ' αὐτοῦ, καὶ ὅτι μὴ εἶχε μαρτυρίας ἐγγράφους, καθὼς νενόμισται, οὐκ ἔτυχε τοῦ αἰτουμένου· ζητήσας δὲ τοὺς εἰδότας τὰ κατ' αὐτὸν κληρικοὺς τοῦ θείου ναοῦ τοῦ ἁγίου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου, ὡς ἂν οὗτοι δώσουσι μαρτυρίας ὑπὲρ αὐτοῦ, τὰ πρῶτα μὲν οὐκ ἐποίησαν τοῦτο, εἰπόντες πρὸς τὸν αὐτὸν ἱερώτατον μητροπολίτην Νικομηδείας, ἔχειν ἐξ ἀκοῆς, ὅτι σταυρικοὺς δεσμοὺς ὁ τοιοῦτος Σγουρανὸς ἔθετο ἐπὶ τῷ λαβεῖν εἰς γυναῖκα τὴν θυγατέρα τοῦ καλουμένου Γαληνοῦ. ἐπεὶ δὲ ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης Νικομηδείας μετεκαλέσατο τὸν τοιοῦτον Γαληνὸν καὶ ἐπιτιμίῳ βαρύνας, μὴ ἀποκρύψαι τὸ ἀληθὲς, ἔσχεν ἀνομολογήσαντα, κινηθῆναι μὲν λόγους περὶ τούτου, μὴ μέντοι καὶ σταυρικοὺς προβῆναι δεσμούς, ὅτιπερ ἡ κόρη χρόνων ἦν ἓξ τηνικαῦτα καὶ ὁ ἀνὴρ δέκα. τότε μαρτυρίας ἐκθεμένων τῶν τοιούτων κληρικῶν γέγονεν ἀναγνώστης ἐκκλησιαστικῇ προτροπῇ, οὐ προεβιβάσθη δέ γε καὶ εἰς διάκονον, ὅτι μὴ χρόνων ἦν κατὰ νόμους εἴκοσι πέντε. νῦν δὲ αἰτησαμένου τούτου τὸν τοιοῦτον προβιβασμὸν ἐκίνησαν οἱ αὐτοὶ κληρικοὶ τὸ εἰρημένον ἔγ-

κλημα, καὶ ὅτι ταῦτα οὕτως ἔχει, διεβεβαιώσατο μὲν παρὼν τῇ συνόδῳ οὗτος δὴ ὁ ἱερώτατος μητροπολίτης Νικομηδείας, ἐνεφανίσθησαν καὶ αἱ μαρτυρίαι τῶν αὐτῶν κληρικῶν παρὰ τοῦ δεξαμένου ταύτας καὶ δόντος τὴν προτροπὴν κατὰ τὸ κρατοῦν ἐκκλησιαστικὸν ἔθος. εἶτά τις ἐκ τῶν αὐτῶν κληρικῶν διάκονος Θεόδωρος ὁ Δραγιλανὸς καλούμενος ἐκίνησεν ἕτερον ἔγκλημα, ὅτι γείτονα ἔχων τὸν δηλωθέντα Σγουρανὸν ἠρώτησεν αὐτὸν ἔτι μόνους ἀρραβῶνας ἔχοντα μετὰ τῆς ἰδίας γυναικός, πῶς διαναπαύεται εἰς τὰ πενθερικὰ αὐτοῦ, ὁ δὲ πρὸς αὐτὸν εἶπε, μὴ φροντίδα ἔχειν περὶ τούτου, ἐπείπερ ἔφθασε μιγῆναι τῇ τοιαύτῃ γυναικὶ αὐτοῦ. καὶ ἀπαρνουμένου τούτου δὴ τοῦ Σγουρανοῦ, τὸν τοιοῦτον λόγον εἰπεῖν, προβαλλομένου δὲ ἅμα τὴν Μουζαλώνισσαν καὶ τὴν Θεοδηγίναν πρὸς μαρτυρίαν τοῦ παρθένον εὑρεθῆναι τὴν κόρην ἐν τῷ τοῦ γάμου καιρῷ, ἐπεὶ μὴ δυνατῶς εἶχον αὗται τούτου χάριν πρὸς τὴν σύνοδον ἀπαντῆσαι, διεμηνύθησαν μετὰ τοῦ ἐντιμοτάτου ἐκκλησιαστικοῦ τοῦ Καβαλλαροπούλου, καὶ διεβεβαιώσαντο, ὅτι οὐ παρῆσαν τελουμένου τοῦ γάμου, ἀλλά τινες γυναῖκες αὐτῶν, ὧν δὴ καὶ μετακληθεισῶν, ἐπετράπη ὁ ἱερώτατος ἀρχιεπίσκοπος Βιζύης ἐρωτῆσαι ταύτας μετ' ἀσφαλείας τῆς προσηκούσης ἅμα τοῖς ἐντιμοτάτοις ἐκκλησιαστικοῖς, τῷ τε ἄρχοντι τῶν μοναστηρίων τῷ Παραδείσῳ καὶ τῷ Καβαλλαροπούλῳ, καὶ διαβεβαιωσαμένων τούτων, παρθένῳ μιγῆναι τὸν δηλωθέντα Σγουρανὸν τῇ κόρῃ, ὡς καὶ παρούσας ταύτας ἰδεῖν τὴν τῆς παρθενίας παράστασιν, ἐδικαιώθη συνοδικῶς ὁ εἰρημένος Σγουρανὸς προβιβασθῆναι ἀκολύτως εἰς τὸν τῆς διακονίας βαθμόν †.

II. † Τῷ αὐτῷ μηνὶ ἐδέησε καὶ τῷ Καρβαληνῷ Θεοδώρῳ ἐξ ἀναγνώστου προβιβασθῆναι εἰς τὸν τῆς διακονίας βαθμόν, καὶ κινηθέντος λόγου εἰπεῖν τινα γυναῖκα μιγῆναι τοῦτον αὐτῇ, παρέστη συνοδικῶς ὁ αὐτὸς Καρβαληνός, καὶ ἀνέφερεν, ὡς πρὸ τριῶν ἤδη χρόνων ᾐτήσατο τὸν τοιοῦτον προβιβασμόν, καὶ τότε ἐλάλησε τὴν τοιαύτην κατηγορίαν κατ' αὐτοῦ ἡ τοιαύτη γυνή. ἐξετάσεως δὲ γενομένης ἀπηλέγχθη ὑπὸ μαρτύρων τοῦ τε Ἰωάννου τοῦ Κουτούφαρι καὶ τοῦ Κωνσταπῆ, μάτην τούτου κατηγορῆσαι, καὶ εἰς παράστασιν τῶν εἰρημένων ἐνεφάνισε γράμμα τοῦ τῷ τότε καιρῷ πατριαρχεύοντος. πλὴν ἐπεὶ δέον ἦν

ἐπὶ πλέον ἀκριβώσασθαι τὴν ὑπόθεσιν, μετεκλήθησαν εἰς τὴν σύνοδον καὶ οἱ αὐτοὶ μάρτυρες καὶ ἡ αὐτὴ γυνή, καὶ συνωμολόγησαν τὰ αὐτά. εἶτα ἐπετράπη ἐρωτῆσαι τὴν αὐτὴν γυναῖκα ὁ ἱερώτατος μητροπολίτης Προύσης καὶ ὑπέρτιμος, ἣ δὴ καὶ ἐρωτηθεῖσα παρ' αὐτοῦ καὶ ἐπιτιμίῳ ὑποβληθεῖσα ἀνωμολόγησε, ψευδῶς κατειπεῖν τοῦ τοιούτου Καρβαληνοῦ, κινηθῆναι δὲ πρὸς τοῦτο, τὸ μὲν ἔρωτι τοῦ λαβεῖν αὐτὸν εἰς ἄνδρα, τὸ δὲ καὶ ὑποβολῇ τῆς θείας αὐτοῦ τῆς Θεοδωροπουλίνης, ἣν δὴ καὶ αὐτὴν ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Προύσης καὶ ὑπέρτιμος ἐπετράπη ἐρωτῆσαι σὺν τῷ ἄρχοντι τῶν μοναστηρίων τῷ Παραδείσῳ μετὰ ἀσφαλείας τῆς προσηκούσης, καὶ ἐρωτηθείσης ταύτης ὑπ' αὐτοῦ καὶ διαβεβαιωσαμένης, ὅτι σκάνδαλον μὲν εἶχε μετὰ τῆς δηλωθείσης γυναικὸς περί τινος βιωτικῆς ὑποθέσεως, οὐχ ὑπέβαλε δὲ ἐκείνην κατὰ τῆς ὑπολήψεως κατηγορῆσαι τοῦ ἀνεψιοῦ, ὅτι μηδὲ σύνοιδέ τι κατὰ τῆς ὑπολήψεως αὐτοῦ. ὅθεν καὶ ἐδικαιώθη καὶ οὗτος συνοδικῶς, προβιβασθῆναι ἀκωλύτως εἰς τὸν τῆς διακονίας βαθμόν †.

XXVII. (6824—1316) aprili ind. XIV.

Synodus metropolitae Dyrrhachii confert metropolim Selymbriae per adiunctionem.

† Καὶ τοῦτο δὲ ἄρα τοῦ δικαίου τε καὶ καθήκοντος εἴπερ ἄλλο τι πέφυκεν εἶναι, τοὺς πνευματικὴν ἐγκεχειρισμένους ἐπιστασίαν ἀνενδεῶς ἔχειν καὶ ἱκανῶς, ὅσα γε πρὸς χρείαν ἥκει τοῦ σώματος, ἵν' οὕτως αὐτοί τε μὴ περὶ τὰ ἔξωθεν ἀσχόλως ἔχοντες ἑνὶ τούτῳ καὶ μόνῳ σχολάζοντες σὺν πάσῃ εἶεν σπουδῇ, ὅπως τὴν ἐμπεπιστευμένην αὐτοῖς φροντίδα καὶ ἐπιμέλειαν τῶν ψυχῶν καλῶς καὶ ὡς προσῆκον ἐστὶν διιθύνωσιν, προσέτι δὲ καὶ ἑτέροις (ὡς εἰ)κὸς δύναιντο ἐπαρκεῖν, οὓς ἀπόρως περὶ τὸν βίον ὁ χρόνος ἔχειν ἠνάγκασεν.... ἀλλὰ τοῦ γε προτέρου καὶ καθ' αὑτοὺς μὴ ἀποτυγχάνειν τῶν ἀναγκαιοτάτων πάντως ἐστὶν, οὐκοῦν καί τινας τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων) ἐνδεῶς τῶν πρὸς τὸ αὔταρκες ἔχοντας καὶ μήθ' αὑτοῖς, μηθ' ἑτέροις ἐπαρκεῖν δυναμένους, ἅτε τῆς ἐκ τῶν κατ' αὐτοὺς ἁγιωτάτων ἐκκλησιῶν προσόδου φθάσαντας ἐστερῆσθαι, τῆς τοῦ καιροῦ δυσχερείας ὡς οὐκ ἐχρῆν ἀπολαύσαντας, προμηθείας ἀξιοῦν ἡ μετριότης ἡμῶν βούλεται. πόθεν γὰρ ἄλλοθεν χρεὼν εὖ πάσχειν τοὺς τὴν ἀδελφικὴν πληροῦντας ὁμήγυριν καὶ βοηθείας ἱκανῆς μεταλαγχάνειν ἢ παρ' ἡμῶν τῶν τὰ

κοινὰ σὺν αὐτοῖς καὶ πνευματικὰ πραττόντων καὶ συνεργοὺς αὐτοὺς ἐπὶ τοῖς ἀναγκαιοτάτοις φέρειν λαχόντων τῇ ἐκ θεοῦ χάριτι, οὓς οὐδὲ αἷμα οὔτε μὴν σὰρξ, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον τελεῶσαν ὁμοῦ καὶ χρῖσαν εἰς τὴν πνευματικὴν συνῆψεν ἀδελφότητα; τοῦτον δὴ τὸν τρόπον καὶ τῷ ἱερωτάτῳ μητροπολίτῃ Δυρραχίου, ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, ἀπορουμένῳ περὶ τὰ ἀναγκαῖα, τὴν ἁγιωτάτην μητρόπολιν Σηλυβρίας χηρεύουσαν ἤδη καὶ δεομένην τοῦ ἐπιστατήσοντος ἀπονέμομεν κατὰ λόγον ἐπιδόσεως κοινῇ ψήφῳ τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Μονεμβασίας, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Μύρων, τοῦ Χριστουπόλεως, τοῦ Μιτυλήνης, τοῦ Ἀμάστριδος, τοῦ Βιζύης, τοῦ Γαρέλλης, τοῦ Νυμφαίου καὶ τοῦ Μηδείας, ὡς ἂν αὐτὸς μὲν ἐπικουρίαν ἐκεῖθεν ἕξει, ὧν ἐστιν ἐπιδεής, ὁ δὲ κατ' ἐκείνην λαὸς τῆς παρὰ τοῦδε διδασκαλίας ἐπαπολαύων ἐπιτυγχάνῃ καὶ τῆς κατὰ ψυχὴν ὠφελείας, καὶ πρὸς τὰ κρείττω ὁσημέραι προκόπτῃ τῇ τοῦ θεοῦ χάριτι. καθέξει τοίνυν ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Δυρραχίου καὶ ὑπέρτιμος τὴν τοιαύτην ἁγιωτάτην ἐκκλησίαν Σηλυβρίας καὶ τὰ ὑπ' αὐτὴν πάντα, καὶ ἐπ' ἀδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους, ἔτι δὲ καὶ ἡγουμένους ἐγκαθιστᾶν, καὶ ἁπλῶς τῶν ἐκείνης πάντων μεθέξει, ὅσα γε καὶ γνήσιος ἀρχιερεὺς, ἄνευ μέντοι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὅθεν ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς δηλωθείσης ἁγιωτάτης ἐκκλησίας καὶ οἱ ὑπὸ τὴν ἐνορίαν ταύτης τελοῦντες καὶ πνευματικὴν ἐπικράτειαν, ἱερωμένοι, μονάζοντες καὶ τὸ λοιπὸν χριστώνυμον πλήρωμα δέξασθαι τοῦτον καὶ διὰ πάσης ἄγειν αἰδοῦς καὶ τιμῆς καὶ τὴν προσήκουσαν ὑποταγὴν τούτῳ καὶ εὐπείθειαν ἀπονέμειν ὡς ἀρχιερεῖ αὐτῶν καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ, ἐφ' οἷς ὑπ' αὐτοῦ νουθετοῦντο πρὸς σωτηρίαν συντείνουσι τῶν ψυχῶν αὐτῶν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος τούτῳ δὴ τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Δυρραχίου, ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, εἰς ἀσφάλειαν ἐπιδέδοται.

Εἶχε τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. ιδ' †.

XXVIII. (6824—1316) aprili ind. XIV.

Joannes XIII. metropolitam Melenici in ius vocat.

† Ἱερώτατε μητροπολῖτα Μελενίκου καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. κληρικοί τινες τῆς κατὰ σὲ ἐκκλησίας, ὁ σακελλάριος, ὁ σκευοφύλαξ καὶ ὁ χαρτοφύλαξ μετὰ πρεσβυτέρου τινὸς Ἀλεξίου, καλουμένου τοῦ Ταλέα, ἐνεφάνισαν λιβέλλου γράμμα συνοδικῶς τῇ ἡμῶν μετριότητι, φέροντος αἰτιάματα καθαπτόμενα τῆς ἱερότητός σου καὶ διὰ τοῦτο δεόμενα ἐξετάσεως. καὶ παραδηλοῖ τῇ ἱερότητί σου ἡ μετριότης ἡμῶν καταλαβεῖν ἐνταῦθα ἐπὶ τῷ ἀπολογήσασθαι περὶ τῶν τοιούτων αἰτιαμάτων διὰ τριῶν ἀπάρτι μηνῶν. μὴ γοῦν βραδύνῃ ἐπὶ πλέον ἡ ἱερότης σου, ἀλλ' ὡς ἀναγκαίας οὔσης καὶ ἀπαραιτήτου τῆς ἐξετάσεως καταλαβέτω διὰ τοῦ τοσούτου καιροῦ, ἵνα δώσει λόγον περὶ τῶν τοιούτων αἰτιαμάτων. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος.

† Εἶχε τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. ιδ' †.

XXIX. (6824—1316) aprili ind. XIV.

Synodus archiepiscopo Nymphaei a sede sua pulso dat episcopatum Derci.

† Καὶ ἄλλοις μὲν, ἂν μὴ προνοεῖν γένηται τῶν αὐτοῖς τι καὶ κατὰ μικρὸν προσηκόντων, οὐκ ἂν οὕτοί γε διαγένοιντο, ὥστε δὴ μὴ εἰς πολλήν τινα τὴν ὠμότητα ἐγκληθῆναι, παρ' ἡμῖν δὲ καλῶς ἂν ἔχοι, τὸν ἐπανηρημένον αὐτὸν ἡμῖν τοῦ εὐαγγελίου ζυγὸν καὶ τῷ ἀρότρῳ τοῦ θείου λόγου τὰς τῶν πιστῶν γεηπονοῦντα καρδίας καὶ τῇ θείᾳ ἄλωνι τὰ πολλὰ ἐνιδρώσαντα καὶ ἱκανῶς αὐτῇ προσταλαιπωρήσαντα οὕτω δὴ πεφιμῶσθαι καὶ τῇ ἐνδείᾳ τῶν ἀναγκαίων καταπιέζεσθαι; ἂν δ' οὗτος αὖ καὶ χρόνῳ πολλῷ καὶ γήρᾳ καὶ πόνῳ καὶ πολλοῖς τοῖς κινδύνοις ἐγκαρτερήσῃ, καὶ ταῦθ' ὑπὲρ ἧς αὐτῷ ποίμνης ὁ Χριστὸς κατεπίστευσε, τῶν εἰκότων ἂν γένοιτο, εἰ μὴ παντὶ τρόπῳ τὸ ἐνδεὲς αὐτῷ θεραπεῦσαι σπουδάσομεν; πολλοῦ γε καὶ δεῖ. ἀλλ' εἰ μὲν ἄλλως τε ἦν ἐκ τοῦ εὐχεροῦς ἢ ἀκινδύνως ἢ ὅπως ποτ' ἂν βουληθείη τις τῷ τῆς ἀρχιερωσύνης πράγματι χρῆσθαι, κἂν οὕτω μάλα δικαίως ἱκανοὺς εἶχεν ἀπαιτεῖν τοὺς μισθοὺς ὁ πρὸς τοῦτο χωρεῖν βιαζόμενος, ... δὲ αὖ μὴ ἐθέλειν διδόναι, ὡς τὸ εἰκὸς, ἐνῆν τὸ

ἀνέγκλητον. τοῦ πράγματος δὲ οὕτω δυσχεροῦς ὄντος, ὡς μηδέ τινας οἵους τε ὄντας τοῦτο φέρειν, ἔστι πόθεν δίκαιον ἄλλοις τοῦτο ἐπιφορτίζειν, ἡμῖν δὲ μηδὲ τοὺς μισθοὺς γοῦν τῶν πόνων ἐπιμετρεῖν αὐτοῖς ἐθέλειν, ὑπόση δύναμις; διὰ δὴ ταῦτα δυσχεροῦς οὕτω λαχόντος τοῦ ἀρχιερατικῶς, ὡς εἴρηται, προστατεῖν, καί γε ἡμεῖς ἀμοιβὰς τῶν πόνων διδόναι ἐθέλοντες τὰ δίκαια ποιοῦντες ἐσόμεθα, τοῖς δέ γε λαμβάνουσιν ἐσεῖται δὴ τὸ ἀνέγκλητον. κοινήν τινα ταύτην γνώμην ἡ μετριότης ἡμῶν ἐκθεμένη σύναμα τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἡρακλείας, τῷ Σάρδεων, τῷ Νικομηδείας, τῷ Νικαίας, τῷ Χαλκηδόνος, τῷ Μονεμβασίας, τῷ Ποντοηρακλείας, τῷ Προύσης, τῷ Περγάμου, τῷ Χριστουπόλεως, τῷ Δυρραχίου, τῷ Βιζύης καὶ τῷ Κίου, δεῖν ἔγνω, ὡς ἂν τὸν ἱερώτατον ἀρχιεπίσκοπον Νυμφαίου, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν αὐτῆς καὶ συλλειτουργόν, ἄνδρα γεραιόν τε καὶ ὄντα ἔμφρονα καὶ πολλοῖς τοῖς πόνοις ἐγκαρτερήσαντα καί γε τῆς λαχούσης ἀποξενωθέντα διὰ τὴν ἐξ ἁμαρτιῶν γενομένην ἐπήρειαν καὶ ὡς σχολάζοντα εὑρισκόμενον, πρόεδρον αὖθις ἀποκαταστῆσαι τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Δέρκου, ἐπειδὴ καὶ αὐτὴ μέχρι καὶ ἐς τὸ νῦν ἀφ' ἱκανοῦ γνησίου ἀρχιερέως ἐστέρηται. καί γε τὸ ἀπὸ τοῦδε καθέξει αὐτὴν καὶ τὰ ὑπ' αὐτὴν πάντα, καὶ ἐπ' ἀδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους, ἔτι δὲ καὶ ἡγουμένους ἐγκαθιστᾶν, καὶ ἁπλῶς τῶν ἐκείνης πάντων μεθέξει, ὅσα γε καὶ γνήσιος ἀρχιερεύς, ἄνευ μέντοι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὅθεν ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς δηλωθείσης ἁγιωτάτης ἀρχιεπισκοπῆς Δέρκου καὶ οἱ ὑπὸ τὴν ἐνορίαν ταύτης τελοῦντες καὶ πνευματικὴν ἐπικράτειαν, ἱερωμένοι, μονάζοντες καὶ τὸ λοιπὸν χριστώνυμον πλήρωμα δέξασθαι τοῦτον καὶ διὰ πάσης ἄγειν αἰδοῦς καὶ τιμῆς καὶ τὴν προσήκουσαν ὑποταγὴν τούτῳ καὶ εὐπείθειαν ἀπονέμειν, ὡς ἀρχιερεῖ αὐτῶν καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ, ἐφ' οἷς ἂν ὑπ' αὐτοῦ νουθετοῖντο πρὸς σωτηρίαν συντείνουσι τῶν ψυχῶν αὐτῶν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος τούτῳ δὴ τῷ ἱερωτάτῳ ἀρχιεπισκόπῳ Νυμφαίου εἰς ἀσφάλειαν ἐπιδέδοται.

Εἶχε τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. ιδ' †.

XXX. (6824—1316) aprili et maio ind. XIV.

Synodus dirimit quasdam controversias.

I. † Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ἡ ἀπὸ τῆς Λακεδαιμονίας μοναχὴ Εὐφροσύνη ἡ Μαρινία, καὶ ἀνέφερεν, ὡς ἔχουσα κοινῶς μετὰ τοῦ χρηματίσαντος ἐπισκόπου Κερνίτζης τοῦ Μαλωταρᾶ ἐκείνου ἐκ γονικότητος σεπτὴν εἰκόνα τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς ὁδηγητρίας, συμμετεῖχεν ἐπ' ἴσης αὐτῷ καὶ τῶν προσόδων τῶν ἐκ ταύτης δὴ τῆς θείας εἰκόνος καὶ τῶν ἀνατεθειμένων κτημάτων αὐτῇ· εἶτα τοῦ αὐτοῦ Μαλωταρᾶ μετὰ χρόνους ἱκανοὺς πειραθέντος ἐπέκεινα τῆς ἡμισείας μερίδος λαμβάνειν ἐξ ἑκατέρων, ἀντεκρίθη τούτῳ διαφόρως αὕτη. καὶ ἔταξε μὲν ἡ κρίσις τὴν αὐτὴν, ἥνπερ καὶ πρότερον, ἔχειν ἀμφοτέρους ἐπὶ τούτοις κοινωνίαν τε καὶ ἰσότητα, ἐκεῖνος..... τὰ κτήματα ..... κατεῖχεν ἰδίως αὐτὰ καὶ ἐνέμετο, προεδρεύοντος τηνικαῦτα τοῦ χρηματίσαντος Κρήτης ἐν τῇ ἐκεῖσε ἁγιωτάτῃ μητροπόλει, καὶ στέρξαντος ἅμα καὶ αὐτοῦ ..... γράμματι .. αὐτοῦ ἐμφανισθέντι παρὰ τῆς μοναχῆς, ὃς δὴ μετὰ ταῦτα ὑπ..... τῆς αὐτῆς ἐκκλησίας, ἀφείλετο ἐκ τῆς μοναχῆς ταύτης τὴν τοιαύτην σεπτὴν εἰκόνα, καὶ μετ' ὀλίγον ἐλθὼν εἰς μετάμελον ἀντέστρεψεν ἐκείνην πάλιν αὐτῇ. μέντοι καὶ ἐπιλαβομένη ἡ τοιαύτη μοναχὴ τῆς αὐτῆς εἰκόνος ἀνήγειρεν ἐπ' ὀνόματι ταύτης θεῖον ναὸν, οὐ μικρὰν σπουδὴν καὶ χεῖρα πρὸς τοῦτο συμβαλομένου καὶ τοῦ περιποθήτου ἀνεψιοῦ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κῦρ Ἀνδρονίκου Παλαιολόγου τοῦ Ἀσάνη, εἰς κεφαλὴν ἐν τῇ Πελοποννήσῳ τυγχάνοντος, καὶ κατεῖχε τοῦτον, μισθουμένη πρεσβυτέρους καὶ ἀποδιδοῦσα δι' ἐκείνων τὴν ὀφειλομένην ἱερατικὴν ὑπηρεσίαν αὐτῷ. ἀρτίως δὲ ὁ εἰς πρόεδρον τῆς εἰρημένης ἐκκλησίας εὑρισκόμενος ἱερώτατος μητροπολίτης Παλαιῶν Πατρῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀχαΐας, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἐξ ὑποβολῆς καὶ οὗτος τῶν αὐτῶν κληρικῶν ἀφελόμενος τὴν εἰκόνα τήνδε διὰ τὸ φθάσαι κατασχεθῆναι ταύτην, ὡς εἴρηται, παρὰ τοῦ χρηματίσαντος Κρήτης, εἰς πρόεδρον εὑρισκομένου τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Λακεδαιμονίας, κατέχει παρ' ἑαυτῷ. ὑπὲρ ἧς καὶ ἐδεήθη τῆς ἡμῶν μετριότητος ἡ μοναχὴ, ἐμφανίσασα καὶ τὸ δικαιοῦν αὐτὴν γράμμα τῆς κρίσεως, προ-

βαλλομένη τε καὶ μάρτυρας ἱκανοὺς ἐκ τῶν ἐκεῖσε, τόν τε σεβαστὸν κῦρ Μανουὴλ τὸν Στεφανίτην, τὸν σεβαστὸν τὸν Καλοδίκην, τὸν σεβαστὸν κῦρ Θεόδωρον τὸν Λακασᾶν, Θεόδωρον τὸν Μαυρόπαπαν καὶ Θεόδωρον τὸν Σγουρομάλλην, καὶ διεβεβαιώσαντο μὲν οὗτοι, μετακληθέντες πρὸς τὴν σύνοδον, ὅτι δὴ γονικόθεν περιῆλθεν ἥ τε εἰκὼν καὶ τὰ κτήματα τῇ τοιαύτῃ μοναχῇ καὶ τῷ ῥηθέντι Μαλωταρᾶ, καὶ ἡ πρόσοδος ἀμφοτέρων ἐξ ἴσου τούτοις συνεμερίζετο. πλὴν ἡ μετριότης ἡμῶν, ἀσφαλεστέραν ὡσανεὶ πραγματευομένη τὴν ἐξέτασιν τῆς ὑποθέσεως θέσθαι, ἔγνω δεῖν ἀκροάσασθαι καὶ αὐτοῦ δὴ τοῦ χρηματίσαντος Κρήτης. καί γε τούτου μετακληθέντος καὶ ἐρωτηθέντος συνοδικῶς καὶ τὰς μαρτυρίας τῶν εἰρημένων πιστωσαμένου, διέγνωσται τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἡρακλείας, τῷ Σάρδεων, τῷ Νικομηδείας, τῷ Νικαίας, τῷ Χαλκηδόνος, τῷ Μονεμβασίας, τῷ Ποντοηρακλείας, τῷ Προύσης, τῷ Περγάμου, τῷ Χριστουπόλεως, τῷ Δυρραχίου, τῷ Βιζύης, τῷ Κίου καὶ τῷ Μηδείας, ἐπανελθεῖν τὴν δηλωθεῖσαν σεπτὴν εἰκόνα τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς ὁδηγητρίας τῷ εἰς ὄνομα ταύτης ἀνεγερθέντι θείῳ ναῷ παρὰ τῆς εἰρημένης μοναχῆς συνδρομῇ καὶ συγκροτήσει, ὡς εἴρηται, τοῦ αὐτοῦ περιποθήτου ἀνεψιοῦ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καὶ ὡς τὸ πρότερον..... ἐξ ἡμισείας τῶν προσόδων καὶ τῶν κτημάτων αὐτῆς τὰ μέρη ἀμφότερα, τό τε τῆς εἰρημένης μοναχῆς Μαρινίας καὶ τὸ τοῦ Μαλωταρᾶ, καὶ μηδεμίαν ἐπὶ τῇ κατοχῇ τούτων εὑρίσκειν ὄχλησιν παρὰ τοῦ κατὰ τὸν τόπον ἀρχιερέως ἢ παρ' ἑτέρου τινός, ὅθεν ὁ ἱερώτατος μητροπολίτης Παιλαιῶν Πατρῶν καὶ ὑπέρτιμος, ὀφειλομένως ἔχων στέργειν τὰ καλῶς ἡμῖν δοκοῦντα καὶ τῇ συνόδῳ, ἀνασώσει τὴν εἰκόνα ταύτην πρὸς τὸν εἰρημένον θεῖον ναόν, καὶ οὐκ ἐπὶ πλέον καθέξει ταύτην παρ' ἑαυτῷ, τῇ ἐμφανείᾳ τῆς παρούσης συνοδικῆς διαγνώσεως τῆς ἡμῶν μετριότητος, ἥτις ἐπιδέδοται τῇ διαληφθείσῃ μοναχῇ Μαρινίᾳ εἰς τὴν περὶ τούτου ἀσφάλειαν.

† Εἴχε τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. ιδ' †.

II. † Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ τοῦ Φαλάτου υἱὸς Γεώργιος ὁ Παπαδόπουλος, καὶ ἀνέφερεν, ὡς ὁ Διοσιερηνὸς Γεώργιος συνέζευξεν εἰς γυναῖκα τὴν ἰδίαν θυγατέρα κατὰ

νόμους αὐτῷ, καὶ πράγματα συνεφώνησε προικὸς χάριν, ὅσα δῆτα καὶ κατεγράφατο, καὶ ἀναγκαζόμενος ὑπ' αὐτοῦ δοῦναι πρὸς αὐτὸν τὴν προῖκα καὶ μὴ ἔχων ἀπεπέμφατο τοῦτον τῆς τοιαύτης αὐτοῦ θυγατρὸς, καὶ ἠγάγετο γαμβρὸν ἕτερον ἐπ' αὐτῇ, αἰχμαλώτου παρὰ τοῖς ἐχθροῖς τούτου εὑρισκομένου. παρὼν δὲ τῷ δικαστηρίῳ καὶ ὁ αὐτὸς Διοσιερηνὸς καὶ ἀκροώμενος τῶν εἰρημένων διετείνετο, ὡς οὐ δι' ἔνδειαν τῆς προικὸς, ἀλλὰ διὰ τὸ ἐκτραπῆναι τὸν τοιοῦτον Παπαδόπουλον εἰς μοχθηρὰν γνώμην ἐπὶ τοσοῦτον, ὡς καταλείψαντα τὴν γυναῖκα ἐπὶ χρόνοις ἱκανοῖς ἀσωτεύεσθαι καὶ τόπους ἐκ τόπων ἀμείβειν καὶ κλοπῇ διαφόρως ἁλῶναι οὐ μόνον ἄλλων πραγμάτων, ἀλλὰ καὶ ἱερῶν καὶ ἀνατεθειμένων θεῷ, κἀντεῦθεν κατειρχθῆναι καὶ ἀλλοίαις ὑποβληθῆναι κακώσεσι καὶ ἀδιόρθωτον μεῖναι, καὶ ἀποδείξας καὶ παραστήσας οὕτως ἔχοντα ὁ αὐτὸς Διοσιερηνὸς τὰ κατ' αὐτοῦ εἰρημένα εἰς ἀλήθειαν, ὡς καὶ αὐτὸν μὴ δυνηθῆναι ἔξαρνον παντελῶς γενέσθαι τοῦ μὴ τοιούτοις ἁλῶναι ἀτοπήμασιν, ᾐτήσατό γε καὶ ἔλαβε διαζύγιον παρὰ τῆς ἁγιωτάτης ἐκκλησίας Κυζίκου, προτροπῇ τοῦ πατριαρχεύσαντος πρὸ ἡμῶν, ἐπιστάντος τῷ τόπῳ διά τινα χρεῖαν καὶ ἐξετάσαντος τὰ τοιαῦτα ἐγκλήματα πρὸ χρόνων ἤδη πέντε καὶ ἀληθῆ εὑρόντος καὶ τὴν διάζευξιν ἀποφηναμένου, ἐξ οὗ δὴ καὶ ἑτέρῳ ἀνδρὶ τὴν θυγατέρα συν(ῆψεν) αὐτοῦ, διατεινάμενος ἐνώπιον τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν ἱερᾶς καὶ θείας συνόδου ὁ εἰρημένος Διοσιερηνὸς καὶ παραστήσας οὕτως ἔχοντα εἰς ἀλήθειαν, ἐνεφάνισεν εἰς παρά(στασιν) τὸ τοῦ διαζυγίου γράμμα. καὶ ἀναμαθοῦσα καὶ ἐκ τούτου ἡ μετριότης ἡμῶν, ὅτι δὴ ἐπὶ τοῖς εἰρημένοις ἐγκλήμασι προέβησαν τὰ τῆς διαζεύξεως, διέγνω καὶ ἀπεφήνατο μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Προύσης, τοῦ Περγάμου, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Βιζύης, τοῦ Κίου καὶ τοῦ Μηδείας, τὸ στέργειν ἔχειν κατὰ νόμους αὐτὴν δὴ τὴν διάζευξιν καὶ τὸν τοιοῦτον Παπαδόπουλον καθ' ἑαυτὸν μένειν καὶ μὴ δι' ὄχλου τὸ σύνολον γίνεσθαι τούτῳ δὴ τῷ Διοσιερηνῷ, ὡς αἴτιον αὐτὸν γεγονότα τῆς διαζεύξεως. εἶτα προεβάλετο ὁ δηλωθεὶς Παπαδόπουλος καὶ ὅτι πράγματα ἰδίως αὐτῷ διαφέροντα κατέχονται παρὰ τοῦ τοιούτου Διοσιερηνοῦ, καὶ ἣν ἀπαιτῶν ταῦτα. ἐξεῖπε δὲ καὶ παρέστησεν ὁ αὐτὸς Διοσιερηνὸς, τραχηλέαν μόνην αὐτοῦ μητρικὴν εὑρίσκεσθαι παρ' αὐτῷ, ἣν δέδωκεν ὁ πατὴρ τοῦ

εἰρημένου Παπαδοπούλου πρὸς τὴν θυγατέρα τούτου κατὰ λόγον θεωρέτρου, ἀνθ' ὧν δέδωκεν οὗτος χαρισμάτων αὐτῷ. καὶ διέγνωσται συνοδικῶς τῇ ἡμῶν μετριότητι, εἶναι καὶ περὶ τῆς τοιαύτης ὑποθέσεως αὐτὸν ἀνενόχλητον ἐκ τούτου δὴ τοῦ Παπαδοπούλου, ἐπειδὴ κατὰ λόγον θεωρέτρου ἐδόθη ἡ τοιαύτη τραχηλέα, καὶ πάλιν ἀντεδόθησαν ἕτερα χαρίσματα κατὰ τὴν συνήθειαν παρὰ τούτου. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐπιδέδοται πρὸς αὐτὸν καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. ιδ' †.

III. Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ἡ ἀπὸ τῆς Βιζύης χήρα γυνή, εἰρημένη ἡ τοῦ Καλωτοῦ, καὶ ἀνέφερεν, ὡς ἀνήρ τις ἐκ τῶν ἐκεῖσε Θεόδωρος, καλούμενος ὁ Σπαταλᾶς, εἰς δεύτερον ταύτην ἀγαγόμενος συνοικέσιον, παῖδας δύο γεγέννηκεν ἐξ αὐτῆς, καὶ ἀδιαθέτου τούτου τὸν βίον ἀπολιπόντος, οἱ ἐκ τῆς πρώτης γυναικὸς ἐκείνου παῖδες, καίπερ ἔχοντες τὴν μητρικὴν αὐτῶν προῖκα, ὅμως, προφασιζόμενοι ἐκείνης ἀποστερεῖσθαι, κατέσχον πάντα τὰ πατρῷα τούτων πράγματα, καὶ οὐ βούλονται ἀνασῶσαι καὶ ταύτῃ τὰ προικόθεν διαφέροντα καὶ ὅσα εἶχεν ἕτερα ἐπέκεινα τῆς προικὸς ἀνήκοντα κατὰ νόμους αὐτῇ, ἀλλὰ δὴ καὶ τὰς πρὸς αὐτὴν τοῦ ἀνδρὸς χάριτας. παρόντες δὲ τῷ δικαστηρίῳ καὶ οἱ αὐτοὶ παῖδες καὶ τῆς μητρυιᾶς τὰ εἰρημένα διεξιούσης ἀκούοντες, διετείνοντο μὲν, μηδόλως λαβεῖν τὰ τῆς μητρὸς αὐτῶν πράγματα, συνωμολόγουν δὲ τὰ πατρικὰ κατασχεῖν, τὰ μὲν ὑπὲρ τῆς ἀναπληρώσεως τῶν μητρῴων πραγμάτων αὐτῶν, τὰ δὲ καὶ ὡς ὑποκείμενα τῇ παρ' αὐτοῖς εὑρισκομένῃ προνοίᾳ καὶ δουλείαν ὀφείλοντα. εἶτα ἐξεταζόμενοι καὶ ἀκριβολογούμενοι περὶ τῶν τοιούτων μητρικῶν αὐτῶν πραγμάτων, ἀκούσαντες δὲ καὶ, ὅτι τοπικῇ ἐξετάσει ἀνερευνηθήσεται καὶ εὑρεθήσεται ἡ ἀλήθεια, ἠναγκάσθησαν καὶ ἀνωμολόγησαν οἱ τοιοῦτοι παῖδες, ἔχειν ἀνελλιπῆ τὴν μητρικὴν αὐτῶν προῖκα. καὶ γοῦν διέγνωσται τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἡρακλείας, τῷ Νικομηδείας, τῷ Περγάμου, τῷ Χριστουπόλεως, τῷ Δυρραχίου, τῷ Βιζύης, τῷ Κίου καὶ τῷ Μηδείας, δοῦναι τὴν εἰρημένην μητρυιὰν τὸν τῆς ἀποκρυβῆς ὅρκον, εἶτα ἀποδοθῆναι πρὸς αὐτὴν ἀπὸ

τῶν καθευρισκομένων πραγμάτων τοὺς προγόνους τὴν προῖκα ταύτης καὶ τὰ ἐκτὸς τῆς προικὸς ἀνήκοντα ταύτῃ κατὰ νόμους καὶ τὰ παρὰ τοῦ ἀνδρὸς αὐτῇ ἀποχαρισθέντα, τὰ λοιπὰ δὲ, εἰ μὲν ἐλεύθερά εἰσιν ἐκ δουλείας, διαβῆναι κατὰ λόγον κληρονομίας καὶ ἐπιμερισθῆναι πρὸς τοὺς ἑτεροθαλεῖς ἀδελφοὺς, τοὺς ἐξ ἀμφοτέρων δηλονότι τῶν γυναικῶν, εἰ δὲ ὑποκείμενα δουλείᾳ, κατέχειν καὶ οὕτως ἐκεῖνα ἐπ' ἴσης αὐτοὺς, καὶ ἀποδιδόναι ἐξ ἴσου τὴν ἀνήκουσαν δουλείαν ὑπὲρ αὐτῶν. μέντοι καὶ δούσης τῆς μητρυιᾶς τὸν τῆς ἀποκρυβῆς ὅρκον, γενήσεται ἐπὶ τοῖς καθευρισκομένοις πράγμασιν, ὅπερ ἡ παροῦσα συνοδικὴ διάγνωσις ἀποφαίνεται, ὀφείλοντος καὶ τοῦ ἱερωτάτου ἀρχιεπισκόπου Βιζύης, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῦ, οἰκονομῆσαι, ὥστε ταῦτα λαβεῖν ἐπὶ τοῖς διεγνωσμένοις ἀποκατάστασιν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος τῇ διαληφθείσῃ χήρᾳ γυναικὶ, εἰρημένῃ τῇ τοῦ Καλωτοῦ, εἰς ἀσφάλειαν ἐπιδέδοται.

† Εἶχε τὸ· μηνὶ μαΐῳ ἰνδ. ιδ' †.

IV. † Ἀνέφερε τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ σεβαστὸς κῦρ Εὐστάθιος ὁ Κίνναμος, ὡς ὁ ἐπὶ θυγατρὶ αὐτοῦ ὁ Νοστόγγος πρὸ δύο χρόνων ἤδη ταύτην δὴ τὴν αὐτοῦ σύζυγον ἀπολιπὼν ἐξ οὐδεμιᾶς εὐλόγου αἰτίας, οὐδέπω πρὸς τὴν μετ' αὐτῆς συνοίκησιν ἐπανῆλθε, φθάσας δὲ κατανάλωσε καὶ τὰ πλείονα τῶν προικοδοτηθέντων αὐτῷ πραγμάτων, ἐν οἷς καὶ ἀμπέλιον ἦν καὶ οἰκήματα, ἅπερ δὴ οἰκήματα εἰς ἐνέχυρον δέδωκε, ὑπέρπυρα διακόσια δανεισάμενος, καί τινας ἐξωνησάμενος τόπους μετὰ τῶν εὑρισκομένων περὶ αὐτοὺς οἰκημάτων. καὶ ἐδεήθη ἀντικριθῆναι τούτῳ συνοδικῶς, ὡς ἂν ἡ συνοικήσῃ πάλιν τῇ αὐτοῦ γυναικὶ, ἢ κἂν ἀνασωθῶσι ταύτῃ τὰ εἰς ἐνέχυρον δοθέντα, τὸ ἀμπέλιον δηλονότι καὶ τὰ οἰκήματα, ἕως ἂν ὁ ἀνὴρ, τῶν ἀλλοτρίων ἀποστὰς, τὴν αὐτοῦ στέρξει σύζυγον· ὅθεν ἡμετέρᾳ καὶ συνοδικῇ προτροπῇ διαμηνύεται μὲν καὶ ὁ αὐτὸς Νοστόγγος καὶ δὶς καὶ τρὶς, ὥστε ἀπαντῆσαι πρὸς τὸ δικαστήριον καὶ ἀπολογήσασθαι. μὴ βουληθέντος δὲ ὅμως οὐδ' εἰς ἅπαξ ἀπαντῆσαι, ἡ μετριότης ἡμῶν κοινῇ γνώμῃ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ

Περγάμου, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Βιζύης, τοῦ Κίου καὶ τοῦ Μηδείας, ἄδειαν δέδωκε τῷ δηλωθέντι σεβαστῷ τῷ Κιννάμῳ διαπράσασθαι τοὺς τόπους, οὓς ὁ ῥηθεὶς γαμβρὸς αὐτοῦ ἐξωνήσατο, καθὼς εἴρηται, διὰ τῶν ὑπερπύρων, ἅπερ ἔλαβεν ὑπὲρ τῶν προικῴων ὁσπητίων αὐτοῦ, δοὺς ταῦτα ἐνεχυρικῶς σὺν τοῖς περὶ αὐτοὺς εὑρισκομένοις οἰκήμασιν, καὶ τὸν τρόπον τοῦτον ἀνασῶσαι τῇ θυγατρὶ τὰ ῥηθέντα προικῷα ταύτης οἰκήματα καὶ τὸ ἀμπέλιον ἐπὶ τῷ κατέχεσθαι παρ' αὐτῆς ταῦτα, μέχρις ἂν, ὡς εἴρηται, ὁ ἀνὴρ πρὸς αὐτὴν ἐπανέλθῃ. οὐδεὶς τοίνυν ἐμποδὼν τούτῳ γενήσεται νομίμως ταῦτα πιπράσκοντι, ἀλλ' ἐάσουσιν αὐτὸν πάντες ἀνεμποδίστως τὴν τούτων πρᾶσιν ποιήσασθαι. τούτου γὰρ χάριν ἐπιδέδοται τῷ διαληφθέντι σεβαστῷ κῦρ Εὐσταθίῳ τῷ Κιννάμῳ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ· μηνὶ μαΐῳ ἰνδ. ιδ' †.

XXXI. (6824—1316) maio ind. XIV.

Joannes XIII. metropolitam Attaliae vetat in alienis dioecesibus iura episcopalia exercere.

† Ἱερώτατε μητροπολῖτα Ἀτταλείας καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. ἡ μετριότης ἡμῶν ἐγνώρισεν, ὅτι, διὸ εὑρίσκοντο αἱ αὐτόθι ἐκκλησίαι μὴ ἔχουσαι γνησίους ἀρχιερεῖς, εὗρες ἄδειαν καὶ ἐξέρχῃ ἀπὸ τῆς ἐνορίας σου, καὶ ἱεροπρακτεῖς καὶ ἐνεργεῖς τὰ τῶν ἀρχιερέων εἰς τὰς ἐνορίας τῶν ἄλλων ἐκκλησιῶν, καὶ τοῦτο οὐδὲν ἔνι κανονικὸν οὐδὲ δίκαιον, ἵνα γίνηται παρά σου· καὶ ἐπειδ' ἐχειροτονήθη καὶ καταλαμβάνει καὶ ἀρχιερεὺς εἰς τὴν ἁγιωτάτην μητρόπολιν Μύρων, καὶ ἀπεστάλησαν καὶ ἕτεροι ἀρχιερεῖς εἰς τὰς αὐτόθι ἐκκλησίας, χωρεῖσθε εἷς ἕκαστος καὶ ἀρκεῖσθε εἰς τὴν ἰδίαν ἐνορίαν, καὶ μηδὲν παρεκβαίνεις καὶ ἱεροπρακτεῖς εἰς ἄλλης ἐκκλησίας ἐνορίαν, ὅτι τοῦτο εἰς καταδίκην καὶ εὐθύνην σὲ φέρει κανονικὴν, καὶ ἐὰν οὐδὲν παύσῃς τοῦ ποιεῖν τὰ τοιαῦτα, ἅπερ εἰσὶν ἔξω τῶν κανόνων, μέλλεις καταδικασθῆναι καὶ εὐθυνθῆναι παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου κανονικῶς. διὰ τοῦτο καὶ συντηροῦ καὶ ποίει ἀπὸ τοῦ νῦν, καθὼς παραδηλοῖ πρὸς τὴν ἱερότητά σου ἡ μετριότης ἡμῶν. ἡ χάρις τοῦ θεοῦ εἴη μετά σου.

† Εἶχε τὸ· μηνὶ μαΐῳ ἰνδ. ιδ' †.

XXXII. (6824—1316) maio ind. XV.

Synodus electionem episcopi Macrae et Libysii irritam facit.

† Ἐπειδ' ἐγνώρισεν ἡ μετριότης ἡμῶν, ὡς ὁ ὑποψήφιος, ὃς εὑρίσκεται κρατῶν τὴν ἁγιωτάτην ἐπισκοπὴν Μάκρης καὶ Λιβυσίου, ἥτις εὑρίσκεται ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν Μύρων, οὐδὲν πράττει κανονικῶς καὶ χριστιανικῶς εἰς τὸν τοιοῦτον τόπον, ἀλλὰ καὶ ὡς ἦλθεν ἐνταῦθα εἰς τὴν βασιλεύουσαν πόλιν, ἀνεφάνη δόλιος καὶ ἀνυπόληπτος εἰς τοὺς ἐκ θεοῦ εὐσεβεστάτους καὶ ἁγίους βασιλεῖς, παρακελεύεται ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ αὐτὴν ἱερᾶς καὶ θείας συνόδου, ἵνα μηδόλως ἔχῃ ἐνοχὴν πνευματικὴν εἰς τὴν τοιαύτην ἐπισκοπὴν Μάκρης καὶ Λιβυσίου, μηδὲ παραδέχωνται τοῦτον οἱ ἐκεῖσε χριστιανοί, ἀλλὰ σχολάσῃ καὶ παύσῃ καὶ ἀπέχῃ τέλεον ἀπὸ τῆς τοιαύτης ἐπισκοπῆς, ὅπως γένηται γνήσιος ἀρχιερεὺς καὶ ἐπίσκοπος εἰς αὐτὴν παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Μύρων, καὶ ἁγιάζῃ καὶ ποιμαίνῃ τὸν ἐκεῖσε εὑρισκόμενον χριστιανικὸν λαόν. τοίνυν καὶ ὀφείλει στέρξαι καὶ αὐτὸς τὴν παροῦσαν συνοδικὴν παρακέλευσιν, μηδὲ ἀντιστῆναι μηδὲ ἀπειθῆσαι ὅλως εἰς ταύτην, ὀφείλουσι δὲ στέρξαι καὶ συντηρῆσαι καὶ οἱ ἐκεῖσε χριστιανοί, ὅσον περὶ τούτου πνευματικῶς διορίζεται μετὰ τῆς θείας συνόδου ἡ μετριότης ἡμῶν.

† Εἶχε τὸ· μηνὶ μαΐῳ ἰνδ. ιδ' †.

XXXIII. (6824—1316) maio ind. XIV.

Joannes XIII. metropolitae Melenici in ius vocato concedit dilationem termini.

† Ἱερώτατε μητροπολῖτα Μελενίκου καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. ἡ γραφὴ τῆς σῆς ἱερότητος διεκομίσθη πρὸς τὴν ἡμῶν μετριότητα, καὶ ἀναγνωσθεῖσα ἐγνώρισεν, ὅσα δι' αὐτῆς παρεδήλους, ἤγουν ὅπως μετὰ πολλῆς προθυμίας ἐβούλετο ἡ ἱερότης σου καταλαβεῖν ἐνταῦθα ἐπὶ τῷ ἀπολογίαν δοῦναι καὶ ἀποσκευάσασθαι τὰ κατ' αὐτῆς λαληθέντα συνοδικῶς. διεκωλύθη δὲ ὅμως ὑπό τινος ἐνσκηψάσης τῷ σώματι αὐτῆς ἀσθενείας, καὶ παρεδήλους καὶ ἐζήτεις, ὡς ἂν γένηταί τις διὰ τοῦτο

ὑπέρθεσις, καὶ παρέλθῃ ὁ καιρὸς τοῦ θέρους, καὶ κατὰ τὸ φθινόπωρον καταλάβῃς ἐνταῦθα, ὡς συντελοῦντος εἰς τοῦτο καὶ τοῦ καιροῦ. ἐδέξατο γοῦν τοῦτο ἡ μετριότης ἡμῶν, καὶ παραδηλοῖ πρὸς τὴν ἱερότητά σου, ὡς ἂν, ἐπεὶ ὑπ' ἀσθενείας κωλύεται ἐλθεῖν ἡ ἱερότης σου καὶ τοιαύτης ἀσθενείας ἀκινησίαν παντελῆ παρεχομένης, προσκαρτερήσῃ αὐτόθι, καὶ διαβιβάσῃ τὸν τοῦ θέρους καιρόν, σπουδάσῃ δὲ καὶ διαγωνίσηται ἐλθεῖν δι' ὅλου τοῦ σεπτεμβρίου μηνὸς χωρὶς ἀναβολῆς καὶ ὑπερθέσεως οἱασδήτινος, ὅθεν καὶ ποιησάτω ἡ ἱερότης σου, καθὰ παραδηλοῦμεν αὐτῇ. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος.

† Εἶχε τὸ· μηνὶ μαΐῳ ἰνδ. ιδ' †.

XXXIV. (6824—1316) iunio ind. XIV.

Synodus absolvit presbyterum Garianum Bogomilorum haereseos accusatum.

† Ὁ ἱερώτατος μητροπολίτης Ἡρακλείας, πρόεδρος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Θράκης καὶ Μακεδονίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἐνεφάνισε συνοδικῶς τῇ ἡμῶν μετριότητι γραφήν τινος ἐκ τῆς χώρας τοῦ Ἡμφύλου Μανουήλ, καλουμένου τοῦ Χαλκεωπούλου, πρὸς τὸν εἰς ἔνοχον εὑρισκόμενον τῶν περὶ τὴν Χαριούπολιν δημοσίων πραγμάτων τὸν Βλαστάριον, διαλαμβάνουσαν μετὰ τῶν ἄλλων περί τινος ἱερέως καὶ ταῦτα· ὁ δὲ παπᾶς Γαριάνος ἦλθεν εἰς τοὺς Πατερίνους, καὶ ἔδωκαν αὐτὸν ὑπέρπυρα πεντήκοντα καὶ ἄλογον, καὶ ἐγένετο εἷς μετ' αὐτούς. εἶτα ἀπῆρε δισκοποτήριον ἀργυροῦν καὶ χουλιάριον καὶ τὸν μαγαρισμὸν αὐτῶν, καὶ ἀπέδρασεν, ἔχει δὲ τὸν μαγαρισμὸν εἰς τὸ σκιάδειον αὐτοῦ. καὶ τῆς τοιαύτης ἀναγνωσθείσης γραφῆς παρέστη ὁ τοιοῦτος πρεσβύτερος, καὶ ἀνέφερεν, ἐξ Ἀνατολῆς μὲν ὁρμηθῆναι, φύναι δὲ καὶ τραφῆναι παρὰ φιλοχρίστων γονέων καὶ εὐσεβῆ τὴν τοῦ γένους ἄνωθεν ἑλκόντων σειράν, ταῖς ἐπιθέσεσι δὲ τῶν ἐχθρῶν αὐτόθεν μεταναστεύσας περιῆλθε, τόπους ἐκ τόπων σὺν γυναικὶ καὶ τέκνοις ἀμείβων καὶ ζητῶν κατοικῆσαι, ἔνθα δυνατὸν ἦν αὐτῷ καὶ τοῖς ὑπ' αὐτὸν τὰ πρὸς ζωὴν ἔχειν, ἐπεὶ κατήπειγεν αὐτὸν ἐν τῷ μέρει καὶ ἡ ἐπικρατοῦσα τηνικαῦτα τοῦ σίτου χαλεπὴ ἔνδεια. ἀναμαθὼν δὲ, ὅτι καὶ ἀμφότερα κατὰ τὸν τοῦ Ποκοβίκου τόπον εὑρήσει, ἐφίσταται ἐκεῖσε, καί τινας ἡμέρας διαβιβάσας, ἐπείπερ γέγονεν αὐτῷ φανερὰ παρά τινων ἡ

πλάνη τῶν εἰς τὸν τοιοῦτον τόπον εὑρισκομένων Βωγομίλων, ὑποχωρεῖ καὶ περί τινα μέρη τῆς Χαριουπόλεως κατοικεῖ. καὶ ἐπὶ χρόνοις ἤδη ἐννέα ταύτῃ ἐνδιατρίβοντι, οὐδείς ποτέ τι κατὰ τῆς εὐσεβείας αὐτοῦ προσέτριψεν αὐτῷ ἔγκλημα. νῦν δὲ ὁ διαληφθεὶς Χαλκεώπουλος, ἐκ πολλοῦ πρὸς αὐτὸν ἀπεχθῶς ἔχων, ἐπεὶ φθάσας ἀνέμαθε παρ' αὐτοῦ, ὅτι δὴ ἐπέστη ποτὲ τῷ τοιούτῳ τόπῳ τοῦ Ποκοβίκου, τὰ ἄλλα τε, ὁπόσα δεδήλωται ἐν τῇ γραφῇ, κατηγόρησε κατ' αὐτοῦ καὶ παναγίαν φέροντος δεδεσμημένην ὑπὸ τὴν καλύπτραν τῆς αὐτοῦ κεφαλῆς ἀπὸ τῶν μερῶν τῆς Ἀνατολῆς, διέβαλε καὶ εἶπεν, οὐ τοῦτο εἶναι, ὅπερ ἦν, ἀλλ' ἕτερόν τι σύμβολον καὶ μίασμα τῆς τῶν Βωγομίλων αἱρέσεως. ὁ τοίνυν Βλαστάριος, ἐξετάσας τοπικῶς τὴν ὑπόθεσιν καὶ καθέλκων τὸν αὐτὸν Χαλκεώπουλον, δοῦναι παράστασιν τούτου δὴ τοῦ ἐγκλήματος, εὗρε μὴ δυνάμενον εἰς τοῦτο παράστασιν δοῦναί τινα καὶ ἀπόδειξιν, ἀλλὰ προβαλλόμενον ἔκ τινος Τζιοπούλου λεγομένου ἀκοῦσαι, ὅσα δῆτα καὶ ἔγραφε. καὶ ταῦτα δὴ ἀνενέγκας ὁ δηλωθεὶς πρεσβύτερος ἐδεήθη ἅμα μετακληθῆναι τὸν τοιοῦτον Τζιόπουλον καὶ συνοδικῶς γενέσθαι τὸν περὶ τοῦ τοιούτου ἐγκλήματος ἔλεγχον. γίνεται τοιγαροῦν μετάκλητος ἐνταῦθα καὶ ὁ αὐτὸς Τζιόπουλος, καὶ μετὰ τῆς προσηκούσης ἀσφαλείας ἐρωτηθεὶς ἀνακαλύφαι καὶ ἀνομολογῆσαι πᾶν, ὅσον κατὰ τοῦ τοιούτου πρεσβυτέρου σύνοιδεν ἀκριβῶς, διεβεβαιώσατο μεμνῆσθαι πρὸ χρόνων ἐννέα ἐπιστῆναι τῷ εἰρημένῳ τόπῳ τοῦ Ποκοβίκου κατὰ χρείαν τινὰ καὶ ἰδεῖν αὐτὸν ἐν ἡμέραις τισὶν αὐτοῦ ποῦ ἐνδιατρίβοντα, ἔπειτα δὲ, ὡς πρὸ ἑνὸς ἤδη χρόνου συμβέβηκεν, ἐκεῖθεν ἀφελέσθαι πρεσβύτερόν τινα πράγματα καὶ ἀποφυγεῖν, ἐξεῖπε τῷ Χαλκεωπούλῳ τὰ περὶ τούτου, καὶ ὃς αὐτὸν κατηνάγκασε διαβαλεῖν, τοῦτον ἐκεῖνον εἶναι τὸν πρεσβύτερον καὶ μισθὸν ὑπὲρ τῆς τοιαύτης διαβολῆς λαβεῖν παρ' αὐτοῦ, τὰ ἡμίση τῆς ἰδίας αὐτοῦ περιουσίας. οὕτως οὖν τοῦ εἰρημένου μαρτυρήσαντος Τζιοπούλου, μάτην ἀνεφάνη διαβληθεὶς ὁ πρεσβύτερος. εἰ μὲν γὰρ μὴ κατὰ χρείαν ἀναγκαίαν καὶ κατεπείγουσαν ἐπέστη τῷ τοιούτῳ τόπῳ τοῦ Ποκοβίκου, καὶ ἐπ' ὀλίγον αὐτόθι προσκαρτερήσας ὑπεχώρησεν, ἡνίκα τῆς πλάνης ἧσθετο, καὶ οὐκέτι τὸ ἀπ' ἐκείνου ὑπέστρεψεν ἐκεῖσε, εἶχεν ἂν καὶ ὑποφίαν δοῦναί τινα τῆς τοιαύτης κατηγορίας, ἐπειδὴ δὲ ὑπὸ τῆς κατεπειγούσης αὐτὸν ἐνδείας ἐπεδήμησεν εἰς τὸν τοιοῦτον τόπον, μεθὸ δὲ ἧσθετο τῆς πλάνης, ὑπεχώρησεν ἐκεῖθεν, καὶ οὐδὲν εὑρέθη ὅλως μετὰ ταῦτα ἐπανελθὼν εἰς

αὐτὸν, ἀνεφάνη δὲ τὸ πλέον, καὶ ὅτι ἀπὸ κακίας καὶ προαποκειμένης ἔχθρας ἐκινήθη εἰς τὴν κατὰ τούτου διαβολὴν ὁ δηλωθεὶς Χαλκεώπουλος, καὶ ἀπὸ ταύτης ᾠκονόμησε διαβληθῆναι τοῦτον καὶ εἰς τὰ κλαπέντα πράγματα παρ' ἑτέρου τινὸς ἱερέως, ἔτι δὲ ἀνεφάνη καὶ ὡς τὸ ὑπὸ τὴν καλύπτραν αὐτοῦ δεδεσμημένον οὐκ ἦν, ὅπερ ἐκεῖνος διέβαλε καὶ εἶπε σύμβολον εἶναι τῆς τῶν Βωγομίλων αἱρέσεως, ἀλλὰ παναγία ἦν κρατουμένη καὶ παρ' αὐτοῦ κατὰ τὴν τῶν πολλῶν συνήθειαν πρὸ χρόνων οὐκ ὀλίγων, ἐξ ὧν συνέβη καὶ ἀλλοίωσίν τινα γενέσθαι τοῦ εἴδους αὐτῆς, ὥς τινες καὶ ἄλλοι τῶν πεῖραν ἐχόντων τούτου διεβεβαιώσαντο, οὐκέτι χώραν ὑποψίας ἐντεῦθεν δίδωσιν, ὡς ὁ ῥηθεὶς πρεσβύτερος ἐνισχημένος ἐστὶ τῷ τοιούτῳ ἐγκλήματι. ὅθεν δὴ καὶ διέγνωσται τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἡρακλείας, τῷ Σάρδεων, τῷ Νικομηδείας, τῷ Μονεμβασίας, τῷ Ποντοηρακλείας, τῷ Περγάμου, τῷ Χριστουπόλεως, τῷ Δυρραχίου, τῷ ἀρχιεπισκόπῳ Κίου, τῷ Λήμνου, τῷ Ξανθείας καὶ τῷ Νυμφαίου, ἀθῷον εἶναι τοῦτον δὴ τὸν πρεσβύτερον τοῦ προστριβέντος αὐτῷ ἐγκλήματος, ὥστε δὴ καὶ τὴν ἱερωσύνην αὐτοῦ μετιέναι καὶ ἐνεργεῖν. καὶ γοῦν δέξονται πάντες τοῦτον καὶ ὡς ἱερεῖ θεοῦ προσελεύσονται καὶ τῶν θείων ἁγιασμάτων ἀδιστάκτῳ γνώμῃ δι' αὐτοῦ μεταλήψονται, καθὰ καὶ συνοδικῶς αὐτὸν ἡ μετριότης ἡμῶν ἐδικαίωσε. τούτου γὰρ χάριν ἐπιδέδοται πρὸς αὐτὸν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ· μηνὶ ἰουνίῳ ἰνδ. ιδ' †.

XXXV. (6824—1316) iunio-augusto ind. XIV.

Synodus dirimit quasdam controversias.

I. † Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ Θεόδωρος ὁ Βαβουσκωμίτης, καὶ ἀνέφερεν, ὡς ὁ ἐπὶ θυγατρὶ γαμβρὸς αὐτοῦ κῦρ Ἰωάννης ὁ Καβαλλάριος ἐπὶ τρισὶ παισὶν ἀφήλιξι τὸν βίον ἀπέλιπεν, εἶτα καὶ τῆς γυναικὸς ἐκείνου τελευτησάσης πειρᾶται ὁ ταύτης ἀνδράδελφος, οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Βασίλειος ὁ Καβαλλάριος, κρατεῖν καὶ ἔχειν ὑφ' ἑαυτὸν τὴν ἀνήκουσαν ἐκείνῳ μερίδα ἐκ τοῦ γονικόθεν διαφέροντος κτήματος ἀμφοτέροις, λόγῳ δὴθεν τῶν αὐτῶν παίδων, οὗ χάριν καὶ ἐδεήθη ὁ αὐτὸς Βαβουσκω-

μίτης ἀντικριθῆναι αὐτῷ. παρὼν δὲ καὶ ὁ τοιοῦτος Καβαλλάριος καὶ ἀκροώμενος τῶν εἰρημένων, διετείνετο μὴ κέρδους ἕνεκεν ἑαυτοῦ βούλεσθαι τὸ ἐπιβάλλον μέρος τῷ ἀδελφῷ διοικεῖν, ἀλλ' ἵνα μὴ παρὰ τούτου δὴ τοῦ Βαβουσκωμίτου αἱ ἐκεῖθεν πρόσοδοι ἀναλίσκοιντο, ἧς ἕνεκεν αἰτίας ᾐτήσατο τὴν ἡμῶν μετριότητα προμηθεύσασθαι, καὶ τὰ μητρικὰ τῶν παίδων πράγματα παρ' ἑτέρου τινὸς τῶν γνησίως πρὸς αὐτοὺς ἐχόντων κατέχεσθαι καὶ φυλάττεσθαι. ὅθεν καὶ διέγνω ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Περγάμου, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Ἀμάστριδος, τοῦ Λήμνου καὶ τοῦ Ξανθείας, κατέχειν μὲν τὸν δηλωθέντα Βαβουσκωμίτην τὸ πατρικὸν κτῆμα τῶν ἐγγόνων αὐτοῦ προτιμότερον καὶ δικαιότερον παρὰ τῶν νόμων κρινόμενον ἐπὶ τῇ διεξαγωγῇ τούτου καὶ διοικήσει, ὡς καθ' αἷμα πλέον τοῦ Καβαλλαρίου αὐτοῖς προσήκοντα, καὶ γνησίως ὑπερπονεῖν τῆς ἐκείνου συστάσεως, καὶ ἐφόρους ἔχειν καὶ ἐπιτηρητὰς τῶν ἐξ αὐτοῦ δὴ τοῦ κτήματος προσοδευομένων, τόν τε ἐν πατριαρχικοῖς ἄρχουσιν ἄρχοντα τῶν μοναστηρίων τὸν Παράδεισον καὶ τὸν ἐντιμότατον διάκονον τὸν Σέμνωνος, ὥστε καὶ περιττεύοι ἀπὸ τῆς προσόδου τῶν τοιούτων κτημάτων φυλάττεσθαι ἀκαινοτόμητον λόγῳ τῶν τοιούτων παίδων, δοῦναι δὲ τὸν τοιοῦτον Βαβουσκωμίτην καὶ τὰ εὑρισκόμενα μητρικὰ τούτων πράγματα, καθὼς ἐδέξαντο καὶ συνέθεντο καὶ ἀμφότεροι πρὸς τὴν πενθερὰν αὐτοῦ, σεβαστὴν τὴν Εὐφημιανήν, ὥστε συντηρεῖσθαι παρ' αὐτῆς ἐκεῖνα, ἕως ἂν οἱ παῖδες ἡλικίας ἱκανῆς ἅψωνται καὶ ἀμφοτέρων ἐπιλάβωνται, τῶν τε πατρικῶν δηλαδὴ καὶ τῶν μητρικῶν. οὐκέτι τοίνυν ὁ ῥηθεὶς Καβαλλάριος πειράσεται δι' ὄχλου τῷ Βαβουσκωμίτῃ γενέσθαι χάριν τῶν ἀνηκόντων τῷ τοιούτῳ γαμβρῷ, ἀλλ' ἀφέξεται τούτων διὰ παντὸς, ἀποδοὺς καὶ ὅσαπερ ἀφείλετο δικαιώματα τῆς νύμφης αὐτοῦ, πρὸς τὴν δηλωθεῖσαν Εὐφημιανήν, ᾗ δὴ κατεπιστεύθη καὶ ἡ τῶν πραγμάτων ἐκείνης συντήρησις. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐπιδέδοται τῷ διαληφθέντι Βαβουσκωμίτῃ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ· μηνὶ ἰουνίῳ ἰνδ. ιδ' †.

II. † Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ μοναχὸς Γρηγόριος, καὶ ἀνέφερεν, ὡς κατ' ἐπιτροπὴν τῆς ἀδελφῆς

αὐτοῦ τῆς συζύγου τοῦ πανσεβάστου σεβαστοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ Ἰωάννου τοῦ Πολεμιανίτου ἐξωνήσατο χάριν τούτων οἰκήματα παρὰ τῆς Αὐτωρειανῆς συναινέσει καὶ τῶν παίδων αὐτῆς εἰς ὑπέρπυρα πεντακόσια πεντήκοντα, προβάντος ἐπὶ τούτῳ καὶ πρατηρίου γράμματος, ὡς νενόμισται, ἐξ ὧν δὴ ὑπερπύρων μόνα πρὸς αὐτὴν καταβαλλόμενος τετρακόσια, ὑπερέθετο καὶ τὰ λοιπὰ ἀποδοῦναι, ἡνίκα ἴδῃ ταύτην ἐκεῖθεν ὑποχωρήσασαν. εἶτα ἀναμαθών, ὅτι τὰ ἡμίση τῶν τοιούτων οἰκημάτων τοῦ υἱοῦ τῆς αὐτῆς ἐτύγχανον Αὐτωρειανῆς, εἰς προῖκα ταῦτα καταγραψαμένης αὐτῷ, καὶ διεπράθησαν παρ' αὐτοῦ πρότερον πρὸς τὸν ἄρχοντα Ἰωάννην, γέγονεν αὐτῇ δι' ὄχλου, τῆς δὲ ὑπὸ δικασταῖς αἱρετοῖς, τῷ τε σεβαστῷ κῦρ.... τῷ Ἱερακίτῃ καὶ τῷ Σεβαστειάνῳ, ἀντικριθείσης τῷδε τῷ ἄρχοντι, δεδικαίωται μὲν οὗτος κατέχειν τὰ πραθέντα πρὸς αὐτὸν οἰκήματα, πλὴν μετὰ ταῦτα συνέθετο λαβεῖν τὰ ἀνήκοντα ἑαυτῷ καὶ ὑπεκστῆναι τούτων τῷ μέρει τοῦ αὐτοῦ πανσεβάστου σεβαστοῦ τοῦ Πολεμιανίτου, καὶ λαβὼν ὑπεχώρησεν. ἡ μέντοι ῥηθεῖσα Αὐτωρειανὴ, μὴ στέρξασα τὴν κρίσιν ταύτην ἀντεκρίθη καὶ ἐπὶ τοῦ βασιλικοῦ σεκρέτου τῷ τοιούτῳ ἄρχοντι καὶ τὴν αὐτὴν λαβοῦσα κἀκεῖθεν ἀπόφασιν, ὑπέσχετο μὲν ὑποχωρῆσαι μετὰ μικρὸν τῶν εἰρημένων οἰκημάτων, ὡσανεὶ δὲ τῆς ὑποσχέσεως ἐπιλαθομένη, ἔτι κατέχει ταῦτα δυναστικῶς, ὧν χάριν καὶ ἐδεήθη τὸ μέρος τοῦ αὐτοῦ πανσεβάστου σεβαστοῦ τοῦ Πολεμιανίτου ἀντικριθῆναι αὐτῇ συνοδικῶς ἐπὶ τῆς ἡμῶν μετριότητος, ἐμφανίσαν εἰς τὴν τῶν εἰρημένων παράστασιν καὶ τὸ πρατήριον γράμμα ταύτης δὴ τῆς Αὐτωρειανῆς καὶ τὸ πρὸς τὸν υἱὸν αὐτῆς σύμφωνον, περιέχον μετὰ τῶν ἄλλων καὶ τὰ ἡμίση τῶν αὐτῶν οἰκημάτων, ἔτι δὲ καὶ τὸ πρὸς τὸν αὐτὸν ἄρχοντα γεγονὸς πρατήριον γράμμα. παροῦσα δὲ τῷ καθ' ἡμᾶς ἱερῷ συνοδικῷ δικαστηρίῳ καὶ ἡ τοιαύτη Αὐτωρειανὴ καὶ τῶν εἰρημένων ἀκροωμένη, συμπαρόντος ἅμα καὶ τοῦ εἰρημένου ἄρχοντος, διετείνετο πρῶτον μὲν δόλῳ κλαπεῖσαν αὐτὴν συνθέσθαι πρὸς τὴν πρᾶσιν, καὶ μηδὲ συνειδότος τοῦ μέρους αὐτῆς δοθῆναι τὰ ῥηθέντα ὑπέρπυρα πρὸς τὸν ἄρχοντα παρὰ τοῦ μέρους τοῦ πανσεβάστου σεβαστοῦ τοῦ Πολεμιανίτου. ἀπήλεγξε δὲ ταύτην οὐκ ἀληθῶς ταῦτα προβάλλεσθαι τὸ τῆς πράσεως γράμμα ἐμφανισθὲν καὶ ἀναγνωσθὲν εἰς ἐπήκοον, οὐ μόνον, ὅτι ἔφερε τὴν ταύτης προταγὴν ἰδιόχειρον, ἀλλ' ὅτι καὶ πεπιστωμένον ἦν μαρτύρων ἱκανῶν ὑπο-

σημασίαις καὶ ταβελλίωνος παρόντων καὶ διαβεβαιουμένων μὴ βιασθῆναι ταύτην, ἀλλ' αὐθαιρέτῳ γνώμῃ κινηθεῖσαν κυρῶσαι καὶ ἀσφαλίσασθαι τὰ τῆς πράσεως. εἶτα ἐφ' ἑτέραν αἰτίαν ἐτράπετο, ὅτι δὴ πρὸς βουλήσεως εἶχε προσκληρῶσαι τὰ οἰκήματα ταῦτα τῇ ἰδίᾳ θυγατρὶ μετὰ παρέλευσιν ἑαυτῆς, ὁ δὴ καὶ αὐτὸ οὐκ ἀληθῶς ἔχειν ἀνεφαίνετο. εἴπερ γὰρ τοιαύτην εἶχε βουλήν, ἔδει πάντως ταύτην ἐᾶσαι ἀνεκποίητα τὰ τοιαῦτα οἰκήματα, ὅτι δὲ ταῦτα πέπρακε, δῆλον ὅτι σκῆψις ἦν αὐτῇ τὰ τῆς εἰρημένης αἰτίας καὶ πρόφασις. διὰ ταῦτα δὴ καὶ διέγνω ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Μονεμβασίας, τοῦ Περγάμου, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου καὶ τοῦ ἀρχιεπισκόπου Ξανθείας, τὴν μὲν Αὐτωρειανὴν ἀπέχειν τῶν πραθέντων οἰκημάτων παρ' αὐτῆς τε καὶ τοῦ ταύτης υἱοῦ καὶ μήτ' αὐτὴν, μήτε τινὰ τῶν γνησίων τοῦ μέρους αὐτῆς δι' ὄχλου περὶ τούτων γενέσθαι τῷ δηλωθέντι πανσεβάστῳ σεβαστῷ τῷ Πολεμιανίτῃ, δικαίου χώραν ὅλως ἐκ τῶν νόμων οὐκ ἔχοντας τοῦ ὀχλεῖν, τοῦτον δὲ κατέχειν ταῦτα καὶ νέμεσθαι κατ' ἐξουσίαν καὶ ἐπ' ἀδείας ἔχειν ποιεῖν ἐπ' αὐτοῖς, ὅσαπερ οἱ θεῖοι νόμοι ὡς γνησίῳ δεσπότῃ τούτων αὐτῷ διδόασι, κατὰ τὴν περίληψιν δηλαδὴ τοῦ πρατηρίου γράμματος ἐχόμενα προβάντος τῶν αὐτῶν θείων νόμων. τούτου γὰρ χάριν ἐπιδέδοται τῷ μέρει τοῦ διαληφθέντος πανσεβάστου σεβαστοῦ τοῦ Πολεμιανίτου καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ· μηνὶ αὐγούστῳ ἰνδ. ιδ' †.

XXXVI. (6825—1316) octobri ind. XV.

Synodus dirimit quasdam controversias.

I. † Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ ἐπὶ θυγατρὶ γαμβρὸς τοῦ Χριστοφόρου ὁ Θεοδωράκης, καὶ ἀνέφερεν, ὡς οὗτος δὴ ὁ πενθερὸς αὐτοῦ τὰ μὲν τῶν ὧν συνεφώνησε προικὸς χάριν πραγμάτων δέδωκε πρὸς αὐτὸν, τὰ δὲ κατέχων οὐκ ἀποδίδωσιν, οὗ χάριν καὶ ἐδεήθη ἀντικριθῆναι αὐτῷ. διαμηνύεται τοίνυν καὶ ὁ ῥηθεὶς πενθερὸς αὐτοῦ ἀπαντῆσαι πρὸς τὸ δικαστήριον καὶ ἀπολογήσασθαι, τίνι τρόπῳ οὐκ ἀποδίδωσιν αὐτῷ ἐξ ὁλοκλήρου τὰ τῆς προικός. ὁ δὲ ἀπαντῆσαι μὲν οὐκ ἴσχυσεν ὑπὸ ἀσθενείας ἐμποδισθείς, πέπομφε δὲ γράμμα ὑπογραφῇ αὐτοῦ πεπιστωμένον, ὅπερ καὶ εἰς ἐπήκοον ἀναγνωσθὲν διελάμβανεν, ὡς μόνα τεσσαράκοντα τέσσαρα ὑπέρπυρα λοιπά-

ζεται τῷ τοιούτῳ γαμβρῷ αὐτοῦ ἀπὸ τῆς προικὸς, ἅπερ καὶ οὐκ ἀποδίδωσιν ὡς μὴ εὐπορῶν, ὑπισχνεῖτο δὲ διὰ τοῦ τοιούτου γράμματος, ὡς εἰ μὲν δυνατὸς γένηται ἀποφλῆσαι καὶ ταῦτα, ἕως ἔτι περίεστι, καλόν· εἰ δ' ἴσως φθάσας τελευτήσει τὸν βίον, ἵνα ᾖ προτιμότερος ὁ τοιοῦτος γαμβρὸς αὐτοῦ ἱκανωθῆναι ἀπὸ τῆς καθευρεθείσης αὐτῷ περιουσίας καὶ τὰ τοιαῦτα τεσσαρακοντατέσσαρα ὑπέρπυρα. ἐπεὶ γοῦν ἐγνώρισεν ἡ μετριότης ἡμῶν, ὡς ἀπόρως ἔχει νῦν κατὰ ἀλήθειαν εἰς τὴν τῶν ὑπερπύρων ἀπόδοσιν ὁ δηλωθεὶς Χριστοφόρος, ἔκρινε μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Περγάμου, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου καὶ τοῦ ἀρχιεπισκόπου Ξανθείας, γενέσθαι κατὰ τὴν τοιαύτην τούτου ὑπόσχεσιν, ὅθεν καὶ οὐδαμῶς ὀφείλει πειράσασθαι εἰς ἀθέτησιν καὶ ἀνατροπὴν χωρῆσαι τῆς τοιαύτης συμφωνίας αὐτοῦ, ἀλλ' ἀποδώσει μὲν τῷ γαμβρῷ αὐτοῦ καὶ τὰ δηλωθέντα τεσσαρακοντατέσσαρα τῆς προικὸς ὑπέρπυρα, εἴπερ δυνατῶς ἔξει ἀποδοῦναι αὐτά· εἰ δ' οὔ, προτιμηθήσεται οὗτος δὴ ὁ γαμβρὸς αὐτοῦ μετὰ τὴν ἐκείνου τελευτὴν, ὥστε ἱκανωθῆναι τὰ λοιπαζόμενα τῆς προικὸς ὑπέρπυρα ἀπὸ τῶν εὑρεθέντων ἐκείνῳ πραγμάτων, μηδενὸς ὀφείλοντος ἐμποδὼν γενέσθαι τούτῳ εἰς τὴν τῶν τοιούτων ὑπερπύρων ἱκάνωσιν τῇ ἐμφανείᾳ τοῦ παρόντος συνοδικοῦ γράμματος τῆς ἡμῶν μετριότητος, ἐπιδοθέντος αὐτῷ εἰς τὴν περὶ τούτου ἀσφάλειαν.

† Εἶχε τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. ιε' †.

II. † Παρέστη τῷ καθ' ἡμᾶς ἱερῷ συνοδικῷ δικαστηρίῳ ὁ Ἐξάκουστος Μανουὴλ, καὶ ἀνέφερεν, ὡς εἶχεν εἰς γυναῖκα νομίμως τὴν θυγατέρα τοῦ πρεσβυτέρου Πανωραίου τοῦ Τζυμισχῆ, καὶ διεζεύχθη ταύτης πρὸς ἀλλοτρίους ἔρωτας ἐκκλινάσης, δικαιωθεὶς διὰ συνοδικοῦ γράμματος τοῦ πατριαρχεύσαντος πρὸ ἡμῶν ἀποκερδῆσαι καὶ τὴν προῖκα πᾶσαν αὐτῆς, μέντοι καὶ ἀπεκέρδησεν. εἶτα δυναστείᾳ χρησάμενος ὁ τοιοῦτος πρεσβύτερος ἐπελάβετο τῶν τῇ πατριαρχικῇ κρίσει δοθέντων οἰκημάτων αὐτῷ εἰς ἀναπλήρωσιν μερικὴν τῆς αὐτῆς προικὸς, καὶ ἐπὶ τρισὶν ἤδη χρόνοις κατέχει, ὧν χάριν καὶ ἐδεήθη τῆς ἡμῶν μετριότητος ὁ αὐτὸς Ἐξάκουστος, φέρων ἀνὰ χεῖρας καὶ τὸ τοιοῦτον συνοδικὸν γράμμα· παρὼν δὲ καὶ ὁ δηλωθεὶς πρεσβύτερος καὶ ἀκροώμενος τοῦ τοιούτου Ἐξακούστου τὰ εἰρημένα διεξιόντος,

ἄλλα ἐπ᾽ ἄλλοις προφασιζόμενος ἦν, ἔτι δὲ καὶ ὡς τῆς γυναικὸς εἰς μοναστήριον εἰσελθεῖν βουλομένης καὶ κατὰ μοναχὰς ἀποκαρῆναι κατέχει τὰ τοιαῦτα οἰκήματα ἐπὶ τῷ προσενεγκεῖν αὐτὰ τῷ μοναστηρίῳ, ἐν ᾧ ἀποκαρῆναι συνέθετο αὕτη. ὅθεν καὶ ἔκρινεν ἡ μετριότης ἡμῶν σύναμα τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν ὑπεξαιρεθῆναι ἀπὸ τῶν τοιούτων οἰκημάτων τὰ οἰκήματα, ἅτινα ἔφθασαν διατιμηθῆναι εἰς ὑπέρπυρα πεντήκοντα, καὶ δοθῆναι ὑπὲρ τῆς γυναικὸς, εἰς ἣν αὕτη μονὴν ἀποκαρῆναι συνέθετο, εἴπερ ἐκπληρώσει τοῦτο, καὶ οὐδὲν προέληται κατὰ κοσμικὰς ἔτι διάγειν, τὰ δὲ λοιπὰ κατέχεσθαι παρὰ τοῦ Ἐξακούστου, εἰ δὲ μὴ προαιρεθῇ τὸν μονήρη βίον ἐπανελέσθαι, κατέχειν τὰ τοιαῦτα οἰκήματα ἐξ ὁλοκλήρου τοῦτον δὴ τὸν δηλωθέντα Ἐξάκουστον καὶ κατ᾽ ἐξουσίαν αὐτοῖς χρῆσθαι, ὀφείλοντος τοῦ εἰρημένου πρεσβυτέρου τοῦ Πανωραίου ὑπεκστῆναι ὡς ἀλλοτρίων αὐτῶν καὶ οὐδέποτε δι᾽ ὄχλου γενέσθαι αὐτῷ, δεδικαιωμένῳ παρὰ τῶν ἱερῶν νόμων καὶ προτρεπομένῳ πᾶν τὸ κατὰ γνώμην ἐπὶ τούτοις ποιεῖν. τούτου γὰρ χάριν ἐπιδέδοται τῷ διαληφθέντι Ἐξακούστῳ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. ιε΄ †.

III. † Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ Ἄγγελος Ἰωάννης, καὶ ἀνέφερεν, ὡς ἡ μήτηρ αὐτοῦ τελευτῶσα διέθετο καὶ διένειμε τὰ καθευρεθέντα αὐτῇ πράγματα τηνικαῦτα πρὸς τοῦτον δὴ καὶ πρὸς τοὺς λοιποὺς παῖδας αὐτῆς, ἐπαφῆκε δὲ καὶ ἀμπέλιόν τι ἑαυτῆς πρὸς τὸν αὐτάδελφον τούτου, τὸν Ἄγγελον Κωνσταντῖνον· ἔπειτα τελευτῶν καὶ αὐτὸς δὴ ὁ Ἄγγελος Κωνσταντῖνος καὶ μήτε γυναῖκα μήτε παῖδας ἔχων ἐπαφῆκε πρὸς τοῦτον τὸ τοιοῦτον ἀμπέλιον καὶ εἴ τι ἕτερον εἶχεν, ὑπὸ μάρτυσι, τῷ τε υἱῷ τοῦ πανσεβάστου σεβαστοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι πραίτωρος τοῦ δήμου, τῷ Ῥαΐνῃ Δημητρίῳ, καὶ τῷ πρεσβυτέρῳ Ἰωάννῃ τῷ Ἀγαπητῷ, ἐπεὶ ηὑρίσκετο εἰς ταξείδιον ἐντὸς κατέργου μετὰ τοῦ δηλωθέντος πραίτωρος τοῦ δήμου, καὶ οὐκ ἠδυνήθη ποιῆσαι διαθήκην· διαναστὰς δὲ ὁ ἐπ᾽ ἀδελφῇ γαμβρὸς αὐτοῦ Φωκᾶς ὁ Σπαντουνῆς, ἀντιποιεῖται τοῦ τοιούτου ἀμπελίου, συγκληρονομεῖν διατεινόμενος ἐπὶ τοῖς τοιούτοις πράγμασι, καὶ ἐδεήθη τούτου χάριν ὁ δηλωθεὶς

Ἄγγελος ἀντικριθῆναι τῷ τοιούτῳ Σπαντουνῇ. παρὼν δὲ καὶ αὐτὸς καὶ ἀκούων τῶν παρὰ τοῦ Ἀγγέλου εἰρημένων, τὰ πρῶτα μὲν ἔλεγεν, ἀμφιβάλλειν περὶ τῶν μαρτύρων, εἰ ἀληθεύουσιν, ὡς ὁ Ἄγγελος Κωνσταντῖνος τελευτῶν ἐπαφῆκε πρὸς τοῦτον δὴ τὸν αὐτάδελφον αὐτοῦ, τὸν Ἄγγελον Ἰωάννην, τὰ καθευρεθέντα αὐτῷ πράγματα, καὶ ἐζήτει δέξασθαι αὐτοὺς βάρος ἐπιτιμίου, ἐφ' ᾧ τὸ ἀληθὲς ἀνομολογήσουσιν, ὃ δὴ καὶ δεξαμένων καὶ πιστωσαμένων τὰ περὶ τούτου, ἐρωτηθέντος δὲ καὶ τοῦ εἰρημένου πανσεβάστου σεβαστοῦ πραίτωρος τοῦ δήμου καὶ ἀνομολογήσαντος, ἀληθῶς ἔχειν, ὅσον ὅ τε υἱὸς αὐτοῦ καὶ ὁ πρεσβύτερος ἐμαρτύρησεν, ἑτέραν ἔπειτα ἐκίνησεν ἀγωγήν, ὡς ἡ σύζυγος τούτου δέδωκε δανειακῶς τῇ μητρὶ ταύτης, ἀφ' ὧν ἐπροικοδοτήθη πραγμάτων ὑπέρπυρα ἑκατόν, καὶ τελευτῶσα ἐκείνη τὰ καθευρεθέντα αὐτῇ πράγματα διανέμουσα, οὐδὲν ἐμνήσθη καὶ περὶ τῶν τοιούτων ὑπερπύρων, καὶ ἐζήτει λαβεῖν ἐντεῦθεν τὸ τοιοῦτον ἀμπέλιον. ἐπεὶ δὲ ἀπητήθη δοῦναι παράστασιν τῆς τοιαύτης ὑποθέσεως, παράστασιν μὲν ἑτέραν οὐδὲν ἴσχυσεν ἀποδοῦναι, ἐνεφάνισε δὲ γράμμα τῆς πενθερᾶς αὐτοῦ, δηλοῦν, ὅτι ἐδόθη πρὸς αὐτὴν παρὰ τῆς θυγατρὸς αὐτῆς τῆς Σπαντουνίνης ὑπέρπυρα ἑκατὸν εἰς ποσότητα τῆς προικὸς τῆς αὐταδέλφης αὐτῆς τῆς Χρυσολωρίνης, οὐδὲν δὲ διελάμβανε τὸ τοιοῦτον γράμμα, ὡς κατὰ λόγον δανείου δέδωκε τὰ τοιαῦτα ὑπέρπυρα, ἵνα πάλιν ἀποδοθῶσιν αὐτῇ. τούτου οὖν οὕτως ἀναφανέντος ἔκρινεν ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Θεσσαλονίκης, τοῦ Μελιτινῆς, τοῦ Γαγγρῶν, τοῦ Ποντοηρακλείας, τοῦ Πηγῶν, τοῦ Βερροίας, τοῦ Χριστουπόλεως, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Ῥωσίου, τοῦ Βιζύης, τοῦ Μεσήνης καὶ τοῦ Ξανθείας, ἵνα γένηται μὲν προηγουμένως ὁ Ἄγγελος Ἰωάννης ἐν κατοχῇ καὶ κυριότητι τοῦ τοιούτου ἀμπελίου καὶ τῶν λοιπῶν πραγμάτων τοῦ δηλωθέντος αὐταδέλφου αὐτοῦ, ἐπειδὴ ἐμαρτυρήθη καὶ ἀπεδείχθη, καθὼς εἴρηται, ὅτι ἐπαφῆκεν αὐτὰ πρὸς τοῦτον, ἔπειτα, εἴπερ παραστήσει ὁ εἰρημένος Φωκᾶς ὁ Σπαντουνῆς, ὡς δανειακῶς ἐδόθησαν παρὰ τῆς γυναικὸς αὐτοῦ τῇ ταύτης μητρὶ τὰ εἰρημένα ἑκατὸν ὑπέρπυρα ἐπὶ τὸ πάλιν ἀποδοθῆναι πρὸς αὐτὴν παρ' ἐκείνης, ἀποδοθῶσι τότε καὶ ἱκανωθῶσιν αὐτῇ τὰ τοιαῦτα ὑπέρπυρα παρὰ τῶν ὅλων κληρονόμων τῆς μητρὸς αὐτῆς. καὶ γοῦν καθέξει τὸ τοιοῦτον ἀμπέλιον καὶ τὰ λοιπὰ πράγματα ὁ δηλωθεὶς Ἄγγελος, καὶ κατ' ἐξουσίαν αὐτὰ νεμηθήσε-

ται, παρ' οὐδενὸς εὑρεῖν ὀφείλων ἐμποδισμόν τινα ἐπὶ τῇ κατοχῇ τούτων καὶ κυριότητι. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐπιδέδοται αὐτῷ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ· μηνὶ ..... ἰνδ. ιε'. †.

XXXVII. (6825—1317) maio ind. XV.

Synodus metropolitae Christopoleos confert metropolim Dramae per adiunctionem.

† Οἱ λαχόντες προεδρεύειν καὶ εἰς ἐφόρους εἶναι καὶ οἰκονόμους ψυχῶν ἀνάγκην ἔχουσι κατεπείγουσαν, ἀξιοῦν ὡς δυνατὸν προμηθείας τῶν πρὸς τὸ ζῆν ἐπιτηδείων οὐκ εὐποροῦντας τοὺς τῶν πνευματικῶν ἀγώνων συνεφαπτομένους αὐτοῖς καὶ τὰς ἐκκλησιαστικὰς φροντίδας συνδιαφέροντας, ὥστε δὴ καὶ τὴν χεῖρα σύνδρομον ἔχοντας τῇ βουλήσει πρὸς μόνον βλέπειν ἀπερισπάστως τὸ σπουδαζόμενον. προμηθῶς γὰρ πρὸς ἐκείνους διατιθέμενοι καὶ χωρηγοῦντες τὰ δέοντα, ἑαυτοὺς εὖ ποιοῦσιν, ἐπεὶ τὸν τρόπον τοῦτον καὶ τὴν προεδρίαν ἐπαληθεύουσαν καὶ τὸ καθ' ἑαυτοὺς ἔργον εὔοδον ἕξουσι. βούλεται δὲ ὁ λόγος, ὅτι δὴ ὁ ἱερώτατος μητροπολίτης Χριστουπόλεως καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, πολὺ τὸ χρήσιμον ἐπὶ τοῖς ἀνὰ χεῖρας ἡμῖν συμβαλλόμενος, οὐκ ἔχει καὶ τὴν λαχοῦσαν τοῦτον συμβαλλομένην τὰ πρὸς χρείαν ἀρκούντως κατὰ τὸ τοῦ χρησίμου μέτρον αὐτῷ, καὶ δέον ἐγνώκαμεν ἐπιδοῦναί τινα τούτῳ βοήθειαν τοῦ ἐνδέοντος· μέντοι καὶ συνδιασκεφαμένη ἡ μετριότης ἡμῶν τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἡρακλείας, τῷ Ποντοηρακλείας, τῷ Μονεμβασίας, τῷ Γαγγρῶν, τῷ Πηγῶν, τῷ Βερροίας, τῷ Δυρραχίου, τῷ Μιτυλήνης, τῷ Ῥωσίου καὶ τῷ Μεσήνης, πέπραχεν ἔχειν αὐτὸν κατὰ λόγον ἐπιδόσεως τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Δράμας, καὶ τοίνυν ἀναδέξεται ταύτην οὗτος, καὶ πάντα ἐνεργήσει ἐν αὐτῇ, χειροθεσίας δηλαδὴ πρεσβυτέρων καὶ διακόνων καὶ τἆλλα, ὅσα κανονικῶς ἀρχιερεῦσιν ἐφεῖται, πλὴν τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, τιμήσουσί τε τοῦτον καὶ διευλαβηθήσονται καὶ ὁ ὑπὸ τὴν τοιαύτην ἐκκλησίαν κλῆρός τε καὶ λαός, ὅσα δὴ καὶ ἀρχιερέα αὐτῶν καὶ πνευματικὸν πατέρα καὶ διδάσκαλον, ὑπείξουσί τε καὶ πειθαρχήσουσι καὶ ἐφ' οἷς ἂν ὑπ' αὐτοῦ νουθετοῖντο καὶ ἐπιτάττοιντο εἰς σωτηρίαν ἀφορῶσιν αὐτῶν. τούτου

γὰρ χάριν καὶ τὸ παρὸν ἐπιδέδοται γράμμα τῷ ἱερωτάτῳ μητροπολίτῃ Χριστουπόλεως, ὑπερτίμῳ καὶ προέδρῳ τῆς ἁγιωτάτης ἀχιεπισκοπῆς Δράμας, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ· μηνὶ ματῳ ἰνδ. ιε' †.

XXXVIII. (6825—1317) iulio ind. XV.

Synodus Callisto, electo metropolitae Amasiae, dat episcopatum Limniorum.

† Ὁ δὲ χρόνος ἀεὶ τὸ ἑαυτοῦ ποιῶν ἐν τοῖς γε πλείστοις φθείρων τὰ ὄντα καὶ μεθιστὰς, καὶ τὴν τῆς Ἀμασείας ἁγιωτάτην μητρόπολιν ἐν ἀφανεῖ κατέστησεν σχήματι, περιφανῆ καὶ ηὐξημένην εὑρών· ὑπὸ γὰρ τῆς τῶν ἐθνῶν καταδρομῆς αὕτη παντάπασιν ἐστένωται καὶ ἠρήμωται κρίμασιν ἀρρήτοις θεοῦ, καὶ πρὸς ὃ νῦν ὁρᾶται, κατέστη, ὥστ' ἐν ἀπόρῳ νῦν εἶναι τοῖς θεωμένοις ἢ σκοπουμένοις, εἰ καὶ τὴν ἀρχὴν ἐν μητροπόλεως μέρει διέλαμπεν. οὕτω τὰ πράγματα μεθιστᾶν οἶδεν ὁ χρόνος καὶ ἀλλοιοῦν καὶ τῶν καθ' ἡμᾶς τουτωνὶ κατακαυχᾶσθαι καὶ περιγίνεσθαι. καὶ δὴ ἐξ ἱκανοῦ τινος τὸ χριστιανικὸν ἐκεῖσε πλήρωμα, ὅσοι δηλαδὴ περιελείφθησαν, καὶ περιλειφθέντες οὐχ ὑπεσύρησαν τοῖς ἐπηρεάζουσιν ἔθνεσι καὶ κατάρχουσιν, ἀνεπίσκοπον ἦν καὶ πνευματικοῦ ποιμένος ἐστερημένον καὶ τῆς ἐντεῦθεν διδασκαλίας καὶ ὠφελείας. οὐ μὴν ἀλλ' εἰ καὶ τὸ τοῦ χρόνου χρῆμα τοιοῦτόν ἐστι, καὶ τὸ τοῦ πανδαμάτορος ὄνομα διὰ τοῦτο ἐκληρώσατο, ἀλλ' ὅ γε τῶν χρόνων ποιητὴς κύριος, οὗ τῆς δόξης ὅριον οὐδὲν, οὐδὲ τῆς δυνάμεως, βασιλεῖς εὐσεβεῖς τῇ ἑαυτοῦ κληρονομίᾳ παρέχων εἰσφέρει, καὶ ποιμένας τοῖς μεγίστοις θρόνοις ἐγκαθιστᾶ, τῶν τε ψυχῶν προϊσταμένους καὶ τῶν πραγμάτων, ἵν' ἐντεῦθεν, ἅπερ ὁ χρόνος κατέσεισε, καὶ ὧν καταδρομὴν κακῶς ποιῶν ἐνεδείξατο, ταῦτα διὰ τῆς τούτων ἐπικουρίας τε καὶ προνοίας εἰς τὸ ἀρχαῖον ἀντικαταστήσῃ σχῆμα καὶ τὸ ἀξίωμα, κἀντεῦθεν τὴν ἐκ τοῦ χρόνου περὶ τὰ πράγματα δυσχέρειαν καὶ φθορὰν ἡ περὶ τὸ κρεῖττον ἀλλοίωσις καὶ σύστασις ὑποδέξηται. καὶ δὴ σπουδῇ τῇ περὶ ταῦτα καὶ εὐδοκίᾳ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἔτι δὲ κρίσει καὶ ἐκλογῇ τῆς ἡμῶν μετριότητος καὶ ψήφῳ τῆς περὶ ἡμᾶς ἱερᾶς καὶ θείας συνόδου ἡ περὶ ταῦτα προμήθεια κατεπράχθη. τὸν γὰρ εὐλαβέστατον ἱερομόναχον κῦρ Κάλλιστον, ἀρετῆς ὄντα πλήρη

καὶ τῆς ἀρχιερεῦσι λοιπῆς κοσμιότητος πρεπούσης, μητροπολίτην Ἀμασείας προχειρισάμενοι πεποιήκαμεν. ἐπεὶ δὲ τό γε νῦν εἶναι παραβαλεῖν ἐκεῖσε καὶ δι' ἑαυτοῦ τὰ τῇδε πνευματικῶς ἐπισκέπτεσθαι οὐκ ἐνῆν τούτῳ δὴ τῷ τὴν χειροτονίαν παρ' ἡμῶν δεξαμένῳ διὰ τὴν εἰρημένην τῶν ἀσεβῶν τοῦ τόπου καταδρομὴν καὶ ἐπίθεσιν, ἕτερόν τινα τρόπον οὐδὲ τοῦτον ἀσυντελῆ, ἀλλ' αὐτῷ τε καὶ τῇ ἑαυτοῦ ποίμνῃ λυσιτελῆ ἐς τὰ μάλιστα τὴν προμήθειαν πεποιήμεθα. τοιγαροῦν καὶ γνώμῃ καὶ θελήσει θεοφιλεῖ καὶ σπουδῇ τοῦ περιποθήτου ἀνεψιοῦ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ποθεινοτάτου υἱοῦ τῆς ἡμῶν μετριότητος, αὐθέντου τῆς Τραπεζοῦντος, τοῦ μεγάλου Κομνηνοῦ, τὴν ἐν τῇ τοιαύτῃ χώρᾳ αὐτοῦ ἐπισκοπὴν τῶν Λιμνίων, οὖσαν μὲν ὑπὸ τὴν τοιαύτην μητρόπολιν Ἀμασείας, τελοῦσαν δὲ ἐν στερήσει ἀρχιερέως καὶ διὰ τοῦτο καὶ τοῦ ὑπ' αὐτὴν χριστωνύμου λαοῦ τῆς ἐντεῦθεν ὠφελείας ἐστερημένου, τῷ τὴν χειροτονίαν δεξαμένῳ τῆς Ἀμασείας, ὡς εἴρηται, ἐκδεδώκαμέν τε καὶ ἐπετρέψαμεν διά τε τὸ πάντη ἐνδεὲς τῆς τοιαύτης μητροπόλεως Ἀμασείας καὶ τὸ τοῦ κατάρχοντος ἔθνους ἐκεῖσε μάλιστα δυσπαράδεκτον, ὥστε καθῆσθαι μὲν καὶ διάγειν τὸν τοιοῦτον ἱερώτατον μητροπολίτην ἐν αὐτῇ τῇ τῶν Λιμνίων ἁγιωτάτῃ ἐπισκοπῇ, τόν τε ἐκεῖσε χριστιανικὸν λαὸν ἀρχιερατικῶς ποιμαίνειν καὶ βελτιοῦν, τὰ πρὸς σωτηρίαν εἰσηγούμενον καὶ διδάσκοντα, ἱερουργεῖν τε ἐν αὐτῇ, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους καὶ πάντα τἆλλα πράττειν, ὅσα καὶ τῷ γνησίῳ ἀρχιερεῖ δίδοται καὶ νομίζεται, ἀπέρχεσθαι δὲ, ὅτε ἔξεστιν αὐτῷ καὶ δίδωσιν ὁ καιρὸς, καὶ εἰς τὴν Ἀμασείαν, καὶ ποιμαίνειν τοὺς ἐν αὐτῇ τὸν ὅμοιον τρόπον καὶ πάντα καθόλου πράττειν, ὅσα τοῖς γνησίοις μητροπολίταις οἱ θεῖοι καὶ ἱεροὶ κανόνες ἐνδιδόασιν. καθέξει τοίνυν ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Ἀμασείας τὴν τοιαύτην ἁγιωτάτην ἐπισκοπὴν τῶν Λιμνίων καὶ πάντα τὰ ὑπ' αὐτὴν, καὶ ἕξει ἐπ' ἀδείας, ὥσπερ εἴρηται, ἱεροπρακτεῖν ἐν αὐτῇ, ὥστε καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους, ἔτι γε μὴν ὡς δυνατὸν καὶ τὰ ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Ἀμασείας προσκαθέξει, ὡς γνήσιος τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας ἀρχιερεύς, ὅθεν καὶ ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς δηλωθείσης ἁγιωτάτης μητροπόλεως Ἀμασείας, οἵ τε τῆς ὑπ' αὐτὴν ἁγιωτάτης ἐπισκοπῆς τῶν Λιμνίων καὶ οἱ ὑπὸ τὰς ἐνορίας τούτων τελοῦντες, ἱερωμένοι τε καὶ μονάζοντες καὶ τὸ λοιπὸν χριστώνυ-

μον πλήρωμα δέξασθαι τοῦτον χαιρούσαις ψυχαῖς καὶ διὰ πάσης ἄγειν αἰδοῦς καὶ τιμῆς καὶ τὴν προσήκουσαν ὑποταγήν τε καὶ εὐπείθειαν ἀπονέμειν τούτῳ, ὡς ἀρχιερεῖ αὐτῶν καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ, ἐφ' οἷς ἂν ὑπ' αὐτοῦ διδάσκοιντο πρὸς σωτηρίαν συντείνουσι. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν τῆς ἡμῶν μετριότητος γράμμα τούτῳ δὴ τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Ἀμασείας, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, εἰς ἀσφάλειαν ἐπιδέδοται.

† Εἶχε τὸ· μηνὶ Ἰουλίῳ ἰνδ. ιε' †.

XXXIX. (6825—1317) augusto ind. XV.

Synodus archiepiscopo Messenes confert metropolim Arcadiopoleos per adiunctionem.

† Καὶ τοὺς τῶν θρεμμάτων ὁρῶμεν ποιμένας, ὁπόταν μὴ κατὰ πλῆθος τῶν βοσκημάτων ἡγῶνται, καὶ πλείω προσλαμβάνειν ζητοῦντας, ἵν' αὐτοί τε ποιμένες δι' ἀξιολόγου τοῦ πλήθους καλοῖντο, καὶ ἅμ' ἔχοιεν ἀπολαύειν ἱκανῆς τῆς ἐκ τῶν ποιμαινομένων προσόδου καὶ τῆς τῶν ἐκεῖθεν καρπῶν εὐφορίας καὶ εὐθηνίας, εἰ δ' ἐπὶ σφῶν αὐτῶν ἐκεῖνοι πραγματεύονται τὰ τῆς εὐπορίας αὐτῶν οὕτω καὶ προμηθείας, πῶς οὐκ ἂν ἡ τοῦ θεοῦ ἐκκλησία κήδοιτο τῶν ἑαυτῆς ποιμένων καὶ πλεῖστά γε κήδοιτο, ἵν' ἅμα καὶ τὴν κατὰ τοὔνομα πλουτοῖεν προσηγορίαν καὶ τῆς αὐτῶν διαίτης ἐντεῦθεν εὐπορίαν ἀνενδεᾶ; δίκαιον καὶ γὰρ σχολάζοντας αὐτοὺς περὶ τὴν τῶν ποιμαινομένων φροντίδα καὶ τὴν αὐτοῖς πιστευθεῖσαν τῶν ψυχῶν ἐπιμέλειαν τῶν ἔξω καταμελοῦντας ἔκ γε τῶν πονουμένων οὐ μόνον τὰ πρὸς τὸν βίον ἱκανῶς αὐτοὺς ἔχειν, ἀλλὰ καὶ τοῖς ἄλλοις προσεπαρκεῖν ἔχειν, οἷς ἀπορίαν ὁ χρόνος ἐπήνεγκε βίου· οὐ γὰρ ἐκ παρέργου τοῖς ἀληθῶς ποιμέσιν ἐμέλησεν, ὅπως τοὺς ὑπὸ χρείας τισὶ δεδουλωμένους ἐλευθέρους αὐτῶν ἔχοιεν ἀποφαίνειν, ἀλλὰ τοῦ παντὸς τοῦτο τιμῶνται, καὶ τὰ ἑαυτῶν παρ' οὐδὲν τίθενται πρὸς τὸ πᾶσι τοῖς ὑπ' αὐτοὺς τελοῦσι πάντων τῶν καλλίστων γίνεσθαι βραβευταί. οὕτω γὰρ ἂν καὶ τοὺς ἄλλους προτρέποιεν ἐπὶ τὸν τῶν καλῶν ζῆλον τῷ καθ' ἑαυτοὺς ὑποδείγματι οἱᾳτινι βιαίᾳ ἕλξει, πρὸς τὰ τῷ θεῷ δοκοῦντα καταρτύοντες καὶ προσάγοντες. καὶ τί δεῖ καθ' ἕκαστον λέγειν, ἃ τῶν μὴ πενίᾳ πολιορκουμένων ποιμένων ἀναφύεται, ναῶν ποιήσεις, ἱερέων διαπρεπεῖς κό-

σμοι, σεπτῶν εἰκόνων καὶ ἀναθημάτων φιλοτιμία, πτωχοτροφίαι καὶ ξένων ὑποδοχαὶ μεθ' ἱλαρᾶς εὐθυμίας γινόμεναι; ταῦτα καὶ πολλῷ πλείω παρῆκεν ὁ λόγος τὰ τῶν εὐπορούντων προστατῶν καὶ ποιμένων, εἰ δὲ κοινή τις εὐκληρία γίνεται τοῦ ποιμνίου ἡ τοῦ ποιμένος εὐπορία, τοὔμπαλιν ἡ σπάνις δεινὸν καὶ πέρα παντός γε δεινοῦ· ἵνα γὰρ τἆλλα παρῶμεν, παρὰ μὲν τοῖς συνειδόσιν αὐτῷ τὴν πενίαν ἕτερα ὑφίσταται τὰ ἐγκλήματα, παρὰ δὲ τοῖς μὴ τὰς ψήφους ἠκριβωμένως τιθεμένοις, ἀλλ' ἐκ τῶν εἰκότων καὶ πιθανῶν δοκῶν μὲν ἔχειν οὗτος, φείδεσθαι δὲ, μυρία δὴ καὶ βλασφημεῖται, ὁ δὲ τὸν Χριστὸν γυμνὸν οὐ περιβάλλων, ὁ δὲ πεινῶντα μὴ τρέφων καὶ ὅσα δὴ ἐφεξῆς ὀνειδίζονται οἱ μὴ ἐπαρκοῦντες πρὸς τοὺς ἐν χρείᾳ καὶ δειναῖς ἀπορίαις. ταῦτα δὴ καὶ ἡ μετριότης ἡμῶν συνεχῶς καθ' ἑαυτὴν ἀνελίττουσα οὐκ ἀνασχετὸν ἡγήσατο καὶ τὸν ἱερώτατον ἀρχιεπίσκοπον Μεσήνης, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν καὶ συλλειτουργὸν τῆς ἡμῶν μετριότητος, περιορᾶν τοῦ καθ' ἡμέραν βίου ἀπορούμενον, ἄνδρα τρόφιμον ὄντα ἐκ παιδὸς τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ πολλοὺς ἱδρῶτας ὑπενεγκόντα καὶ μόχθους, ἐνασχολούμενον ταῖς περὶ τὴν ἐκκλησίαν διακονίαις, ἀλλ' ὡς ἐνὸν περὶ αὐτοῦ γνησίως φροντίσασα, πόρον εὗρεν ἐπανορθώσασθαι τὴν κατ' αὐτὸν ἔνδειαν ἐκκλησίας προσθήκῃ, περὶ οὗ καὶ κοινωσαμένη τοῖς ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Χαλκηδόνος, τῷ Θεσσαλονίκης, τῷ Μελιτινῆς, τῷ Γαγγρῶν, τῷ Ποντοηρακλείας, τῷ Προύσης, τῷ Πηγῶν, τῷ Βερροίας, τῷ Σερρῶν, τῷ Φιλίππων, τῷ Χριστουπόλεως, τῷ Δυρραχίου, τῷ Μιτυλήνης, τῷ Ῥωσίου, τῷ Ἄπρω, τῷ Καυκασίου, τῷ Λιτβάδων, τῷ Βιζύης, τῷ Ξανθείας, τῷ Κῶ καὶ τῷ Μηδείας, συσπεύδοντας αὐτοὺς ἔσχε καὶ συμπράττοντας, ὅθεν καὶ κοινῇ τῇ περὶ τούτου ψήφῳ τὴν ἁγιωτάτην μητρόπολιν Ἀρκαδιουπόλεως κατὰ λόγον ἐπιδόσεως αὐτῷ ἀπονέμομεν, ὡς ἂν οὗτος μὲν τὴν δυνατὴν ἐπικουρίαν ἐκεῖθεν πορίζηται, ὁ δὲ κατ' ἐκείνην ἱερεὺς καὶ λαὸς τῆς παρὰ τοῦδε διδασκαλίας ἐπαπολαύων πᾶσαν ἐπιδιδοίη τὴν κατὰ ψυχὴν ὠφέλειαν καὶ τὴν ἐς τὰ κρείττω προκοπὴν καὶ βελτίωσιν Χριστοῦ χάριτι. καθέξει τοίνυν ὁ αὐτὸς ἱερώτατος ἀρχιεπίσκοπος Μεσήνης τὴν τοιαύτην ἁγιωτάτην ἐκκλησίαν Ἀρκαδιουπόλεως καὶ τὰ ὑπ' αὐτὴν πάντα, καὶ ἐπ' ἀδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους, ἔτι δὲ καὶ ἡγουμένους ἐγκαθιστᾶν, καὶ ἁπλῶς τῶν ἐκείνης πάντων

μεθέξει, ὅσα καὶ γνήσιος ἀρχιερεὺς, ἄνευ μέντοι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὅθεν ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς δηλωθείσης ἁγιωτάτης ἐκκλησίας καὶ οἱ ὑπὸ τὴν ἐνορίαν ταύτης τελοῦντες καὶ πνευματικὴν ἐπικράτειαν, ἱερωμένοι, μανάζοντες καὶ τὸ λοιπὸν χριστώνυμον πλήρωμα δέξασθαι τοῦτον καὶ διὰ πάσης ἄγειν αἰδοῦς καὶ τιμῆς καὶ τὴν προσήκουσαν ὑποταγὴν τούτῳ καὶ εὐπείθειαν ἀπονέμειν ὡς ἀρχιερεῖ αὐτῶν καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ, ἐφ' οἷς ὑπ' αὐτοῦ νουθετοῖντο πρὸς σωτηρίαν συντείνουσι τῶν ψυχῶν αὐτῶν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν τῆς ἡμῶν μετριότητος γράμμα τούτῳ δὴ τῷ διαληφθέντι ἱερωτάτῳ ἀρχιεπισκόπῳ Μεσήνης, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, εἰς ἀσφάλειαν ἐπιδέδοται.

† Εἶχε τὸ· μηνὶ αὐγούστῳ ἰνδ. ιε' †.

XL. Sine anno.

Synodus metropolitae Heracleae Ponticae confert episcopatum Amyclii per adiunctionem.

† Ἐπειδήπερ ἐν κρίσει τοὺς λόγους καὶ ἡμεῖς τῶν πραγμάτων οἰκονομεῖν ἐλάχομεν τῇ τοῦ θεοῦ χάριτι, νέμειν τε καὶ διοικεῖν ἔν γε τοῖς πνευματικοῖς, ὡς χρὴ, ἕκαστα καὶ διὰ πάντων ὡς εἰπεῖν σώζειν τὰ πρόσφορα, χρεὼν δήπου μὴ ἐν παρέργῳ τίθεσθαι τοῦτο, μήδ' ἐφ' ἑνὶ τῶν πραγμάτων ἄγειν τὸ εἰκὸς, ἀλλ' ὥσπερ βασάνῳ τῶν πρακτέων τοὺς λόγους τῇ κρίσει προσάγοντας, εἰς ἔργον αὐτίκα δὴ ἔπειτα προάγειν. εἰ οὖν τούς γε ἄλλους καὶ οὐχ ἧττον, ὅσοι κατὰ γένος μάλιστα προσήκουσι, προνοίας ἔξω ποιεῖσθαι ἐπ' ἔσχατα σκληρότητος καὶ ἀσυμπαθείας ἥκει, ἥ που τούς γε τῷ αὐτῷ τελεωθέντας χρίσματι καὶ τῷ αὐτῷ συναφθέντας πνεύματι, τῶν ἀναγκαιοτάτων ἂν εἴη πάσης ἀξιοῦν κηδεμονίας, παρ' ὅσον καὶ κρειττων ἡ τοῦ πνεύματος τῆς ἐξ αἵματος συναφείας. ἐκεῖ μὲν γὰρ ἴσως σκληρότητα γνώμης καταγνωσθείς τις, εἶτα ἀπῆλθεν ἐς τοσοῦτον αὐτῷ τῆς καταδίκης ὁρισθείσης, ἐνταῦθα δὲ πρὸς τούτοις καὶ δίκας ὀφλήσει παρὰ τῷ τὰ τῆς οἰκονομίας πιστεύσαντι, εἰ δυνάμενος χεῖρα βοηθείας παρέχεσθαι, ἔπειτα ῥᾳστώνῃ δεδωκὼς τὸ πρᾶγμα, τῇ βίᾳ συνωθεῖσθαι τὸν ἀδελφὸν συγκεχώρηκεν. οὕτω μέντοι ταῦτα παρ' ἡμῖν νομιζόμενα καὶ σπουδάζεται τό γε εἰς δύναμιν παντοίοις καὶ

τρόποις καὶ πράγμασι. καὶ τοίνυν, ἐπειδή τισι τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων ἐν οὐκ ἐλαχίστῃ πενίᾳ καὶ τῶν ἀναγκαίων στερήσει κατενεχθῆναι συνέβη πάσης σχεδὸν προσόδου τῶν κατ' αὐτοὺς ἐκκλησιῶν ἀποκλειθεῖσι τῇ τοῦ χρόνου κακότητι, χεῖρα βοηθείας ὀρέγειν τῶν πάνυ εἰκότων ἡ μετριότης ἡμῶν κρίνει· καὶ γὰρ ἂν εἴη κοινὸν ἀμφοτέρων τοῦτό γε προμήθεια, αὐτῶν τε δὴ, πρὸς οὓς γίνεται, καὶ αὖ τῶν ὑπ' αὐτοῖς ποιμνίων, ὡς ἐντεῦθεν μιᾶς ἀφορμῆς διττὴν γίνεσθαι τὴν ὄνησιν, μήτ' ἐνταῦθα περιγραφομένην κἀκεῖσε ὡς τὸ εἰκὸς διαβαίνουσαν. ὡς γὰρ πονηρῶς διατεθείσης τῆς κεφαλῆς ἀνάγκη μεταλαγχάνειν καὶ τἆλλα τοῦ σώματος μέλη τοῦ πάθους, οὕτω δὴ κἀνταῦθα κεφαλῆς λόγον ἔχοντες καὶ ποιμαίνειν λαχόντες πρός γε δὴ τὸ ὑπ' αὐτοῖς ἕκαστοι ποίμνιον, δυσχερῶς λίαν ἕξουσιν ὠφελεῖν τινας, εἰ σφοδρά τις πενία κατέχει δίκην νεκρώσεως τοῖς αὐτῶν βουλήμασί τε καὶ πράγμασι βιαίως ἐμπίπτουσα, τοῦτο δὲ οὐ μικρὸν τῷ ποιμνίῳ βλάβος. ἔπειτα οὐτ' ἔστιν ἐνταῦθα λέγειν, ὡς ἀσυντελὴς ἡ τῶν ἔξωθεν εὐπορία τοῖς τὰ τοῦ πνεύματος ἐνεργοῦσιν, εἰ μή τις φαίη καὶ τὴν ψυχὴν σώματος ἄνευ ἀρετὰς ἐργάζεσθαι δύνασθαι. ἢ πῶς οὐκ ἂν χαλκὸς ἠχῶν τοῖς ἀκούουσι λογισθείη κατὰ τὸν θεῖον ἀπόστολον, ὅ ποτε λόγῳ μόνῳ φιλοσοφοίη τὰ τῆς ἐλεημοσύνης ἐγκώμια, πράγμασιν οὐκ ἔχων τοὺς τύπους τοῖς λόγοις συνάδοντας καθυπογράφειν; καὶ πανταχόθεν κατίδοι ἄν τις μεγάλην οὖσαν τὴν τῶν πραγμάτων συντέλειαν, πλὴν οὐχ ὅσα τὴν χρείαν ὑπερβαίνει, ἐπεὶ τά γε τῆς χρείας ἐντὸς κακίσειεν ἂν τῶν εὐφρονούντων οὐδείς. οὕτω τοίνυν τοῖς καθ' ἡμᾶς πράγμασι προσέχοντες καὶ ταῖσδε ταῖς ψήφοις τὰ τοιαῦτα προσάγοντες, τῶν ἀπεικότων κρίνομεν, ὑφ' ἡμῶν ἀμελεῖσθαί τε καὶ περιορᾶσθαι, εἴ τις τῶν ἡμετέρων ἐν κυρίῳ ἀδελφῶν τῷ τῆς πενίας καταδύεται κόματι. οὐκοῦν οὐδ' ἀμελεῖται τὸ γοῦν ἐφ' ἡμῖν οὐδεὶς ὅστις ἄξιος, ἀλλὰ τῆς προσηκούσης ἕκαστος μεταλαγχάνει προμηθείας καὶ βοηθείας· ἰδοὺ γὰρ καὶ ὁ ἱερώτατος μητροπολίτης Ποντοηρακλείας καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς, λόγῳ καὶ βίου ἐμπρέπων σεμνότητι καὶ τῆς ἀρετῆς πλουτῶν τὰ κάλλιστα, οὐδενὸς ἂν τῷ τέως ἐδεῖτο, εἰ καθ' αὑτὸν ἦν διάγων, νῦν δὲ, ἐπειδὴ προστασίαν ἐστὶν ἐγκεχειρισμένος λαοῦ, καὶ πολλή τις τούτῳ ἀνάκειται φροντὶς, ἄξιος ἂν εἴη καὶ τῶν εἰς χρείαν ἡκόντων ἐπαπολαύειν, ἵν' αὐτός τε ἑαυτῷ

ἐπαρκῶν εἴη ταῖς πυκναῖς ἐνδημίαις τε καὶ ἀποδημίαις κοπτόμενος τῆς τοῦ οἰκείου ποιμνίου ὠφελείας ἕνεκα καὶ ἑτέρας, ὡς ἐνὸν ὠφέλιμος ἔσθ' ὅτε φαίνοιτο. ταῦτ' ἄρα καὶ τὴν περιέχουσαν αὐτὸν ἔνδειαν ἑτέρας ἐκκλησίας ἐπιθήκῃ θεραπεῦσαι διέγνωμεν, ἀναλόγως τῷ πάθει τὴν ἴασιν ἐπιφέροντες. ποία γὰρ ἂν εἴη πρεπωδεστέρα προμήθεια ποιμένι ἀπορουμένῳ περὶ τὰ χρειώδη ἢ ποιμνίου ἐπαύξησις; τὴν τοίνυν ἁγιωτάτην ἐπισκοπὴν τὴν ἐπονομαζομένην Ἀμύκλιον, τὴν ὑποκειμένην ταῖς Παλαιαῖς Πάτραις, χηρεύουσαν ἤδη χρόνον ἱκανὸν καὶ δεομένην τοῦ διδάξοντος καὶ πρὸς τὰς κρείττους νομὰς ὁδηγήσοντος τὸν ἐν αὐτῇ χριστώνυμον λαόν, διδόαμεν αὐτῷ κατὰ λόγον ἐπιδόσεως κοινῇ ψήφῳ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Χαλκηδόνος, τοῦ Ἀδριανουπόλεως, τοῦ Μελιτινῆς, τοῦ Μονεμβασίας, τοῦ Γαγγρῶν, τοῦ Προύσης, τοῦ Πηγῶν, τοῦ Βερροίας, τοῦ Σερρῶν, τοῦ Φιλίππων, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Ῥωσίου, τοῦ Ἄπρω, τοῦ Καυκασίου, τοῦ Βιζύης, τοῦ Μεσήνης, τοῦ Ξανθείας, τοῦ Κῶ καὶ τοῦ Μηδείας, ὡς ἂν αὐτὸς μὲν βοηθείας ἐκεῖθεν ἐπιτυγχάνει τινός, ἐφ' οἷς ἐν χρείᾳ καθέστηκεν, ὁ δὲ κατ' ἐκείνην λαὸς τῇ τούτου προσχόντες διδασκαλίᾳ καὶ ὑποθήκῃ τῶν καλῶν ὠφελοῖντο περὶ ψυχήν, καὶ ἐπανάγοιντο ὁσημέραι πρὸς τὴν εἰς τὰ κρείττω ἐπίδοσιν, συνάρσει καὶ εὐδοκίᾳ θεοῦ. καθέξει τοίνυν ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Ποντοηρακλείας καὶ ὑπέρτιμος τὴν εἰρημένην ἁγιωτάτην ἐπισκοπὴν τοῦ Ἀμυκλίου μετὰ πάντων τῶν ὑπ' αὐτήν, καὶ ἐπ' ἀδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ καὶ διακόνους προβιβάζειν καὶ . . . . . .

finis deest.

XLI. (6826—1317—18) ind. I.

Synodus iubet examinari causas ecclesiasticas in metropoli Sugdaeae.

. . . . (οἰ)κοδομῆσαι μέλλοντες θείους ναούς. οἱ δὲ κατέστησαν αὐτὰ εἰς τοὺς πρὸ χρόνων φθάσαντας ἀνεγερθῆναι, ὡς εἴρηται, ναοὺς, καὶ ἔκτοτε ἰδιοποιοῦνται αὐτοὺς ὡς πατριαρχικούς. ἀνέφερε καὶ ὡς πρὸ χρόνων συνέβη ἐξοικισθῆναί τινα τῶν χωρίων τῆς ἐνορίας αὐτοῦ ἐκ τῆς τῶν Ταταρίων ἐπιδρομῆς, ἐπανελθόντων δὲ πάλιν εἰς αὐτὰ τῶν ἐποίκων αὐτῶν καὶ κατοικησάντων ἐν αὐτοῖς, ἀπῆλθον οἱ ἔξαρχοι τοῦ ἱερωτάτου μητροπολίτου Γοτθίας καὶ ὑπερτίμου, καὶ ἐποίησαν ἐν τοῖς

τοιούτοις χωρίοις σταυροπήγια τῆς μητροπόλεως Γοτθίας, καὶ ἔκτοτε ἀπαιτοῦσιν αὐτοὶ παρὰ τῶν ἐποίκων τῶν τοιούτων χωρίων καὶ τὸ κανονικὸν, ὅσον ὀφείλεται πρὸς τὸ μέρος τῆς μητροπόλεως Σουγδαίας, καὶ ἐζήτησαν ἐπὶ τούτοις τυχεῖν συνοδικῆς διαγνώσεως. ἔκρινε τοίνυν ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Νικαίας, τοῦ Φιλαδελφείας, τοῦ Προύσης, τοῦ Πηγῶν, τοῦ Σερρῶν, τοῦ Δυρραχίου, τοῦ Ἀτταλείας καὶ τοῦ Μεσήνης, ἵνα γένηται τοπικῶς δι' ἐπιστασίας τῶν πλησιοχωρούντων ἀρχιερέων ἐξέτασις, παρεῖναι ὀφείλοντος τῇ τοιαύτῃ ἐξετάσει καὶ τοῦ ἱερωτάτου ἀρχιερέως Γοτθίας, καὶ ὡς εὑρεθῶσιν ἔχοντα εἰς ἀλήθειαν τὰ τῶν τοιούτων ὑποθέσεων, σημειωθῇ παρ' αὐτῶν καὶ πεμφθῇ τὸ σημείωμα ἐνταῦθα, καὶ ἔπειτα γένηται, ὅσον ἀναφανῇ δίκαιον ἀπὸ τῆς συνοδικῆς διαγνώσεως. ἀνατιθέαμεν δὲ τὰ περὶ τούτου τοῖς ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Ἀλανίας, τῷ Βιτζίνης καὶ τῷ Ζηκχίας καὶ Ματράχων, οἳ δὴ καὶ ὀφείλουσιν ἐνδημῆσαι εἰς τὸν ἐκεῖσε τόπον καὶ ἀποπληρῶσαι τὰ τῆς συνοδικῆς ταύτης καὶ ἡμετέρας διαγνώσεως. ἐπεὶ δὲ ἀνέφερεν ὁ αὐτὸς ἱερώτατος ἀρχιερεὺς Σουγδαίας, ὡς προβαίνουσιν εἰς τὴν ἐνορίαν αὐτοῦ συνοικέσια κεκωλυμένα παρὰ τῶν θείων καὶ φιλευσεβῶν νόμων, τὰ μὲν ἐξ αἵματος, τὰ δὲ ἐξ ἀγχιστείας, μὴ πειθομένων τῶν ποιούντων αὐτὰ τῇ τοῦ ἀρχιερέως παραινέσει καὶ συμβουλῇ, ὀφείλουσιν οἱ τοιοῦτοι ἱερώτατοι ἀρχιερεῖς ποιῆσαι ἐπιφώνησιν πρὸς τὸν ἐκεῖσε χριστιανικὸν λαὸν, ὡς ἂν μηδὲν τολμῶσί τι τοιοῦτον, ὅτι εἰς κρίμα καὶ ἀπώλειαν ἕνι τῆς ψυχῆς αὐτῶν, καὶ οὐδὲν ὀφείλουσι παρακούειν τοῦ γνησίου αὐτῶν ἀρχιερέως, οὔτε ἐπὶ τοῖς τοιούτοις, οὔτε ἐπὶ τοῖς ἄλλοις, οἷς λέγει πρὸς αὐτοὺς εἰς ὠφέλειαν τῶν ψυχῶν αὐτῶν, ἀλλὰ καὶ εἴ τι συνοικέσιον εὑρίσκεται, ὀφείλει διασπασθῆναι. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται.

† Εἶχε τὸ· μηνὶ..... ἰνδ. α' †.

XLII. (6826—1317—18) ind. I.

Synodus respondet ad petitionem metropolitae Attaliae de pravis moribus, qui in eius dioecesi invaluerunt.

† Ὁ ἱερώτατος μητροπολίτης Ἀτταλείας καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἀνέφερεν εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον, ὡς τινες τῶν

κληρικῶν τῆς κατ' αὐτὸν τοιαύτης μητροπόλεως καὶ τῶν ἐκεῖσε κοσμικῶν ἀνθρώπων ἔφθασαν ἀναδέξασθαί τινα ἀπὸ τῶν μοναστηρίων τῆς αὐτῆς μητροπόλεως, ὡσαύτως καί τινας ἀπὸ τῶν ὑπ' αὐτὴν θείων ναῶν ἐκδοθέντων καὶ τῶν τοιούτων μοναστηρίων καὶ τῶν ναῶν παρὰ τῶν κατὰ καιροὺς ἀρχιερέων τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας κατὰ σκοπὸν τοῦ ἐπιμελείας παρ' αὐτῶν ἀξιοῦσθαι καὶ περιποιήσεως εἰς τὸ συνίστασθαι καὶ βελτιοῦσθαι αὐτά, διέβη δὲ ἡ κατοχὴ τούτων καὶ εἰς τοὺς ἀπογόνους τῶν τοιούτων κληρικῶν καὶ κοσμικῶν ἀνθρώπων, κατὰ μικρὸν δὲ ἐπὶ τοσοῦτον κατήντησαν εἰς ἐρήμωσιν τὰ τοιαῦτα μοναστήρια καὶ οἱ ναοὶ ἐξ ἀμελείας αὐτῶν, ὡς μηδὲ μοναχοὺς ἔχειν οἰκήτορας, καὶ τὰ κτήματα δὲ αὐτῶν τὰ μὲν διεπράθησαν παρὰ τῶν τοιούτων κληρικῶν καὶ κοσμικῶν ἀνθρώπων, τὰ δὲ κατέχουσιν ἔτι καὶ νέμονται αὐτοί, καὶ τὰς ἐξ αὐτῶν ἀποκερδαίνουσι προσόδους. ἀνέφερε καὶ ὥς τινες τῶν τοπικῶν γυναιξὶ κατὰ νόμους συναπτόμενοι καὶ τῆς συμφωνηθείσης πρὸς αὐτοὺς προικὸς ἀποδιδομένης βιάζονται καὶ καταναγκάζουσιν, ἵνα τὰ μὲν τῶν προικιμαίων πραγμάτων δίδωνται πρὸς αὐτοὺς κατὰ λόγον ξενίου, τὰ δὲ προικοδοτῶνται ταῖς γυναιξί, καὶ εἰ συμβῇ προτελευτῆσαι τὴν γυναῖκα καὶ ἀπαιτηθῆναι τὴν προῖκα, ἀντιστρέφηται μόνον τὸ καταγραφὲν ὑπὲρ προικὸς, τὸ δὲ ἐπέκεινα πρᾶγμα ἐναπομένῃ αὐτοῖς ἀναπαίτητον ὡς ξενίου λόγῳ δοθὲν πρὸς αὐτούς, ὥστε καὶ ἐπεκράτησεν ἡ τοιαύτη συνήθεια, καὶ ἐνεργεῖται παραλόγως, μὴ βουλομένων ἄλλως συνάπτεσθαι εἰς γάμον τῶν πρὸς τοῦτο ἐρχομένων ἀνδρῶν, κἀντεῦθεν ἀναγκαζόμενοι οἱ τὰς θηλείας ἔχοντες παῖδας καὶ μὴ ἔχοντες ἄλλως πρὸς γάμον συνάπτειν αὐτὰς, ζημιοῦνται τὰ μεγάλα παρὰ τὴν τῶν νόμων διαταγὴν, στερούμενοι τῶν οἰκείων. καὶ ἐζήτησεν ἐπὶ τούτοις συνοδικῆς τυχεῖν διαγνώσεως. ἔκρινεν οὖν ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Νικαίας, τοῦ Φιλαδελφείας, τοῦ Προύσης, τοῦ Πηγῶν, τοῦ Σερρῶν, τοῦ Δυρραχίου, τοῦ Ἀλανίας καὶ τοῦ Μεσήνης, περὶ μὲν τῶν ἐκδοθέντων, ὡς εἴρηται, μοναστηρίων καὶ τῶν ναῶν ἐπ' ἀδείας ἔχειν τὸν δηλωθέντα ἱερώτατον τῆς Ἀτταλείας ἀρχιερέα ἀποσπάσαι ταῦτα ἀπὸ τῶν κατεχόντων αὐτὰ κληρικῶν καὶ κοσμικῶν ἀνθρώπων καὶ σπουδάσαι καὶ ἐπιμεληθῆναι, ὥστε καταστῆσαι καὶ ἀποδεῖξαι πάλιν τὰ τοιαῦτα μοναστήρια καταγώγια μοναχῶν, ἀνασῶσαί τε αὐτοῖς, ἔτι δὲ καὶ τοῖς τοιούτοις θείοις ναοῖς καὶ τὰ κτήματα αὐτῶν, ὅσα ἔφθα-

σαν διαπραθῆναι, ὡς εἴρηται, παρὰ τῶν κατεχόντων αὐτά, ἄδικον γὰρ ἔνι καὶ μέγα ἐπιφέρον τὸ κρίμα ταῖς ψυχαῖς τῶν κατεχόντων ταῦτα, τὸ ἐπὶ λύμῃ καὶ καινοτομίᾳ καὶ βλάβῃ τῶν προσόντων τοῖς τοιούτοις μοναστηρίοις καὶ τοῖς ναοῖς κατακυριεύειν καὶ δεσπόζειν καὶ κατέχειν αὐτά, τὰ γὰρ ἅπαξ ἀφιερωθέντα τῷ θεῷ ἀπαρεγχείρητα διατηρεῖσθαι ὀφείλουσι καὶ ἀμείωτα, οὐ μόνον παρὰ τῶν ἀναδεχομένων τοιουτοτρόπως αὐτά, ἀλλὰ καὶ τῶν οἰκόθεν συνιστώντων καὶ προστιθέντων καὶ καθάπαξ προσαγόντων τὰ προσόντα αὐτοῖς. περὶ δὲ τῶν γινομένων, ὡς δεδήλωται, συναλλαγμάτων καὶ συνοικεσίων διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ αὐτὴν ἱερᾶς καὶ θείας συνόδου, ἄκυρον εἶναι τὴν γινομένην παράλογον καὶ ἄτοπον συνήθειαν καὶ ἀβέβαιον, ἔνθα προβῇ, καὶ ὁπότε συμβῇ τελευτησάσης τῆς γυναικὸς ἀπαιτεῖσθαι τὰ τῆς προικὸς πράγματα, ἀποδίδοσθαι ταῦτα ἀπὸ τοῦ μέρους τοῦ ἀνδρὸς ἐξ ὁλοκλήρου κατὰ τοὺς θείους καὶ φιλευσεβεῖς νόμους, μηδέν τι ὀφείλοντος κατέχειν καὶ ἀποκερδαίνειν ἐξ αὐτῶν, ὡς κατὰ λόγον ξενίου δοθὲν, ἅτε παραλόγου παντελῶς οὔσης τῆς τοιαύτης πράξεως, καὶ διὰ τοῦτο τὸ ἄκυρον ὀφειλούσης ἔχειν εἰς ἅπαν τὸ ἑξῆς. ἐπεὶ δὲ ἀνέφερεν ὁ τοιοῦτος ἱερώτατος ἀρχιερεὺς Ἀτταλείας καὶ ὡς ἔφθασάν τινες ἀδίκῳ τρόπῳ καὶ πλεονεκτικῷ ἰδιοποιήσασθαι τὸν ἐπισυναγόμενον κηρὸν καὶ τὸ ἔλαιον εἰς τὸν ἐκεῖσε θεῖον ναὸν τῆς κατ' αὐτὸν μητροπόλεως, ἔτι δὲ καὶ τὴν ἀπὸ τῶν διαφερόντων τῷ τοιούτῳ ναῷ ἐργαστηριακῶν οἰκημάτων καὶ τὴν ἀφ' ἑτέρου τινὸς τρόπου πρόσοδον εἰς τὸν τοιοῦτον θεῖον ναὸν καὶ κατέχειν καὶ ἀναλίσκειν ταύτην εἰς ἰδίας αὐτῶν χρείας, ἐκράτησε δὲ ὅμως πάλιν τὴν τοιαύτην πρόσοδον ὁ πρὸ τούτου ἀρχιερεὺς καὶ οἱ κληρικοὶ τῆς τοιαύτης μητροπόλεως, καὶ ἔταξαν, ἵνα κατέχηται ἰδίως καὶ φυλάσσηται, καὶ τὸ μὲν ἀναλίσκηται εἰς λυχνοκαΐαν τοῦ τοιούτου θείου ναοῦ, τὸ δὲ ὑπόλοιπον εἰς περιποίησιν αὐτοῦ καὶ σύστασιν καὶ βελτίωσιν, παρακελεύεται ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ αὐτὴν ἱερᾶς καὶ θείας συνόδου, ἵνα καὶ εἰς τὸ ἑξῆς ἐπισυνάγηται καὶ φυλάσσηται ἡ τοιαύτη πρόσοδος παρὰ ἀνθρώπων χρησίμων κληρικῶν, οὓς ἂν διακρίνῃ καὶ τάξῃ ὁ κατὰ καιροὺς ἀρχιερεὺς, ὡς τῆς φυλακῆς καὶ συντηρήσεως τῆς τοιαύτης προσόδου τὴν φροντίδα ἔχειν ὀφείλοντος τοῦ τοιούτου ἀρχιερέως μετὰ καὶ εἰδήσεως τῶν κληρικῶν, καὶ μηδεὶς τῶν τοιούτων κληρικῶν ἤ τις ἕτερος ἐπ' ἀδείας ἔχῃ ἰδιοποιεῖσθαι καὶ ἀναλίσκειν αὐτήν

εἰς ἰδίας αὐτοῦ χρείας, ἀλλ' ἀναλίσκηται εἰς λυχνοκαΐαν καὶ περιποίησιν τοῦ τοιούτου θείου ναοῦ. ὡσαύτως, ἐπειδὴ ἐγνώρισεν ἡ μετριότης ἡμῶν καὶ ὡς ἑπτά τινες τῶν προβαθμιωτέρων πρεσβυτέρων τοῦ κλήρου τῆς τοιαύτης μητροπόλεως Ἀτταλείας ἀντιποιοῦνται τῆς τεταγμένης ἀκολουθίας τοῦ εὐχελαίου, ὥστε παρ' αὐτῶν μόνων ἐκτελεῖσθαι τὴν τοιαύτην ἀκολουθίαν καὶ μὴ παρ' ἄλλων τινῶν πρεσβυτέρων, τῷ λόγῳ, ὅτι ἔφθασε ταχθῆναι τοῦτο πρὸ χρόνων παρὰ τοῦ τῷ τότε ἀρχιερέως τῆς τοιαύτης μητροπόλεως, καὶ ταῦτα μετ' ὀλίγον πάλιν ἀκυρωθέντος τούτου διὰ πατριαρχικοῦ γράμματος, ὅπερ ἐνεφανίσθη καὶ τῇ ἡμῶν μετριότητι, παρακελεύεται ἡ μετριότης ἡμῶν, ἵνα τοῦ λοιποῦ καὶ εἰς τὸ ἑξῆς παύσωνται οἱ τοιοῦτοι πρεσβύτεροι τοῦ ἀντιποιεῖσθαι τῆς τοιαύτης ἀκολουθίας τοῦ εὐχελαίου, ὡς διαφερούσης καὶ ἀνηκούσης ἰδίως αὐτοῖς, καὶ μὴ παρ' αὐτῶν μόνων ἐκτελῆται τὰ τῆς τοιαύτης ἀκολουθίας, ἀλλὰ (παρὰ τῶν) πρεσβυτέρων, οὓς ἂν θελήσῃ καὶ προσκαλέσηται ἕκαστος τῶν βουλομένων ἐκτελεῖν τὸν τοιοῦτον ἁγιασμόν, ἐπεὶ καὶ ἐπιτίμιον ἠπείληται τοῖς τοιούτοις πρεσβυτέροις, εἰ πάλιν αὐτοὶ μόνοι ἐνεργεῖν τὰ τῆς τοιαύτης ἀκολουθίας πειραθήσονται. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται.

† Εἶχε τὸ· μηνὶ.... ἰνδ. α' †.

XLIII. (6826—1318) augusto ind. I.

Synodus metropolitae Larissensi, qui ob bellum suam dioecesin ingredi non potest, permittit, ut iura episcopalia exerceat in episcopatu Charmaenes.

† Ἐπειδὴ ὁ ἱερώτατος μητροπολίτης Λαρίσσης, ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸς ἔγραφε καὶ ἀνήνεγκεν εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον, ὡς ἐκ τῆς ἐπισυμβάσης εἰς τὸν ἐκεῖσε τόπον συγχύσεως καὶ ἀνωμαλίας ἀπὸ τῆς μάχης ἐμποδίζεται καὶ οὐδὲν ἔχει ἐπ' ἀδείας καταλαβεῖν εἰς τὴν λαχοῦσαν αὐτὸν ἁγιωτάτην μητρόπολιν Λαρίσσης καὶ εὑρίσκεσθαι καὶ διάγειν ἐν αὐτῇ καὶ τὰ ἐφειμένα τούτῳ ἀρχιερατικῶς διαπράττεσθαι, ἀπῆλθε δὲ διὰ τοῦτο καὶ εὑρίσκεται εἰς τὴν ὑπ' αὐτὸν ἁγιωτάτην ἐπισκοπὴν Χαρμαίνης, ἐν στερήσει εὑρισκομένην ἀρχιερέως γνησίου, καὶ ἐζήτησεν, ἵνα ἐπιτραπῇ συνοδικῶς, ὥστε πρὸς καιρόν, μέχρις ἂν δηλονότι τὰ τῆς μάχης διαλυθῇ, καὶ εἰρηνικὴ πάλιν κατά-

στασις εἰς τὸν ἐκεῖσε γένηται τόπον, ἐν τῇ τοιαύτῃ τῆς Χαρμαίνης ἐπισκοπῇ διάγειν καὶ τὰ τῇ ἀρχιερωσύνῃ αὐτοῦ ἀνήκοντα διαπράττεσθαι, διέγνω ἡ μετριότης ἡμῶν σύναμα τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἡρακλείας, τῷ Σάρδεων, τῷ Νικαίας, τῷ Χαλκηδόνος, τῷ Φιλαδελφείας, τῷ Μελιτηνῆς, τῷ Ποντοηρακλείας, τῷ Πηγῶν, τῷ Δυρραχίου, τῷ Ἄπρω, τῷ Μεσήνης καὶ τῷ ὑποψηφίῳ Μελενίκου, δέον εἶναι διὰ τὴν ἀνάγκην τῶν ἐκεῖσε πραγμάτων καὶ τοὺς βουλομένους ἱερᾶσθαι καὶ κατὰ τὴν τάξιν προάγεσθαι τὴν ἐκκλησιαστικὴν, εὑρίσκεσθαι τὸν δηλωθέντα ἱερώτατον ἀρχιερέα Λαρίσσης ἐν τῇ εἰρημένῃ ἐπισκοπῇ τῆς Χαρμαίνης, ἕως ἂν εἰρηνικὴ πάλιν κατάστασις γένηται εἰς τὸν τοιοῦτον τόπον, καὶ ἱερουργεῖν ἐν αὐτῇ καὶ χειροτονίας διακόνων καὶ πρεσβυτέρων καὶ τἆλλα, ὅσα ἐφεῖται ἀρχιερατικῶς αὐτῷ διαπράττεσθαι, ἀπέχειν ὀφείλοντα μόνον τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ἔσται τοίνυν διάγων καὶ πράττων τὰ εἰρημένα ἐν τῇ τοιαύτῃ ἐπισκοπῇ κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν· ἐπὶ τούτῳ γὰρ ἐπιδέδοται αὐτῷ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν.

† Εἶχε τὸ· μηνὶ αὐγούστῳ ἰνδ. α' †.

XLIV. (6827—1318) octobri ind. II.

Synodus metropolitae Prusae mandat, ut inspiciat metropolim Apameae et monasterium patriarchale Agaurorum.

† Ἡ μετριότης ἡμῶν προμηθευομένη ὁμοῦ μὲν τοῦ ἱερωτάτου μητροπολίτου Προύσης καὶ ὑπερτίμου, ἀγαπητοῦ κατὰ κύριον ἀδελφοῦ αὐτῆς καὶ συλλειτουργοῦ, ὡς ἂν μὴ ἀπόρως ἔχῃ τῶν εἰς χρείαν ἡκόντων αὐτῷ, εἰς τοῦτο συνελαυνόμενος ὑπὸ τῆς τῶν πραγμάτων ἀνωμαλίας, ὁμοῦ δὲ προνοουμένη καὶ τοῦ ἐν τῇ ἐνορίᾳ τῆς γειτνιαζούσης τῇ κατ' αὐτὸν ἐκκλησίᾳ ἁγιωτάτης μητροπόλεως Ἀπαμείας εὑρισκομένου χριστιανικοῦ λαοῦ, ὥστε καὶ αὐτοὺς ἀρχιερατικῆς ἐπισκέψεως ἀπολαύειν καὶ ὠφελείας, παρακελεύεται γνώμῃ κοινῇ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Φιλαδελφείας, τοῦ Μελιτηνῆς, τοῦ Γαγγρῶν, τοῦ Ποντοηρακλείας, τοῦ Πηγῶν, τοῦ Σερρῶν, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Ἄπρω, τοῦ ἀρχιεπισκόπου Μεσήνης καὶ τῶν ὑποψηφίων Σμύρνης καὶ Μελενίκου, εἶναι τὴν τοιαύτην ἐνορίαν

τῆς δηλωθείσης μητροπόλεως Ἀπαμείας ὑπὸ τὴν πνευματικὴν ἐπίσκεψιν καὶ ἀνάκρισιν τοῦ διαληφθέντος ἱερωτάτου μητροπολίτου Προύσης καὶ ὑπερτίμου καὶ ὑπ' αὐτῷ ποιμένι τοὺς ἐν αὐτῇ εὑρισκομένους ἱερεῖς, μονάζοντάς τε καὶ λαϊκοὺς διεξάγεσθαι καὶ καταρτίζεσθαι πρὸς τὰ πνευματικὰ καὶ λυσιτελῆ καὶ σωτήρια, ἀναγνώστας τε παρ' αὐτοῦ καὶ ὑποδιακόνους καὶ διακόνους καὶ ἱερεῖς ἐξ αὐτῶν προβιβάζεσθαι τοὺς τῇ κανονικῇ δοκιμασίᾳ προκρινομένους. ὡσαύτως παρακελεύεται ἡ μετριότης ἡμῶν κατέχειν τὸν αὐτὸν ἱερώτατον ἀρχιερέα Προύσης καὶ τὴν ἐν τῇ τοιαύτῃ θεουπόλει Προύσῃ διακειμένην σεβασμίαν πατριαρχικὴν μονήν, τὴν ἐπ' ὀνόματι τιμωμένην τοῦ ὁσίου Εὐστρατίου καὶ ἐπικεκλημένην τῶν Ἀγαύρων, μεθ' ὧν αὕτη κέκτηται δικαίων καὶ προνομίων. ὅθεν ὀφείλουσι καὶ οἱ ἐν αὐτῇ μοναχοί, ἔτι δὲ καὶ οἱ ἐν τῇ ἐνορίᾳ τῆς δηλωθείσης ἁγιωτάτης μητροπόλεως Ἀπαμείας ἱερεῖς, μονάζοντές τε καὶ λαϊκοὶ τὴν πρέπουσαν αἰδῶ καὶ ὑποταγὴν καὶ εὐπείθειαν ἀπονέμειν τῷ τοιούτῳ ἱερωτάτῳ ἀρχιερεῖ, ὡς πατρὶ αὐτῶν καὶ διδασκάλῳ πνευματικῷ, καὶ τοῖς πρὸς αὐτοὺς παρὰ τούτου λεγομένοις ἐπ' ὠφελείᾳ τῶν οἰκείων ψυχῶν ὑπείκειν καὶ πειθαρχεῖν, ὀφείλοντος καὶ αὐτοῦ δὴ τοῦ ἱερωτάτου ἀρχιερέως φροντίζειν καὶ ἐπιμελεῖσθαι, ὥστε διαγωγῆς αὐτοὺς ἔχεσθαι θεοφιλοῦς, ἐν φροντίδι τε τίθεσθαι καὶ τὴν τῆς εἰρημένης σεβασμίας μονῆς σύστασιν καὶ βελτίωσιν, ὥστε ἔχειν καὶ τοὺς ἐν αὐτῇ μοναχοὺς τὰ πρὸς ζωάρκειαν αὐτῶν καὶ τὴν ἄλλην κυβέρνησιν, ἔχειν δὲ καὶ αὐτὸν ἀπὸ τῆς τοιαύτης μονῆς τὴν δυνατὴν καὶ ἐνδεχομένην κυβέρνησιν. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐπιδέδοται αὐτῷ καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. β' †.

XLV. (6827—1318) octobri ind. II.

Synodus Theodosio, metropolitae Melitenes, confert metropolim Keltzenes per adiunctionem.

† Ἔδει μὲν πάντως καὶ τῶν εὐλογωτάτων ἦν ἄρα, τὰς πάλαι τῶν ἐκκλησιῶν εἰς ἐπισκοπάς τε καὶ μητροπόλεις ταχθείσας καὶ ὑφ' ἑνὶ ποιμένι καὶ διδασκάλῳ τούτων ἑκάστην ἄγεσθαι τυπωθείσας, τὴν ἀρίστην ταυτηνὶ σώζειν τάξιν καὶ μόνην αὐτὴν τήν γε λαχοῦσαν ἕκαστον τῶν ποιμένων ἐν φροντίδι ποιεῖσθαι πρὸς τὰ κρείττω καὶ λυσιτελῆ διεξάγειν. ἐπεὶ δὲ ἡ δι' ἁμαρτίαν τῶν πραγμάτων ἀνωμαλία καὶ

τὰ τῆς ἐκκλησιαστικῆς εὐταξίας καὶ ἐνθέου τῆσδε τυπώσεως ἐν οὐκ ὀλίγαις τῶν τε πόλεων καὶ χωρῶν ἀνέτρεψε καὶ συνέχεεν, οἱ τῆς καθόλου καθεξῆς ἐκκλησίας αὖθις προστάται τοῦ καλοῦ καὶ συνοίσοντος ποιούμενοι πρόνοιαν, ὡς ἐγχωροῦν ἦν, ἴασιν ταύτην τοῖς ἐπικειμένοις ἐπινενοήκασιν, καὶ ὡρίσαντο δεύτερον, ὅ φασι, πλοῦν, ἵν' οἱ καθ' οἱονδήτινα τρόπον ἀνάγκης εἰς τὸ σχολάζειν συνελαθέντες, ἀφ' ἧς προέστησαν ἐκκλησίας, ἢ μικροῦ τινος ἴσως λειφάνου τῆς κατ' αὐτοὺς ποίμνης ὑπολειφθέντος οὔτ' αὐτοὶ διακυβερνᾶν ἐντεῦθεν ἑαυτοὺς ἐνδείᾳ τῶν χρειωδῶν οἷοί τε ὄντες, οὐθ' ἑτέροις παρέχειν, ἑτέρας ἐκκλησίας προσθήκῃ λαμβάνοιεν τὴν προμήθειαν, εἴπερ ἱκανώτατοι μάλιστα τύχοιεν ὄντες οὗτοι ἔργοις ὁμοῦ τε καὶ λόγοις, οἷς ἂν ὁμιλῶσι, πρὸς τὸν ἴσον τῆς θεοσεβείας ζῆλον τούτους ἐνάγειν καὶ πολιτεύεσθαι πείθειν ἀμέμπτως. τοῖς τοίνυν οὕτω τυπωθεῖσι καὶ ὁρισθεῖσι καλῶς καὶ ἡμεῖς ἐξακολουθοῦντες τῷ ἱερωτάτῳ μητροπολίτῃ Μελιτηνῆς, ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, κῦρ Θεοδοσίῳ, οὐκ εὐπόρως μὲν ἔχοντι τῶν πρὸς χρείαν διὰ τὸ τὴν κατ' αὐτὸν ἐκκλησίαν ὑπὸ βαρβάροις πρὸ πολλοῦ γεγονέναι καὶ εἴσετι νῦν κατάρχεσθαι καὶ κυκλοῦσθαι, ἱκανῶς δὴ ἔχοντι θεοῦ χάριτι καὶ ἅμα προθύμως, τοὺς μὲν οἰκείους τῆς πίστεως ταῖς παρ' ἑαυτοῦ διδασκαλίαις κρατύνειν καὶ προάγειν ἐπὶ τὸ κρεῖττον, τὸ δ' ἀλλότριον προσλαμβάνεσθαι τῇ κατὰ Χριστὸν ἀγωγῇ μεταπλάττοντα καὶ μορφοῦντα, τὴν ἁγιωτάτην μητρόπολιν Κελτζηνῆς κατὰ λόγον ἐπιδόσεως νέμομεν γνώμῃ καὶ ψήφῳ κοινῇ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σάρδεων, τοῦ Χαλκηδόνος, τοῦ Νικαίας, τοῦ Φιλαδελφείας, τοῦ Γαγγρῶν, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Πηγῶν, τοῦ Σερρῶν, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Ἄπρω, τοῦ Ἀτταλείας, τοῦ Μεσήνης καὶ τῶν ὑποψηφίων Σμύρνης καὶ Μελενίκου, ὡς ἂν προηγουμένως μὲν τῆς ἐν ἅπασι θεαρέστου πολιτείας τοῦ ὑπ' αὐτὴν λαοῦ φροντίζῃ, καὶ προμηθεύηται διδασκαλίαις ταῖς διὰ τρόπων καὶ λόγων εἰς ταύτην ἐνάγων, ἔπειτα καί τινος συντελείας καὶ κυβερνήσεως ἐντεῦθεν αὐτὸς εὐπορίᾳ. καθέξει τοίνυν ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Μελιτηνῆς καὶ ὑπέρτιμος τὴν τοιαύτην μητρόπολιν Κελτζηνῆς μετὰ τῶν ὑπ' αὐτὴν πάντων, καὶ ἐπ' ἀδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ, ἀναγνώστας τε καὶ ὑποδιακόνους καὶ διακόνους καὶ ἱερεῖς προβιβάζειν, ἔτι δὲ καὶ ἡγουμένους ἐγκαθιστᾶν καὶ

ἁπλῶς τῶν ἐκείνης πάντων μεθέξει, ὅσα καὶ γνήσιος ταύτης ἀρχιερεὺς, ἄνευ μόνον τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὀφείλουσι δὲ καὶ οἱ εὑρισκόμενοι κληρικοὶ τῆς δηλωθείσης ἁγιωτάτης μητροπόλεως Κελτζηνῆς καὶ οἱ ὑπὸ τὴν ἐπαρχίαν ταύτης καὶ πνευματικὴν ἐπικράτειαν τελοῦντες ἱερωμένοι, μονάζοντες καὶ τὸ λοιπὸν ἅπαν χριστώνυμον πλήρωμα δέξασθαι τοῦτον καὶ διὰ πάσης ἄγειν αἰδοῦς καὶ τιμῆς καὶ τὴν ἀνήκουσαν ὑποταγὴν καὶ εὐπείθειαν ἀποδιδόναι αὐτῷ, ὅσα δὴ καὶ ἀρχιερεῖ γνησίῳ καὶ πατρὶ αὐτῶν καὶ διδασκάλῳ πνευματικῷ. ἐπεὶ μέντοι τοῦ πάλαι δὴ ἀφωσιωμένου ἀρχιερατικοῦ καθίσματος ἐστέρηται ὑπὸ τῶν ἐθνῶν ἡ διειλημμένη ἁγιωτάτη μητρόπολις Κελτζηνῆς, οὔτε μὴν ἕτερον κτῆμα εἰς κατοικίαν ἀρχιερεῖ προσῆκον ὑπολέλειπται ταύτῃ, κατασχεῖν ὀφείλει ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης Μελιτηνῆς εἰς κάθισμα ἑαυτῷ τὴν ὑπ' αὐτὴν ἁγιωτάτην μητρόπολιν Κελτζηνῆς τεταγμένην σεβασμίαν μονὴν τὴν ἐπ' ὀνόματι τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος τιμωμένην καὶ ἐπικεκλημένην τοῦ Κὶ, παρὰ μηδενὸς τῶν ἁπάντων κωλυόμενος εἰς τοῦτο. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Μελιτηνῆς καὶ προέδρῳ Κελτζηνῆς δι' ἀσφάλειαν ἐπιδέδοται.

Εἶχε τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. β' †.

XLVI. (6827—1318) octobri ind. II.

Synodus Theodosio, metropolitae Melitenes, committit inspectionem iurium patriarchalium in quibusdam ecclesiis.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος ἀνατίθησι τῷ ἱερωτάτῳ μητροπολίτῃ Μελιτηνῆς, ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ καὶ προέδρῳ Κελτζηνῆς, κῦρ Θεοδοσίῳ, τὴν ἐπίσκεψιν καὶ διεξαγωγὴν τῶν πατριαρχικῶν δικαίων τῶν ἐν ταῖς ἐνορίαις τῶν ἁγιωτάτων μητροπόλεων, τῆς Νεοκαισαρείας δηλονότι, τῆς Καμάχου καὶ ἧς προεδρεύειν παρ' ἡμῶν τέτακται, Κελτζηνῆς, ἔτι δὲ καὶ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Κολωνείας, ὡς καλῶς θεοῦ χάριτι διοικεῖν ταῦτα καὶ τῆς ἀνηκούσης ἀξιοῦν ἐπιμελείας ἱκανῶς ἔχοντι, πολλῶν τε ἄλλων ἕνεκεν, καὶ δὴ καὶ τοῦ πλησιοχωρεῖν τὰς τοιαύτας ἐνορίας τῶν ῥηθεισῶν ἁγιωτάτων ἐκκλησιῶν τῇ κατ' αὐτὸν ἁγιωτάτῃ μητροπόλει Μελιτηνῆς καὶ εἴδησιν ἔχειν αὐτὸν ἀκριβῆ τῶν ἐκεῖσε· ἐπιλήψεται τοίνυν ὁ δη-

λωθεὶς ἱερώτατος μητροπολίτης Μελιτηνῆς καὶ ὑπέρτιμος τῶν ἐν ταῖς τοιαύταις ἐπαρχίαις πατριαρχικῶν δικαίων κανονικῶς ἐπιτηρῶν καὶ διενεργῶν ταῦτα ἐξάρχου τρόπον καὶ δικαίῳ τῆς ἡμῶν μετριότητος, φροντίζων προηγουμένως μὲν, μὴ ἐνεργεῖσθαί τι ἔξω τῆς χριστιανικῆς καταστάσεως, ἀλλὰ πάντα κατὰ τοὺς ἐπικρατήσαντας θεσμοὺς καὶ τὰς ἐγγράφους διατυπώσεις προβαίνειν, ἔπειτα τὸν πατριαρχικῶς τῆς ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας προϊστάμενον ἐν ταῖς πατριαρχικαῖς μοναῖς καὶ τοῖς λοιποῖς ὁμοίοις ναοῖς ὀνομαστὶ ἀναφέρεσθαί τε καὶ μνημονεύεσθαι καὶ τὰς παρεμπιπτούσας δὲ ἐκκλησιαστικὰς καὶ πνευματικὰς ὑποθέσεις ἐν τοῖς τοιούτοις μοναστηρίοις καὶ τοῖς ναοῖς παρ' αὐτοῦ τούτου ἐξετάζεσθαί τε καὶ διορθοῦσθαι, μηδενὸς τῶν ἁπάντων, ἱερωμένων, φημὶ, μοναζόντων καὶ τῶν λοιπῶν χριστωνύμων, ἀλλ' οὐδ' αὐτῶν τῶν ἐν ταῖς εἰρημέναις ἁγιωτάταις ἐκκλησίαις ἀρχιερατευόντων, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῶν, ἐπ' ἀδείας ἐξόντων παρεμποδίσαι ἢ διενοχλῆσαι αὐτὸν κατά τι ἐπὶ τῇ διενεργείᾳ καὶ ἐπιτηρήσει τῶν ἐκεῖσε πατριαρχικῶν δικαίων, ὡς εἴρηται, ἀλλὰ παντοίως μᾶλλον αὐτῷ συνεργεῖν καὶ τὴν ἀνατεθειμένην ταύτην διακονίαν αὐτῷ ποιεῖν εὐκατόρθωτον. εἰ δ' ἴσως συμβαίη καί τινα τῶν τοιούτων ἀρχιερέων πρὸς θεὸν μεταστῆναι τὸ χρεὼν λειτουργήσαντα, γνώμῃ κοινῇ καὶ συνδιασκέψει τῶν ὑπολοίπων πλησιοχώρων ἀρχιερέων ὀφείλει ἐκλέγεσθαι ἄνθρωπος ἀπὸ τοῦ τῆς κατ' ἐκεῖνον ἐκκλησίας κλήρου ὁ ἁρμοδιώτερος τῇ οἰκονομίᾳ τε καὶ διεξαγωγῇ τῶν τῆς τοιαύτης ἐκκλησίας δικαίων καὶ ἐγκαθίστασθαι εἰς τὸ ταῦτα διενεργεῖν, εἶθ' οὕτως ἐκλογὴ γίνεσθαι ἀνθρώπου ἑτέρου ἱκανοῦ καὶ ἀξίου εἰς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα, μηδὲν ἔχοντος ἐναντίωμα καὶ κώλυμα πρὸς τοῦτο, καὶ ἀποστέλλεσθαι ἐνταῦθα μετὰ γράμματος καὶ μαρτυρίας τοῦ τοιούτου ἱερωτάτου μητροπολίτου Μελιτηνῆς καὶ τῶν πλησιοχωρούντων ἱερωτάτων ἀρχιερέων, ὥστε ἐμφανίζεσθαι τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ καὶ ἀποκαθίστασθαι εἰς ἀρχιερέα τῆς ἐκκλησίας τῆς στερηθείσης τοῦ ἰδίου ποιμένος. ἔτι δὲ ἐκχωροῦμεν αὐτῷ δὴ τῷ ἱερωτάτῳ μητροπολίτῃ Μελιτηνῆς καὶ τὴν κατὰ τὴν ἐνορίαν τῆς λαχούσης αὐτὸν ἁγιωτάτης ἐκκλησίας διακειμένην σεβασμίαν πατριαρχικὴν μονὴν, τὴν ἐπικεκλημένην τοῦ Συριχᾶ, ἐφορᾶν καὶ ἐξαρχικῶς ἐπισκέπτεσθαι, καθὼς καὶ τὰ ἄλλα πατριαρχικὰ δίκαια. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος

γεγονὸς τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Μελιτηνῆς, ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ καὶ προέδρῳ Κελτζηνῆς, κῦρ Θεοδοσίῳ, ἐπιδέδοται.

† Εἶχε τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. β' †.

XLVII. (6827—1318) octobri ind. II.

Synodus confirmat exemptionem monasterii patriarchalis Marmarianorum a potestate episcopi Larissensis.

† Ἕν τι καὶ τοῦτο τῶν οὐκ ἐπαινουμένων, ὁπόταν τις περὶ πραγμάτων πολλάκις μὲν ἀμφισβητηθέντων, πολλάκις δὲ διακριθέντων καὶ κατὰ τὸν δίκαιον λόγον ἀποταχθέντων καὶ καταστάντων, εἶτα εἰδὼς περὶ τούτων δίκας πάλιν ἑτέρας ἐπάγειν βιάζηται, ταις ἀρχαιοτέραις νεωτέρας αὐτὸς προσεπαύξων καὶ προστιθεὶς τὰς αὐτοῦ. οὗτος γὰρ οὐδὲν πλέον ποιεῖν πάντως βούλεται, τοιαῦτα κινῶν, ἢ πράγματα διακενῆς παρέχειν ἑαυτῷ τε καὶ τοῖς τούτων ἐσομένοις δικασταῖς καὶ κριταῖς, ἔδει καὶ γὰρ εἰδότα τὰ πάλαι περὶ αὐτῶν διακριθέντα καὶ καταστάντα μὴ ζηλοῦν ἐθέλειν τοὺς πρὸ αὐτοῦ ἀλλοτρίων ἐρῶντας, ἀλλ' ἀρκεῖσθαι καὶ τὰ δόξαντα στέργειν καὶ μηδόλως ταράττειν μηδὲ διενοχλεῖν. ἢ γὰρ ἂν δι' αἰῶνος ἀπέραντα πονοῖεν οἱ ταῦτα προῃρημένοι, εἴπερ τῶν πρὸ αὐτῶν πολλάκις καὶ ἀποχρώντως δικασαμένων καὶ ἀγωνισαμένων οἱ καθεξῆς ἀεὶ τοῖς ὁμοίοις ἐμμένοιεν καὶ πειρῷντο τὸν ἴσον τρόπον διενοχλεῖν. ὃ δὴ καθορᾶται συμβαῖνον καὶ ἐπὶ τῇ μεταξὺ νῦν ὑποθέσει τοῦ τε ἱερωτάτου μητροπολίτου Λαρίσσης, ὑπερτίμου, κατὰ πνεῦμα ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος, καὶ τῶν Μαρμαριανιτῶν μοναχῶν. οὗτος καὶ γὰρ ὁ ἱερώτατος μητροπολίτης, πρότερον μὲν ταυτησὶ τῆς μονῆς ἡγουμενικῶς προϊστάμενος, καὶ εἰδὼς, ὁπόσα αὕτη κέκτηται δικαιώματα, (ταῦτα δ' εἰσὶ χρυσόβουλλοι λόγοι καὶ πατριαρχικὰ ὑπομνήματα), ὑπὸ τὴν περιωπὴν τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας τελεῖν τὴν μονὴν ἐπιτάττοντα, ἅτε δὴ ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ ἀνιδρυθεῖσαν, ὁ δὲ καὶ οὕτω τοῖς μοναχοῖς δι' ὄχλου καθίσταται· ἄρτι μὲν τῆς τῶν Λαρισσαίων ἀρχιερατικῶς ἡγεῖσθαι λαχὼν μητροπόλεως, αὐτίκα δὲ καὶ τοῖς εἰρημένοις δικαιώμασιν ἐντυχὼν καὶ τούτοις οἱονεί τισι κέντροις πρὸς τὴν τῆς μονῆς ὑπονυττόμενος ἔφεσιν

καὶ τὴν δεσποτείαν ἑαυτῷ πειρώμενος κατακτᾶσθαι, ταύτην αὐτὴν ὑποτάττεσθαι τῇ μητροπόλει ζητῶν καὶ τοὺς ἐν αὐτῇ μοναχοὺς ἀνακρίνεσθαί τε καὶ κανονικῶς ὑπ' αὐτοῦ διεξάγεσθαι. διὰ τοῦτο καί τινας αὐτοῦ μοναχοὺς πρὸς τὴν καθ' ἡμᾶς θείαν καὶ ἱερὰν σύνοδον ἀντικριθησομένους τοῖς Μαρμαριανίταις ἐκπέμπει. καὶ δὴ παραστάντες οὗτοι συνοδικῶς προκαθημένης τῆς ἡμῶν μετριότητος, προέτειναν μὲν δικαίωμα τῇ μητροπόλει γεγονὸς παρὰ τοῦ τὴν ἐκεῖσε χώραν τῷ τότε κατ' ἐξουσίαν αὐθεντικὴν διέποντος, τοῦ δεσπότου ἐκείνου κῦρ Μιχαήλ, ὡς μεταξὺ καὶ τότε τοῦ τε τῆς μητροπόλεως μέρους καὶ τῆς εἰρημένης μονῆς ἀμφισβητήσεως καὶ διενέξεως κατεχούσης περὶ αὐτῆς δὴ τῆς μονῆς ὑπὸ τὴν μετρόπολιν ἄγεσθαι τοῦ κατ' αὐτὴν ἀρχιερέως ἀξιοῦντός τε καὶ δικαιοῦντος. καὶ μέντοι καὶ κρίσεως ἐπὶ τούτῳ γενομένης παρὰ τοῦ Γοριανίτου ἐκείνου ὑπὸ τῷ δεσπότῃ τελοῦντος καὶ τὰ τοιαῦτα ἐξυπηρετοῦντος, ἔτι δὲ καὶ αὐτοῦ τοῦ δεσπότου κῦρ Μιχαὴλ τῷ εἰρημένῳ γράμματι καὶ δικαιώματι τὰ τῆς κρίσεως βεβαιοῦντος· προέτεινον οἱ τοῦ Λαρίσσης καὶ χρυσόβουλλον ἕτερον τοῦ βασιλέως τοῦ πατρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τὰ τῆς ὑποθέσεως ἐν ὑστέρῳ καὶ αὐτὸ ἐπιβεβαιοῦν καὶ τῇ Λαρίσσης τὴν τῆς μονῆς ἐπιστηρίζον αὖθις δεσποτείαν πνευματικὴν καὶ ἐπιτροπήν. καὶ ἦσαν μὲν τὰ τοιαῦτα δικαιώματα, ὡς οὕτω γε ἀκοῦσαι, ἰσχυρὰ τῇ Λαρίσσης καὶ ἀναντίρρητα, πρίν γε μὴν τὰ τῶν Μαρμαριανιτῶν εἰς μέσον ἐνεχθῆναι καὶ ἐμφανίζεσθαι, καίτοι γε οὐκ αὐτὰ τὰ κύρια δικαιώματα ἐμφανίζοντες ἦσαν οἱ τοῦ Λαρίσσης, ἀλλὰ τῶν πρωτοτύπων ἴσα, ὡς αὐτῶν δὴ τῶν πρωτοτύπων ὑπ' ἄλλοις, ὡς ἔφασαν, εὑρισκομένων, οὕτω τοῦ καιροῦ σχεδιάσαντος· ἀλλὰ ταῦτα μὲν οἱ τοῦ Λαρίσσης προτείνοντες ἦσαν, ὡς εἴρηται, καὶ ἐπὶ τούτοις τὸ πᾶν ἰσχυριζόμενοι. προεκόμισαν δὲ ὅμως καὶ οἱ Μαρμαριανῖται τὰ προσόντα τῇ μονῇ δικαιώματα, καὶ κατὰ μέρος καὶ ταῦτα ὑπανεγνώσθησαν, πολλά τε ὄντα καὶ τὰ τῆς ὑποθέσεως ἐξαρχῆς διιόντα καὶ ἔτι παλαιτέρων ἄλλων ἐπὶ δικαιώσει τῆς μονῆς τὴν μνήμην ποιούμενα, χρυσοβούλλων δηλονότι παρὰ τῶν ἀοιδίμων γεγονότων βασιλέων, τοῦ τε κῦρ Ἰσαακίου καὶ τοῦ αὐταδέλφου αὐτοῦ, κῦρ Ἀλεξίου, ἔτι δὲ καὶ πατριαρχικῶν ὑπομνημάτων καὶ λοιπῶν δικαιωμάτων, ἐν οἷς δὴ τοῖς προκομισθεῖσι δηλαδὴ παρ' αὐτῶν δικαιώμασι καὶ γράμμα προσῆν ἕτερον τοῦ διαληφθέντος δεσπότου, κῦρ Μιχαὴλ, τὸ προγεγονὸς τῇ μητροπόλει ἀνατρέπον καὶ

ἀναιροῦν, καὶ τὴν, ὅθεν τοῦτο προέβη, αἰτίαν καθαρῶς παριστῶν, ἐκ ψεύδους δηλονότι καὶ ἀπάτης τῇ τοῦ Γοριανίτου κρίσει συσκευασθὲν, ἅμα δὲ καὶ δηλοποιοῦν, ὡς κατὰ ζήτησιν αὐτοῦ δὴ τοῦ δεσπότου καὶ παράκλησιν ἐπὶ διορθώσει τῆς ὑποθέσεως καὶ τὸ τοῦ ἀοιδίμου βασιλέως κῦρ Ἰωάννου χρυσόβουλλον ἐπὶ ἀναιρέσει καὶ ἀκυρώσει τοῦ προτέρου αὐτοῦ χρυσοβούλλου τῇ μονῇ προέβη, ἅτε δὴ τῆς ἀληθείας καθαρῶς αἰθριασάσης καὶ τῶν τῇ μονῇ προσόντων δικαιωμάτων ἐσύστερον ἀναφανέντων, ὑπὸ τῆς τοῦ καιροῦ ἀνωμαλίας τὸ πρότερον ἀφανισθέντων καὶ ἐπὶ μακρὸν συμβὰν αὐτὰ κρύπτεσθαι, ἔτι γε μὴν καὶ τοῦ μυροβλύτου καὶ θαυματοβρύτου Δημητρίου μὴ ἀνασχετὸν ποιησαμένου τὰ τῆς ἀληθείας εἰς τέλος ἐν ἀφανεῖ κρύπτεσθαι, ἀλλὰ θαυμάσιόν τινα τρόπον, μᾶλλον δὲ αὐτῷ συνήθη καὶ πρέποντα φοβήτροις τισὶ καὶ φάσμασι καὶ ἐκδειματώσεσιν ἐν τούτοις καὶ νόσων ἐπαγωγαῖς καὶ ποικίλοις τισὶ τοιούτοις τὸν κῦρ Μιχαὴλ ἐκεῖνον τὸν δεσπότην πρὸς συναίσθησιν ἀγαγόντος, ὡς οὐ καλῶς ἄρα τῷ τοῦ Λαρίσσης μέρει τὴν τῆς ὑποθέσεως δικαίωσιν διὰ τοῦ εἰρημένου γράμματος ποιησάμενον. ἐπὶ τούτοις μέντοι πᾶσι καὶ ὑπομνήματα πατριαρχικὰ τῶν ἐν μακαρίᾳ τῇ λήξει πατριαρχῶν, τοῦ τε κῦρ Γερμανοῦ καὶ τοῦ κῦρ Μανουὴλ, παρὰ τῶν μοναχῶν προκομισθέντα καὶ ἀναγνωσθέντα καὶ ταῦτα ἦσαν μὲν ἀριδήλως παριστῶντα σὺν τοῖς λοιποῖς δικαιώμασι τῆς μονῆς, ὅπως τε καὶ ὅθεν τὸ ἐξ ἀρχῆς ἡ τῆς μονῆς πνευματικὴ δεσποτεία καὶ κυριότης τῇ πατριαρχικῇ προσήκουσα μεγαλειότητι διετέλεσεν, ἦσαν δὲ καὶ δι' ἐπιτιμίων φρικωδεστάτων τῷ δικαίῳ τὴν ἰσχὺν ἀπονέμοντα. τὸ δὲ ἦν, μηδαμῶς ὑφ' ἑτέρᾳ ποτὲ δεσποτείᾳ καὶ ἀνακρίσει πνευματικῇ τὰ τῆς μονῆς γενέσθαι τὸ σύνολον, ἀλλ' ἢ μόνῃ τῇ πατριαρχικῇ περιωπῇ προσηρμόσθαι διὰ παντὸς καὶ ταύτῃ μόνῃ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὑποκύπτειν καὶ ὑποτάττεσθαι καὶ τοῦ πατριαρχικοῦ μόνου ποιεῖσθαι ἀναφορὰν ὀνόματος κατὰ τὸ παλαιὸν δικαίωμα, βασιλικὴν οὖσαν ἅμα καὶ πατριαρχικήν. τούτοις ἡμεῖς ἅπασιν ἀκριβῶς προσχόντες καὶ τὴν τοῦ δικαίου ῥοπὴν τοῖς εἰρημένοις τρόποις καὶ δικαιώμασιν ὁλοσχερῶς ἀπονενεμημένην κατανοήσαντες τῇ μονῇ, τῷ δικαίῳ καὶ αὐτοὶ τὴν νικῶσαν ψῆφον κατὰ τὸ προσῆκον ἀποδεδώκαμεν. μέντοι καὶ παρακελεύεται καὶ διατάττεται ἐν ἁγίῳ πνεύματι ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς συνόδου καὶ ὁμηγύρεως τῶν ἱερωτάτων καὶ ἀρχιερέων, τὸ στέργον ἔχειν καὶ ἐνεργὸν τὰ διει-

λημμένα τῆς μονῆς δικαιώματα καὶ κατὰ τὴν αὐτῶν περίληψιν βασιλικὴν καὶ πατριαρχικὴν κἀν τῷ ἑξῆς καὶ διηνεκεῖ χρόνῳ καὶ εἶναι καὶ ὀνομάζεσθαι τὴν τοιαύτην τῶν Μαρμαριάνων μονήν, ἀπέχειν δὲ ταύτης τόν τε νῦν μητροπολίτην Λαρίσσης καὶ τοὺς μετ' αὐτὸν τὴν ἐκκλησίαν ταύτην ἀναδεξομένους ἀρχιερεῖς, ἔτι δὲ καὶ τὸν πλησιοχωροῦντα τῆς Χαρμαίνης ἐπίσκοπον, ἅτε μηδαμόθεν μηδ' αὐτὸν ἐπί τισιν ὅλως τῶν τῆς μονῆς δικαιούμενον, ὑφορᾶσθαι ὀφείλοντας τὴν ἐπηρτημένην κανονικὴν καταδίκην τοῖς οὐκ ἐμμένουσι τοῖς ὁρίοις αὐτῶν καὶ τῶν ἀλλοτρίων κατεπεμβαίνουσι. διὸ καὶ ἔσται μένουσα ἡ τοιαύτη μονή, ἐφ' ἧς τέτακται τὸ ἀπαρχῆς τάξεώς τε καὶ ἰδιότητος, ταῖς ὑπὸ τὴν καθ' ἡμᾶς ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν δηλόνοτι συναριθμουμένη καὶ ταττομένη μοναῖς, ἔσονται δὲ ὁμοίως αὐτῇ καὶ οἱ παρὰ τοῦ μέρους ταύτης ἀνεγερθέντες θεῖοι ναοί, καὶ ὅσοι εἰς τὸ ἑξῆς ἀνεγερθήσονται κατὰ τὸν ἐκεῖσε τόπον καὶ τὰ ὅρια τῶν μετοχίων τῆς μονῆς καὶ λοιπῶν κτημάτων, παρὰ μηδενὸς καὶ τῶν ἐν αὐτοῖς ἱερατεύειν μελλόντων τὴν ἀνάκρισιν ἔχειν ὀφειλόντων καὶ ἐξέτασιν, ἀλλ' ἢ μόνον παρὰ τῶν ὑπὸ τῆς πατριαρχικῆς μεγαλειότητος εἰς τὴν τῶν ἐκεῖσε ἐξαρχικῶν διοίκησιν ἀποστελλομένων κατὰ τὸ προσὸν ἀνέκαθεν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ προνόμιον. καὶ οὐδεὶς οὐδέποτε πειραθῆναι ὀφείλει οὐκ ἀρχιερεὺς, οὐ κοσμικὴν ἀξίαν ἐπανηρημένος, οὐχ ἕτερός τις τῶν ἁπάντων εἰς ἀνατροπὴν καὶ ἀθέτησιν χωρῆσαι τῶν τῇ μονῇ προσόντων τοιούτων δικαιωμάτων καὶ προνομίων, ὡς τῇ τῶν Λαρισσαίων μητροπόλει ὑποθεῖναι αὐτὴν ἢ ἑτέρᾳ δεσποτείᾳ ὑπαγαγεῖν, πλὴν, ὡς εἴρηται πολλάκις, τῆς πατριαρχικῆς· κατὰ παντὸς γὰρ τοῦ διαπράξασθαι τοῦτο πειραθέντος τὴν αὐτὴν ἐπιτίμησιν τοῦ ἀφορισμοῦ ἐν ἁγίῳ πνεύματι, ἥτις ἐν τοῖς πρότερον ἀπολυθεῖσιν ὑπομνήμασιν ὑπὲρ τῆς μονῆς ἐπιφέρεται, καὶ ἡ μετριότης ἡμῶν ἐπανατείνεται διὰ τοῦ παρόντος αὐτῆς ὑπομνηματώδους σημειώματος, γεγονότος κατὰ μῆνα ὀκτώβριον τῆς β' ἐπινεμήσεως τοῦ ,ωκζ' ἔτους.

† Εἶχε .....

XLVIII. (6827—1318) novembri ind. II.

Andronicus II. Palaeologus metropolitae Aprorum confert locum Euchaetorum.

† Τῶν προσηκόντων ἡ βασιλεία μου κρίνει, τοὺς καθ' ὁτιοῦν εὐδοκιμοῦντας βασιλικῶν ἀπολαύειν χαρίτων καὶ ἀμοιβῶν· ἐπεὶ γὰρ οἰκειότατον μὲν, εἴπερ ἄλλο τι, τοῖς ἐκ θεοῦ βασιλεύειν λαχοῦσι καὶ τὸ τοὺς ὑπηκόους εὖ ποιεῖν κατὰ μίμησιν τοῦ δεδωκότος τὸ βασιλεύειν, ἂν καὶ τὸ τῶν ὑπηκόων ἔσθ' ὅτε συντρέχῃ καὶ τὴν τῆς εὐποιίας ῥοπὴν οὐκ ἀνασοβῇ διὰ τῶν ἔργων, ῥᾳδίως ἂν ἑκατέροις ἐκτελοῖτο τὰ δέοντα. τοῖς μὲν δηλαδὴ τὸ εὐεργετεῖν δικαίως, τοῖς δ' αὖ ὑπηκόοις τὸ τῶν εὐεργεσιῶν ἀκωλύτως ἐπιτυγχάνειν· ἔπειτα καὶ τῶν ἀτόπων ἂν εἴη, τοὺς μὲν ἐπὶ τοῖς ὀλυμπικοῖς νικῶντας ἐπάθλων ἅμα καὶ γερῶν ἀξιοῦσθαι τῶν προσηκόντων, τοὺς δέ γε παρ' ἡμῖν χρησίμους ἀναφαινομένους τοῖς πράγμασι πόρρω μένειν τῆς ὀφειλομένης παραχωρεῖσθαι τιμῆς. εἰ οὖν, ὡς εἴρηται, τῶν προσηκόντων καὶ δικαίων ἐστὶ, τοὺς ἐν τοῖς πράγμασιν εὐδοκιμοῦντας τῶν βασιλικῶν οὐκ ἀμοιρεῖν χαρίτων, ὧν κατ' ἀρετὴν πνευματικὴν ἡ εὐδοκίμησις, ἀξίας ἀντιμετρεῖσθαι τὰς παρὰ βασιλέως τιμάς τε καὶ χάριτας αὐτοῖς, τοῦτο δὲ καὶ τῶν σφόδρα ἀναγκαίων εἴη ἄν, ἐπειδὴ πρὸς ψυχὴν διαβαίνει τὸ τῆς εὐδοκιμήσεως ἐνταῦθα κάλλιστον, καὶ διὰ τοῦτο πλεῖον καὶ τὸ τῆς τιμῆς ὑπερέχον ὀφείλεται τοῖς κατ' ἀρετὴν πνευματικὴν εὐδοκιμοῦσιν ἢ τοῖς καθ' ὁντινα δὴ τρόπον· καὶ τοίνυν καὶ ἄλλα πολλὰ μὲν τυγχάνουσιν, ἅπερ ἡμεῖς διὰ τῆς ἐκ θεοῦ δοθείσης ἡμῖν βασιλείας κεκτήμεθα τὰ προνόμια καὶ δικαιώματα πρὸς τὴν τοῦ θεοῦ ἁγίαν ἐκκλησίαν, ὧν ἁπάντων ἕνεκα ὁπόσην ποιούμεθα τὴν φροντίδα καὶ τὴν σπουδὴν, τὸ προσῆκον ἑκάστοις ἐπιτιθέναι τέλος, καὶ ὁποῖον τὸν ζῆλον τρέφομεν τῇ τοῦ θεοῦ χάριτι ὑπὲρ ταύτης δὴ τῆς ἐκκλησίας, ὡς ἂν διασώζοιντο καὶ διατηροῖντο ταύτῃ καλῶς τε καὶ ὡς θεῷ φίλον, ὅσα εἰς σύστασιν, ὅσα εἰς καλλονήν τε καὶ εὐκοσμίαν καὶ ὅσα εἰς τὸ τῆς εὐσεβείας ἀφορᾷ κράτος, ἀγνοεῖν οἶμαι τῶν ἁπάντων οὐδένα. ἓν δ' ὅμως, ὡς εἴρηται, καὶ τοῦτο, ὧν κέκτηται ἡ βασιλεία ἡμῶν ἐν τοῖς ἐκκλησιαστικοῖς προνομίων, τὸ οὓς ἂν βούληται τῶν ἱερωτάτων ἀρχιερέων, μείζοσιν ἀξίαις τιμᾶν καὶ ἀπὸ ταπεινοτέρων πρὸς ὑψηλοτέρους προβιβάζειν θρόνους διὰ τὸ τῆς ἀρετῆς αἰδέσιμον καὶ σεβάσμιον. ἐπειδὴ τοίνυν καὶ τὸν ἱερώτατον

μητροπολίτην Ἄπρω καὶ ὑπέρτιμον εὗρεν ἡ βασιλεία μου ἄνδρα λόγῳ καὶ ἀρετῇ κεκοσμημένον, πλήρη τε παιδείας καὶ πνευματικῆς συνέσεως, κἀντεῦθεν ὠφέλιμον ὄντα τοῖς ἐντυγχάνουσι τά γε ἐς ψυχήν, καὶ πρὸς τούτοις εὔνοιαν εἰλικρινῆ δεικνύοντα πρὸς τὴν βασιλείαν μου, τῇ προσηκούσῃ τοῦτον τιμῇ καὶ τῷ τῆς καθέδρας προβιβασμῷ ἀμείβεσθαι δίκαιον ἡ βασιλεία μου κρίνει, (τιμᾶσθαι γὰρ τὴν ἀρετὴν καὶ τὴν πρέπουσαν ἐπέχειν τιμὴν πολλαχῶς ἂν εἴη τῶν καλῶν καὶ ἐπαινουμένων), ἐπίδοσίν τε γὰρ οὐ μικράν τινα καθ' ἑαυτὴν αὕτη λαμβάνει τῆς πρεπούσης τιμῆς ἐπιτυγχάνουσα, καὶ πρός γε μὴν πρὸς τὸν ὅμοιον διανίστησι ζῆλον τοὺς ταύτης ἀποδέοντας· τοίνυν καὶ εὐδοκεῖ καὶ διορίζεται ἡ βασιλεία μου διὰ τοῦ παρόντος προστάγματος, ἐπέχειν τὸν δηλωθέντα ἱερώτατον μητροπολίτην Ἄπρω καὶ ὑπέρτιμον τὸν τόπον τοῦ Εὐχαίτων καὶ ἀπολαύειν τῆς ἀνηκούσης τῷ τοιούτῳ θρόνῳ τιμῆς ἔν τε ταῖς κατὰ τὴν θείαν καὶ ἱερὰν σύνοδον συνάξεσιν, ἔν τε στάσεσι καὶ καθέδραις καὶ ταῖς λοιπαῖς συνελεύσεσι, καὶ ἁπλῶς εἰπεῖν πάντων τῶν ὁπωσδήποτε ἀνηκόντων, ὡς εἴρηται, τῷ θρόνῳ τοῦ Εὐχαίτων μετὰ πάσης ἀδείας τὸ ἀπὸ τοῦδε μετέχειν καὶ ἀπολαύειν αὐτὸν, ἐφ' ᾧ καὶ ὁ ἁγιώτατός μου δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, στέρξει καὶ ἀποδέξεται τοῦτο μετὰ τῆς περὶ αὐτὸν θείας καὶ ἱερᾶς ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων, καὶ ἐκθήσει χάριν τούτου καὶ πρᾶξιν συνοδικὴν ταὐτὰ ταῦτα διαλαμβάνουσαν, ἅπερ καὶ ὁ τῆς βασιλείας μου ὁρισμός. διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν τῆς βασιλείας μου ἐγεγόνει αὐτῷ πρόσταγμα.

† Εἶχε δι' ἐρυθρῶν γραμμάτων τῆς θείας καὶ βασιλικῆς χειρὸς τὸ· μηνὶ νοεβρίῳ ἰνδ. β' †.

XLIX. (6827—1318) novembri ind. II.

Synodus confirmat gratiam imperialem concessam metropolitae Aprorum.

† Τὸ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος περὶ τὰ καλὰ φιλότιμον καὶ τὸ τοῦ τρόπου εὐσεβὲς καὶ ἔτι τὸ τῆς γνώμης αὐτοῦ φιλόθεον ἴσασι μὲν πάντες, ὅσοι τῇ αὐτοκρατορικῇ καὶ κυβερνητικῇ πηδαλιουχίᾳ αὐτοῦ διιθύνονται, ἴσασι δὲ πάντες καὶ ὡς πολλὴν περὶ τὴν τοῦ θεοῦ ἁγίαν ἐκκλησίαν ἐνδείκνυται τὴν διάθεσιν καὶ στοργήν, ὡς ἐξεῖναι λέγειν αὐτὸν καὶ μετὰ τοῦ προφήτου παρρησιασάμενον, ὅτι „ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με“· καὶ μαρτύρια μὲν ἄλλα πολλά τε καὶ μέγιστα τούτων ἔδειξέ τε καὶ ἀεὶ δείκνυσι προάγων τε

καὶ παράγων ὁ χρόνος, ἀφ' οὗ τὴν τῆς αὐτοκρατορίας περιεβάλετο θεόθεν ἀρχήν, οὐχ ἧττον δὲ καὶ ὅπερ καλῶς τε καὶ θεοφιλῶς κἀν τῷ παρόντι ἐβουλεύσατό τε καὶ διεπράξατο· εἰδὼς γὰρ, ὡς τὰ μέγιστα συντείνουσι πρὸς τὴν οἰκοδομὴν τῆς εὐπρεπείας καὶ καλλονῆς τῆς ἐκκλησιαστικῆς καταστάσεως ἄνδρες ἀρετὴν πλουτοῦντες καὶ πνευματικὴν σύνεσιν, εἴ που τοιοῦτον ἐφεύροι τινὰ, ταῖς ἀνηκούσαις αὐτὸν δεξιοῦται τιμαῖς καὶ εὐεργεσίαις, ἀμφότερον, τοῦτο μὲν καὶ τὴν ἀρετὴν τιμῶν τὰ καθήκοντα, τοῦτο δὲ καὶ πρὸς τὸν ὅμοιον ζῆλον τῆς ἀρετῆς ἐνάγων τοὺς ἄλλους, ἔργοις αὐτοῖς ἀτεχνῶς, οὐ μόνοις λόγοις πρὸς τὴν τῶν καλῶν κτῆσιν ἅπαντας προτρεπόμενος. ἐπειδὴ οὖν εὗρε καὶ τὸν ἱερώτατον μητροπολίτην Ἄπρω καὶ ὑπέρτιμον, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸν, λόγῳ καὶ ἀρετῇ καὶ πολιτείας σεμνότητι καλλυνόμενον, εὐδόκησε διὰ θείου καὶ σεπτοῦ προστάγματος καὶ ἠξίωσεν αὐτὸν μείζονος τιμῆς, παρακελευσάμενος ἐπέχειν αὐτὸν ἀπό γε τοῦ νῦν τὸν τόπον τοῦ Εὐχαίτων καὶ πάντων τῶν ἀνηκόντων τῷ τοιούτῳ θρόνῳ μετέχειν μετὰ πάσης ἀδείας, οὗ δὴ θείου καὶ σεπτοῦ προστάγματος εἰς ἐπήκοον ἀναγνωσθέντος τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς συνόδου τῶν ἱεροτάτων ἀρχιερέων, δεῖν ἔγνωμεν καὶ πρᾶξιν ἐκτεθῆναι συνοδικὴν παρ' ἡμῶν, ἀκολούθως τῷ σεπτῷ καὶ θείῳ προστάγματι τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος· τοίνυν καὶ παρακελεύεται ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων διὰ τῆς παρούσης συνοδικῆς πράξεως, ὅσα δὴ καὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ φθάσας, ὡς εἴρηται, διὰ σεπτοῦ προστάγματος διωρίσατο ἐπὶ τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἄπρω καὶ ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ ἡμῶν καὶ συλλειτουργῷ, ὥστε δηλονότι ἐπέχειν αὐτὸν τὸ ἀπὸ τοῦδε τὸν τόπον τοῦ Εὐχαίτων καὶ πάντων ἁπλῶς μετέχειν καὶ ἀπολαύειν τῶν ἀνηκόντων τῷ τοιούτῳ θρόνῳ, ἔν τε ταῖς κατὰ τὴν θείαν καὶ ἱερὰν σύνοδον συνάξεσιν, ἔν τε στάσεσι καὶ καθέδραις καὶ ὑπογραφαῖς καὶ ταῖς λοιπαῖς τάξεσι καὶ συνηθείαις, κατὰ τὴν περίληψιν τοῦ γεγονότος αὐτῷ θείου καὶ σεπτοῦ προστάγματος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις ἐγεγόνει αὐτῷ παρὰ τῆς ἡμῶν μετριότητος.

† Εἶχε τὸ μηνὶ νοεμβρίῳ ἰνδ. β' †.

L. Sine anno.

Synodus confert metropolitae Smyrnensi episcopatum Chii per adiunctionem.

† Ἡ τῆς τοῦ θεοῦ ἐκκλησίας ἰσχὺς ἀήττητος καὶ ἀνάλωτος ἐν ἅπασι πέφυκεν, οὔτε γὰρ χρόνος ὁ πάντα ἀλλάττων καὶ μετατιθεὶς κατακαυχᾶται ταύτης καὶ περιγίνεται, οὔτ' ἐπηρεάζοντες ἄλλως ἄνθρωποι καὶ λυμαίνεσθαι τοῖς δόγμασι προθυμούμενοι, διανύουσα δ' αὕτη καὶ περῶσα τὸν αἰῶνα ἄσειστος, ὡσπερεὶ καὶ παντὸς ἀνωτέρα ὀλέθρου, διαγίνεται καὶ καθίσταται. τῶν γὰρ καθ' ἡμᾶς πραγμάτων ἄλλοτε ἄλλως κινουμένων καὶ φερομένων, μόνης τὸ ταύτης ἀξίωμα διαρκὲς καὶ ἀτελεύτητον ἐπὶ τοῦ αὐτοῦ διαμένει. καὶ τὸ αἴτιον ἡ τοῦ θεοῦ καὶ σωτῆρος φωνὴ κραταιοτάτην καὶ ἀσάλευτον μέχρι παντὸς ἔσεσθαι ἀποφηναμένη, καὶ μηδ' ἂν ποτε μηδ' αὐτὰς τὰς τοῦ ᾅδου πύλας κατισχύσειν δυνήσεσθαι ταύτης, εἴτε ἔθνη κατατρέχοντα τὰς ᾅδου πύλας ὑπολῃπτέον, εἴτε τοὺς κατὰ καιρὸν διώκτας καὶ πολεμοῦντας, οὐ μὴν ἀλλὰ καὶ δόξασα καθυφεῖναι μικρὸν τῆς ἐνούσης ἰσχύος καί τινα τῶν οἰκείων ἐξ ἐπηρείας ἀποβαλεῖν, αὖθις ἕτερα ἐξ ἑαυτῆς προβάλλει καὶ διανίστησι, τὰ πεπονηκότα τῶν μερῶν ἐντεῦθεν σοφῶς ἰωμένη καὶ πρὸς τὴν τῆς ὁλότητος ἀρτίωσιν τὴν δυνατὴν προμήθειαν ἀντεισφέρουσα. ὃ δὴ κἂν τῷ παρόντι καὶ διανενοήμεθα καὶ διεπραξάμεθα, τὴν γὰρ ἁγιωτάτην μητρόπολιν Σμύρνης ὑπὸ τῶν βαρβάρων ὁποῖα δὴ τὰ τοῦ χρόνου κατεχομένην καὶ κυκλουμένην, ἵνα μὴ τὸν ἱερὸν τῶν ἀρχιερέων κατάλογον ὁ ἐχθρὸς ὡς ἐλλείποντα καὶ μέλους οἷον ἀφαίρεσιν καί τινα ἀκοσμίαν τὴν ἀπόλειψιν ὀνειδίσῃ τοῦ θρόνου, οἱ τῆς καθόλου ἐκκλησίας προστατεῖν λαχόντες ἡμεῖς καὶ τοῦ πληρώματος αὐτῆς προνοούμενοι, ψήφῳ τῆς περὶ ἡμᾶς αὐτοὺς ἱερᾶς καὶ θείας συνόδου ἐπὶ τῇ εἰρημένῃ μητροπόλει Σμύρνης ἀρχιερέα τῷ τοῦ πνεύματος χρίσματι τελεσιουργήσαντες πεποιήκαμεν, ἀρετῆς καὶ συνέσεως ὄντα πλήρη καὶ χειραγωγῆσαι παρατραπέντας καὶ πλανηθέντας καὶ ἐπιστρέψαι πρὸς θεοσέβειαν ἱκανώτατον, τῶν ἐκεῖσε ἐχθρῶν ὅσον οὐκ εἰς μακρὰν ἐπικουρίᾳ θεοῦ ἀπελαθέντων καὶ ἀπωσθέντων, ἀρτίως γε μὴν ὅμως, ἵνα καὶ τῶν κατὰ χρείαν μὴ ἀπορίᾳ, ἀλλ' ἀρκούντως ἔχοι τὸν δυνατὸν τρόπον καὶ ἱκανῶς ἐν τοῖς ἀναγκαίοις, τὴν ἁγιωτάτην ἐπισκοπὴν Χίου ἡ μετριότης ἡμῶν κρίσει κοινῇ καὶ γνώμῃ τῶν ἁγιωτάτων ἀρχιερέων,

τοῦ Σάρδεων, τοῦ Χαλκηδόνος, τοῦ Φιλαδελφείας, τοῦ Μελιτηνῆς, τοῦ Γαγγρῶν, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Πηγῶν, τοῦ Σερρῶν, τοῦ Δυρραχίου, τοῦ Μιτυλήνης, τοῦ Ἄπρω, τοῦ καὶ τὸν τόπον ἐπέχοντος τοῦ Εὐχαίτων, τοῦ Μεθύμνης, τοῦ Μελενίκου καὶ Μεσσήνης, τῷ τοιούτῳ ἱερωτάτῳ μητροπολίτῃ Σμύρνης κατὰ λόγον ἐπιδόσεως παρέχομέν τε καὶ νέμομεν, ἐν στερήσει καὶ ταύτην τελοῦσαν γνησίου ἀρχιερέως, οὐδ' ὑποκειμένην τῷ Ῥόδου διὰ τὴν συμβᾶσαν ἀνωμαλίαν καὶ σύγχυσιν, ὡς ἂν αὐτὸς μὲν ἐκεῖθεν, ὥσπερ εἴρηται, τυγχάνοι τῶν ὧν ἐν χρείᾳ καθέστηκεν, ὁ δὲ κατ' ἐκείνην λαὸς διὰ τῆς τούτου διδασκαλίας πνευματικῶς ὠφελοῖντο, καὶ πρὸς τὰ λυσιτελῆ καὶ σωτήρια καλῶς διεξάγοιντο καὶ προκόπτοιεν. καθέξει τοίνυν ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Σμύρνης καὶ ὑπέρτιμος τὴν τοιαύτην ἁγιωτάτην ἐπισκοπὴν Χίου καὶ τὰ ὑπ' αὐτὴν πάντα, καὶ ἐπ' ἀδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους, ἔτι δὲ καὶ ἡγουμένους ἐγκαθιστᾶν, καὶ ἁπλῶς τῶν ἐκείνης πάντων μεθέξει, ὅσα καὶ γνήσιος ἀρχιερεύς, ἄνευ μέντοι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὅθεν ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς δηλωθείσης ἁγιωτάτης ἐπισκοπῆς καὶ οἱ ὑπὸ τὴν ἐνορίαν ταύτης τελοῦντες καὶ πνευματικὴν ἐπικράτειαν, ἱερωμένοι, μονάζοντες καὶ τὸ λοιπὸν χριστώνυμον πλήρωμα δέξασθαι τοῦτον καὶ διὰ πάσης ἄγειν αἰδοῦς καὶ τιμῆς καὶ τὴν προσήκουσαν ὑποταγὴν τούτῳ καὶ εὐπείθειαν ἀπονέμειν, ὡς ἀρχιερεῖ αὐτῶν καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ, ἐφ' οἷς ὑπ' αὐτοῦ νουθετοῖντο πρὸς σωτηρίαν συντείνουσι τῶν ψυχῶν αὐτῶν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος τούτῳ δὴ τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Σμύρνης καὶ ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, εἰς ἀσφάλειαν ἐπιδέδοται †.

LI. Sine anno.

Synodus confirmat imperatoris mandatum, quo epicopatus Joanninorum in metropolim erigitur.

† Οὐκ ἔστιν εἰπεῖν, ὅσα τὸν ἀεὶ χρόνον ἑκάστοτε ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ φιλοτιμίας γέμοντα καὶ φιλανθρωπίας παρέχεται πρὸς τοὺς ὑπηκόους καὶ ἐκπληροῖ. οὐ μόνον γὰρ ἀρετὴν ἄνδρες πλουτοῦντες ἢ πολεμικῆς ἐμπειρίας ὄντες ἐν μετοχῇ, τετυχή-

κασιν ἐπαξίων καὶ τῶν γερῶν, ἀλλὰ καὶ πόλεις ὅλαι καὶ πολιτειῶν εἴδη καὶ βίων καὶ μετρίως ἔν τισιν εὐδοκιμηκότα κάλλιστα καὶ ὡς οὐκ ἄν τις ἤλπισε, καὶ ηὔξηνται παρ' αὐτοῦ καὶ τετίμηνται, πλέον λαβόντα ἢ ὅσον ἐξ ἑαυτῶν ἐπεδείξαντο φέροντα, ἐκ δυεῖν αἰτιῶν ἓν τοῦτο πάντως γινόμενον καὶ δεικνύμενον, ἔκ τε δηλονότι τῆς πάντα ἀρίστης καὶ θείας ὡς εἰπεῖν καὶ γνώμης καὶ φύσεως τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τὰ καλὰ τιμᾶν καὶ ἀνυφοῦν ἐγνωκυίας, καὶ τῆς ἐνούσης αὖθις αὐτῷ μεγαλονοίας τε καὶ σοφίας, ὥστε τοὺς ἄλλους ἐθέλειν ἐντεῦθεν ζηλοῦν καὶ μιμεῖσθαι τοῖς ὁμοίοις προσκαρτεροῦντας καὶ πόνοις καὶ ἀγωνίσμασιν, εἴπερ καὶ τῶν ἴσων γερῶν πάντως μετέχειν ἐθέλοιεν. εἰ δέ τισι καὶ δωρεὰν ἐξεγένετο μετασχεῖν τινος ἀγαθοῦ, ὥσπερ δὴ πολλάκις ἐξεγένετο, μηδέν τι παρ' ἑαυτῶν εἰσαγαγοῦσι μηδ' ἐπιδειξαμένοις, ἐνίοτε δ' ἐν πολλοῖς μᾶλλον ἐνίοις καὶ πεπαρῳνηκόσι καὶ ἁμαρτήσασιν, ἡ μετριότης ἡμῶν παντὸς μᾶλλον οἵδε περιουσίᾳ φιλανθρωπίας γενόμενον, καὶ ὅσοι δὴ μετέχουσιν ὅλως οἶμαι λογισμοῦ καὶ φρονήσεως, ἀκριβῶς ἴσασιν. εἰ δ' οὕτω πάντες εὐεργεσιῶν καὶ γερῶν ἀπολαύουσιν, ὥσπερ εἴρηται, ὀφειλομένως εὐνοοῦντες καὶ τὸ καλὸν ἐργαζόμενοι, οἵ γε δὴ πολὺν ἤδη χρόνον τῆς τοῦ ῥωμαϊκοῦ σχοινίσματος ὁλομελείας ἀπορραγέντες καὶ ἀποπλανηθέντες, νῦν δ' εὐδοκίᾳ θεοῦ, τοῦ τὰ ἐσκορπισμένα συνάγοντος καὶ ἀνακαλουμένου τὰ πλανηθέντα, τῷ παντὶ σώματι καὶ ἑνωθέντες γνησίως καὶ ἁρμοσθέντες, πῶς οὐκ ἐν υἱοῦ μοίρᾳ νέον ἐπανήκοντος καὶ διασωθέντος λογισθήσονται καὶ ταχθήσονται καὶ μειζόνων τινῶν ἐντεῦθεν καὶ γνησίων τῶν δωρεῶν ἐπιτεύξονται; τὰ γὰρ Ἰωάννινα πρότερον μὲν ἐπισκοπὴ τῶν ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν Ναυπάκτου τελοῦσα, νῦν δ' ὑπὸ τῷ γνησίῳ δεσπότῃ, τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, καὶ τῇ καθόλου ἁγιωτάτῃ καὶ φυλακτικῇ μάνδρᾳ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ὥσπερεὶ πλανηθὲν πρόβατον ἐνσηκασθεῖσα καὶ γενομένη, τῶν ὀρέων, οἷς διέτριβε, καὶ τῶν ἐρημιῶν ἀποστᾶσα, ὅ τε κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, ἀποδεξάμενος αὐτὴν τῆς ἐπὶ τὸ κρεῖττον ἐπιστροφῆς καὶ προνοίας σεπτῷ προστάγματι αὐτοῦ εἰς μητρόπολιν τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς εἶναί τε καὶ ὀνομάζεσθαι προήγαγε καὶ τετίμηκε καὶ τὸν ἀρχιερατικῶς αὐτῆς προστησόμενον τῆς τοῦ μητροπολίτου καὶ ὑπερτίμου κλήσεως καὶ τιμῆς ἀπολαύειν ἀεί. πρὸς γὰρ τοῖς ἄλλοις προνομίοις, ἅπερ ἡ βασιλικὴ περιωπὴ κέκτηται, καὶ τοῦτ'

ἔχει, ἃς ἂν βούληται δηλονότι τῶν ἐκκλησιῶν τιμᾶν καὶ ἀπὸ ἐλάττονος προβιβάζειν εἰς κρεῖττον ἀξίωμα. ἀκολούθως οὖν καὶ ἡ μετριότης ἡμῶν τῷ τοιούτῳ σεπτῷ προστάγματι τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, δῶρον ἅμα οἷόν τι καὶ αὐτὴ ἐπεισόδιον τῇ δηλωθείσῃ ἁγιωτάτῃ ἐπισκοπῇ τῶν Ἰωαννίνων χαρίσασθαι θέλουσα, τὴν παροῦσαν συνοδικὴν πρᾶξιν ἐκτίθησι, δι' ἧς τιμᾶσθαι ταύτην τῷ τῆς μητροπόλεως ἀξιώματι συγκαταπράττει καὶ συνεργάζεται, ὃ καὶ προσέσται αὐτῇ τὸ ἀπὸ τοῦδε εἰς διηνέκειαν. καὶ τοίνυν καὶ οἱ ἐν αὐτῇ ἐπικηρυχθησόμενοι ἀρχιερεῖς μέχρι παντὸς ἔσονται συναριθμούμενοι τῷ τῶν μητροπολιτῶν καὶ ὑπερτίμων συντάγματι καὶ τῶν ἴσων αὐτοῖς ἐπαπολαύοντες τιμῶν, ἔν τε συνοδικαῖς συνελεύσεσιν, ἐν ἐκκλησιαστικαῖς ἀθροίσεσι καὶ ταῖς ὁπουδήποτε γενομέναις συναγωγαῖς. εἰς γὰρ διαιωνίζουσαν ἀσφάλειαν ἔσται τῇ τῶν Ἰωαννίνων ἐκκλησίᾳ ἡ παροῦσα συνοδικὴ πρᾶξις ἐπὶ τῷ, ὡς εἴρηται, καὶ εἶναι καὶ ὀνομάζεσθαι ταύτην μητρόπολιν †.

LII. Sine anno.

Elenchus possessionum patriarchalium in insula Lemno et apud Varnam.

I. † Τὰ ἐν τῇ νήσῳ Λήμνῳ πατριαρχικά †.

† Οἱ ἅγιοι Θεόδωροι. Ἐν τῇ τοποθεσίᾳ τοῦ Φαν... ὁ ἅγιος Ἀντώνιος. ἡ ἁγία Μαρίνα. ὁ τοῦ Πριόρου ναός. οἱ ἅγιοι Ἀνάργυροι εἰς τὴν Νάκισσαν. ὁ ἅγιος Κύρικος. ὁ ἅγιος Συμεών. τὸ Πτέριν. ὁ ἅγιος Γεώργιος. τὰ Καλύβια τοῦ Ῥωσοπούλου. τὸ Σωληνάριον. ἡ ἁγία Μελιτηνή. ἡ ἁγία Σοφία. ὁ ἅγιος Παντελεήμων. ὁ ἅγιος Ἀνδρόνικος. τὰ περὶ τὴν ἁγίαν Μελιτηνὴν χωρία τοῦ Βισσίνου, τοῦ Σκανδάλη καὶ τὰ λοιπά. ἡ μονὴ τῆς Χλόης. ὁ ἅγιος Νικόλαος τοῦ Τζάκαλη, τοῦ Καλέτζικα, τοῦ Μελαχρηνοῦ εἰς τὴν Μέλισσαν. ὁ τοῦ Μάρτυρος ναὸς εἰς τὸ Κατάφυλλον. ὁ ἅγιος Κωνσταντῖνος εἰς τὸ Θάνος. ἡ μονὴ τοῦ Παντοκράτορος. ὁ Χριστὸς ὁ σωτὴρ ἐν τῷ Παλαιολάκρῳ †.

II. † Τὰ περὶ τὴν Βάρναν πατριαρχικὰ κατέλλια †.

† Ἡ Κάρναβα. ἡ Κρανέα. τὰ Κελλία ἤτοι τὸ Λυκοστόμιον. τὰ Γεράνια. ἡ Δρύστρα. ἡ Γαλιάγρα †.

II.

Κωδίκιον τῶν συνοδικῶν παρασημειώσεων γεγονὸς ἐπὶ τῶν ἡμερῶν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, κῦρ Ἡσαΐου, ἐξ ὅτου ὁ τιμιώτατος χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας πανυπερεντιμότατος κῦρ Γρηγόριος ὁ Κουτάλης τῷ τοῦ χαρτοφύλακος ὀφφικίῳ ἐτιμήθη.

LIII. (6832—1323) decembri ind. VII.

Imperator archiepiscopatum Bryseos erigit in metropolim.

† Ἡ βασιλεία μου διὰ τῆς τοῦ θεοῦ χάριτος ἄνωθεν λαβοῦσα ἄδειαν καὶ ἔνδοσιν ἀπὸ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας εἰς πλείονα τιμὴν ἐπαίρειν καὶ προβιβάζειν, ὅσας ἂν τῶν ἁγίων ἐκκλησιῶν διακρίνοι ἁρμοζούσας πρὸς τοῦτο, θεσπίζει καὶ νῦν διὰ τοῦ παρόντος προστάγματος, εἶναι καὶ εὑρίσκεσθαι τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Βρύσεως εἰς μητρόπολιν καὶ συναπολαύειν τὸν ἐν αὐτῇ εὑρισκόμενον ἱερώτατον ἀρχιερέα τοῖς λοιποῖς ἱερωτάτοις μητροπολίταις τῆς θείας καὶ ἱερᾶς μεγάλης συνόδου τῆς αὐτῆς κλήσεώς τε καὶ τιμῆς κατὰ πάντα τρόπον, ἧς καὶ οὗτοι μετέχουσιν, ὅθεν καὶ νῦν μὲν ὀφείλει τυγχάνειν τῆς τοιαύτης τάξεώς τε καὶ τιμῆς ὁ ἱερώτατος μητροπολίτης Βρύσεως καὶ ὑπέρτιμος, καθεξῆς δὲ ἔσται τοῦτο κατὰ τὸν ἴσον τρόπον καὶ εἰς τοὺς μετ' αὐτὸν μέλλοντας εὑρίσκεσθαι κατὰ καιροὺς εἰς γνησίους ἀρχιερεῖς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Βρύσεως, ἅτε δὴ καὶ τὸ ἕδραῖον καὶ ἀμετακίνητον ὀφείλοντος ἔχειν τοῦ παρὰ τῆς βασιλείας μου γεγονότος ἐπὶ τῇ τοιαύτῃ ἁγιωτάτῃ ἐκκλησίᾳ προβιβασμοῦ. τούτου καὶ χάριν ἐγένετο καὶ ἀπελύθη καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα.

† Εἶχε τὸ· μηνὶ δεκεμβρίῳ ἰνδ. ζ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

LIV. (6832—1323) decembri ind. VII.

Esaias confirmat privilegium, per quod imperator archiepiscopatum Bryseos in metropolim erexit.

† Ἀλλὰ πῶς ἄν τις τῷ λόγῳ περιλαβεῖν δυνατὸς γένοιτο τὰς παρὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος γινομένας ἑκάστοτε τοῖς ὑπηκόοις εὐεργεσίας καὶ δωρεὰς; κρείττω γὰρ ταῦτα καὶ ἀριθμοῦ καὶ τὴν λόγου δύναμιν ὑπερβαίνουσιν, ὥστε καὶ καλῶς ἂν εἴη ποιῶν ὁ λόγος καὶ ἑαυτῷ προσηκόντως, ἐκφεύγων τὴν τῶν τοιούτων ἐγχείρησιν, καὶ οὐκ ἐθέλων ὥσπερ τοῖς ἀδυνάτοις ἐπιχειρεῖν, καὶ ὧν οὐδαμῶς ἂν ἐφίκοιτο. ἄλλοι μὲν οὖν ἄλλως. πρόσφορόν γε μὴν ἑκάστῳ κατὰ τὸν ἐνόντα τρόπον αὐτοῖς τὴν εὐεργεσίαν μετέλαβον, καὶ οὐδαμῶς οὐκ ἔστιν οὐδεὶς, ὃς ἐν τοῖς κατ' αὐτὸν εὐδοκιμήσας φανεὶς οὐκ ἀναλόγου καὶ τῆς ἀμοιβῆς ἐπευμοίρησεν, ἁπλῶς δ' εἰπεῖν, καὶ πᾶσι τοῖς τε προεισενγκοῦσί τι κατόρθωμα καὶ τοῖς μὴ τοιούτοις κοινὸν ὁ βασιλεὺς ἀγαθὸν, ἰδίᾳ τε καὶ κοινῇ πάντων εὐεργέτης, θεὸν κάνταῦθα μιμούμενος. ἄλλοι μὲν οὖν ἄλλως, ὥσπερ ἔφθημεν εἰπόντες, τῶν ἐκεῖθεν ἀπέλαυσαν χαρίτων, ἀνδράσι δὲ θείοις, ἀρετὴν ἀσπαζομένοις, λαοῦ τε διὰ τοῦτο προεδρίαν καὶ ψυχῶν οἰκονομίαν λαχοῦσι, καὶ ἐπιδειξαμένοις ἐν πολλοῖς ὅσοις τὰ τῆς αὐτῶν ἀρετῆς, πρὸς ταῖς ἄλλαις βασιλικαῖς φιλοτιμίαις καὶ δωρεαῖς ἐξεγένετο κἀκεῖνο, καθέδρας δηλονότι μείζονος καὶ ὑψηλοτέρας ἐπιτυγχάνειν αὐτοὺς, ἵν' ὥσπερ ἐκ τῆς ἀρετῆς καὶ τοῦ τρόπου, οὕτω δὴ καὶ ἀπὸ τοῦ θρόνου καὶ τῆς ἀρχῆς τὸ ἐπίσημον ἔχοιεν. τοιούτοις ἤδη τετίμηται προβιβασμοῖς καὶ σεμνώμασι βασιλικῷ προνομίῳ καὶ ὁ ἱερώτατος ἀρχιεπίσκοπος Βρύσεως, εἰς μητροπολίτην ὑπέρτιμον καὶ τιμηθεὶς καὶ προβιβασθεὶς καὶ εἰς τὴν λαχοῦσαν αὐτὸν ταύτην ἁγιωτάτην ἐκκλησίαν τῆς Βρύσεως διαβιβάσας τὰ τῆς τιμῆς εἰς αἰῶνα τὸν ἑξῆς ἅπαντα, καὶ μάλα εἰκότως, ἀρχιερέα γὰρ αὖτη πλουτήσασα, παντοίοις ἀρετῶν εἴδεσι κομῶντα, καὶ τὸ ὅλον εἰπεῖν, πᾶσι τοῖς καλοῖς καὶ θεοφίλοις βρύοντα, κλῆρον δι' αὐτὸν ἤδη τὴν τιμὴν ταύτην ἔλαβεν ἀναφαίρετον. τοῦ ἐπὶ τούτῳ τοίνυν ἀπολυθέντος σεπτοῦ προστάγματος τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ ἐπαναγνωσθέντος ἐν ἐπηκόῳ, συνοδικῶς καὶ ἡ μετριότης ἡμῶν διακελεύεται, συναριθμεῖσθαι μετὰ τῶν λοιπῶν μητροπόλεων ἁπάρτι τὴν αὐτὴν ἁγιωτάτην ἐκκλησίαν Βρύσεως καὶ τὸν ἱερώτατον ταύτης

ἀρχιερέα μητροπολίτην, ἀλλὰ δὴ καὶ ὑπέρτιμον εἶναί τε καὶ καλεῖσθαι, διαβαίνειν δὲ κατὰ τὸν ὅμοιον τρόπον τὴν τοιαύτην τιμήν, τήν τε δηλαδὴ τοῦ μητροπολίτου, προσέτι δὲ καὶ τὴν τοῦ ὑπερτίμου καὶ πρὸς τοὺς μέλλοντας χειροτονεῖσθαι ἀρχιερεῖς ἐν αὐτῇ, καθὼς ὅ τε κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ διορίζεται, καὶ κατὰ τὴν κρατήσασαν ἐν τοῖς τοιούτοις ἐκκλησιαστικὴν τάξιν καὶ συνήθειαν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται.

† Εἶχε τὸ· μηνὶ δεκεμβρίῳ ἰνδ. ζ' διὰ τῆς πατριαρχικῆς καὶ θείας χειρός †.

LV. 6832—1324. martio-aprili ind. VII.

Synodus dirimit duas controversias.

I. † Μηνὶ μαρτίῳ, κγ' ἡμέρᾳ, παρασκευῇ, ἰνδ. ζ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Σάρδεων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυδίας, Γρηγορίου, τοῦ Χαλκηδόνος, ὑπερτίμου καὶ προέδρου Μαρωνείας, Θεοδούλου, τοῦ Μελιτηνῆς καὶ ὑπερτίμου, Θεοδοσίου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Δυρραχίου καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Μιτυλήνης καὶ ὑπερτίμου, Διονυσίου, τοῦ Διδυμοτείχου καὶ ὑπερτίμου, Θεοδούλου, τοῦ Ἄπρω, ὑπερτίμου καὶ τὸν τόπον ἐπέχοντος τοῦ Εὐχαίτων, Ἰωσὴφ, τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, τοῦ ἀρχιεπισκόπου Δέρκου, Λουκᾶ, καὶ τοῦ ὑποψηφίου Μαδύτων, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ Μελαγχρηνὸς Ἀνδρόνικος, καὶ ἀνήνεγκεν, ὡς εἰσεποίησε καὶ υἱοθέτησέ τινα κόρην, καὶ ὅσα καὶ γνησίαν ἑαυτοῦ θυγατέρα ἔστεργε ταύτην, καὶ ἐπιμελείας ἠξίου, πέμπτον δὲ τῆς ἡλικίας ἔτος αὐτῆς ἀνυούσης, ἔθετο διὰ σταυρικῶν δεσμῶν μετά τινος ἀπὸ τῆς νήσου τοῦ Πρίγκιπος Ἰωάννου, καλουμένου τοῦ Χασολόγρου, ἀγαγέσθαι γαμβρὸν ἐπ' αὐτῇ τὸν τούτου υἱόν, ἔννατον τῆς ἡλικίας ἄγοντα χρόνον, καὶ τῶν τοιούτων δεσμῶν παρὰ τῶν αὐτῶν γονέων προβάντων, μὴ συναινεσάντων δηλονότι μηδὲ προταξάντων ἐν τούτοις ἀμφοτέρων τούτων, τοῦ τε γαμβροῦ καὶ τῆς κόρης, ἅτε τοῦ μὲν ἐν τῇ τοιαύτῃ νήσῳ τοῦ Πρίγ-

κιπος τὴν οἴκησιν ποιουμένου, τῆς δ' ἐν τῇ Θεοδοξάστῳ, Θεομεγαλύντῳ καὶ Θεοφυλάκτῳ Κωνσταντινουπόλει εὑρισκομένης, συνεὶς ὁ ταβελλίων τὴν τοσαύτην τῆς κόρης ἀνηβότητα, ὡς παρὰ τῶν θείων νόμων παντάπασιν ἀπηγορευμένην, μετὰ μίαν ἡμέραν διέλυσε τούτους, μήπως τοῦ γαμβροῦ εἰς ὄψιν ὅλως ἐλθόντος αὐτῇ. νομίμου δὲ ἡλικίας ἀφαμένην αὐτὴν συνήρμοσέ τινι ἀναγνώστῃ Ματθαίῳ, τῷ Θαλασσηνῷ καλουμένῳ, καὶ δεῆσαν ἤδη τούτῳ εἰς ἱερωσύνην προβιβασθῆναι ἐδεήθη διαγνώσεως τῆς ἡμῶν μετριότητος, ἐμφανίσας καὶ τόδε τὸ γράμμα τῶν δεσμῶν, ὅπερ ἀληθῶς ἀνεφάνη ὀβελισθὲν ὑπὸ τοῦ αὐτοῦ ταβελλίωνος. διέγνωσται τοίνυν συνοδικῶς τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, μηδένα ἔχειν ἐντεῦθεν ἐμποδισμὸν τὸν αὐτὸν ἀναγνώστην εἰς τὸν τοιοῦτον προβιβασμόν, τὸ μὲν, ὅτι πενταετὴς ἦν ἡ κόρη, καθὼς μετὰ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξέτασιν ἀποδέδεικται, καὶ οὐ δεκτικὴ ἐρώτων ἐτύγχανε κατὰ τὴν τῶν θείων νόμων διαταγὴν, ἐννέα χρόνων ὄντος καὶ τοῦ γαμβροῦ, τὸ δὲ καὶ ὅτι οὐδόλως συνῆνεσαν οὐδὲ προέταξαν ἐν τῷ τοιούτῳ τῶν δεσμῶν γράμματι οὗτός τε καὶ ἡ κόρη, ἀλλὰ μακρὰν ἀπ' ἀλλήλων ὄντων αὐτῶν, ὡς δεδήλωται, οἱ γονεῖς μόνοι προέταξαν, κἀντεῦθεν καὶ τὰ τῶν αὐτῶν δεσμῶν διαλυθέντων ὑπὸ τοῦ ταβελλίωνος μετὰ μίαν ἡμέραν διὰ τὸ τῆς πράξεως ἀπηγορευμένον ἄκυρα καὶ ἀσύστατα κρίνεται. ὅθεν καὶ ὡς μηδενὸς τοῦ προσισταμένου ὄντος, ἐδικαίωσε συνοδικῶς ἡ μετριότης ἡμῶν τὸν τοιοῦτον ἀναγνώστην εἰς τὸ τῆς ἱερωσύνης λειτούργημα. μέντοι καὶ προβιβασθήσεται ἀκολύτως, τῇ ἐμφανείᾳ τοῦ παρόντος συνοδικοῦ γράμματος. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος πιστωθέντα ἐπεδόθη μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις, ἔτους ,ϛου ωου τριακοστοῦ δευτέρου †.

II. † Μηνὶ ἀπριλλίῳ, κε', ἰνδ. ζ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Δυρραχίου καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Μιτυλήνης καὶ ὑπερτίμου, Διονυσίου, τοῦ Διδυμοτείχου καὶ ὑπερτίμου, Θεοδούλου,

τοῦ Ἄπρω, ὑπερτίμου καὶ τὸν τόπον ἐπέχοντος τοῦ Εὐχαίτων, Ἰωσὴφ, τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, καὶ τοῦ ὑποψηφίου Μαδύτων, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Φθάνει μὲν ὁ ἀπὸ τῆς θεοσώστου πόλεως Θεσσαλονίκης σεβαστὸς κῦρ Κωνσταντῖνος ὁ Μουζάλων ἐξωνήσασθαί τινα οἰκήματα ἐν τῇ τοιαύτῃ πόλει εὑρισκόμενα καὶ σύνεγγυς ὄντα τῶν οἰκημάτων τοῦ Κεφαλᾶ Νικολάου, καὶ βελτιώσεις ἐξ οἰκείων ἐπὶ τούτοις ποιῆσαι. αἰσθόμενος δὲ τοῦ πεπραγμένου ὁ αὐτὸς Κεφαλᾶς καὶ ἀντικριθεὶς τούτῳ, δεδικαίωται ὡς πλησιαστὴς κατὰ νόμους ἐπὶ τῇ ἐξωνήσει αὐτῶν, καὶ ἀντιστρέφας τούτῳ, ὅσον τε τὴν ἀρχὴν κατεβάλετο τίμημα ὑπὲρ τούτων, καὶ ὅσαπερ ἀνάλωσεν ἕνεκεν τῶν τοιούτων βελτιώσεων, ὑπέρπυρα δηλαδὴ ἑκατὸν ἐννενηκοντατρία, ἐπελάβετο τῶν αὐτῶν οἰκημάτων, ὑπεκστάντος τούτων αὐτῷ τοῦδε τοῦ Μουζάλωνος, ὡς καὶ ἴδιον ἑαυτοῦ γράμμα τούτου χάριν ἐκθέσθαι ὑπὸ ταβελλίωνί τε καὶ μάρτυσιν ἱκανοῖς, ἔτι γε μὴν καὶ δι' ἑτέρου γράμματος αὐτοῦ συμφωνήσαντος δοῦναι πρὸς αὐτὸν καὶ ἐποίκιον, μέχρις ἂν τὴν ἐν αὐτοῖς καθευρεθεῖσαν ὕλην αὐτοῦ ἀλλαχόσε μετακομίσῃ. καὶ ἦν μὲν ὁ τοιοῦτος Κεφαλᾶς ἀνενόχλητος διαμένων ἐπὶ τοῖς τοιούτοις οἰκήμασιν, ὃν δὴ τρόπον καὶ δεδικαίωται. τῆς τῶν πραγμάτων δὲ γενομένης συγχύσεως, ἀφορμῆς ἐντεῦθεν δεξάμενος ὁ δηλωθεὶς Μουζάλων, ὡς εὑρισκομένου δῆθεν τοῦ ῥηθέντος Κεφαλᾶ μετὰ τοῦ Κασανδρηνοῦ, καὶ αἰτίας συμπλάσας κατ' αὐτοῦ ἐπορίσατο σεπτὸν πρόσταγμα κατὰ τὴν ἑαυτοῦ ἀναφοράν, ὥστε δὴ καὶ πάλιν ἐν κατοχῇ τυγχάνειν τῶν αὐτῶν οἰκημάτων, καὶ τὸ ἀπ' ἐκείνου ἀποστερεῖται τὸ μέρος τοῦδε τοῦ Κεφαλᾶ τὸν βίον ἀπολιπόντος τῶν τε τοιούτων ἑκατὸν ἐννενηκοντατριῶν ὑπερπύρων καὶ τῶν εἰρημένων οἰκημάτων, ἀδικούμενον παρ' αὐτοῦ, οὗ χάριν καὶ ἐδεήθη διαγνώσεως τῆς ἡμῶν μετριότητος, ἐμφανίσαν καὶ τὰ παρὰ τοῦ εἰρημένου Μουζάλωνος προβάντα γράμματα. διέγνωσται οὖν συνοδικῶς τῇ ἡμῶν μετριότητι, εἶναι καὶ εἰς τὸ ἑξῆς ἐπειλημμένον τῶν τοιούτων οἰκημάτων τὸ μέρος τοῦδε τοῦ Κεφαλᾶ, καθὼς ἀπὸ τῆς κρίσεως δεδικαίωται, προτιμηθέντος τούτου ἐπὶ τῇ ἐξωνήσει αὐτῶν ὡς πλησιαστοῦ κατὰ νόμους, καὶ ἀποδεδωκότος τῷ Μουζάλωνι ταῦτα δὴ τὰ ἑκατὸν ἐννενηκοντατρία ὑπέρπυρα ὑπέρ τε τοῦ παρ' αὐτοῦ καταβληθέντος τιμήματος τῶν οἰκημάτων καὶ τῶν αὐτῶν βελτιώσεων, ὡς δεδήλωται, ἐπείπερ ἀποκλείεται πᾶσα θύρα δικαιολογίας αὐτῷ,

ὥστε περὶ τούτων κινεῖν ὄχλησιν, ἐχρῆν γὰρ αὐτὸν καὶ μεγάλως εὐθυνθῆναι καὶ τῶν ὑπὲρ τῶν τοιούτων οἰκημάτων ἐκπεσεῖν ὑπερπύρων, ὡς ἐκ ψευδοῦς ἀναφορᾶς αἰτίας κατὰ τοῦ δηλωθέντος πλασάμενον Κεφαλᾶ καὶ πόνων καὶ ἀναλωμάτων οὐκ ὀλίγων αὐτῷ παρὰ τὸν τοῦ δικαίου λόγον γενόμενον αἴτιον, ὅθεν καὶ τὰ παρ' αὐτῷ δὴ τῷ Μουζάλωνι πάντα δικαιώματα ἄκυρα καὶ ἄπρακτα ἔσονται καὶ ὡς μηδὲ τὴν ἀρχὴν γεγονότα. τὸ δέ γε μέρος τοῦ ῥηθέντος Κεφαλᾶ ἔσται καὶ εἰς τὸ ἑξῆς ἐν κατοχῇ καὶ δεσποτείᾳ καὶ κυριότητι τῶν αὐτῶν οἰκημάτων, μηδεμίαν εὑρίσκον καταδυναστείαν ἢ διενόχλησιν παρ' αὐτοῦ, ἀντιστρέφαντος καὶ ὅσα κατέχει παρ' ἑαυτῷ δικαιώματα, ἀνήκοντα τῷ τοιούτῳ μέρει τοῦ Κεφαλᾶ, ἐφ' ᾧ καὶ ὁ ἱερώτατος μητροπολίτης Θεσσαλονίκης, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἀναδέξεται τὰ περὶ τούτου, καὶ δεφενδεύσει τόδε τὸ μέρος τοῦ Κεφαλᾶ κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν. εἰ γὰρ μὴ παύσεται τὸ ἀπὸ τοῦδε ὁ δηλωθεὶς Μουζάλων ἐνοχλεῖν περὶ τῶν τοιούτων οἰκημάτων, καὶ οὐδὲ ἐκστήσεται παντάπασι τῆς αὐτῶν κατοχῆς, τῷ παρὰ τῆς ἡμῶν μετριότητος ἐπιτιμίῳ ὑποβληθήσεται, ὡς προδήλως τῷ δικαίῳ ἐναντιούμενος. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος βεβαιωθέντα καὶ πιστωθέντα ἐπεδόθη μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις ἔτους ,ϛου ωου τριακοστοῦ δευτέρου †.

LVI. (6832—1324) maio ind. VII.

Esaias dirimit controversiam.

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. ὁ ἀπὸ τῆς τοιαύτης θεοσώστου πόλεως Ματθαῖος ὁ Συνα-δηνὸς ὑπέμνησε πρὸς τὴν ἡμῶν μετριότητα, ὡς ἡ πρὸς μητρὸς αὐτοῦ θεία συνεζεύχθη κατὰ πρῶτον συνοικέσιον νομίμως ἀνδρὶ τῷ Συροπούλῳ, ἔχουσα καὶ προικὸς χάριν πράγματα, ὅσα καὶ τῷ συμφώνῳ αὐτῆς περιείληπται. ἐν τῷ καιρῷ δὲ τῆς τῶν πραγμάτων συγχύσεως ἐδανείσατο ὁ τοιοῦτος ἀνὴρ αὐτῆς ὑπέρπυρα, ὅσα δῆτα καὶ ἐδανείσατο,

καὶ μὴ ἔχοντος αὐτοῦ ἐξ οἰκείων ἀποδοῦναι τὰ ὀφειλόμενα πρὸς τοὺς δανειστὰς, πειρῶνται οὗτοι κατασχεῖν καὶ διαπωλῆσαι τὰ προικόθεν αὐτῇ διαφέροντα πράγματα, οὗ χάριν καὶ ἐδεήθη διαγνώσεως τῆς ἡμῶν μετριότητος. οὕτως οὖν ἐχούσης τῆς ὑποθέσεως διέγνωσται συνοδικῶς τῇ ἡμῶν μετριότητι, μὴ ἐνέχεσθαι τὴν αὐτὴν Συροπουλίναν ἐκ τῶν προικῴων πραγμάτων αὐτῆς ἀποδιδόναι τὸ τοῦ ἀνδρὸς ὄφλημα, ἐπείπερ οἱ θεῖοι νόμοι παντὸς χρέους τὸ τῆς προικὸς τιθέασι προτιμότερον, φύλακα γὰρ αὐτῆς ἐφιστῶσι τὸν ἄνδρα, οὐχ ἵνα πᾶν τὸ κατὰ γνώμην ἐπὶ ταύτῃ ποιῇ, ἀλλ' οἷά τινα παρακαταθήκην τούτῳ καταπιστεύονται ἐπὶ τῷ ἀνελάττωτον καὶ ἀμείωτον αὐτὴν συντηρεῖν, ὥστε δὴ καὶ πάλιν δεῆσαν ἀντιστρέφειν τοῖς κληρονόμοις· ὅθεν καὶ παραδηλοῖ σοῦ τῇ ἱερότητι, ὡς ἂν ἱκανωθείη μὲν πρότερον ἡ ῥηθεῖσα σύζυγος τοῦ τοιούτου Συροπούλου τὴν προῖκα ταύτης ἀνελλιπῆ μετὰ τῶν ἀνηκόντων αὐτῇ κατὰ νόμους δικαίων καὶ τῶν λεγατευθέντων πρὸς τῆς μητρὸς, οἱ δέ γε τοιοῦτοι δανεισταὶ ἀφέξονται δι' ὄχλου γίνεσθαι ταύτῃ χάριν τῶν προικῴων πραγμάτων αὐτῆς, ὡς μηδεμίαν μετοχὴν ἐπὶ τούτοις ἔχοντος ἐκ τῶν νόμων τοῦδε τοῦ Συροπούλου, ὡς εἴρηται. τοίνυν καὶ γενέσθω, καθὼς ἡ μετριότης ἡμῶν παραδηλοῖ τῇ σῇ ἱερότητι διὰ τοῦ παρόντος γράμματος, ὃ καὶ ἀντιστραφήτω τῷ διαληφθέντι Συναδηνῷ δι' ἀσφάλειαν. ἔρρωσο, κατὰ κύριον ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ.

† Εἶχε τὸ· μηνὶ μαΐῳ ἰνδ. ζ' †.

LVII. (6832—1324) maio-augusto ind. VII.

Synodus dirimit quasdam controversias.

I. † Μηνὶ μαΐῳ, θ' ἡμέρᾳ, τετράδι, ἰνδ. ζ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Κυζίκου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλησπόντου, Ἀθανασίου, τοῦ Σάρδεων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυδίας, Γρηγορίου, τοῦ Χαλκηδόνος, ὑπερτίμου καὶ προέδρου Μαρωνείας, Θεοδούλου, τοῦ Μελιτηνῆς καὶ ὑπερτίμου, Θεοδοσίου, τοῦ Προύσης καὶ ὑπερτίμου, Νικολάου, τοῦ Πηγῶν καὶ Παρίου, ὑπερτίμου καὶ προέδρου Γάνου, Κωνσταντίνου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Δυρραχίου καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Σμύρνης

καὶ ὑπερτίμου, Ξενοφῶντος, τοῦ Μιτυλήνης καὶ ὑπερτίμου, Διονυσίου, τοῦ Διδυμοτείχου καὶ ὑπερτίμου, Θεοδούλου, τοῦ Λακεδαιμονίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Ἄπρω, ὑπερτίμου καὶ τὸν τόπον ἐπέχοντος τοῦ Εὐχαίτων, Ἰωσὴφ, τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, καὶ τοῦ ὑποψηφίου Μαδύτων, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Παρέστη τῇ ἡμῶν μετρίοτητι προκαθημένῃ συνοδικῶς ὁ ἱερομόναχος κῦρ Νίκανδρος, καὶ ἀνέφερεν, ὡς πρὸ χρόνων ἤδη τριῶν εὑρισκόμενος ὁ τιμιώτατος ἐν μοναχοῖς κῦρ Μακάριος ὁ Ταρχανειώτης εἰς προϊστάμενον τῆς σεβασμίας μονῆς τῆς ἐπ' ὀνόματι τιμωμένης τῆς ἁγίας τοῦ Χριστοῦ ἀναστάσεως, εἰδήσει καὶ τοῦ κτήτορος ταύτης, τοῦ μεγάλου λογοθέτου ἐκείνου, καὶ τῶν ἐν αὐτῇ μοναχῶν, παραδέδωκε τούτῳ διὰ γράμματος αὐτοῦ ἄγχιστά πη τῆς τοιαύτης μονῆς τόπον τινὰ, ὅσος κατὰ μέρος ἐν τῷ τοιούτῳ αὐτοῦ περιλαμβάνεται γράμματι, τάξας, ὡς ἂν διδῷ πρὸς τὸ μέρος αὐτῆς οὗτος κατ' ἔτος ὑπέρπυρα τρία πρὸς τῷ ἡμίσει, καὶ ἀνεγείρῃ ἐν τῷδε τῷ τόπῳ θεῖον ναὸν, καὶ κελλία περὶ αὐτὸν ἀνακτίσῃ, λάβῃ τε καὶ τὴν θείαν λάρνακα τοῦ ἁγίου Ἰωάννου τοῦ Κατασάββα, ἔτι τε καὶ τὴν σεπτὴν εἰκόνα τοῦ ἁγίου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου καὶ ἐπικεκλημένου Καταβιώτου· εἰ δ' ἴσως οὐ βουληθῶσιν οἱ μοναχοὶ στέρξαι τήνδε τὴν πρᾶξιν, ἀντιστραφῶσι πρὸς αὐτὸν, ὅσα ἂν παρὰ τούτου ἀναλωθείη. καὶ τῷ τοιούτῳ γράμματι τῆς ἐκδόσεως θαρρήσας οὗτος δὴ ὁ ἱερομόναχος κῦρ Νίκανδρος ἐπέβαλε χεῖρα τῇ θεοφιλεῖ προθέσει αὐτοῦ, καὶ οἰκείοις πόνοις καὶ ἀναλώμασιν ἐξ αὐτῶν κρηπίδων ἀνήγειρε θεῖον ναὸν, καὶ κελλία περὶ αὐτὸν συνεστήσατο, καὶ χρυσίνους δέκα πρὸς τὴν μονὴν δέδωκεν, ἡνίκα τὴν ἀρχὴν ἐπελάβετο τοῦδε τοῦ τόπου. τοῦ κτήτορος δὲ, τοῦ μεγάλου δηλαδὴ λογοθέτου, μικρὰ φροντίσαντος τοῦ γράμματος καὶ εἰς ἀνατροπὴν αὐτοῦ χωρήσαντος καὶ ἀθέτησιν, κατεχαλάσθη μὲν ὁ ναὸς παρ' ἐκείνου καὶ τὰ εἰρημένα κελλία, ἡ δὲ τούτων ὕλη εἰσήχθη ἐν τῇ δηλωθείσῃ μονῇ, καὶ τὸ ἀπ' ἐκείνου ἐστὶν ὁ εἰρημένος ἱερομόναχος ἀποστερούμενος τῶν οἰκείων ἀναλωμάτων, οὗ χάριν καὶ ἐδεήθη τῆς ἡμῶν μετριότητος, ἐμφανίσας καὶ τὸ τῆς πρὸς αὐτὸν ἐκδόσεως γράμμα τοῦ τοιούτου τιμιωτάτου ἐν μοναχοῖς κῦρ Μακαρίου. παρόντες δὲ τῷ ἱερῷ συνοδικῷ δικαστηρίῳ οὗτός τε καὶ οἱ δηλωθέντες μοναχοὶ, καὶ τούτου τὰ

εἰρημένα διεξιόντος ἀκούοντες, πρὸς οὐδὲν εἶχον ἀντιλέγειν, ἀλλὰ μόνην τὴν τοῦ κτήτορος δυναστείαν εἰς αἰτίαν ἦσαν τιθέμενοι. διέγνωσται οὖν συνοδικῶς τῇ ἡμῶν μετριότητι, ὡς ἂν, ἐπείπερ ὅδε ὁ ἱερομόναχος κατὰ τὴν περίληψιν τοῦ πρὸς αὐτὸν ἐκδοτηρίου γράμματος, ὡς εἴρηται, θαρρήσας χεῖρα ἐπέβαλε τῷ θεοφιλεῖ τούτου σκοπῷ, καὶ ἐξ οἰκείων κόπων καὶ ἀναλωμάτων ἀνήγειρέ τε τὸν τοιοῦτον ναὸν, καὶ κελλία περὶ αὐτὸν συνεστήσατο, εἰδήσει τοῦ κτήτορος καὶ τῶν αὐτῶν μοναχῶν, ἦν δὲ τεταγμένον ἀντιστρέφεσθαι τούτῳ, μὴ στερξάντων αὐτῶν, τὰ ἀναλωθέντα παρ' αὐτοῦ, αὐτοὶ δὲ προκατάρξαντες εἰς ἀνατροπὴν ταύτης ἐχώρησαν καὶ ἀθέτησιν, κἀντεῦθεν καταβέβληται ὅ τε ναὸς καὶ τάδε τὰ περὶ αὐτὸν κελλία, εἰσαχθείσης τῆς τούτων ὕλης ἐν τῇ δηλωθείσῃ μονῇ, ἱκανωθείη τούτῳ παρ' αὐτῆς, ὅσα ἂν μετ' ἀσφαλείας τῆς προσηκούσης καὶ ὡς ἐφορῶντος θεοῦ ἀνομολογήσῃ οὗτος καὶ παραστήσῃ ἀναλῶσαι ὑπὲρ αὐτῶν. ὅθεν καὶ ὀφείλουσιν οἱ διαληφθέντες μοναχοὶ ἀποδοῦναι τῷδε τῷ ἱερομονάχῳ ἀνελλιπῆ, ὅσαπερ οὗτος τὸν εἰρημένον τρόπον μετ' ἀσφαλείας τῆς προσηκούσης ἀποδείξει καὶ παραστήσει ἀναλωθῆναι ὑπ' αὐτοῦ ὑπέρ τε τῆς ἀνεγέρσεως τοῦ αὐτοῦ ναοῦ καὶ τῆς τῶνδε τῶν κελλίων συστάσεως, ἔτι δὲ καὶ τὰ εἰρημένα δέκα ὑπέρπυρα, ἅπερ, ὡς δεδήλωται, πρὸς τὴν μονὴν δέδωκε τοῦ τόπου ἐπιλαβόμενος· εἰ γὰρ μὴ εὐπειθήσαντες τῇ κρίσει καὶ τῷ δικαίῳ, καὶ εἰσέτι καταδυναστεύσουσι, καὶ οὐκ ἀποδώσουσι πάντα τὰ διεγνωσμένα πρὸς τὸν ῥηθέντα ἱερομόναχον, τῷ παρὰ τῆς ἡμῶν μετριότητος ἐπιτιμίῳ ὑποβληθήσονται, ὡς προδήλως τῷ δικαίῳ ἐναντιούμενοι. ταῦτα παρεκβληθέντα κ. τ. λ. †.

II. † Μηνὶ μαΐῳ, κῆ ἡμέρᾳ, δευτέρᾳ, ἰνδ. ζ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Κυζίκου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλησπόντου, Ἀθανασίου, τοῦ Σάρδεων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυδίας, Γρηγορίου, τοῦ Χαλκηδόνος, ὑπερτίμου καὶ προέδρου Μαρωνείας, Θεοδούλου, τοῦ Ἀδριανουπόλεως καὶ ὑπερτίμου, Ἰγνατίου, τοῦ Μελιτηνῆς καὶ ὑπερτίμου, Θεοδοσίου, τοῦ Προύσης καὶ ὑπερτίμου, Νικολάου, τοῦ Πηγῶν καὶ Παρίου,

ὑπερτίμου καὶ προέδρου Γάνου, Κωνσταντίνου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Δυρραχίου καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Μιτυλήνης καὶ ὑπερτίμου, Διονυσίου, τοῦ Διδυμοτείχου καὶ ὑπερτίμου, Θεοδούλου, τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, καὶ τοῦ ἀρχιεπισκόπου Δέρκου, Λουκᾶ, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς καὶ ἡ τοῦ Τζύρου Μαρία ἡ Καλοθετίνα, καὶ ἀνέφερεν, ὡς ἀνδρὶ κατὰ πρῶτον συνοικέσιον συνεζεύχθη τῷ Μαρμαρᾷ Θεοδώρῳ, ἔχουσα καὶ προικὸς χάριν πράγματα, ποσότητος λιτρῶν δεκαοκτὼ, καθὼς ἐν τῷ συμφώνῳ ταύτης περιλαμβάνονται, ὃς δὴ καὶ δύο παιδία, θῆλυ καὶ ἄρρεν, γεγεννηκὼς ἐξ αὐτῆς, κατηνάλωσε πᾶσαν σχεδὸν ἣν ἔσχε προῖκα, πλήν τινων σχολαρικίων καὶ ἀργύρου περιισταμένου εἰς λίτρας δεκαοκτὼ, ἅπερ ἄμφω παρέθετο μὲν εἰς ἐνέχυρον τῷ Κεφαλᾷ, δανεισάμενος ὑπέρπυρα τριακόσια, τὰ δέ γε γονικόθεν διαφέροντα τούτῳ οἰκήματα τῷ οἰκείῳ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, τῷ Δισυπάτῳ, δανεισάμενος τὸν ὅμοιον τρόπον καὶ ἐξ αὐτοῦ ὑπέρπυρα τριακόσια εἰκοσιπέντε, καὶ ἀποδεδωκὼς ὁ ῥηθεὶς Μαρμαρᾶς τῷ αὐτῷ Δισυπάτῳ ὑπέρπυρα ἑκατὸν, τὸν βίον ἀπέλιπε, μηδὲν ἕτερον καταλείψας ἴδιον ἑαυτοῦ πρᾶγμα, ἢ μόνα τὰ τοιαῦτα οἰκήματα καὶ ἀμπέλιον διακείμενον περὶ τὴν τοποθεσίαν τῶν Πηγῶν, ὅπερ εἰς ἐνέχυρον τοῦ Ἀντιοχείτου Ἀνδρέου ἀντὶ ὑπερπύρων διακοσίων κατέχοντος, αὕτη δὴ ἡ Καλοθετίνα ἐκ τῶν προικῴων ταύτης πραγμάτων ἀπώφλησε ταῦτα, καὶ ἐπελάβετο τούτου, καὶ ὅτιπερ εὑρίσκει τούτους καὶ τόκους προσαπαιτοῦντας, ἐδεήθη διαγνώσεως τῆς ἡμῶν μετριότητος. διέγνωσται οὖν τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν, ὡς δίκαιον μὲν ἦν ἀποδοθῆναι τὴν προῖκα πρὸ τῶν ἄλλων χρεῶν, ἐπεὶ καὶ οἱ θεῖοι νόμοι παντὸς χρέους τὸ τῆς προικὸς τιθέασι προτιμότερον, δοῦναι δὲ πρότερον ἀσφάλειαν ἀποκρυβῆς τὴν τοιαύτην Καλοθετίναν περὶ τῶν ἐν τῷ καιρῷ τῆς τοῦ ἀνδρὸς τελευτῆς καθευρεθέντων πραγμάτων ἐκείνου, ὥστ' ἐκ τῶν περιττευόντων ἀποδοθῆναι τὰ ὀφειλόμενα πρὸς τοὺς αὐτοὺς δανειστὰς, συγκαταβάσει δὲ ὅμως χρησαμένη διέκρινε, μετὰ τὸ γενέσθαι τὴν τοιαύτην ἀσφάλειαν τοῦτον μὲν δὴ τὸν Δισύπατον μόνα λαβεῖν, ὅσα δάνους χάριν δέδωκε τὴν ἀρχὴν, τὸν δέ γε ῥηθέντα Κεφαλᾶν τὰ τριακόσια ὑπέρπυρα, καὶ ἀρκεσθῆναι τούτοις ἀμφοτέρους

αὐτοὺς καὶ μηδὲν τόκου χάριν προσαπαιτεῖν, ἀπηγορευμένον ὂν τοῖς αὐτοῖς θείοις νόμοις, ὅθεν καὶ ὀφείλουσιν οἱ ῥηθέντες δανεισταὶ μόνα λαβεῖν, ὡς δεδήλωται, τὰ χάριν κεφαλαίου παρ' αὐτῶν δανεισθέντα, καὶ μηδέν τι ὑπὲρ τόκου προσαπαιτῆσαι, εἰδότες, ὡς, εἴπερ οὐκ εὐπειθεῖς γενόμενοι τῇ κρίσει καὶ τῷ δικαίῳ καὶ εἰς τὸ ἑξῆς καταδυναστεύσουσι, καὶ οὐ ποιήσουσι κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν, ὡς προδήλως ἀδικοῦντες τῷ ἀπὸ θεοῦ κατακρίματι ὑποπεσοῦνται. ταῦτα παρεκβληθέντα κ. τ. λ. †.

III. † Μηνὶ ἰουνίῳ, θ' ἡμέρᾳ, δευτέρᾳ, ἰνδ. ζ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ αὐτῷ τόπῳ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ τῶν αὐτῶν ἀρχιερέων †.

† Ἀνήνεγκεν ἐπὶ τοῦ καθ' ἡμᾶς ἱεροῦ συνοδικοῦ δικαστηρίου ἡ κυρὰ Μαρία μεγάλη παπίαινα Ἀσπιέτισσα ἡ Χούμναινα, ὥς τινες τῶν τοῦ κλήρου τῆς ἁγιωτάτης μητροπόλεως Διδυμοτείχου χρείαν κατεπείγουσαν ἔχοντες, προσιόντες αὐτῇ ᾐτήσαντο καὶ ἔλαβον κόσμιά τινα ταύτης καὶ λοιπὰ διάφορα πράγματα, συναινοῦντος καὶ τοῦ ἱερωτάτου μητροπολίτου Διδυμοτείχου καὶ ὑπερτίμου, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῦ, καὶ πρὸς τοῦτο αὐτὴν καταπείθοντος, ὡς ἂν παραθέμενοι αὐτὰ εἰς ἐνέχυρον ἀνύσωσι τὴν τοιαύτην χρείαν αὐτῶν, καὶ γράμμα ἴδιον τούτου χάριν ἐξέθεντο οἰκείαις ὑπογραφαῖς αὐτὸ πιστωσάμενοι, περιληφθέντων ἐν τούτῳ κατὰ μέρος καὶ τῶν τοιούτων κοσμίων, ἵνα μετὰ ἕνα μῆνα ταῦτα πάντα πρὸς αὐτὴν ἀποδώσουσιν· εἰ δ' οὖν, καθέξει αὕτη τὰ προσόντα τούτοις κτήματά τε καὶ πράγματα. καὶ ὅτιπερ οἱ λαβόντες εἰς ἀνατροπὴν τῆς τοιαύτης συμφωνίας ἐχώρησαν καὶ ἀθέτησιν, αὕτη τῶν οἰκείων πραγμάτων ἐπὶ χρόνοις ἤδη τρισὶν ἀποστερουμένη, ἐδεήθη συνοδικῆς διαγνώσεως, ἐμφανίσασα εἰς παράστασιν τοῦ ἀληθῶς ἔχειν τὰ εἰρημένα καὶ τὸ τοιοῦτον γράμμα τῆς συμφωνίας. διέγνωσται οὖν τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, συνεδριάζοντος καὶ τοὐδε τοῦ ἱερωτάτου μητροπολίτου Διδυμοτείχου καὶ ὑπερτίμου, δίκαιον εἶναι, ὡς ἂν ἐκ τῶν κτημάτων καὶ πραγμάτων τῶν λαβόντων τὰ εἰρημένα κόσμια καὶ τὰ λοιπὰ πράγματα ταύτης δὴ τῆς μεγάλης

παπιαίνης καὶ τῶν ἰδίων τοῦ εἰρημένου ἱερωτάτου μητροπολίτου Διδυμοτείχου, ὡς τῇ τούτου πειθοῖ καὶ συναινέσει τῶν τοιούτων κοσμίων δοθέντων παρ' αὐτῆς, εἰ καὶ μὴ ἔφθασε τὸ γεγονὸς γράμμα πιστώσασθαι καὶ ὑπογραφῇ αὐτοῦ, ἀποφληθῶσι πάντα τὰ ὀφειλόμενα, καὶ ἀπολάβῃ ἡ δηλωθεῖσα μεγάλη παπίαινα σῶα καὶ ἀνελλιπῆ πάντα τὰ ἴδια ἑαυτῆς κόσμια, ὅσα δηλονότι ἐν τῷ τοιούτῳ γράμματι κατὰ μέρος περιλαμβάνονται. ὅθεν καὶ ὀφείλουσιν ὅ τε δηλωθεὶς ἱερώτατος μητροπολίτης Διδυμοτείχου καὶ οἱ ἐκ τῶν ῥηθέντων κληρικῶν ἐγγράφως ὑποσχεθέντες καὶ λαβόντες τάδε τὰ κόσμια καὶ τὰ λοιπὰ πράγματα τῆς τοιαύτης μεγάλης παπιαίνης ποιῆσαι κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν καὶ ἀποφλῆσαι, ὅσα δάνους χάριν ὑπὲρ αὐτῶν ἔλαβον, καὶ εἰ μὲν εὐπειθήσαντες ποιήσουσι κατὰ τὴν ἔγγραφον τούτων ὑπόσχεσιν, εὖ ἂν καὶ καλῶς ἔχοι· εἰ δ' οὖν, τοὺς μὲν ἐξ αὐτῶν ἱερωσύνῃ τετιμημένους ἐπισχημένους ἔχει τοῦ ἱερουργεῖν ἡ μετριότης ἡμῶν, ἀλλὰ δὴ καὶ τὸν δηλωθέντα Διδυμοτείχου, τοὺς δέ γε μὴ τοιούτους καὶ κοσμικοὺς ὑπὸ ἐκκλησιαστικὸν ἐπιτίμιον ποιεῖται, μέχρις ἂν τὰ ὀφειλόμενα ἀποφλήσωσι. ταῦτα παρεκβληθέντα κ. τ. λ. †.

IV. † Μηνὶ ἰουλίῳ, ιε' ἡμέρᾳ, τετράδι, ἰνδ. ζ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ αὐτῷ τόπῳ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ τῶν αὐτῶν ἱερωτάτων ἀρχιερέων †.

† Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ Εὐθειοτόκιος Ἰσαάκιος, καὶ ἀνήνεγκεν, ὡς ὁ καλούμενος Ναυπηγὸς γαμβρὸν αὐτὸν ἐπὶ τῇ ἰδίᾳ θυγατρὶ ἀγαγόμενος, συνεφώνησεν αὐτῷ προικὸς χάριν καὶ πράγματα ὑπερπύρων διακοσίων καὶ οἴκημά τι πρὸς τούτοις ἀδιατίμητον, ἔτι τε καὶ (τὴν) τῶν ἐν τῷ καιρῷ τῆς τελευτῆς αὐτοῦ καθευρεθησομένων τούτῳ πραγμάτων κληρονομίαν. καὶ ἦν μὲν ὁμόστεγος καὶ ὁμοδίαιτος τῷ πενθερῷ ἐπὶ χρόνοις ἑπτά· ἐπεὶ δὲ εἶδεν ὁ αὐτὸς Ἰσαάκιος τοῦτον δὴ τὸν πενθερὸν πειραθέντα ἐξῶσαι αὐτὸν τοῦ τοιούτου οἰκήματος, ἀντεκρίθη τούτῳ ἐπὶ τοῦ ἐκκλησιαστικοῦ δικαστηρίου, καὶ ἐμφανίσας τὸ γεγονὸς αὐτῷ σύμφωνον δεδικαίωται συγκαταμένειν τῷ τοιούτῳ πενθερῷ ἐν τῷ εἰρημένῳ οἰκήματι, ὃν δὴ

τρόπον καὶ ἐπὶ τοῖς τοιούτοις ἑπτὰ χρόνοις ἦν καταμένων. βουληθέντος δὲ καὶ τοῦ συγγάμβρου αὐτοῦ τοῦ Καλωνυμίτου πρὸς ὕψος ἐπάραι τὸ προσὸν αὐτῷ χαμαίγ.... οἴκημα, σύνεγγυς καὶ πλησίον τυγχάνον τοῦ εἰρημένου οἰκήματος, γέγονε τηνικαῦτα ἐπιστασία καὶ διεκρίθη, μηδαμῶς ἀνυφῶσαι τόνδε τὸν Καλωνυμίτην αὐτό, μηδέ τι μεταποιῆσαι τοῦ ἀρχαίου σχήματος, ἥ τε γὰρ ἄποψις τοῦ οἰκήματος τοῦ Ἰσαακίου ἐντεῦθεν ἀπείργεται, καὶ αἱ τούτου παράθυροι κλείονται, προβάντος τούτου χάριν καὶ γράμματος. μεθ' ἱκανὸν δὲ εἰς ταὐτὸ γνώμης ἐλθόντες, οὗτός τε ὁ Ἰσαάκιος καὶ ὁ ῥηθεὶς πενθερὸς αὐτοῦ ὁ Ναυπηγὸς πρὸς συμβάσεις ἐχώρησαν, συνθέμενοι καὶ συμφωνήσαντες διὰ ταβουλλαρικοῦ γράμματος, σταυρικοῖς δεσμοῖς σιγνογραφήσαντες ἐν αὐτῷ, ὥστε ἀνυφῶσαι τὸν τοιοῦτον Καλωνυμίτην τόδε τὸ χαμαίγ.... οἴκημα αὐτοῦ, καὶ ὅσον ἂν χῶρον περιλάβῃ τὸ μέλλον εἰς ὕψος ἀρθῆναι, σύνεγγυς ὄν, ὡς εἴρηται, καὶ σύγκολλα τῆς ἀπόψεως τοῦ αὐτοῦ οἰκήματος τοῦ Ἰσαακίου εἰς δύο μερίδας διελεῖν, καὶ τὴν μίαν μὲν τὸν ῥηθέντα Ἰσαάκιον λαβεῖν, τὴν δὲ ἑτέραν τόνδε τὸν Ἰσαάκιον, καὶ ἀντιδοῦναι τῷ αὐτῷ Καλωνυμίτῃ ἴσην μερίδα ἀπὸ τοῦ προσόντος αὐτῷ ὄπισθεν καὶ ἐκ πλαγίου μέρους. οὗ δὴ ταβουλλαρικοῦ γράμματος καὶ συνοδικῶς εἰς ἐπήκοον ἀναγνωσθέντος, διέγνωσται τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τὸ στέργον καὶ ἀπαραποίητον ἔχειν τὴν τοιαύτην τούτων συμβίβασιν, καὶ μηδένα ἐκ τούτων πειράσασθαι πρὸς ἀνατροπὴν καὶ ἀθέτησιν χωρῆσαι αὐτῆς, ἀλλ' ἐμμένειν ἑκατέρους ἀπαραβάτως αὐτῇ· εἰ δ' ἴσως οὐ θελήσει ὁ αὐτὸς Καλωνυμίτης στέρξαι τήνδε τὴν συμφωνίαν, ὀφείλει καταβληθῆναι τὸ οἴκημα τούτου καὶ εἰς τὸ πρότερον σχῆμα καταστῆναι, καθὼς καὶ τὸ τῆς κρίσεως γράμμα διέξεισιν, ἐπεὶ καὶ ἡ πρὸς τὴν βασιλικὴν ὁδὸν ἄποψις τοῦ οἰκήματος τοῦ αὐτοῦ Εὐθειοτοκίου ἀπείργεται, καὶ αἱ τούτου παράθυροι μέλλουσιν ἀποκλεισθῆναι τελείως, καθ' ὃν εἴρηται τρόπον, ἐφ' ᾧ καὶ ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι μέγας δρουγγάριος τοῦ θεοσώστου στόλου, ἐν ἁγίῳ πνεύματι γνησιώτατος υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννης ὁ Φιλανθρωπηνός, ἀναδέξεται τὸν διαληφθέντα Ἰσαάκιον, καὶ ἀπαλλάξει τῆς καταδυναστείας καὶ ὀχλήσεως τοῦ ῥηθέντος Καλωνυμίτου, κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν. ταῦτα παρεκβληθέντα κ. τ. λ. †.

V. † Μηνὶ αὐγούστῳ, ιε' ἡμέρᾳ, παρασκευῇ, ἰνδ. ζ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Κυζίκου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλησπόντου, Ἀθανασίου, τοῦ Σάρδεων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυδίας, Γρηγορίου, τοῦ Χαλκηδόνος, ὑπερτίμου καὶ προέδρου Μαρωνείας, Θεοδούλου, τοῦ Ἀδριανουπόλεως καὶ ὑπερτίμου, Ἰγνατίου, τοῦ Μελιτηνῆς καὶ ὑπερτίμου, Θεοδοσίου, τοῦ Ποντοηρακλείας καὶ ὑπερτίμου, Ἰωαννικίου, τοῦ Προύσης καὶ ὑπερτίμου, Νικολάου, τοῦ Πηγῶν καὶ Παρίου, ὑπερτίμου καὶ προέδρου Γάνου, Κωνσταντίνου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Δυρραχίου καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Μιτυλήνης καὶ ὑπερτίμου, Διονυσίου, τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, τοῦ Βρύσεως καὶ ὑπερτίμου, Γερασίμου, καὶ τοῦ ἀρχιεπισκόπου Δέρκου, Λουκᾶ, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ἡ τοῦ Κηφῆ ἐκείνου θυγάτηρ Μαρία, καὶ ἀνέφερεν, ὡς ὁ τοιοῦτος πατὴρ αὐτῆς ἀνδρὶ συνέζευξεν αὐτὴν κατὰ νόμους τῷ Μαγιδιώτῃ Γεωργίῳ, δοὺς αὐτῇ καὶ πράγματα προικὸς χάριν, ὅσα δὴ καὶ τῷ συμφώνῳ αὐτῆς περιείληπται, καὶ τοῦδε τοῦ ἀνδρὸς αὐτῆς ὑπέρπυρα χίλια πρὸς τοῖς ἑβδομηκονταεννέα δανεισαμένου, καὶ τὰ μὲν ἐξ αὐτῶν ἀποδεδωκότος, τὰ δὲ μὴ εὐποροῦντος ἀποδοῦναι, πειρῶνται κατασχεῖν οἱ δανεισταὶ τό τε οἴκημα καὶ τὸ ἀμπέλιον αὐτῆς, ἅπερ ἐκ τῶνδε τῶν προικῴων αὐτῆς πραγμάτων ἐκτήσατο, τούτων χάριν ἀναλωθέντων. ἔχουσα δὲ καὶ θυγατέρας δύο τὸν νόμιμον ὑπερβεβηκυίας τοῦ γάμου χρόνον, καὶ μὴ δυναμένη ἑτέρῳ τρόπῳ ἀνδράσι ταύτας συζεῦξαι, ἐδεήθη τῆς ἡμῶν μετριότητος, ἡ μετριότης οὖν ἡμῶν, καθάπερ ἐχρῆν, διεμηνύσατο καὶ τοῖς τοιούτοις δανεισταῖς ἀπαντῆσαι πρὸς τὸ καθ' ἡμᾶς ἱερὸν συνοδικὸν δικαστήριον ἐπὶ τῷ καὶ αὐτῶν ἀκροάσασθαι· ὧν δὴ καὶ μὴ βουληθέντων ἀπαντῆσαι, καὶ ταῦτα καὶ δὶς καὶ τρὶς διαμηνυθέντων, διέγνωσται τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, δίκαιον εἶναι, πρότερον ἱκανωθῆναι τῇ ῥηθείσῃ γυναικὶ τὴν προῖκα ταύτης ἀνελλιπῆ, ἐπείπερ οἱ θεῖοι νόμοι παντὸς χρέους τὸ τῆς προικὸς τιθέασι προτιμότερον, καὶ μάλισθ' ὅτι καὶ φύλακα ταύτης ἐφιστῶσι τὸν ἄνδρα, οὐχ ἵνα πᾶν τὸ κατὰ γνώμην ἐπὶ ταύτῃ ποιῇ,

ἀλλ' οἷά τινα παρακαταθήκην τούτῳ καταπιστεύονται, ἐπὶ τῷ καὶ πάλιν δεῆσαν ἀντιστρέφειν τοῖς κληρονόμοις. μέντοι καὶ ἔσται ἐπειλημμένη ἡ τοιαύτη γονὴ τοῦ τε οἰκήματος καὶ τοῦ ἀμπελίου, προσκτηθέντων ἐκ τῶν προικῴων ταύτης πραγμάτων, ὡς εἴρηται, καὶ μόγις ἐξαρκούντων ὑπὲρ τῶν ἀναλωθέντων ἀπὸ τούτων καὶ λειπομένων αὐτῇ· οἱ δέ γε δηλωθέντες δανεισταὶ παύσονται δι' ὄχλου γίνεσθαι τούτων χάριν αὐτῇ, ἀπαιτήσουσι δὲ καὶ λήψονται τὰ κεχρεωστημένα τούτοις ἐκ τῶν ἰδιοκτήτων πραγμάτων τοῦ τοιούτου Μαγιδιώτου, κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν. ταῦτα παρεκβληθέντα κ. τ. λ. †.

VI. † Μηνὶ τῷ αὐτῷ, ἡμέρᾳ τῇ αὐτῇ, ἰνδ. ζ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ αὐτῷ τόπῳ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ τῶν αὐτῶν ἱερωτάτων ἀρχιερέων †.

† Εἶχε μὲν ὁ σεβαστὸς ἐκεῖνος κῦρ Βασίλειος ὁ Σεβαστειανὸς οἰκήματά τινα καὶ ἐμφυτευτικὰ δίκαια μετὰ τοῦ περικλειομένου αὐτοῖς θείου ναοῦ, ὃν ἐκεῖνος ἐξ αὐτῶν κρηπίδων ἀνήγειρεν ἐπ' ὀνόματι τοῦ τιμίου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, διὰ σεπτῶν χρυσοβούλλων καὶ προσταγμάτων καὶ λοιπῶν διαφόρων δικαιωμάτων. μέλλων δὲ τελευτᾶν διαθήκην ἐξέθετο, καταλιπὼν τά τε τοιαῦτα οἰκήματα μετὰ τοῦ ναοῦ καὶ εἴ τι ἕτερον ἐκέκτητο ἀπὸ ἐμφυτεύματος δίκαιον, πρὸς τὸν υἱὸν ἐκείνου, καὶ ἦν κατὰ διαδοχὴν καὶ οὗτος ἀνενοχλήτως κατέχων αὐτὰ καὶ νεμόμενος, ὃς δὴ καὶ τελευτῶν, ἐπεὶ μηδένα ἕτερον εἶχε γνήσιον κληρονόμον, κατέλιπεν ἐνδιαθήκως ταῦτα πάντα πρός τε τοὺς ἀδελφόπαιδας αὐτοῦ, τοὺς τοῦ Βουρδῆ παῖδας, καὶ τὸν ἐξάδελφον αὐτῶν Βασίλειον τὸν Σεβαστειανόν. καὶ εἰσὶ μὲν καὶ οὗτοι ἐξ ἐκείνου τούτων ἐν κατοχῇ. διαναστὰς δὲ ὁ ἱερατικῶς ἐξυπηρετῶν ἐν τῷ τοιούτῳ ναῷ πρεσβύτερός Γεώργιος ὁ Νίκας, δι' ὄχλου γίνεται τούτοις, πειρώμενος κατέχειν αὐτὸν διὰ βίου παντὸς καὶ προσέτι τῷ μέρει παραπέμπειν αὐτοῦ, καίπερ ἑκάστου ἔτους, ἐφ' ὅσον ἦν τὴν ἱερατικὴν ἐκτελῶν ὑπηρεσίαν ἐκεῖσε, χρυσίνους ἓξ λαμβάνων ὑπὲρ μισθοῦ. παρὼν δὲ τῷ ἱερῷ συνοδικῷ δικαστηρίῳ καὶ ὁ τοιοῦτος πρεσβύτερος καὶ τῶν εἰρημένων ἀκούων, οὐδὲν ἕτερον εἶχε

λέγειν, ἢ μόνον τὸ τοῦ χρόνου εἰς δικαίωσιν ἑαυτοῦ προεβάλετο. διέγνωσται οὖν τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, δίκαιον εἶναι, ὡς ἂν κατὰ τὰς περιλήψεις τῶν τε σεπτῶν χρυσοβούλλων καὶ προσταγμάτων καὶ τῶν ἑτέρων δικαιωμάτων κατέχωσι τὰ εἰρημένα οἰκήματα οἱ ἀδελφόπαιδες ἐκείνου καὶ ὁ τοιοῦτος Βασίλειος, μετὰ καὶ τοῦ δηλωθέντος θείου ναοῦ καὶ τῶν ἐμφυτευτικῶν δικαίων, καὶ ἔχωσιν ἐπ' ἀδείας πᾶν τὸ κατὰ γνώμην ἐπὶ τούτοις ποιεῖν, καὶ ἐξυπηρετῇ ἱερατικῶς, ὡς δεδήλωται, πρεσβύτερος ἐν αὐτῷ, ὃν ἂν οὗτοι βούλωνται καὶ θελήσωσι, μετ' εἰδήσεως μέντοι καὶ προτροπῇ τῆς ἡμῶν μετριότητος, ὁ δέ γε τοιοῦτος πρεσβύτερος τέλεον ἀπέχῃ ἐκεῖθεν, καὶ παύσηται τὸ ἀπὸ τοῦδε δι' ὄχλου γίνεσθαι τούτων χάριν αὐτοῖς, ὡς μηδὲν μηδόλως δίκαιον ἔχων. ὅθεν καὶ ὀφείλει πραχθῆναι τὰ περὶ τούτου κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν. ταῦτα παρεκβληθέντα κ. τ. λ. †.

LVIII. (6833—1324) 19. septembris ind. VIII.

Synodus dirimit controversiam.

† Μηνὶ σεπτεμβρίῳ, ιθ' ἡμέρᾳ, τετράδι, ἰνδ. ὀγδόης, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Κυζίκου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλησπόντου, Ἀθανασίου, τοῦ Σάρδεων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυδίας, Γρηγορίου, τοῦ Νικομηδείας, ὑπερτίμου καὶ ἐξάρχου πάσης Βιθυνίας, Μαξίμου, τοῦ Χαλκηδόνος, ὑπερτίμου καὶ προέδρου Μαρωνείας, Θεοδούλου, τοῦ Ἀδριανουπόλεως καὶ ὑπερτίμου, Ἰγνατίου, τοῦ Μελιτηνῆς καὶ ὑπερτίμου, Θεοδοσίου, τοῦ Ποντοηρακλείας καὶ ὑπερτίμου, Ἰωαννικίου, τοῦ Προύσης καὶ ὑπερτίμου, Νικολάου, τοῦ Πηγῶν καὶ Παρίου, ὑπερτίμου καὶ προέδρου Γάνου, Κωνσταντίνου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Δυρραχίου καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, καὶ τοῦ ἀρχιεπισκόπου Δέρκου, Λουκᾶ, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Τὸ τῆς δικαιοσύνης χρῆμα πᾶσιν ὄντως λυσιτελές· ταύτῃ γὰρ πόλεις εὐνομούμεναι καὶ ἄνθρωποι τοῖς ἴσοις μέτροις ἀρκούμενοι ῥυθμίζονται μὲν πρὸς τὸ βέλτιον, εἰρηνικὸν δὲ καὶ ἀστασίαστον τὸν

σφῶν αὐτῶν βίον εἰσὶ διανύοντες, τῆς ἀδικίας μακρὰν ἀπελαυνομένης καὶ τῆς ἐξ αὐτῆς ἀναφυομένης πλεονεξίας ἐκκοπτομένης. εἰ δ' ἐπὶ πᾶσι χρεὼν τὸ τῆς δικαιοσύνης καλὸν παρρησιάζεσθαι καὶ κρατεῖν, πῶς οὐ πολλῷ γε πλέον δοίη τις ἂν τοῦτο προσήκειν τοῖς γε λαχοῦσι προΐστασθαι τῶν ἄλλων πνευματικῶς καὶ εἰς τύπον εἶναι καὶ ὑπόδειγμα τοῦ καλοῦ; ταύτης γὰρ ὄντες ταμίαι, πᾶσι τρόποις αὐτὴν κρατύνειν ἐπιζητοῦσι καὶ πραγματεύονται, καὶ κέρδος αἰσχρὸν, ὡς δαπάνην, εὖ μάλα προθυμοῦνται φυλάττεσθαι. τῷ λόγῳ τῷδε σκοπὸς, ὡς τῷ ἱερωτάτῳ μητροπολίτῃ Μιτυλήνης, ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, πολλαὶ διενοχλήσεις πρὸ χρόνων καὶ ἀμφισβητήσεις γεγένηνται μετὰ τῶν κατὰ καιροὺς τὰ κατὰ τὴν τοιαύτην νῆσον Μιτυλήνην πατριαρχικὰ δίκαια διεξαγόντων ἐξαρχικῶς περὶ τῆς ἐκεῖσε διακειμένης σεβασμίας μονῆς τοῦ ὁσίου Γεωργίου καὶ τῶν ὑπ' αὐτὴν μετοχίων, τοῦ μὲν ἰσχυριζομένου τε καὶ ἀποδεικνύντος, διαφέρειν ταύτην τῇδε τῇ κατ' αὐτὸν μητροπόλει, τῶν δ' αὖθις διατεινομένων, τῷ πατριαρχικῷ μέρει ἀνήκειν αὐτὴν· οὕτω μὲν οὖν παρ' ἀμφοῖν τὰ τῆς διαμάχης ταύτης ἐκράτει, τοῦ ἀρχιερατικῶς δὲ προϊσταμένου τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας κῦρ Γρηγορίου ἐκείνου πρὸ χρόνων ὅτι πλείστων κατὰ τὸ Νύμφαιον ἐπὶ τοῦ ἀοιδίμου ἐν πατριάρχαις κῦρ Ἀρσενίου τὰ περὶ τούτου κεκινηκότος, καὶ συνοδικῆς πράξεως καὶ ψήφου προβάσης τηνικαῦτα δικαιούσης τὴν κατ' αὐτὸν ταύτην μητρόπολιν Μιτυλήνης ἐπί τε τῇ δηλωθείσῃ μονῇ τοῦ ὁσίου Γεωργίου καὶ τοῖς ὑπ' αὐτὴν μετοχίοις, εὑρεθείσης τε ἤδη καταγεγραμμένης καὶ ἐν τοῖς κωδικίοις τοῦ ἱεροῦ χαρτοφυλακείου, ὁ αὐτὸς ἱερώτατος μητροπολίτης καὶ ὑπέρτιμος ἐπὶ τῆς θείας τῶν ἱερωτάτων ἀρχιερέων ὁμηγύρεως τὴν τοιαύτην συνοδικὴν πρᾶξιν προέτεινε, κἀπειδήπερ τῷ μακρῷ χρόνῳ ἡ τοῦ ὁσίου Γεωργίου μονὴ καταβέβληται, μετέπεσε τὰ τῆς ἀμφισβητήσεως εἴς τε τὴν ὑπ' αὐτὴν τελοῦσαν σεβασμίαν μονὴν, ἐπ' ὀνόματι τετιμημένην τῶν ὁσίων πατέρων καὶ ἐπικεκλημένην Δαφνέαν, καὶ τὴν τοῦ ἁγίου Ἀνδρέου τῆς Γλίστρας οὕτω πως ἐπονομαζομένην, καὶ ἐξητήσατο, μὴ ἐπιπλέον ἀδικεῖσθαι αὐτὸν ἐπὶ ταύταις. ἔνθεν τοι καὶ τῆς τοιαύτης πράξεως συνοδικῶς εἰς ἐπήκοον ἀναγνωσθείσης, ἡ μετριότης ἡμῶν συνδιασκεψαμένη τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ἀκριβέστερον προσχοῦσα ταύτῃ καὶ ἐξ αὐτῆς κατειληφυῖα διεξιούσης, τρόπῳ πλεονεκτικῷ εἰσιέναι τὸν πατριαρχικὸν

ἔξαρχον ἔν τε τῇ ῥηθείσῃ μονῇ τοῦ ὁσίου Γεωργίου καὶ τοῖς ὑπ' αὐτὴν μετοχίοις, τῇ τε τοιαύτῃ δηλονότι μονῇ τῶν Ὁσίων Πατέρων καὶ τῇ τοῦ ἁγίου Ἀνδρέου τῆς Γλίστρας, ἐν ἁγίῳ παρακελεύεται πνεύματι, μηκέτι τὸ ἀπὸ τοῦδε μήτ' ἐν τῇδε τῇ μονῇ τῶν Ὁσίων Πατέρων, μήτε μὴν ἐν τῇ τοῦ ἁγίου Ἀνδρέου, ἀλλ' οὐδ' ἐν τοῖς ὑπ' αὐτὰς κτήμασι παραβάλλειν αὐτὸν, εἰ γὰρ τὴν τοῦ ὁσίου Γεωργίου πρωτότυπον μονὴν, ἐφ' ᾗ δὴ καὶ ἡ διένεξις ἀνέκυψε τὴν ἀρχὴν, ὁ ἐν πατριάρχαις ἀοίδιμος κῦρ Ἀρσένιος παρακεχώρηκε τὴν πνευματικὴν διεξαγωγὴν ἔχειν παρὰ τοῦ εἰς ἀρχιερέα εὑρισκομένου τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Μιτυλήνης, ἀπείρξας εἰσέρχεσθαι ὅλως ἐν αὐτῇ τὸν πατριαρχικὸν ἔξαρχον, ὃν δὴ τρόπον ἥδε ἡ συνοδικὴ πρᾶξις ἀριδήλως διέξεισι, πολλῷ μᾶλλον ὀφείλουσιν αἱ ὑποκείμεναι ταύτῃ, ἥ τε τῶν Ὁσίων Πατέρων καὶ ἡ τοῦ ἁγίου Ἀνδρέου παρὰ τῆς αὐτῆς ἐκκλησίας κατέχεσθαι καὶ ὑπὸ ταύτης παντοίαν δέχεσθαι τὴν ἀνάκρισιν, ἐπεὶ πᾶσαν θύραν καὶ ἡ μετριότης ἡμῶν τῷ πατριαρχικῷ ἀποκλείει ἐξάρχῳ, ὥστ' ἐπιχειρεῖν εἰσέρχεσθαι καὶ ἀνακρίνειν τοὺς ἐν αὐταῖς, ἔσονται γὰρ αὗται τὸν ἀεὶ χρόνον ὑπὸ τὴν τοῦ μητροπολίτου Μιτυλήνης ἢ καὶ ἐπισκόπου διοίκησιν· ἐπεὶ δ' ἐν τῇ τοιαύτῃ συνοδικῇ πράξει περιλαμβάνεται, ἐν ταῖς τελουμέναις θείαις ἁγιστείαις ἐν τῇ οὔσῃ τῷ τότε πρωτοτύπῳ μονῇ τοῦ ὁσίου Γεωργίου τελεῖσθαι τὴν ἀναφορὰν τῆς ἡμῶν μετριότητος, διεκρίθη συνοδικῶς, εἴπερ ὁ τούτου συνίσταται νοὸς καὶ οὐ καταβέβληται, κατὰ τὴν περίληψιν τῆσδε τῆς συνοδικῆς πράξεως τὴν τῆς ἡμῶν μετριότητος ἀναφορὰν γίνεσθαι, τελουμένων ἐν αὐτῷ τῶν θείων ἁγιστειῶν, χωρὶς δὲ τούτου οὐδέν τι πλέον ἡ πατριαρχικὴ ἕξει περιωπή· τὸν ὅμοιον δὲ τρόπον ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης Μιτυλήνης καὶ ὑπέρτιμος καὶ περὶ ἑτέρου μονυδρίου κεκίνηκε, τοῦ ἁγίου Μηνᾶ τῶν Κάτω Πτωμαίων, ὅπερ δι' ἑτέρου γράμματος τοῦ ἀοιδίμου ἐν πατριάρχαις κῦρ Ἀρσενίου καὶ ἀλλοίων δικαιωμάτων παρέστησεν ἀληθῶς ὑποκεῖσθαι τῇ τοιαύτῃ κατ' αὐτὸν μητροπόλει, κἀντεῦθεν δεδικαίωται ἐν κατοχῇ καὶ τούτου τυγχάνειν. ἔτι γε μὴν καὶ περὶ ἑτέρου μονυδρίου, ἀνεγερθέντος παρὰ τοῦ προκαθημένου ἐκείνου τοῦ Γίδωνος, ὅπερ καὶ αὐτὸ κατέχειν δεδικαίωται, ἅτε τῆς τούτου καθιερώσεως παρ' αὐτοῦ δὴ τοῦ ἱερωτάτου μητροπολίτου γεγενημένης. ὡσαύτως δεδικαίωται κατέχειν καὶ τὸν ἐντὸς τοῦ κάστρου δι' ἀναλωμάτων τῆς εἰρημένης μονῆς τῶν Ὁσίων Πατέρων

ἀνεγερθέντα ναὸν ὡς εἰς μετόχιον καὶ καθέδραν αὐτῆς, εἰ γὰρ τοῦ κυριωτέρου δικαιοῦται τυγχάνειν ἐν κατοχῇ, πολλῷ μᾶλλον καθέξει τὸ τοῖς ἐκεῖθεν ἀναλώμασιν τὴν σύστασιν λαβὸν καὶ ὑπ' ἐκεῖνο τελοῦν, ὡς δεδήλωται. πρὸς τούτοις ἔσχε τὴν δικαίωσιν καὶ ἐπὶ τῷ παρὰ τοῦ Κανναβούτζη ἐκείνου τοῦ δρουγγαρίου ἀνεγερθέντι ναῷ εἰς ὄνομα τοῦ ἁγίου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου, ἐπεὶ τοῦ αὐτοῦ ναοῦ ἔγγιστα τῇ τοιαύτῃ ἁγιωτάτῃ μητροπόλει διακειμένου καὶ τοῦ κοσμικοῦ λαοῦ ἐν τούτῳ συναγομένου, πλείστη φιλονεικία καὶ οὐκ ὀλίγων ἀφορμαὶ σκανδάλων συμβαίνουσιν εἰς τὸ μέρος τοῦ ῥηθέντος ἱερωτάτου μητροπολίτου Μιτυλήνης καὶ ὑπερτίμου. ὁμοίως ἐκίνησε καὶ περὶ ἑτέρου τινὸς μονυδρίου περὶ τὰ Βασιλικὰ τοῦ τιμίου ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων Μιχαὴλ καὶ ἐπικεκλημένου Ἀκρονησιώτου, τῆς τούτου καθιερώσεως γενομένης παρὰ τοῦ ἐπισκόπου Ἐριττοῦ κῦρ Θεοδώρου ἐκ προτροπῆς τοῦ εἰς ἀρχιερέα τηνικαῦτα εὑρισκομένου Μιτυλήνης κῦρ Γρηγορίου ἐκείνου, καθὼς οἱ τῷ τότε ἱερουργήσαντες ἐν αὐτῷ πρεσβύτεροι, ὅ τε σκευοφύλαξ τῆς αὐτῆς ἁγιωτάτης ἐπισκοπῆς ὁ Θωμόπουλος καὶ ὁ πρωτοπαπᾶς ταύτης ὁ Λάζαρος ἐγγράφως ἐξησφαλίσαντο, γηραιοὶ ἄνδρες καὶ ἀξιόπιστοι, ἀλλὰ δὴ καὶ ὁ τὰ πατριαρχικὰ δίκαια διέπων ἐκεῖσε πρὸ χρόνων, μοναχὸς Μάξιμος, ἐνταῦθα παρὼν καὶ ἐρωτηθεὶς μετ' ἀσφαλείας τῆς προσηκούσης ἀνωμολόγησεν, ὡς ἐφορῶντος θεοῦ, καὶ διεβεβαιώσατο, προσθεὶς εἰς πλείονα τὴν παράστασιν καὶ ὡς χηρευούσης τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Μιτυλήνης, ὁ βεστάρχης ἐκεῖνος, ἐγκρατὴς τῶν δικαίων αὐτῆς εὑρισκόμενος, γραμμάτων ἐντὸς τοῦ θυσιαστηρίου τοῦδε τοῦ ναοῦ τοῦ Ἀκρονησιώτου ἐπιγεγραμμένων πρὸ τοῦ τείχους αὐτοῦ καὶ δηλούντων ἐναργῶς, ὑποκείμενον εἶναι τοῦτον τῇδε τῇ ἁγιωτάτῃ μητροπόλει, δόλῳ καὶ ῥᾳδιουργίᾳ χρησάμενος, ἀπήλειψε καὶ ἀπέξεσε ταῦτα· οὕτω τοίνυν καὶ τοῦδε τοῦ μοναχοῦ Μαξίμου τὰ αὐτὰ τοῖς ῥηθεῖσι πρεσβυτέροις ὁμολογήσαντος, ἐνεφάνισε καὶ τὰς ἐγγράφους αὐτῶν μαρτυρίας ὁ δηλωθεὶς ἱερώτατος μετροπολίτης Μιτυλήνης καὶ ὑπέρτιμος, καὶ ἐδεήθη καὶ τούτων χάριν συνοδικῆς διαγνώσεως. διέγνωσται οὖν καὶ περὶ τούτων συνοδικῶς τῇ ἡμῶν μετριότητι, τελεῖν καὶ ταῦτα δὴ τὰ μονύδρια καὶ τοὺς εἰρημένους ναοὺς ὑπὸ τὴν δηλωθεῖσαν ἁγιωτάτην μητρόπολιν Μιτυλήνης κατὰ τὰς περιλήψεις τοῦ τε γράμματος τοῦ ἀοιδίμου ἐν πατριάρχαις κῦρ Ἀρσενίου καὶ τῶν ἑτέρων δικαιωμάτων, ἔτι δὲ καὶ

τὰς τῶν τοπικῶν ἱερωμένων καὶ γηραιῶν ἀνδρῶν ἐγγράφους μαρτυρίας, καὶ ἐν τούτοις μνημονεύεσθαι τοὺς κατὰ καιροὺς ἀρχιερατικῶς τῆς εἰρημένης ἁγιωτάτης ἐκκλησίας προϊσταμένους, καὶ μηδαμῶς παραβάλλειν εἴς τι ἀπὸ τῶν τοιούτων τὸν πατριαρχικὸν ἔξαρχον ἐπὶ τῷ ἀνακρίνειν ὅλως πειρᾶσθαι καὶ ἐνοχλεῖν τὸ μέρος ταύτης δὴ τῆς ἁγιωτάτης μητροπόλεως Μιτυλήνης, καὶ πάντα δὲ τὰ προγεγονότα πατριαρχικὰ γράμματα τούτων χάριν εἰς καταδίκην τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ἄκυρα καὶ ἄπρακτα ἔχει ἡ μετριότης ἡμῶν, ὡς μὴ κατὰ τὸν τοῦ δικαίου λόγον προβάντα, καθόλου γὰρ περιαιροῦσα τὰ τῆς ἀδικίας ταύτης, καὶ τοῦ λοιποῦ μηδεμίαν εἶναι τὴν ἀμφισβήτησιν βουλομένη μεταξὺ τοῦ τε πατριαρχικοῦ μέρους καὶ τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Μιτυλήνης, ψηφισαμένη τὰ περὶ τούτου, κεκύρωκε καὶ κατησφαλίσατο· ὁ γὰρ τὸ ἀπὸ τοῦδε πειρασόμενος εἰς ἀνατροπὴν καὶ ἀθέτησιν χωρῆσαι τῶν διεγνωσμένων συνοδικῶς τοῦ δικαίου ἐξεχομένων καὶ ὀχλήσεις καὶ σκάνδαλα καὶ αὖθις προξενεῖν τῷ τε πατριαρχικῷ, ὡς δεδήλωται, μέρει καὶ τῇ ῥηθείσῃ ἁγιωτάτῃ μητροπόλει Μιτυλήνης πρὸς τῷ ἀπὸ θεοῦ κατακρίματι καὶ ἐκκλησιαστικῇ ἐπιτιμήσει ὑποπεσεῖται. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφαγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος βεβαιωθέντα καὶ πιστωθέντα ἐπεδόθη μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις ἔτους ,ϛου ωου τριακοστοῦ τρίτου †.

LIX. 6833—1324. septembri ind. VIII.

Esaias confirmat decisionem praecedentem synodi.

† Ὑπόμνημα τοῦ ἁγιωτάτου πατριάρχου κῦρ Ἡσαΐου γεγονὸς ἐπὶ τῇδε τῇ συνοδικῇ πράξει †.

Τῇ πατριαρχικῇ περιωπῇ ἐκ παντὸς τρόπου προσεῖναι τὸ φιλοδίκαιον προσῆκόν ἐστι καὶ ὀφειλόμενον μάλιστα, οὐ μόνον ἐπὶ τοῖς ἀμφισβητουμένοις τῶν ἄλλων πράγμασιν, ἀλλὰ καὶ ἐπ' αὐτοῖς τοῖς ὡς οἰκείοις ταύτης κατεχομένοις, εἰ δή τι τούτων διαφέρειν ἄλλῳ τινὶ ἀμφιβάλλεται· οὕτω γὰρ καὶ δόξαν πλεονεξίας ἀποκρούοιτ' ἄν, καὶ ταῖς ἄλλως γινομέναις ταύτῃ εὐποιίαις εὐπρεπῶς μάλιστα χρῷτο καὶ ὡς φίλον θεῷ. προϊόντος δῆλον γένηται τοῦ λόγου τὸ βούλημα. τὸ κατὰ τὴν νῆσον Μιτυλήνην μοναστήριον τὸ τοῦ ὁσίου Γεωργίου λεγόμενον ὅπως μὲν συνέστη τὴν ἀρχήν, καὶ περιφανείας ὅπως εἶχε καὶ

λαμπρότητος, καὶ ὅσοις ἐκόμα τοῖς ἀγαθοῖς, φθάνει διεξιόντα τρανότερον τὰ προσόντα τούτῳ παλαιγενῆ δικαιώματα, καὶ ὁ τοῦτο γνῶναι ζητῶν ἐντυχὼν τούτοις ἀκριβῶς εἴσεται· πλὴν ἐνδόντος καὶ τοῦ τοιούτου μοναστηρίου τῷ πάντα εἰς φῶς ἄγοντι καὶ τοῖς οἰκείοις αὖθις λυμαινομένῳ γεννήμασι χρόνῳ, οἱ ἐν αὐτῷ μοναχοὶ εἰς τὰ ὑπ' αὐτὸ μετόχια μετοικοῦσι κατὰ τὴν αὐτὴν διακείμενα νῆσον καὶ ὑπὸ τὴν ἐκεῖσε τελοῦντα τῆς Μιτυλήνης ἁγιωτάτην μητρόπολιν, καὶ διένεξις τὸ ἐξ ἐκείνου ἀνέκυψε τῷ πατριαρχικῷ μέρει καὶ τῷ τῆς μητροπόλεως, ἑκατέρου αὐτῶν ἀντιποιουμένου, τοῦ μὲν τοῖς πατριαρχικοῖς, τοῦ δὲ τοῖς τῆς μητροπόλεως ἐναριθμοῦντος καὶ κατατάττοντος, ὅτε καὶ συνοδικῶς κινηθείσης τῆς ὑποθέσεως ἐπὶ τοῦ τότε τὸν πατριαρχικὸν κοσμοῦντος θρόνον, ἀοιδίμου ἐν πατριάρχαις κῦρ Ἀρσενίου, τὴν νικῶσαν ἔσχε τὸ μέρος τῆς μητροπόλεως. διέστειλε μέντοι ἡ κρίσις ἐν τῷ καθολικωτέρῳ καὶ ἀρχαίῳ μοναστηρίῳ τῷ τοῦ ὁσίου Γεωργίου, εἴπερ συνίσταται, τὴν ἀναφορὰν καὶ μνήμην τοῦ πατριαρχικοῦ ὀνόματος γίνεσθαι ἐν ταῖς ἱεραῖς πρὸς θεὸν ἁγιστείας· οὕτω δὲ καίπερ δικαιωθείσης καὶ περιγενομένης τῆς μητροπόλεως τῶν ἀντιπεριισταμένων αὐτῇ, χεῖρα καὶ αὖθις ὕστερον τοῖς τοιούτοις οἱ τοῦ πατριαρχικοῦ μέρους ἐνέβαλον, ὅθεν ὁ νῦν ταύτης ἀρχιερατεύων, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, τῇ ἡμῶν μετριότητι συνεδριάζων προκαθημένῃ συνοδικῶς, ἀνήνεγκε τὰ περὶ τούτου, καὶ τὸ συνοδικὸν ἐπὶ τοῦ μέσου σημείωμα ἐνεφάνισε, τὸ τοῦ ἀοιδίμου δηλαδὴ πατριάρχου κῦρ Ἀρσενίου. ἡ μετριότης οὖν ἡμῶν χρέος ἔχουσα τοῖς καλῶς διεγνωσμένοις ἐμμένειν, ἄλλως τε μηδὲ ἀποδεχομένη καθ' οἱανδήτινα πρόφασιν ἀντικαθίστασθαι τοῖς ἡμετέροις ἀδελφοῖς καὶ συλλειτουργοῖς ἐπὶ κτήσει πραγμάτων καὶ δοκεῖν ποιεῖσθαι περὶ ἐλάττονος σχέσιν καὶ εἰρήνην ἀδελφικήν, διὰ ταῦτα ἔστερξεν, ὥσπερ ἄρα καὶ εἰκὸς ἦν, τὴν προβᾶσαν συνοδικὴν πρᾶξιν, γράμμα συνοδικὸν αὐτῆς ἀπολύσασα εἰς τὴν περὶ τούτου βεβαίωσιν, ἀλλὰ καὶ ἐπὶ πλέον τὰ τοῦ πράγματος ἀσφαλιζομένη εἰς ἀποσόβησιν καὶ ἀποτροπὴν παντελῆ τῶν εἰς τὸν ἑξῆς ἅπαντα καὶ διηνεκῆ χρόνον ἐξαρχικῶς τὰ ἐκεῖσε πατριαρχικὰ δίκαια ἐπιτρεπομένων, αἰτησαμένου τοῦτο τοῦ αὐτοῦ ἱερωτάτου ἀρχιερέως, ἐν ἁγίῳ διακελεύεται πνεύματι καὶ διὰ τοῦ παρόντος ὑπομνηματώδους γράμματος, μένειν εἰς τοὺς ἑξῆς χρόνους τὰς ὑπὸ τὸ εἰρημένον

μοναστήριον τοῦ ὁσίου Γεωργίου σεβασμίας μονὰς, τήν τε τῶν Ὁσίων Πατέρων καὶ τὴν τοῦ ἁγίου Ἀνδρέου ὑπὸ τὴν δεσποτείαν τῆς εἰρημένης ἁγιωτάτης μητροπόλεως Μιτυλήνης καὶ παρ' αὐτῆς ἔχειν ταύτας τε καὶ τὰ ὑπ' αὐτὰς κτήματα τὴν πνευματικὴν ἀνάκρισιν, παντελῶς γὰρ ἀποτρέπει καὶ κωλύει ἡ μετριότης ἡμῶν πάντα πατριαρχικὸν ἔξαρχον τῆς εἰσόδου τῆς εἰς αὐτὰς, ἐπὶ τῷ ἀνακρίνειν εἰσέρχεσθαι θέλοντα τὰ ψυχικὰ σφάλματα ἐν αὐταῖς καὶ τοῖς κτήμασιν αὐτῶν, καθέξει γε μὴν ὁ αὐτὸς ἱερώτατος μητροπολίτης καὶ τὸ μονύδριον τοῦ ἁγίου Μηνᾶ, ὅπερ τῶν Κάτω Πτωμαίων ἐπικέκληται, ἐπεὶ παρέστησε καὶ ἀπέδειξε καὶ τοῦτο τῇ κατ' αὐτὸν προσήκειν ἁγιωτάτῃ ἐκκλησίᾳ διά τε ἑτέρων γραμμάτων δικαιούντων αὐτὸν καὶ ἄλλου γράμματος τοῦ δηλωθέντος ἀοιδίμου πατριάρχου κῦρ Ἀρσενίου. ὁμοίως καὶ τὸ ἐκεῖσε ἕτερον μονύδριον, τὸ παρὰ τοῦ προκαθημένου ἐκείνου τοῦ Γίδωνος ἀνεγερθὲν εἰς ὄνομα τῆς ὑπεράγνου θεοτόκου τῆς ὁδηγητρίας, ὅπερ παρὰ τοῦ τοιούτου ἱερωτάτου ἀρχιερέως ἔσχε τὴν καθιέρωσιν, καὶ διὰ τοῦτο διεγνώσθη κατέχεσθαι παρ' αὐτοῦ. ἔτι δὲ καὶ τὸ περὶ τὰ Βασιλικὰ τοῦ τιμίου ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων καὶ ἐπικεκλημένου τοῦ Ἀκρονησιώτου μονύδριον, ὡς καθιερωθὲν ἐκ προτροπῆς τοῦ τηνικαῦτα ἀρχιερέως Μιτυλήνης, κῦρ Γρηγορίου ἐκείνου, παρὰ τοῦ ἐπισκόπου Ἐρισσοῦ ἐκείνου κῦρ Θεοδώρου, καθὼς οἱ τῷ τότε ἱερουργήσαντες πρεσβύτεροι, ὅ τε σκευοφύλαξ τῆς αὐτῆς ἐπισκοπῆς ὁ Θωμόπουλος, ὁ πρωτοπαπᾶς ὁ Λάζαρος καὶ ἕτεροι ἐγγράφως ἐξησφαλίσαντο, ἀλλὰ δὴ καὶ ὁ τὰ ἐκεῖσε πατριαρχικὰ δίκαια διενεργήσας μοναχὸς Μάξιμος ἐρωτηθεὶς διεμαρτύρατό τε καὶ ἰσχυρίσατο, ὅστις καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐξεῖπεν, ὅτι δὴ ὁ βεστάρχης ἐκεῖνος πατριαρχικῇ προτροπῇ τὰ κατὰ τὴν τοιαύτην μητρόπολιν ἀρχιερέως χηρεύουσαν διοικῶν τὰ ἐν τῷ ἱερῷ θυσιαστηρίῳ τοῦ τοιούτου μονυδρίου ἀναγεγραμμένα γράμματα, δι' ὧν ἐδηλοῦτο ἀριδήλως, τῆς μητροπόλεως εἶναι τὸ μονύδριον τόδε, ἠφάνισέ τε καὶ ἀπήλειψε παντελῶς. ἐπὶ τούτοις ὀφείλει κατέχειν ὁ τοιοῦτος ἱερώτατος ἀρχιερεὺς καὶ τὸν ἐντὸς τοῦ κάστρου ἀνεγερθέντα θεῖον ναὸν παρὰ τῶν μοναχῶν τῆς εἰρημένης σεβασμίας μονῆς τῶν Ὁσίων Πατέρων ὡς μετόχιον αὐτῶν, ἔτι δὲ καὶ τὴν παρὰ τοῦ Κανναβούτζη ἐκείνου τοῦ δρουγγαρίου εἰς ὄνομα τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου· ἐπεὶ γὰρ ἐγνώρισεν ἡ μετριότης ἡμῶν, ὡς συμβαίνουσι τῷ μέρει τῆς εἰρημένης ἁγιωτάτης μητροπόλεως

ὀχλήσεις οὐ μικραὶ, πλησίον εὑρισκομένων τῶν τοιούτων θείων ναῶν καὶ κοσμικοῦ λαοῦ ἐν τούτοις συναγομένου, ἔταξε κατέχεσθαι τοὺς τοιούτους θείους ναοὺς παρὰ τοῦ αὐτοῦ ἱερωτάτου μητροπολίτου, περιαιροῦσα τὰς ἀφορμὰς τῶν σκανδάλων καὶ τῶν ὀχλήσεων ἡ μετριότης ἡμῶν καὶ εἰρήνην μνηστευομένη· τοίνυν καὶ οὐδεμίαν ἕξει ἐπὶ τῇ κατοχῇ καὶ δεσποτείᾳ καὶ κυριότητι τῶν εἰρημένων σεβασμίων μονῶν τῶν Ὁσίων Πατέρων καὶ τοῦ ἁγίου Ἀνδρέου καὶ τῶν διαληφθέντων ἄλλων μονυδρίων καὶ τῶν ναῶν διενόχλησιν ἢ τὸν τυχόντα ἐμποδισμὸν τὸ μέρος τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως, ἀλλὰ τὴν μνήμην τοῦ οἰκείου ὀνόματος καὶ τὴν πνευματικὴν ἀνάκρισιν ἕξει διὰ παντὸς ἐν αὐτοῖς οὗτός τε ὁ νῦν ταύτης ἱερώτατος ἀρχιερεὺς καὶ οἱ μετ' αὐτὸν αὐτῆς προστησόμενοι, οὐδενὸς τῶν κατὰ καιροὺς ἀποστελλομένων πατριαρχικῶν ἐξάρχων ἐκεῖσε διενοχλῆσαι ὀφείλοντος τῷ μέρει τῆς τοιαύτης μητροπόλεως ἐπί τινι τῶν εἰρημένων, οὐδὲ ζητεῖν εἰσέρχεσθαι καὶ ἀνακρίνειν τὸ παράπαν ψυχικὰ σφάλματα ἐν αὐτοῖς ἢ ὅλως διασείειν τὸ μέρος τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως. τῇ γὰρ εἰρήνῃ καὶ τῷ ἀνενοχλήτῳ τὸ ἀσφαλὲς καὶ μόνιμον ἐς τὸ διηνεκὲς παρέχουσα ἡ μετριότης ἡμῶν καὶ πάντα τὰ προβάντα ἐπὶ καταδίκῃ τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας πατριαρχικὰ γράμματα ἀκυροῖ, καὶ ὡς μὴ γεγονότα τὴν ἀρχὴν ἢ ὅλως προβάντα τίθησι, καὶ ἐπιτίμιον ἀπειλεῖ παντὶ τῷ διενοχλήσαντι ἐπὶ τοῖς εἰρημένοις τῷ μέρει τῆς αὐτῆς ἁγιωτάτης μητροπόλεως διὰ τοῦ παρόντος ὑπομνηματώδους σιγιλλίου, ὅπερ καὶ γεγονὸς κατὰ μῆνα σεπτέμβριον τῆς η' ἰνδ. τοῦ ,ϛου ωου τριακοστοῦ τρίτου ἔτους ἀπελύθη τῷ μέρει τῆς εἰρημένης ἁγιωτάτης μητροπόλεως Μιτυλήνης εἰς διηνεκῆ τὴν ἀσφάλειαν †.

† Εἶχε τὸ· Ἡσαΐας ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης τῇ πατριαρχικῇ καὶ θείᾳ χειρί †.

Acta antiquiora de eadem re.

I. (6764—1256) martio ind. XIV.

Decisio Patriarchae Arsenii.

† Μηνὶ μαρτίῳ, λα' ἡμέρᾳ, ἕκτῃ, ἰνδ. ιδ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἀρσενίου ἐν τοῖς τῆς κατὰ τὸ Νύμφαιον σεβασμίας μονῆς τῶν ἁγίων με-

γάλων μαρτύρων Θεοδώρων κελλίοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἀγκύρας, Γρηγορίου, τοῦ Κυζίκου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλησπόντου, Γεωργίου, τοῦ Σάρδεων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυδίας, Ἀνδρονίκου, τοῦ Νικομηδείας, ὑπερτίμου καὶ ἐξάρχου πάσης Βιθυνίας, Ἰωάννου, τοῦ Φιλαδελφείας, ὑπερτίμου καὶ τὸν τόπον ἐπέχοντος Συρρακούσης, Ἰωαννικίου, τοῦ Ποντοηρακλείας καὶ τὸν τόπον ἐπέχοντος Κλαυδιουπόλεως, Θεοδώρου, τοῦ Μωκησσοῦ, Γεωργίου, τοῦ Ῥόδου καὶ ὑπερτίμου, Θεοδούλου, τοῦ Σμύρνης καὶ ὑπερτίμου Θεοδώρου, τοῦ Μιλήτου, Νικηφόρου, τοῦ Μελαγίνων, Ἰωάννου, τοῦ Προύσης καὶ ὑπερτίμου, Νικολάου, τοῦ Ἀχυράους, Λέοντος, τοῦ Ἀντιοχείας, Μιχαήλ, τοῦ Κυψέλων, Κωνσταντίνου, τοῦ Γαρέλλης, Κωνσταντίνου, τοῦ Κίου, Δαυίδ, τοῦ Λοπαδίου, Ἀντιόχου, καὶ τοῦ Περγάμου, Γεωργίου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Φθάνει μὲν ὁ ἱερώτατος μητροπολίτης Μιτυλήνης, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, καὶ ἄλλοτ' ἐπὶ τοῦ πρὸ ἡμῶν ἁγιωτάτου πατριάρχου ἐκείνου κῦρ Μανουὴλ κινῆσαι συνοδικῶς περὶ τῆς κατὰ τὴν νῆσον Μιτυλήνην διακειμένης σεβασμίας μονῆς τοῦ ὁσίου Γεωργίου, ἀμφισβητησίμου οὔσης τούτῳ δὴ τῷ μητροπολίτῃ, ἐπισχυριζομένῳ διαφέρειν ταύτην τῇ κατ' αὐτὸν μητροπόλει, καὶ τῷ μέρει τῆς καθ' ἡμᾶς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας, προβῆναι δὲ ἐπὶ τῇ τοιαύτῃ διαδικασίᾳ καὶ συνοδικὴν πρᾶξιν, διαλαμβάνουσαν, ἐπιστῆναι κατὰ τόπους ἕνα τῶν ἐκκλησιαστικῶν καὶ ἐρευνῆσαι ἀκριβῶς τὰ τῆς ὑποθέσεως· οὐκ ἔφθασε δὲ τελεσθῆναι τὰ περὶ τούτου, καθὼς τότε ὡρίσθησαν, διὸ καὶ ἄρτι ἐπιδημούσης τῷ Νυμφαίῳ τῆς ἡμῶν μετριότητος τὰ περὶ τούτου καὶ αὖθις ὁ Μιτυλήνης κεκίνηκε, καὶ τομὴν γενέσθαι ἀπῄτει τῆς ὑποθέσεως, ἀδικεῖσθαι γὰρ τὰ μέγιστα διετείνετο, ἅτε τῶν Ὁσιογεωργιτῶν μοναχῶν μὴ ἐν τῇ πρωτοτύπῳ προσκαθημένων μονῇ, ἥτις καὶ πατριαρχικὴ ὠνομάζετο, ἀλλ' ἐν μετοχίοις αὐτῶν τῇ κατ' αὐτὸν μητροπόλει ὑποκειμένοις ἢ καὶ ταῖς ὑπ' αὐτὸν ἐπισκοπαῖς καὶ διεξαγομένων παρὰ τοῦ κατὰ καιροὺς ἀποστελλομένου πατριαρχικοῦ ἐξάρχου. διεμηνύθησαν τοιγαροῦν οἱ τῆς τοῦ ὁσίου Γεωργίου μονῆς μοναχοὶ ἀποκομίσαι πρὸς τὴν ἡμῶν μετριότητα τὰ προσόντα αὐτοῖς παλαιογενῆ δικαιώματα, ἵν' ἐκεῖθεν γνῷ, εἴτε τῇ πατριαρχικῇ μεγαλειότητι ὑπο-

κειμένη ἐστὶν ἡ τοῦ ὁσίου Γεωργίου μονὴ, εἴτε τῇ μητροπόλει Μιτυλήνης. καὶ μέντοι καὶ ἀπεκομίσθησαν ταῦτα διὰ τοῦ μοναχροῦ Βαρλαὰμ, καὶ ἐνεχειρίσθησαν ταύτῃ προκαθημένῃ συνοδικῶς, χρυσόβουλλά δὲ ταῦτα ἐτύγχανον τῶν ἀοιδίμων βασιλέων καὶ ὑπομνήματα παλαιγενῆ τῶν ἁγιωτάτων ἐκείνων πατριαρχῶν, διαλαμβάνοντα ὁμοῦ πάντα, τὴν τοῦ ὁσίου Γεωργίου μονὴν αὐτοδέσποτον εἶναι, κυρίαν τε καὶ καθ' ἑαυτὴν, καὶ μήτε τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ ὑποκεῖσθαι, μήτε τινὶ ἑτέρᾳ ἐκκλησίᾳ, ἀλλ' οὐδ' ἡγούμενον ἐνεδίδουν σφραγίζεσθαι ἐν τῇ τοιαύτῃ μονῇ παρὰ πατριάρχου ἢ ἑτέρου τινὸς, ταῦτα γὰρ πάντα τὰ ὑπομνήματα διεκώλυον δι' ἐκφωνήσεως ἀφορισμοῦ φρικώδους τοὺς κατὰ καιρὸν πατριάρχας, εἰ καὶ πρὸ χρόνων μετρίων ὁ πρὸ ἡμῶν ἁγιώτατος πατριάρχης κῦρ Μανουὴλ οὐκ οἶδ' ὅπως ἄγνοιαν πάντως τῆς περιλήψεως τῶν σεπτῶν χρυσοβούλλων καὶ τῶν πατριαρχικῶν κεκτημένος ὑπομνημάτων, ἡγουμένους Ὁσιογεωργίτας ἐσφράγισε. ταῦτα μὲν, ὡς εἴρηται, διελάμβανον τὰ παρὰ τοῦ μέρους τῆς μονῆς προκομισθέντα παλαιγενῆ δικαιώματα, ἀπῃτεῖτο δὲ ὁ Μιτυλήνης προκομίσαι τι δικαίωμα ἔγγραφον, ἐξ οὗπερ ἀναφανῇ δικαιούμενος ἐπὶ τῇ τοῦ ὁσίου Γεωργίου μονῇ, ὁ δὲ δικαίωμα οὐ προεκόμιζεν ἔγγραφον, ἔλεγε δὲ, κεκτῆσθαι μᾶλλον τὴν κατ' αὐτὸν μητρόπολιν ἐπὶ τῇ μονῇ ἀπὸ τῶν προκομισθέντων δικαιωμάτων· ἐπεὶ καὶ γὰρ οὐ διαλαμβάνουσι τὸ ταύτην ὑπὸ τὴν πατριαρχικὴν ἐξουσίαν τε καὶ διοίκησιν τελεῖν τὴν μονὴν, μήτε μὴν ἡγούμενον ἐπ' ἐξουσίας κεκτῆσθαι τὸν κατὰ καιροὺς πατριάρχην σφραγίζειν ἐν αὐτῇ, οὐδ' ἔξαρχον ἀποστέλλειν ἐκεῖσε, οὔτε τι ἕτερον διενεργεῖν ἐκκλησιαστικὸν ἐπὶ τῇ τοιαύτῃ μονῇ, ἔστι δὲ ἐντὸς τῆς ἐνορίας μου αὕτη, καὶ μάλισθ' ὅτι καὶ πλησίον ἐνίδρυται τῆς κατ' ἐμὲ μητροπόλεως, ἀνάγκη πάντως καὶ ὑποκειμένην αὐτὴν εἶναι τῇ κατ' ἐμὲ μητροπόλει καὶ ὑπὸ τὸν κατὰ καιροὺς μητροπολίτην Μιτυλήνης. εἰ δὲ καὶ καθ' ἑαυτὴν καὶ αὐτοδέσποτός ἐστι, καὶ οὔτε τῇ πατριαρχικῇ ὑπόκειται μεγαλειότητι, οὔτε τῇ τῆς Μιτυλήνης, ὥς φασι, μητροπόλει, ἀλλ' οὐ πάντως καὶ τὰ ὑπ' αὐτὴν μετόχια, ἅπερ ὁμολογουμένως τῇ μητροπόλει Μιτυλήνης καὶ τῇ ὑπ' αὐτὴν ἐπισκοπῇ ὑποκείμενα εἰσίν. ἐν τούτῳ γὰρ καὶ ἀδικεῖσθαι τὰ μέγιστα προσετίθετο, ὅτι τῆς πρωτοτύπου μονῆς τοῦ ὁσίου Γεωργίου ἀμεληθείσης καὶ τῶν Ὁσιογεωργιτῶν ἐν τοῖς ὑπὸ τὴν μητρόπολιν Μιτυλήνης μετοχίοις προσκαθημένων, ὁ πατριαρχικὸς ἔξαρχος εἰσέρ-

χεται ἐν αὐτοῖς, καὶ ἀνακρίνει τούτους, καὶ διεξάγει πνευματικῶς, αὐτὸν δὲ τὸν μητροπολίτην ἐξωθεῖν ἐκεῖθεν πειρᾶται. ταῦθ' ὁ ἱερώτατος μητροπολίτης Μιτυλήνης ἐπὶ τοῦ μέσου προέθετο, καὶ τομὴν ἐζήτει γενέσθαι τῆς ὑποθέσεως. ἡ γοῦν μετριότης ἡμῶν ἅμα τῇ περὶ αὐτὴν ἱερᾷ ἀδελφότητι τὰ τῶν δικαιωμάτων ἀκριβέστερον ἐπελθοῦσα κἀκ τούτων διεγνωκυῖα, μὴ δικαίως εἰσέρχεσθαι τὸν πατριαρχικὸν ἔξαρχον ἐν τῇ τοῦ ὁσίου Γεωργίου μονῇ, ἐπεὶ ἐκ τῆς τῶν δικαιωμάτων ἀπείργεται περιλήψεως, διορίζεται συνοδικῶς, μηκέτι τὸ ἀπὸ τοῦδε παραβάλλειν τοῦτον, μὴ ὅτι γε ἐν τῇ τοῦ ὁσίου Γεωργίου πρωτοτύπῳ μονῇ, ἀλλ' οὐδ' ἐν τοῖς ὑπ' αὐτὸν μετοχίοις καὶ κτήμασιν, ἐν οἷς καὶ οἱ Ὁσιογεωργῖται προσκάθηνται μοναχοὶ, ταῦτα γὰρ ὑπὸ τὴν τοῦ μητροπολίτου καὶ ἐπισκόπου διοίκησιν ἔσονται, καὶ παρ' αὐτῶν ποιμανθήσονται καὶ οἱ ἐν τούτοις Ὁσιογεωργῖται μοναχοὶ καὶ ἀνακριθήσονται καὶ ἐπιτιμηθήσονται, εἰ δεήσει, καὶ συγχωρήσεως ἀξιωθήσονται, ἐπιζυγοῖ καὶ γὰρ τὰς τῶν τοιούτων μετοχίων θύρας τῷ πατριαρχικῷ ἐξάρχῳ ἡ μετριότης ἡμῶν, οὐ μόνον γὰρ τὰ κακῶς ἐπικτηθέντα ἀποτίθεσθαι βούλεται, ἀλλ' ἔστιν οὗ διὰ σχέσιν πνευματικὴν καὶ εἰρήνην ἀδελφικὴν καὶ τοῦ οἰκείου καταφρονεῖν. ἐπεὶ δὲ ἀδηλία ἦν περὶ τῆς ἐν τῇ πρωτοτύπῳ μονῇ τοῦ ὁσίου Γεωργίου ἀρχιερατικῆς ἀναφορᾶς, οὐδὲ γὰρ ἐφέρετο περὶ τούτου ῥητῶς ἐν τοῖς ἐμφανισθεῖσι δικαιώμασιν ἅπασιν, ἦν δὲ πάντως ἀνάγκη ἀναφέρεσθαι ὄνομα ἀρχιερέως ἐν ταῖς ἐν αὐτῇ τελουμέναις θείαις ἁγιστείαις, ὥρισται συνοδικῶς, συναινοῦντος ἐπὶ τούτῳ καὶ τοῦ Μιτυλήνης, τὴν τῆς ἡμῶν μετριότητος γίνεσθαι ἀναφορὰν, τοῦτο γὰρ καὶ μόνον ἕξει ἡ πατριαρχικὴ περιωπὴ ἐκ τῆς πρωτοτύπου τοῦ ὁσίου Γεωργίου μονῆς, καὶ οὐδέν τι πλέον. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν διαγνώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας Θεοδώρου τοῦ Ξιφιλίνου συνήθως βεβαιωθέντα ἐπεδόθη μηνὶ καὶ ἰνδίκτῳ τοῖς προγεγραμμένοις, ἔτους ͵ϛον ψξδ'. εἶχε τὸ πρωτότυπον τὸ· ὁ χαρτοφύλαξ τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας, Θεόδωρος ὁ Ξιφιλῖνος †.

† Ἡ παροῦσα συνοδικὴ πρᾶξις τοῦ ἀοιδίμου ἐν πατριάρχαις κῦρ Ἀρσενίου καταγεγραμμένη εὑρεθεῖσα ἐν τοῖς παλαιοῖς κωδικίοις τοῦ ἱεροῦ χαρτοφυλακείου τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας, σαθρωθεῖσα δὲ τῷ χρόνῳ, ἵνα μὴ εἰς τὸ παντελὲς ἀφανισθῇ, μετα-

γραφεῖσα ἐνταῦθα ἀπαραλλάκτως καὶ κατὰ πάντα ἐξισάζουσα τῇ πρωτοτύπῳ, κατεστρώθη καὶ νῦν ἐν τοῖσδε τοῖς κωδικίοις τοῦ ἱεροῦ χαρτοφυλακείου διὰ πλείονα τὴν βεβαίωσιν καὶ ἀσφάλειαν †.

II. (6755—1246) novembri ind. V.

Decisio Patriarchae Arsenii.

† Ὡς πολλὴν πολλάκις τὴν διένεξιν εἶδεν ἡ μετριότης ἡμῶν μέσον τοῦ ἱερωτάτου μητροπολίτου Μιτυλήνης Γρηγορίου καὶ τῶν κατὰ Μιτυλήνην πατριαρχικῶν ἐξάρχων ἐπὶ μοναστηρίοις τισί, τοῦ μὲν λέγοντος, διαφέρειν αὐτὰ τῇ ὑπ' αὐτὸν ἐκκλησίᾳ, τῶν δὲ πατριαρχικῶν ἐξάρχων, τοῖς πατριαρχικοῖς δικαίοις, τὰ μοναστήρια δὲ, ἐφ' οἷς ἡ διένεξις, τὰ Κάτω Πτώμαια, καὶ κατὰ τὴν ἐνορίαν τῆς Γέρρας ὁ ὅσιος Γρηγόριος, καὶ ἡ τῶν Ἀριστῶν μονὴ εἰς ἓν τῶν νησιδίων. καὶ δὴ ἐν μὲν τοῖς Πτωμαίοις λαμβάνει ἤδη πληροφορίαν ἡ μετριότης ἡμῶν, ὡς τῶν δικαίων ἐστὶ τῆς μητροπόλεως Μιτυλήνης, ἐκ τοῦ ἐμφανισθέντος παρὰ τοῦ μητροπολίτου τῇ ἡμῶν μετριότητι δικαιώματος, ὁ δὴ δικαίωμα ἴσον ἦν ἐξ ἀντιγραφῆς πρωτοτύπου, συμφωνία γὰρ ἦν μέσον Μανουὴλ τοῦ Ξηροῦ καὶ τοῦ μητροπολίτου ἐκείνου Μιτυλήνης Πόθου τοῦ Ἀπλησφάρη, ὅτι δεδώρηται τὴν τοιαύτην μονὴν ὁ μητροπολίτης οὗτος, ὡς τῶν δικαίων οὖσαν τῆς κατ' αὐτὸν ἐκκλησίας, τῷ Ξηρῷ τούτῳ Μανουὴλ ἐπὶ δυσὶ προσώποις, καὶ τετύπωκεν, ἵνα τελῇ ἐτησίως ὑπὲρ αὐτῆς νομίσματα τρικέφαλα εἴκοσι, καὶ τὰ μὲν δέκα καταβάλλῃ πρὸς τὴν ἁγιωτάτην μητρόπολιν, τὰ δὲ δέκα διδῷ πρὸς τὴν οἰκίαν τοῦ γαμβροῦ αὐτοῦ τοῦ Σερβῆ. καὶ ἦν τὸ δικαίωμα τοῦτο διαλαμβάνον, ὡς ὁ μὲν Ξηρὸς ἐκεῖνος Μανουὴλ τέθνηκε, περιῆλθε δὲ τὸ δίκαιον τοῦ δευτέρου προσώπου εἰς τὸν υἱὸν αὐτοῦ τὸν Κομνηνὸν Λέοντα, καὶ ποιεῖ καὶ οὗτος σιγίλλιον τῷ Σερβῇ, ἵνα λαμβάνῃ κατ' ἔτος ἀπὸ τοῦ μέρους αὐτοῦ τὰ δέκα τρικέφαλα. οὕτω μὲν οὖν ἀνεφάνη μητροπολιανὴν εἶναι τὴν μονὴν τῶν Κάτω Πτωμαίων ἀπὸ τοῦ δικαιώματος τούτου, παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Μιτυλήνης πεπιστωμένου, καὶ ὀφείλει τὸ ἀπὸ τοῦδε ἐπιλαβέσθαι ταύτης ὁ ἱερώτατος οὗτος μητροπολίτης Μιτυλήνης Γρηγόριος. ἃ δὲ καὶ ἐν ταῖς ἄλλαις μοναῖς ταῖς ἀνωτέρω δηλουμέναις εἰς δικαιολογίαν προετείνετο, οὐδὲ ταῦτα παρεῖδεν ἡ μετριότης ἡμῶν, ἐπεὶ γὰρ ὁ μὲν πατριαρχικὸς ἔξαρχος, ὁ θεοφιλέστατος ὀστιάριος τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης

ἐκκλησίας ὁ Τιμόθεος ἐκ τῆς παρεκβολῆς τῆς ἐνσεσημασμένης παρὰ τοῦ Κυρίτζη εἰς τὰς μονὰς ταύτας εἰσέρχεσθαι ὥρμητο, ἐπὶ δὲ τῇ παρεκβολῇ ταύτῃ ἀπεφάνθησάν τινα συνοδικῶς, ἃ ἐν τῷ τοῦ ἐπισκόπου Γέρρας σημειώματι περιλαμβάνονται, καὶ παρὰ τοῦτ' αὐτὸ οὐκ εἶχεν ἀναντίρρητον τὴν ἐκ τούτων ἐξώθησιν ὁ μητροπολίτης, ὁ δὲ παρεκλήτευε τὴν ἡμῶν μετριότητα, ἵν' ἡ κατὰ τὸν τόπον ἐξέτασις γενομένη, ὡς τῇ ἡμῶν μετριότητι βούλεται, τὸ ἀληθὲς ἀποδείξειε, καὶ τὸ μέσον αὐτοῦ καὶ τοῦ πατριαρχικοῦ ἐξάρχου ἀμφίβολον λύσειεν, ἀπεῖδεν εἰς τοῦτο καὶ ἡ μετριότης ἡμῶν. ἐπεὶ γὰρ ὁ μητροπολίτης ἔφασκεν, ὡς μέχρι καὶ τοῦ Μιτυλήνης ἐκείνου Ἰωσὴφ ἀναφαίρετα ἦσαν τὰ μητροπολιανὰ δίκαια ἐν ταῖς ῥηθείσαις μοναῖς, ἐξ ὅτου δὲ ἐπεσχέθη ἐνταῦθα παρὰ τῆς ἁγίας συνόδου, ἄδειαν ἐν τῷ τόπῳ εὑράμενοι οἱ πατριαρχικοὶ ἔξαρχοι ἀπέσπασαν ταύτας τῶν μητροπολιανῶν δικαίων καὶ ἰδιοποιήσαντο, ἀνεμνήσθη καὶ ἡ μετριότης ἡμῶν, ὡς περὶ τῶν κατὰ τὴν μητρόπολιν Μιτυλήνης δικαίων ἔγραφε πολλάκις αὐτῇ καὶ ὁ μητροπολίτης ἐκεῖνος Ἰωσὴφ, ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ ἀποκαταστὰς, ὅτι παρὰ τῶν πατριαρχικῶν ἐξάρχων ἠδίκηται. ἵνα γοῦν μὴ καὶ πάντοτε ταῖς ὁμοίαις ἐνοχλῆται φωναῖς ἡ μετριότης ἡμῶν, τετύπωκεν, ἵνα ἀπέλθῃ κατὰ Μιτυλήνην ὁ τῶν ἐκεῖσε προϊστάμενος πατριαρχικῶν δικαίων, καὶ ἐπιστὰς κατὰ τόπους ποιήσηται τὴν ἐπὶ τοῖς πατριαρχικοῖς καὶ τοῖς μητροπολιανοῖς δικαίοις ἐξέτασιν διὰ μαρτύρων ἀξιοπίστων, εὐλαβῶν δηλαδὴ καὶ ἀμέμπτων ἀνδρῶν γερόντων, ἀφορισμῷ αὐτοὺς προκατασχὼν καὶ προκατασφαλισάμενος, καὶ ἐὰν οἱ μαρτυροῦντες μαρτυρήσωσιν, ὡς μέχρι τῆς ἐφημερίας τοῦ Μιτυλήνης ἐκείνου Ἰωσὴφ αἱ ῥηθεῖσαι μοναὶ, ἦγουν ὁ ὅσιος Γρηγόριος καὶ ἡ μονὴ τῶν Ἀριστῶν ὑπὸ τὴν μητροπολιανὴν ἐτέλουν ἐξουσίαν, καὶ οὐκ ἦν ἐν αὐτοῖς οὐδεμία ἀναφορὰ πατριαρχικὴ, ἔκτοτε δὲ διὰ τὸ ἐπισχεθῆναι τὸν Μιτυλήνης κατὰ Νίκαιαν οἱ πατριαρχικοὶ αὐτὰ παρυπέσπασαν ἔξαρχοι, ἵνα ἀποκαταστήσῃ ἐν αὐταῖς τὸν μητροπολίτην ἐκ τοῦ ἀναντιρρήτου· εἰ δὲ μαρτυρηθῇ παρ' αὐτῶν, ὡς ἔκπαλαι καὶ ἀνέκαθεν τὴν κατοχὴν καὶ νομὴν ἐπὶ ταῖς τοιαύταις μοναῖς οἱ πατριαρχικοὶ εἶχον ἔξαρχοι, ἵνα καταστήσῃ ἀναμφιβόλως καὶ πάλιν τὸν πατριαρχικὸν ἔξαρχον. οὕτω μὲν οὖν ἐν ταῖς ῥηθείσαις ποιήσει μοναῖς, τῇ τοῦ ὁσίου Γρηγορίου καὶ ταῖς Ἀριστᾶις, οὕτω δὲ κἂν ἐν ἄλλαις τισὶν ὑποθέσεσιν, ἐν αἷς τὴν πρόσκλησιν λήψεται ἢ ἐκ τοῦ πατριαρχικοῦ μέρους ἢ ἐκ τοῦ μητρο-

πολιανοῦ. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε τὸ· μηνὶ νοεμβρίῳ, ἰνδ. ε', διὰ τῆς τοῦ ἀοιδίμου ἐν πατριάρχαις κῦρ Ἀρσενίου θείας χειρός †.

III. (6755—1246) novembri ind. V.

Decisio Patriarchae Arsenii.

† Γέγονε μὲν τῷ ἱερωτάτῳ μητροπολίτῃ Μιτυλήνης, κατὰ κύριον ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ, γραφὴ τῆς ἡμῶν μετριότητος, δικαιοῦσα τοῦτον ἐπὶ τῇ κατ' αὐτὸν μονῇ τῶν Κάτω Πτωμαίων, ἐπὶ δὲ ταῖς λοιπαῖς μοναῖς, ἤγουν τῇ μονῇ τοῦ ὁσίου Γρηγορίου καὶ τῇ μονῇ τῶν Ἀριστῶν, διοριζομένη, γενέσθαι ἐξέτασιν καὶ τὸ ἀναφανησόμενον ἐπ' αὐτοῖς δίκαιον τῷ δικαιωθησομένῳ μέρει ἀπό τε τοῦ μητροπολίτου καὶ τοῦ πατριαρχικοῦ ἐξάρχου ἀποδοθῆναι. ἀλλ' ἐπεὶ αἱ Ἀρισταὶ ἐν νομῇ καὶ κατοχῇ ἦσαν τῷ μέρει τῆς ἁγιωτάτης μητροπόλεως Μιτυλήνης μέχρι δὴ καί τινος παραδραμόντος ὀλίγου καιροῦ, χθὲς δὲ ἤδη καὶ πρότριτα ὁ προϊστάμενος τῆς ῥηθείσης μονῆς ἐλθὼν ἠπάτησεν, ὡς ἔκπαλαι ὑπὸ τὴν πατριαρχικὴν ἐτέλει ἐξουσίαν, καὶ ἐδέξατο γράμμα τῆς ἡμῶν μετριότητος, ἐγκαθιστῶν αὐτὸν εἰς τὴν προστασίαν, τὸ δὲ οὐχ οὕτως εἶχεν, ἀλλ' ὑπὸ τὴν μητρόπολιν Μιτυλήνης ἐτέλουν τὰ τῆς μονῆς, διορίζεται ἡ μετριότης ἡμῶν διὰ τῆς παρούσης ταύτης γραφῆς, τὴν μὲν πορισθεῖσαν γραφὴν τῷ εἰς προστασίαν ταχθέντι μοναχῷ τῆς τοιαύτης μονῆς τὸ ἄπρακτον ἔχειν, ἐπιλαβέσθαι δὲ καὶ πάλιν τὸν ἱερώτατον μητροπολίτην τῆς τοιαύτης μονῆς, καθ' ἣν εἶχε μέχρι τοῦ νῦν ἡ κατ' αὐτὸν ἐκκλησία δικαίωσιν ἔκ τε τῆς κατοχῆς καὶ νομῆς καὶ τῆς τοῦ μητροπολίτου Μιτυλήνης ἀναφορᾶς· τῆς δὲ κατὰ τόπον ἐξετάσεως καὶ ἐν ἄλλαις μοναῖς γενομένης, ὁπότε ταύτῃ γενήσεται, τότε καὶ τὰ κατὰ τὴν ῥηθεῖσαν μονὴν ἐξετασθήσεται, καὶ εἴ τις καὶ ἐν ταύτῃ ἐστὶν ἀμφισβήτησις, διευλυτωθήσεται. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος εἰς ἀσφάλειαν †.

† Εἶχε τὸ· μηνὶ νοεμβρίῳ, ἰνδ. ε', διὰ τῆς αὐτῆς θείας χειρὸς τοῦ ἀοιδίμου ἐν πατριάρχαις κῦρ Ἀρσενίου †.

† Τὰ παρόντα ἴσα τῶν γραμμάτων τοῦ ἀοιδίμου ἐν πατριάρχαις κῦρ Ἀρσενίου τῷ χρόνῳ σαθρωθέντα καὶ εἰς ἀφανισμὸν κινδυνεύσαντα καταντῆσαι, μετεγγραφέντα ἤδη καὶ τοῖς πρωτοτύποις ἀντιβληθέντα καὶ κατὰ πάντα ἐξισάζοντα εὑρεθέντα κατεστρώθησαν ἤδη ἐν τοῖς κωδικίοις τοῦ ἱεροῦ χαρτοφυλακείου ἀσφαλείας τῆς εἰς τὸν ἑξῆς ἅπαντα χρόνον καὶ βεβαιώσεως ἕνεκα †.

IV. (6733—1225) februario ind. XIII.

Conventio inter Manuelem Xerum et Pothum, metropolitam Mitylenes.

† Ἐπεὶ συμφωνία γεγόνε μέσον ἐμοῦ καὶ τοῦ μητροπολίτου ἐκείνου Μιτυλήνης κῦρ Πόθου τοῦ Ἁπλησφάρη ἐκείνου ἐπὶ τῇ πρὸς ἡμᾶς ἐπὶ δυσὶ προσώποις παρ' ἐκείνου δωρηθείσῃ μονῇ τῶν Κάτω Πτωμαίων τῇ κατὰ Μιτυλήνην διακειμένῃ, ὥστε ἐτησίως ὑπὲρ τῆς τοιαύτης μονῆς τελεῖν νομίσματα τρικέφαλα καινούργια τὰ κατὰ χώραν ἀπαιτούμενα εἴκοσι, καὶ τὰ μὲν δέκα καταβάλλειν πρὸς τὴν ἁγιωτάτην μητρόπολιν, τὰ δὲ δέκα διδόναι πρὸς τὴν οἰκίαν τοῦ γαμβροῦ αὐτοῦ καὶ ἀνθρώπου ἡμῶν τοῦ προέδρου Ἰωάννου τοῦ Σερβῆ, ἰδοὺ διὰ τοῦ παρόντος ἡμῶν σιγιλλίου ὑποτυποῦμεν, λαμβάνειν κατ' ἔτος τὴν οἰκίαν τοῦ δηλωθέντος Σερβῆ ἀπὸ τοῦ κατὰ τὴν ἡμέραν ἐνεργοῦντος τὰ κατὰ Μιτυλήνην ἡμέτερα κτήματα τὰ δηλωθέντα δέκα καινούργια τρικέφαλα καὶ λαμβάνειν ἐκ τοῦ μέρους αὐτοῦ ἀπόδειξιν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν σιγίλλιον τῇ οἰκειοχείρῳ ἡμῶν ὑπογραφῇ καὶ τῇ μολυβδίνῃ βούλλῃ πιστωθὲν ἐπεδόθη τῷ Σερβῇ εἰς ἀσφάλειαν †.

† Εἶχε τὸ· μηνὶ μαΐῳ, ἰνδ. ιγ', καὶ ὑπογραφὴν· Μανουὴλ ὁ Ξηρὸς, καὶ βούλλαν μολυβδίνην κρεμαμένην, ἐν μὲν τῷ ἑνὶ μέρει ἔχουσαν ἐγγεγλυμμένους δύο ἁγίους μάρτυρας, ἤγουν τὸν ἅγιον Θεόδωρον καὶ τὸν ἅγιον Δημήτριον, ἐν δὲ τῷ ἑτέρῳ μέρει στίχον ἔχοντα οὕτως· Ξηρὸν Μανουὴλ μαρτύρων δυὰς σκέποις. εἶχε δὲ ὄπισθεν καὶ ἕτερον σιγίλλιον παρέχον οὕτως †.

† Τὸ παρὸν σιγίλλιον τοῦ μακαρίτου αὐθέντου καὶ πατρός μου βουλόμεθα ἔχειν τὸ ἐνεργὸν, μέχρις ἂν καὶ αὐτοὶ ἐν τοῖς ζῶσι διάγωμεν, κατὰ τὴν αὐτοῦ περίληψιν, ἐπεὶ γὰρ ἐν αὐτῷ τετύπωται λαμβάνειν τὸν ἐν τούτῳ δηλούμενον Ἰωάννην τὸν Σερβῆν τὸν καὶ Κλαυσηνὸν μέχρι

πέρατος τῶν δύο προσώπων νομίσματα τρικέφαλα καινούργια δέκα, τὸ δὲ τοιοῦτον δεύτερον πρόσωπον εἰς ἡμᾶς περιῆλθεν, ὀφείλει καὶ αὐτὸς, ὡς εἴρηται, τὰ τοιαῦτα δέκα τρικέφαλα ἀνυστερήτως λαμβάνειν ἐτησίως ἀπὸ τῆς εἰσόδου τῆς τοιαύτης μονῆς τῶν Πτωμαίων, μέχρις ἂν τῷ βίῳ τῇ τοῦ θεοῦ μακροθυμίᾳ περίειμι. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν σιγίλλιον τοῦ μακαρίτου αὐθέντου καὶ πατρός μου ὑπεγράφη καὶ παρ' ἡμῶν ἐξ αἰτήσεως τοῦ δηλωθέντος Σερβῆ εἰς οἰκείαν ἀσφάλειαν †.

† Εἶχε τὸ· μηνὶ φευρουαρίῳ, ἰνδ. δεκάτης, καὶ τὸ· Λέων ὁ Κομνηνός †.

† Τὰ δὲ ἴσα τούτων ἦσαν ὑπογεγραμμένα δι' ἀσφάλειαν διὰ τοῦ μητροπολίτου Μηθύμνης κῦρ Νικηφόρου, ἃ δὴ καὶ ταῦτα ἕνεκεν τῆς ἀνωτέρω δηλωθείσης αἰτίας, ἵνα μὴ σαθρωθέντα ἀφανισθῶσιν, κατεστρώθησαν ἐν τοῖσδε τοῖς κωδικίοις †.

LX. 6833—1324 septembri ind. VIII.

Synodus sancit a metropolibus et archiepiscopatibus patriarchae pendenda esse annua tributa.

† Ὥσπερ ἄρα πατράσιν ὀφειλή τις ἐστὶν ἀπαραίτητος τοὺς ἐξ αὐτῶν γεγονότας στέργειν ὅτι μάλιστα καὶ συναίρεσθαι τούτοις πάντα τρόπον καὶ βοηθεῖν, ὁπότ' ἄν τινος αὐτοὺς ἐν χρείᾳ καταστάντας ἴδωσι, τοῖς φυσικοῖς δεσμοῖς τυραννούμενοι· οὕτω δὴ καὶ τοὺς ἐκγόνους περὶ τοὺς γεγεννηκότας τὴν ἴσην γνώμην τηρεῖν δίκαιον, κήδεσθαι δηλονότι καὶ προμηθῶς διακεῖσθαι καὶ σπουδάζειν ὑπὲρ αὐτῶν, ὀφειλόμενον ὂν τούτοις ἐξ ἀντιστρόφου χάριτας ἐκτινύναι τῆς ἐς τὸν βίον ἕνεκα προόδου καὶ παροχῆς, πράγματος ἀξιολογωτάτου καὶ μηδενὶ τῶν ἁπάντων εἰς σύγκρισιν ἥκοντος. οὐ μὴν ἀλλ' εἰ πρὸς τῷ μεγίστῳ τούτῳ καλῷ, τῇ εἰς τόδε τὸ φῶς προόδῳ, καὶ πατρικῆς ἑτέρας κηδεμονίας ἐπιτυχεῖς ὤφθησαν, καὶ ἀρκούντως ἀπώναντο τῆς ἐκ τούτων ὠφελείας καὶ χάριτος καὶ τιμῆς, πῶς οὐ τῶν εἰκότων τε καὶ δικαιοτάτων, τούσδε προθυμεῖσθαι πάσῃ δυνάμει τοὺς γονέας ἀμείβεσθαι καὶ ταῖς ἀπορίαις ἀμύνειν καὶ χρησίμους ἐς ἀεὶ δείκνυσθαι; εἰ δ' ἐπὶ τοῖς κατὰ σάρκα πατράσι νόμον τοῦτον δίκαιον κεῖσθαι κατὰ παντὸς τοῦ χρόνου πᾶς τις ἂν εἴποι, πῶς οὐκ ἂν ἐπὶ τῶν πνευματικῶν καὶ τῶν εἰς τὴν εὐσέβειαν ἀρχηγῶν τε καὶ ὁδηγῶν

καὶ τῆς ὅλης, ὡς ἔπος εἰπεῖν, ἐπὶ τὸ κρεῖττον καὶ εὐσχημον καταστάσεως ἐπιμελουμένων προσήκουσα εἴη ἥδε ἡ ὀφειλή; καὶ γὰρ τῶν ἀλογωτάτων δοκεῖ, εἴ τις παρά του τὰ πλεῖστα καὶ μέγιστα τῶν τιμιωτάτων λαβὼν, ἔπειτα οὐχὶ μικρόν τι μέρος ἀπομερίσασθαι προθυμοῖτο τῷ πάντα παρασχομένῳ. τῷ λόγῳ τῷδε σκοπὸς, ὅτι δὴ ἡ ἁγιωτάτη μεγάλη τοῦ θεοῦ ἐκκλησία ἦν μὲν πρόσθεν εὐθηνοῦσα καὶ πραγμάτων ἱκανῶς εὐποροῦσα, ὥστε καὶ ἑτέροις ἐπαρκεῖν ἔχειν ἐνδεῶς ἔχουσιν· ἐπεὶ δὲ ἡ τῶν πραγμάτων σύγχυσις καὶ ἀνωμαλία καὶ ἡ τοῦ πάντα φέροντος χρόνου ἀλλοίωσις καὶ μεταβολὴ καὶ τὰς προσόδους αὐτῆς ἐν στενῷ καταντῆσαι πεποίηκεν, οὐχ ὅπως ἑτέροις ἀλλ' οὐδ' ἑαυτῇ οὐδέ γε τοῖς τῷ κλήρῳ ταύτης κατειλεγμένοις δύναται βοηθεῖν. ταῦτά τοι καὶ οὐ δίκαιον ἐκρίναμεν οἱ τὸν τῆς ἱερᾶς συνόδου σύλλογον συμπληροῦντες, οὕτω ταύτην ἔχουσαν παριδεῖν, ἀλλὰ κοινῇ πάντες διασκεψάμενοι, δεῖν ἔγνωμεν καὶ ἐψηφισάμεθα, ὡς υἱοὶ γνήσιοι, ὑπὲρ ταύτης διαναστῆναι καὶ συνεισενεγκεῖν τὸν δυνατὸν τρόπον αὐτῇ, ἅτε δὴ μητρὶ τῶν ἐκκλησιῶν, τὰς τῶν μητροπόλεων καὶ τῶν ἀρχιεπισκοπῶν εὐπορούσας καὶ δυναμένας ἐκ τῶν ἐνόντων ἑκάστῃ καὶ τῆς ὀφειλομένης καὶ προσηκούσης προμηθείας αὐτὴν ἀξιῶσαι, ἐπεὶ ταύτης καλῶς διακειμένης καὶ μετ' εὐπόρου τοῦ σχήματος, ἀνάγκη καὶ ταύτας τῆς ἐντεῦθεν εὐκλείας καὶ δόξης συναπολαύειν αὐτῇ, ὥσπερ δὴ τοὐναντίον ἐχούσης, συναδοξεῖν καὶ συμπάσχειν, ὅτι μὴ τῶν εἰς χρείαν ἡκόντων εὐπόρως ἔχει. μέντοι καὶ κοινῇ ψήφῳ τάττομεν ἔχειν τὴν αὐτὴν ἁγιωτάτην μεγάλην τοῦ θεοῦ ἐκκλησίαν ἑκάστου ἔτους ἀπαραλείπτως ἀπὸ μὲν τῆς ἁγιωτάτης μητροπόλεως Ἡρακλείας καὶ τῶν ἐπισκοπῶν αὐτῆς ὑπέρπυρα διακόσια, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Κυζίκου ὑπέρπυρα διακόσια, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης ὑπέρπυρα διακόσια, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Ἀδριανουπόλεως ὑπέρπυρα ἑκατὸν, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Βερροίας ὑπέρπυρα ἑκατὸν, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Μονεμβασίας ὑπέρπυρα ὀκτακόσια, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Φιλιππουπόλεως ὑπέρπυρα ἑκατὸν πεντήκοντα, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Τραϊανουπόλεως καὶ τῶν ἐπισκοπῶν αὐτῆς ὑπέρπυρα ἑβδομήκοντα, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν ὑπέρπυρα ἑκατὸν πεντήκοντα, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Φιλίππων ὑπέρπυρα ἑκατὸν, ἀπὸ δὲ

τῆς ἁγιωτάτης μητροπόλεως Μιτυλήνης ὑπέρπυρα ἑκατὸν, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Διδυμοτείχου ὑπέρπυρα ἑκατὸν, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Παλαιῶν Πατρῶν ὑπέρπυρα τεσσαράκοντα, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Λακεδαιμονίας ὑπέρπυρα ἑξήκοντα, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Μελενίκου ὑπέρπυρα τριακονταὲξ, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Αἴνου ὑπέρπυρα ἑκατὸν, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Μαδύτων ὑπέρπυρα τριακονταὲξ, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Μηθύμνης ὑπέρπυρα πεντήκοντα, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Βρύσεως ὑπέρπυρα πεντήκοντα, ἀπὸ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Ῥωσίου ὑπέρπυρα τριακονταὲξ, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Βιζύης ὑπέρπυρα ἑκατὸν, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Μαρωνείας ὑπέρπυρα τριακονταὲξ, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Προικοννήσου ὑπέρπυρα ἑβδομηκονταδύο, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Γαρέλλης ὑπέρπυρα εἰκοσιτέσσαρα, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Δέρκου ὑπέρπυρα εἰκοσιτέσσαρα, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Ἀρκαδιουπόλεως ὑπέρπυρα εἰκοσιτέσσαρα, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Λήμνου ὑπέρπυρα πεντήκοντα, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Λοπαδίου ὑπέρπυρα εἰκοσιτέσσαρα, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Κυψέλων ὑπέρπυρα δεκαὲξ, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Ξανθείας ὑπέρπυρα τριακονταὲξ, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Μηδείας ὑπέρπυρα πεντήκοντα, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Δράμας ὑπέρπυρα εἰκοσιτέσσαρα, ἀπὸ δὲ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Γάνου ὑπέρπυρα πεντήκοντα. ὅθεν καὶ ἀπαραποίητα καὶ ἀμετάτρεπτα τὰ καλῶς ἡμῖν περὶ τούτου δεδογμένα ἔσται κρατούμενα καὶ στεργόμενα καὶ τὸ κῦρος ἔχοντα καὶ τὸ βέβαιον. εἰ μέντοι προνοίᾳ θεοῦ καὶ νεύσει καὶ εὐδοκίᾳ εἰς ἑαυτὰ πάλιν ἐπανέλθοι τὰ πράγματα, καὶ εὐπορίᾳ τῇ ἁγιωτάτῃ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ γένοιτο, τὰς τῶν προσόδων ἐκείνων ἀρχάς τε καὶ αἰτίας ἀπολαβούσῃ, αὕτη μὲν ἀρκεσθήσεται τοῖς ἰδίοις, μηδεμιᾶς ἑτέρωθεν βοηθείας προσδεομένη, αἱ δέ γε μητροπόλεις αὗται καὶ ἀρχιεπισκοπαὶ καθ' ἑαυτὰς ἔσονται ὡς τὸ πρὶν, καὶ οὐκ ἀνάγκην ἕξουσιν αὐτῇ συνεισφέρειν. ἀσφαλείας γὰρ καὶ βεβαιώσεως ἕνεκεν καὶ τοῦ μηδενὶ ἡμῶν ἐξεῖναι ἕτερόν τι παρὰ ταῦτα βουλεύσασθαι καὶ ἡ παροῦσα ἔγγραφος συνοδικὴ πρᾶξις γεγονυῖα πρ'

ἡμῶν ἐξεδόθη, ταῖς οἰκείαις ὑπογραφαῖς πιστωθεῖσά τε καὶ κατασφαλισθεῖσα κατὰ μῆνα σεπτέβριον τῆς ἐνισταμένης ὀγδόης ἐπινεμήσεως τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ τρίτου ἔτους.

LXI. Sine anno.

Esaias Gregorio patriarchae Alexandriae notum facit se solium patriarchale ascendisse.

† Ἁγιώτατε δέσποτα, πάπα καὶ πατριάρχα Ἀλεξανδρείας, Πενταπόλεως, Αἰγύπτου, Λιβύης καὶ πάσης Αἰθιοπίας, κατὰ κύριον ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ· εἰ καὶ πρὸ καιροῦ ἡ καθ' ἡμᾶς καθολικὴ καὶ ἀποστολικὴ ἁγία τοῦ θεοῦ ἐκκλησία ἐχήρευε ποιμένος, καθάπερ οἶμαι καὶ τὴν σὴν οὐ διέλαθεν ἁγιότητα, ἀλλ' εὐδοκίᾳ νῦν τοῦ τὰ πάντα βαθέως καὶ σοφῶς οἰκονομοῦντος θεοῦ ἐξελέγημεν ἡμεῖς ἤδη, κρίμασιν ἀπορρήτοις αὐτοῦ, καὶ τὴν προστασίαν τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας ἐνεχειρίσθημεν, ἐξ ἑαυτῶν μὲν τὸ ἱκανὸν οὐκ ἔχοντες πρὸς τηλικοῦτον ὕψος καὶ τοσαύτης προστασίας μέγεθος, τῇ δὲ τοῦ πνεύματος τεθαρρηκότες χάριτι καὶ τῇ τῶν ἐκλεξαμένων ἡμᾶς ἀρετῇ καὶ ψήφῳ ὑπείξαντες, ὅθεν καὶ καιροῦ εὐθέτου λαβόμενοι, ὡς τῶν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος πρέσβεων εὐμοιρήσαντες τὸν ἔκπλουν ἤδη ποιουμένων αὐτόθι, οὐ δέον ἐκρίναμεν μὴ δῆλα θέσθαι τὰ περὶ ἡμῶν ταῦτα τῇ σῇ ἁγιότητι. ἐρρῶσθαι τοίνυν τὴν σὴν ἁγιότητα εὐχόμεθα ἐν κυρίῳ εἰς περιποίησιν καὶ οἰκοδομὴν τοῦ αὐτόθι χριστωνύμου λαοῦ, καὶ πρὸς τὰς ὑπὲρ ἡμᾶς εὐχὰς αὐτὴν ἐκκαλούμεθα, ὥστε διεξάγεσθαι τὸ ἐγχειρισθὲν ἡμῖν ποίμνιον καὶ οἰκονομεῖσθαι πρὸς τὸ αὐτοῦ θεῖον θέλημα καὶ πρὸς ἀποδοχὴν καὶ ἀρέσκειαν τῆς ἀφάτου αὐτοῦ ἀγαθότητος. ἡμεῖς μὲν οὖν ἐνδιαθέτως ἔχοντες πρὸς τὴν σὴν ἁγιότητα καὶ τῆς ταύτης ἐξηρτημένοι πνευματικῆς ἀγάπης καὶ ἀδελφικῆς συμπνοίας καὶ ὁμονοίας, καὶ ταῦτα δὴ τὰ γράμματα πέμπομεν καὶ εἰς τὸ ἑξῆς ἔτι πέμψομεν, τοῦ θεοῦ τοῦτο παρεχομένου καὶ εὐδοκοῦντος, αὐτὸ δὲ τοῦτο καὶ τὴν σὴν ἁγιότητα πρὸς ἡμᾶς ποιεῖν ἀξιοῦμεν· τοῦτο γὰρ οὐ μόνον εἰς ἀποδοχὴν θεοῦ καὶ τῶν ὑφ' ἡμᾶς ποιμαινομένων διόρθωσιν καὶ οἰκοδομήν ἐστι καὶ ἀσφάλειαν, ἀλλὰ καὶ εἰς ἀρέσκειαν καὶ ἡδονὴν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, οὗ πνοὴ καὶ τρυφὴ τὸ τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν ὁρᾶν αὐξομένην καὶ κραταιουμένην ἐν ὁμονοίᾳ τῆς πί-

στεως, τῶν ὀρθῶν πάντως καὶ εἰλικρινῶν ἐχομένην δογμάτων, καὶ τούτου δεῖγμα σαφὲς καὶ ἄλλα μὲν πλεῖστα λόγου καὶ θαύματος ὄντως ἄξια, μετὰ μέντοι τῶν ἄλλων καὶ οἱ κατ' ἔτος αὐτόθι τε καὶ ἀπανταχοῦ γῆς ἀποστελλόμενοι πρέσβεις ὑπὲρ τῶν ἐκκλησιῶν τοῦ θεοῦ καὶ τῆς τοῦ χριστιανικοῦ λαοῦ οἰκοδομῆς τε καὶ συστάσεως, ὡς ἂν μὴ, δι' ἣν ὑπομένουσι δουλείαν ἐξ ἡμετέρων πάντως ἁμαρτιῶν, ἐπιπλέον πιέζοιντο καὶ καταπονοῖντο τῷ βάρει καὶ τῇ κακώσει τῶν κατεχόντων, μὴ μόνον εἰς ταῦτα δὴ τὰ σωματικὰ, ἀλλὰ καὶ εἰς αὐτά γε δὴ τὰ τῆς καθ' ἡμᾶς πίστεως ἀναγκαῖα καὶ καιριώτατα, ὥστε κοινῇ καὶ ἡμᾶς δέον ὑπερεύχεσθαι, χαρίζεσθαι τοῦτον τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ἐπὶ μακροῖς τοῖς ἔτεσι βοηθὸν καὶ συνέριθον καὶ πρόμαχον ὀχυρὸν, κατὰ γνώμην αὐτῷ τῶν πραγμάτων κυβερνωμένων καὶ διεξαγομένων ἀκυμάντως καὶ ἀκλινῶς καὶ ἅμα εὐθύμως καὶ μετὰ πλείστης ὅσης τῆς ἡδονῆς, συνειρομένης εἰς τοῦτο τῆς αὐτοῦ τοῦ θεοῦ χάριτος. περὶ μέντοι τῆς κρατησάσης ἐν τῇ ἐκκλησίᾳ κανονικῆς συνηθείας καὶ παραδόσεως, τοῦ δίδοσθαι δηλονότι παρὰ τῶν καθ' ἡμᾶς ἀρχιερέων καὶ πατριαρχῶν πρὸς ἀλλήλους τὸν λίβελλον τῆς πίστεως, τοῦτο γράφομεν καὶ λέγομεν πρὸς τὴν σὴν ἁγιότητα, ὅτι ἡ ἁγιότης σου ἔφθασε καὶ κατέλαβεν ἐνταῦθα καὶ ἐγνώρισεν ἀκριβῶς τὸ ἀκραιφνέστατον καὶ καθαρώτατον σέβας τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καὶ ὅπως ἔχει περὶ τὰ ὀρθὰ δόγματα ἡ ἁγία βασιλεία αὐτοῦ ἀσφαλῶς καὶ ὀρθῶς διὰ τῆς χάριτος τοῦ θεοῦ, ὁμοίως ἐπληροφορήθη τὸ καθαρὸν καὶ ὀρθὸν καὶ ἀκίβδηλον δόγμα καὶ σέβας τοῦ πρὸ ἡμῶν πατριαρχεύσαντος. οἷαν οὖν πληροφορίαν ἔσχε καὶ ἔχει περί τε τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ὡς εἴρηται, ἡ ἁγιότης σου καὶ περὶ τοῦ πρὸ ἡμῶν πατριαρχεύσαντος, τοιαύτην ἐχέτω ἀναμφίβολον καὶ περὶ ἡμῶν, ὅτι οὕτω φρονοῦμεν καὶ πιστεύομεν, ὡς ἐξέθεντο καὶ παραδεδώκασιν οἱ ἅγιοι ἀπόστολοι, καὶ ὡς παρέλαβεν ἀρχῆθεν ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία, καὶ οὕτω καὶ τοὺς ὑφ' ἡμᾶς πιστεύειν καὶ διδάσκομεν καὶ φρονεῖν πείθομεν. ὁ δὲ ταῖς ἡμῶν παρακλήσεσιν ἐπικαμπτόμενος κύριος διὰ τῆς αὐτοῦ ἀγαθότητος εἴη μὲν συναιρόμενος καὶ συνεφαπτόμενος τῇ σῇ ἁγιότητι ἐπὶ τοῖς ὑπὲρ τῆς ποίμνης τῆς σῆς πόνοις, εὐμαρίζων τούτους καὶ εἰς τὸ εὐχερὲς καθιστῶν τῷ κουφισμῷ τῆς ἐξ αὐτοῦ παρακλήσεως, δοίη δὲ καὶ καιρὸν, ὥστε τῆς διὰ τῶν γραμμάτων ἀποστάντας ὁμιλίας τε καὶ ἑνώσεως αὐτοπροσώπως ἀλλήλους

θεάσασθαι καὶ κοινῇ λειτουργήσαντας αὐτῷ τὰ θεῖα καὶ μυστικά, ἐπαξίου καὶ τελεωτέρας ἀπολαῦσαι τῆς ἐντεῦθεν ἡδονῆς, πρεσβείαις τῆς ὑπεραμώμου καὶ πανυπεράγνου μητρὸς αὐτοῦ †.

LXII. 6833—1324 novembri ind. VIII.

Imperator chrysobullo confirmat erectionem archiepiscopatus Bryseos in metropolim.

† Ἔχει μὲν ἐκ μακρῶν τῶν χρόνων, μᾶλλον δὲ καὶ ἐξ ἀρχῆς καὶ ἀνέκαθεν ἡ βασιλικὴ καὶ αὐτοκρατορικὴ ἰσχὺς πρὸς τοῖς ἄλλοις καὶ τοῦτο δίκαιον καὶ δεδομένον κατὰ λόγον αὐτῇ ἐπὶ προκοπῇ τῶν καλῶν καὶ συνάρσει τῆς διὰ πάντων εὖ ἀγομένης καταστάσεως τὸ προβιβάζειν ἐξ ἐπισκόπων εἰς ἀρχιεπισκοπικὴν τιμὴν ἐκκλησίας καὶ ἐξ ἀρχιεπισκοπῆς εἰς μητρόπολιν, ἔστι δ' ὅτε καὶ μητρόπολιν προάγειν εἰς βαθμὸν μείζονα, ἔτι γε μὴν καὶ καινίζειν ἐκκλησίας καὶ καθιστάνειν ἀρχιερατικοὺς ἐν αὐταῖς θρόνους, καὶ πάντα ταῦτα μετὰ τοῦ προσήκοντος καὶ γνώμης εὐλόγου ποιητέον πάντως αὐτῇ, ἀλλ' οὐχ ὡς ἔτυχε καὶ ἀλογίστοις ὁρμαῖς. εἰ δ' ἄρα καὶ ἡμῖν τοῦθ' οὕτως ἐσπουδάσθη διὰ πάντων τῶν τῆς ἡμετέρας μοναρχίας οὐκ ὀλίγων ὄντων ἐτῶν, ἄλλοι λεγόντων, μᾶλλον δὲ αὐτὰ βοᾷ τὰ πράγματα τοῖς εὐγνώμοσιν ἐπόπταις, καὶ θαρρούντως τοῦτό φαμεν, οὐδὲν δ' ἧττον καὶ τὸ νῦν παραστήσῃ γινόμενον. κατὰ γὰρ τὴν τοιαύτην δεδομένην ἡμῖν ἄδειαν δεῖν ἐγνώκαμεν, ἐξ ἀρχιεπισκοπῆς προβιβάσαι τὴν ἁγιωτάτην ἐκκλησίαν Βρύσεως εἰς μητρόπολιν, τοῦτο μὲν διὰ τὸ πολυάνθρωπον τῆς τοιαύτης ἐκκλησίας καὶ πολυτρόπως ἔχον τὸ εὔλογον εἰς τὴν τοιαύτην τιμήν, τοῦτο δὲ καὶ διὰ τὸν νῦν ἀρχιερατικῶς αὐτῇ προϊστάμενον, ἄνδρα μεγάλης ἀρετῆς κάλλεσι κοσμούμενον, κἀντεῦθεν αἰδέσιμον τῇ ἐκκλησίᾳ, αἰδέσιμον τῇ βασιλείᾳ καὶ πολλῆς τιμῆς ἀξιούμενον καὶ σεβάσματος παρ' ἡμῶν. ταῦτ' ἄρα καὶ θεσπίζει νῦν διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς ἡ βασιλεία μου, εἶναι καὶ εὑρίσκεσθαι τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Βρύσεως εἰς μητρόπολιν καὶ συναπολαύειν τὸν ἐν αὐτῇ εὑρισκόμενον ἱερώτατον ἀρχιερέα τοῖς λοιποῖς ἱερωτάτοις μητροπολίταις τῆς θείας καὶ ἱερᾶς μεγάλης συνόδου, τῆς αὐτῆς κλήσεώς τε καὶ τιμῆς κατὰ πάντα τρόπον, ἧς καὶ οὗτοι μετέχουσιν, ἀλλὰ δὴ καὶ ἐν τάξει ὑπερτίμων αὐτὸν συντάττεσθαι· ὅθεν καὶ νῦν μὲν ὀφείλει τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου

τῆς βασιλείας μοῦ τυγχάνειν τῆς τοιαύτης τάξεώς τε καὶ τιμῆς ὁ νῦν ἱερώτατος μητροπολίτης Βρύσεως καὶ ὑπέρτιμος, καθεξῆς δὲ ἔσται τοῦτο κατὰ τὸν ἴσον τρόπον καὶ εἰς τοὺς μετ' αὐτὸν μέλλοντας εὑρίσκεσθαι κατὰ καιροὺς εἰς γνησίους ἀρχιερεῖς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Βρύσεως, ἔχειν δὲ καὶ καθέδραν καὶ τόπον ἐν τῇ συναριθμήσει τῶν ἱερωτάτων μητροπολιτῶν μετὰ τὸν ἱερώτατον μητροπολίτην Ἄνου καὶ ὑπέρτιμον, ἅτε δὴ καὶ τὸ ἑδραῖον καὶ ἀμετακίνητον ὀφείλοντος ἔχειν τοῦ παρὰ τῆς βασιλείας μου γεγονότος ἐπὶ τῇ τοιαύτῃ ἁγιωτάτῃ ἐκκλησίᾳ προβιβασμοῦ. τούτου γὰρ χάριν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μοῦ, ἀπολυθεὶς κατὰ μῆνα νοέμβριον τῆς νῦν τρεχούσης ὀγδόης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ τρίτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

LXIII. 6833—1325 maio-iunio ind. VIII.

Synodus dirimit sex controversias.

† Μηνὶ μαΐῳ, κῃ' ἡμέρᾳ, τετράδι, ἰνδ. η', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁ,ωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Σάρδεων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυδίας, Γρηγορίου, τοῦ Χαλκηδόνος, ὑπερτίμου καὶ προέδρου Μαρωνείας, Θεοδούλου, τοῦ Ἀδριανουπόλεως καὶ ὑπερτίμου, Ἰγνατίου, τοῦ Μελιτηνῆς καὶ ὑπερτίμου, Θεοδοσίου, τοῦ Πηγῶν καὶ Παρίου, ὑπερτίμου καὶ προέδρου Γάνου, Κωνσταντίνου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Δυρραχίου καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Ἄπρω, ὑπερτίμου καὶ τὸν τόπον ἐπέχοντος τοῦ Εὐχαίτων, Ἰωσήφ, καὶ τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ ἀπὸ τοῦ κλήρου τῆς ἁγιωτάτης μητροπόλεως Ἄνου, Ἰωάννης ὁ Μαγκλαβίτης, καὶ ἀνέφερεν, ὡς ἠγάγετο γαμβρὸν ἐπὶ τῇ ἑαυτοῦ θυγατρὶ ἐνδέκατον τῆς ἡλικίας ἀγούσῃ χρόνον, τὸν υἱὸν τοῦ ἀπὸ τοῦ τοιούτου κλήρου, ἄρχοντος τῶν ἐκκλησιῶν τοῦ Ἀργυροῦ, καὶ διὰ τὸ μὴ νομίμων καὶ τελείων χρόνων εἶναι τὴν θυγατέρα, οὔτε ὁ τὰ δίκαια διέπων τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως παρεχώρει τὸν γαμβρὸν αὐτῇ συνοι-

κεῖν, οὔτε ὁ ῥηθεὶς Μαγκλαβίτης αὐτῷ ταύτην κατεπιστεύετο, πλὴν ὑπ' ἐγγυητῇ τῷ πατρὶ τῷδε τῷ ἄρχοντι τῶν ἐκκλησιῶν τοῦ μὴ πρότερον αὐτῇ τὸν υἱὸν συνελθεῖν, πρὶν ἂν ὁ νόμιμος πρὸς τὴν συνάφειαν ἐπιστῇ χρόνος, θαρρήσας κατεπιστεύσατο, ὁ δέ γε τοιοῦτος γαμβρὸς, μὴ ἀναμείνας, ἐβιάσατο τήνδε τὴν θυγατέρα, καὶ ἐμίγη παρὰ φύσιν αὐτῇ, παντελοῦς βλάβης καὶ ἐρημώσεως ταύτῃ γενόμενος πρόξενος. συμπαρισταμένης δὲ τῷ δικαστηρίῳ καὶ αὐτῆς δέον ἐκρίθη, ἐξέτασιν τούτου χάριν γενέσθαι, καί γε προσκληθείσης μαίας καὶ ἀνερευνησάσης αὐτὴν, ὥσπερ ἐν τοῖς τοιούτοις εἴθισται, καὶ τῆς παρὰ τοῦ ἀνδρὸς γενομένης ἐπ' αὐτῇ τοσαύτης βλάβης ἀληθοῦς ἀποδειχθείσης, ὡς καὶ ἀνδρὶ τὸ ἀπὸ τοῦδε μὴ δυνατῶς ὅλως ἔχειν ταύτην συγκαθευδῆσαι, διέγνωσταί τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν, ὡς ἂν τὸ μὲν διὰ τὴν μεσολαβήσασαν ἀνηβότητα τῆς γυναικὸς, τὸ δὲ μάλιστα καὶ διὰ τὴν τοιαύτην ἐπ' αὐτῇ βλάβην καὶ τὸ μὴ δύνασθαι ἀνδρὶ συνοικεῖν, εἴη τόδε τὸ συνοικέσιον διεζευγμένον, ἀπολαβόντος τοῦ πατρὸς τοῦδε τοῦ Μαγκλαβίτου πάντα τὰ προικὸς χάριν καταγραφέντα παρὰ τούτου τῇ θυγατρὶ, ἔτι δὲ καὶ τὸ κατὰ νόμους· θεωρετροῦπόβολον, ἔδει γὰρ τὸν τοῦ γαμβροῦ πατέρα ἐγγύας δεδωκότα ὑπὲρ τῆς ἀσφαλείας τῆς γυναικὸς θέσθαι διὰ φροντίδος, ὥστε δὴ καὶ τὸ ἀκίνδυνον αὐτῇ πραγματεύσασθαι, ἀλλὰ μὴ ἐξ ἀμελείας οὕτω ταύτην καταπροδοῦναι, τοσαύτην ὑπ' αὐτῷ αἰτίῳ τὴν βλάβην ὑποστᾶσαν καὶ ἀδικίαν. ἔσται τοίνυν τοῦ λοιποῦ ὁ τοῦ Ἀργυροῦ τέλεον αὐτῆς διιστάμενος κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος βεβαιωθέντα καὶ πιστωθέντα ἐπεδόθη μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις ἔτους ,ς^ου ω^ου τριακοστοῦ τρίτου †.

II. † Μηνὶ τῷ αὐτῷ, ἡμέρᾳ τῇ αὐτῇ καὶ ἰνδ. ἐπὶ τῶν αὐτῶν ἀρχιερέων †.

† Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ ἀπὸ τῆς θεοσώστου πόλεως Αἴνου ἱερομόναχος Ἰγνάτιος, καὶ ἀνέφερεν, ὡς ἡ ἀδελφὴ αὐτοῦ Εὐδοκία ἡ Γλύκαινα ἐκείνῃ ἀνδρὶ τὴν ἰδίαν θυγατέρα κατὰ νόμους συνέζευξε, τῷ ἀπὸ τοῦ κλήρου τῆς ἐκεῖσε ἁγιωτάτης

μητροπόλεως Κωνσταντίνῳ τῷ Ἀσπρόφρυι, δοῦσα καὶ προικὸς χάριν αὐτῇ πράγματα, ὅσα καὶ ἐν τῷ γεγονότι συμφώνῳ περιλαμβάνονται, καὶ τοῦδε τοῦ γαμβροῦ ἐπὶ παιδὶ θήλει τὸν βίον ἀπολιπόντος, εἶτα μετὰ χρόνον ἕνα πρὸς τῷ ἡμίσει καὶ τὸ τοιοῦτον παιδίον τῷ χρεὼν ἐλειτούργησε, δυναστείᾳ δὲ χρησάμενος ὁ πενθερὸς ἐκράτησε μὲν καὶ ἀπὸ τῶν προικόθεν ἀνηκόντων τῇ γυναικὶ πραγμάτων ὑπέρπυρα τριάκοντα, κατέσχε δὲ καὶ ὑπεποιήσατο καὶ πάντα τὰ διαφέροντα τῷ υἱῷ, μετὰ καὶ τῆς γεννηματικῆς εἰσόδου τῆς ἐν τῇ τελευτῇ ἐκείνου καθευρεθείσης, καίπερ αὐτῆς οὐκ ὀλίγα ἀναλωσάσης ὑπέρ τε κηδείας καὶ μνημοσύνων τοῦ τε ἀνδρὸς καὶ τοῦ τοιούτου παιδίου, οὗ χάριν καὶ ἐδεήθη συνοδικῆς τυχεῖν διαγνώσεως. οὕτως οὖν ἐχούσης τῆς ὑποθέσεως διέγνωσται τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, προηγουμένως μὲν ἱκανωθῆναι τῇ ῥηθείσῃ γυναικὶ πᾶσαν τὴν προῖκα ταύτης ἀνελλιπῆ, ἔτι δὲ καὶ τὸ κατὰ νόμους θεωρετροϋπόβολον, δοθῆναί τε αὐτῇ καὶ ὑπέρπυρα εἰκοσιτέσσαρα ἕνεκεν διατροφῆς ἑαυτῆς τὸν πένθιμον χρόνον ὑπὲρ τοῦ ἀνδρὸς φυλαξάσης καὶ δικαιουμένης κατὰ νόμους ἐντεῦθεν ἐπὶ τοσοῦτον ἐκ τῶν ἐκείνου διατρέφεσθαι, ἐπεὶ καὶ τὸν κρείττονα καὶ μοναχικὸν εἵλετο βίον, μὴ ἀνεχομένη ἐπιπλέον διάγειν κατὰ κόσμον, χηρείαν τοῦ ἀνδρὸς δυστυχήσασα. ἐπὶ μέντοι τοῖς προσοῦσιν ἐκείνῳ πᾶσι πράγμασι, γονικοῖς δηλονότι οἰκήμασι καὶ ἀμπελίοις, καὶ λοιποῖς ἰδιοκτήτοις ἐκείνου, κρατῆσαι τὰ τῆς νεαρᾶς νομοθεσίας, ἐπεὶ τὸ παιδίον μετὰ θάνατον τοῦ ἀνδρὸς ἐτελεύτησε, καθ' ὃν εἴρηται τρόπον, καὶ εἰς τρεῖς μερίδας τούτων διαιρεθέντων, τὴν μίαν μὲν ὡς κληρονόμον λαβεῖν αὐτήν, τὴν ἑτέραν δὲ τὸν ἐκείνου πατέρα, εἰς δὲ τὴν τρίτην, πρῶτα μὲν καταλογισθῆναι, ὅσα παρὰ τῆσδε τῆς γυναικὸς ἀνάλωνται ὑπὲρ τῶν ψυχῶν κηδείας χάριν καὶ μνημοσύνων, τὰ δὲ περιττεύοντα ἐπ' ἴσης αὐτήν τε καὶ τὸν πενθερὸν συμμερίσασθαι, ὥστε τὸν μὲν ὑπὲρ τῆς τοῦ υἱοῦ ψυχῆς, τὴν δὲ ὑπὲρ τῆς τοῦ παιδίου φροντίζειν συνειδότων καὶ τῶν προκρίτων τοῦ κλήρου τῆς ἐκεῖσε ἁγιωτάτης μητροπόλεως· ὅθεν καὶ ὀφείλει οὗτος δὴ ὁ πενθερὸς στέρξαι καὶ μὴ ἀντειπεῖν ὅλως ἐπὶ τῇδε τῇ συνοδικῇ διαγνώσει τῆς ἡμῶν μετριότητος, ἐχούσης ὡς ἀνηνέχθη δηλονότι τῆς ὑποθέσεως, βεβαίως εἰδὼς, ὡς εἰ καὶ ἔτι καταδυναστεύσας οὐκ εὐπειθήσει, εὐθυνθήσεται κατὰ τὴν κανονικὴν παρατήρησιν, ὡς προδήλως τῷ δικαίῳ ἐναντιούμενος. ἐπεὶ δὲ ὁ τοιοῦτος πενθερὸς

διατείνεται καὶ ὡς τοῦ υἱοῦ τελευτήσαντος εὕρηνται ὑπέρπυρα ἐκείνου, διεγνώσθη καὶ περὶ τούτου, ὡς ἂν ἐξετάσεως ἀκριβοῦς γενομένης, εἴπερ δυνηθείη παραστῆσαι διὰ τοῦ καταστίχου, ὅπερ ἐποιήσατο πρὸς ἐκεῖνον, ἢ διὰ μαρτύρων ἀξιοπίστων ἀληθῆ τὰ περὶ τούτου, εὖ ἂν καὶ καλῶς ἔχοι· εἰ δ' οὖν, παύσεται παραλόγως ὀχλῶν. ταῦτα παρεκβληθέντα κ. τ. λ. †.

III. † Μηνὶ μαΐῳ, λ' ἡμέρᾳ, πέμπτῃ, ἰνδ. η', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Σάρδεων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυδίας, Γρηγορίου, τοῦ Νικομηδείας, ὑπερτίμου καὶ ἐξάρχου πάσης Βιθυνίας, Μαξίμου, τοῦ Χαλκηδόνος, ὑπερτίμου καὶ προέδρου Μαρωνείας, Θεοδούλου, τοῦ Ἀδριανουπόλεως καὶ ὑπερτίμου, Ἰγνατίου, τοῦ Μελιτηνῆς καὶ ὑπερτίμου, Θεοδοσίου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Δυρραχίου καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Μιτυλήνης καὶ ὑπερτίμου, Διονυσίου, τοῦ Ἄπρω, ὑπερτίμου καὶ τὸν τόπον ἐπέχοντος τοῦ Εὐχαίτων, Ἰωσὴφ, τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου καὶ τοῦ Βάρνας καὶ Καρβωνᾶ καὶ ὑπερτίμου, Μεθοδίου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Ἀνήνεγκεν ἐπὶ τῆς ἡμῶν μετριότητος προκαθημένης συνοδικῶς ὁ ἐν μοναχοῖς διάκονος Σίμων, ὡς εὑρισκομένου τούτου ἐν τῇ σεβασμίᾳ βασιλικῇ μονῇ τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Χριστοῦ καὶ ἐπικεκλημένῃ τοῦ Παντοκράτορος μοναχός τις τῶν ἐν τῇδε τῇ μονῇ ἀσκουμένων ἀπεχθείᾳ προκατειλημμένος ὧν κατ' αὐτοῦ, διεφήμισεν, ὡς ὁ τούτου δὴ τοῦ διακόνου πατὴρ τῇ τῶν Βωγομίλων δῆθεν αἱρέσει προσέκειτο, κἀντεῦθεν οὐκ ὀλίγων σκανδάλων ἐπιφυέντων καὶ τοῦ προστριβέντος αὐτῷ τοιούτου μώμου αἰρομένου καὶ ἐπὶ πολὺ αὐξομένου τε καὶ πλατυνομένου, ὁ διάκονος ὅδε ἐξετάσει δοθῆναι τὰ περὶ τούτου ἐκλιπαρεῖ, καὶ τοὺς ἀπελέγξοντας εἰς προῦπτον φανῆναι, εἴ τι τοιοῦτον συνήδεσαν ἐπ' αὐτῷ. ὁ μέντοι τὸ κατηγόρημα τόδε κεκινηκὼς παράστασιν εἰς τοῦτο παρασχεῖν ἐξ ἑαυτοῦ μὴ δεδυνημένος τινὰς τῶν θεληματαρίων εἰδέναι μᾶλλον τὰ περὶ τούτου προυβάλετο, οἳ δὴτα καὶ προσκληθέντες καὶ ἐρωτηθέντες περὶ μὲν τοῦ πατρὸς τοῦ

δηλωθέντος διακόνου μὴ ἐπίστασθαί τι τοιοῦτον διεβεβαιώσαντο καὶ ἀνωμολόγησαν, περὶ δέ γε τῆς μάμμης αὐτοῦ τὰ τῆς φήμης ταύτης εἶπον ἔχειν ἐξ ἀκοῆς, πλεῖστά γε μὴν ὑπερμαρτυροῦντες ἦσαν αὐτοῦ, ὅτι τε θεοφιλῶς τέθραπται καὶ σεμνῶς καὶ κοσμίως καὶ ἐκ παιδὸς τὰ θεῖα διδασκόμενος γράμματα τούτοις τὸ πλέον τῆς σπουδῆς ἐδίδου καὶ τῆς μελέτης. ἐξετάσεως δὲ γενομένης συνοδικῶς καὶ ἐπὶ τοῦ χρηματίσαντος πατριάρχου ἐκείνου κῦρ Ἰωάννου τοῦ Γλυκέος, ἀνώτερος μὲν τῆς τοιαύτης διαβολῆς ἀναδέδεικται, πλὴν ὑπερτεθέντος τοῦ πράγματος, ἵν' οὕτω τοῦ καιροῦ παρατρέχοντος καὶ ὁ τὸν κινηθέντα λόγον ἀπελέγξων φανείη, ἐπείπερ ἐξ ἐκείνου καὶ ἐς δεῦρο χρόνων ἤδη παρῳχηκότων ἑπτὰ οὐδεὶς εὕρηται, ἡ μετριότης ἡμῶν, καίπερ τῆς ὑπὲρ αὐτοῦ ταύτης μαρτυρίας ἀληθοῦς οὔσης, ὅμως πλείονος ἕνεκεν ἀσφαλείας καὶ ἔγγραφον ὁμολογίαν ἐκθέσθαι τοῦτον ἀπῄτησε, καθάπερ ἐχρῆν, οὗ δὴ καὶ ἐγγράφως πᾶσαν μὲν αἵρεσιν ἀποβαλομένου καὶ ἀναθέματι καθυποβαλόντος, τοῦ εὐσεβοῦς δὲ τῶν χριστιανῶν δόγματος, ὥσπερ δῆτα καὶ τῆς κλήσεως, ὁλοφύχως καὶ πάσῃ γνώμῃ τυγχάνειν ἐξασφαλισαμένου, ἐδικαίωσε τοῦτον ἡ μετριότης ἡμῶν σύναμα τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν, μένειν ἐπὶ τοῦ οἰκείου βαθμοῦ καὶ ἀκωλύτως μετιέναι τὸ λειτούργημα τῆς διακονίας αὐτοῦ, καὶ εἰς μείζονα προβιβασθῆναι δεῆσαν, ἅτε μετὰ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξέτασιν ἀνώτερον ἀναφανέντα, ὡς δεδήλωται, τοῦ τοιούτου κατηγορήματος καὶ παρὰ πάντων τῶν ἀκριβῶς ἐπισταμένων τὰ κατ' αὐτὸν θεοφιλοῦς ἀντιποιεῖσθαι ἀγωγῆς μαρτυρούμενον, κἀντεῦθεν μηδένα ἔχοντα εἰς τοῦτο ἐμποδισμὸν κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος βεβαιωθέντα καὶ πιστωθέντα ἐπεδόθη μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις ἔτους ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ τριακοστοῦ τρίτου †.

IV. † Μηνὶ ἰουνίῳ ..... ἰνδ. η'. προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ τῶν αὐτῶν ἱερωτάτων ἀρχιερέων †.

† Ἀνήνεγκεν ἐπὶ τοῦ καθ' ἡμᾶς ἱεροῦ συνοδικοῦ δικαστηρίου ἡ ἀπὸ τῆς χώρας τῶν Ἐννακοσίων χήρα γυνὴ ἡ Ἀποστολίνα, ὡς τὴν ἰδίαν θυγατέρα ὄγδοον τῆς ἡλικίας ἄγουσαν χρόνον πρεσβύτερός τις Πανθήρης καλούμενος ἀνδρί τινι συνήρμοσε δι' ἀρραβωνικῶν δεσμῶν, Θεοδώρῳ τῷ Διακονίτῃ, καὶ χρόνων ἤδη πέντε ἐξ ἐκείνου παραρρυέντων οὐ μόνον διαφόρως ἐπεβούλευσε ταύτῃ, ἀλλὰ καὶ πολλῶν ἀνιαρῶν γέγονε πρόξενος, ἄσπονδον δὲ μῖσος καὶ τῆς θυγατρὸς ἐπ' αὐτῷ τρεφούσης, καὶ μηδὲ ὀφθαλμοῖς ἰδεῖν τοῦτον φερούσης, ἐδεήθη συνοδικῆς διαγνώσεως. παρὼν δὲ καὶ ὁ τοιοῦτος Θεόδωρος καὶ ἀπολογήσασθαι προτραπεὶς προεβάλετο, ἀληθῶς μὲν ἔχειν, ὅτι δὴ ὀκταετὴς ἡ κόρη ἐτύγχανεν, ἡνίκα δι' ἀρραβωνικῶν δεσμῶν ὁ εἰρημένος πρεσβύτερος αὐτῷ ταύτην συνήρμοσε, διετείνετο δὲ κωλύεσθαι παρὰ τῆς μητρὸς πρὸς τὴν ταύτης συνοίκησιν. ἡ γοῦν μετριότης ἡμῶν συνδιασκεψαμένη τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν καὶ παράγομον κρίνασα τόδε τὸ συνοικέσιον διὰ τὴν τοσαύτην τῆς κόρης ἀνηβότητα, κἀντεῦθεν ἀκύρους εἶναι νομίσασα καὶ τοὺς ἐπ' αὐτῇ προβάντας τοιούτους ἀρραβωνικοὺς δεσμούς, τἆλλα πάντα ἐάσασα ἀπεφήνατο, εἶναι ἀπ' ἀλλήλων ἄμφω τὰ μέρη τὸ ἀπὸ τοῦδε διεζευγμένα, τῆς ἀνηβότητος αἰτίας οὔσης πρὸς τοῦτο, ἐπείπερ οἱ θεῖοι νόμοι τὸν δωδέκατον χρόνον ἀνύειν τὴν μέλλουσαν ἀνδρὶ συζευχθῆναι διαγορεύουσι, καὶ ἀπολαβεῖν, εἴ τι καὶ ὅσον θάτερον θατέρου κατέχει πρᾶγμα παρ' ἑαυτῷ, τὸν δέ γε συστήσαντα παρανόμως οὕτω πρεσβύτερον τὸ μεταξὺ αὐτῶν συνοικέσιον ἐπισχημένον τοῦ ἱερουργεῖν εἶναι· ἔδει γὰρ αὐτὸν μὴ ἀπροόπτως οὕτω καὶ ἀπερισκέπτως τὰ τοιαῦτα προβαίνειν παραχωρεῖν, ἀλλὰ πᾶσι τρόποις ἐξακριβοῦσθαι καὶ ὁδηγοῦντας ἔχειν τοὺς θείους νόμους. ἔσονται τοίνυν ἄμφω τὰ μέρη, ὡς εἴρηται, ἀπ' ἀλλήλων διεζευγμένα, ἐπ' ἀδείας ἔχοντα, ἑτέροις, εἴ γε βούλοιντο, ὁμιλῆσαι γάμοις, ἀντιστρέφαντα πρότερον, εἴ τι καὶ ὅσον πρᾶγμα ἀνήκει τούτοις παρ' ἑκατέρου. ταῦτα παρεκβληθέντα κ. τ. λ. †.

V. † Μηνὶ τῷ αὐτῷ, ιζ' ἡμέρᾳ, δευτέρᾳ, ἰνδ. η', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ αὐτῷ τόπῳ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τῶν αὐτῶν ἱερωτάτων ἀρχιερέων †.

† Παρέστη τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ Ἰωάννης ὁ Τριακοντάφυλλος, καὶ ἀνέφερεν, ὡς ὁ πατὴρ αὐτοῦ ὁ Μονομάχος ἐκεῖνος, μονύδριόν τι κεκτημένος ἐκ γονικότητος περὶ τὸ κάστρον τοῦ Ἐξαμιλίου, εἰς ὄνομα τιμώμενον τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης Παχνιωτίσσης, ἐξέδοτο τοῦτο ἰδίῳ ἑαυτοῦ γράμματι πρὸς τὸν.... ὃν αὐτοῦ τὸν μοναχὸν Βαρλαὰμ μετὰ πάντων τῶν προσόντων αὐτῷ, καιροῦ δὲ ἱκανοῦ παρελθόντος, δεξιωσάμενος τοῦτον ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ Ἰωάννης ὁ Φιλανθρωπηνός, τῷ δοκεῖν μὲν, ὅπερ εἶχε κτητορικὸν δίκαιον ἔλαβε παρ' αὐτοῦ, τῇ δ' ἀληθείᾳ, ἐξωνήσατο τὸ τοιοῦτον μονύδριον εἰς ὑπέρπυρα ἑβδομηκονταδύο, ὃν δὴ τρόπον καὶ τὸ πρὸς αὐτὸν γεγονὸς γράμμα διέξεισιν, ὅθεν οὗτος δὴ ὁ Τριακοντάφυλλος ἀντικριθῆναι τῷ αὐτῷ Φιλανθρωπηνῷ ἐδεήθη. παρὼν δὲ καὶ αὐτὸς καὶ τῶν εἰρημένων ἐπακροώμενος διετείνετο ἐκδοῦναι αὐτῷ τόνδε τὸν μοναχὸν Βαρλαὰμ διὰ γράμματος τὰ ἐπὶ τῷ ῥηθέντι μονυδρίῳ ἑαυτοῦ δίκαια εἰδήσει καὶ συναινέσει καὶ γνώμῃ καὶ τοῦ τοιούτου Τριακονταφύλλου καὶ ἀντιλαβεῖν παρ' αὐτοῦ τὰ τοιαῦτα ἑβδομηκονταδύο ὑπέρπυρα, κἀντεῦθεν θαρρήσας οὗτος ἐπέβαλε χεῖρα ἐπὶ τῇ ὑποκειμένῃ τῷδε τῷ μονυδρίῳ γῇ, ζεύγη βοῶν συστησάμενος καὶ εἰς ζευγηλατεῖον ἀποκαταστήσας αὐτὴν, πρὸς δὲ καὶ ἀμπέλιον καταφυτεύσας καὶ ὑδρομύλωνας καὶ ἕτερα οὐκ ὀλίγα ἐκεῖσε προσθέμενος. ἡ γοῦν μετριότης ἡμῶν συνδιασκεψαμένη τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ἄκυρον ἡγησαμένη καὶ κρίνασα τὴν τοιαύτην πρᾶξιν, ἄντικρυς διάπρασιν οὖσαν, ἅτε τῶν ἱερῶν κανόνων ἀνεκποίητα τὸν ἀεὶ χρόνον τυγχάνειν παρακελευομένων τὰ ἀφιερωμένα θεῷ, διέγνω καὶ ἀπεφήνατο, τελεῖν αὐτοδέσποτον πάντη καὶ ἀκαταδούλωτον ἀπὸ παντὸς κοσμικοῦ προσώπου τὸ τοιοῦτον μονύδριον τῆς Παχνιωτίσσης, καὶ ἀντιστρέψαι τὸν δηλωθέντα μοναχὸν Βαρλαὰμ τῷ ῥηθέντι Φιλανθρωπηνῷ, ἅπερ ἔλαβε παρ' αὐτοῦ τούτου χάριν ἑβδομηκονταδύο ὑπέρπυρα, οὐδὲ γὰρ εἶχεν ἐπ' ἀδείας ὅλως αὐτὸς πρᾶσιν ἐπὶ τοῖς τοιούτοις ποιεῖσθαι. ἐπεὶ δὲ ὁ εἰρημένος Φιλανθρωπηνὸς ἀπαιτῶν ἦν τὰς προσθήκας ἑαυτοῦ καὶ τὰς βελτιώσεις καὶ τὰ συστήματα, δίκαιον ἐκρίθη, ὡς ἂν ἐξετάσεως ἀκριβοῦς γενομένης μετ' ἀσφαλείας τῆς προσηκούσης, ὅσα μὲν ἀναφανείη προσεῖναι τὴν ἀρχὴν τῷ τοιούτῳ μονυδρίῳ διά τε εἰκόνων καὶ βιβλίων,

ἔτι δὲ κτημάτων καὶ πραγμάτων, ἐξ ὅτου δηλονότι ἐπελάβετο τούτου ὁ αὐτὸς Φιλανθρωπηνός, καὶ ὅσα οἱ φιλόχριστοι θεραπείας εὐμοιροῦντες παρὰ τῆς θεομήτορος τῷ πρὸς αὐτὴν θερμῷ πόθῳ, προσενέξεως χάριν συνεισέφερον ἐκεῖσε διά τε κόσμων ἱερῶν καὶ βιβλίων, εὑρίσκωνται ταῦτα καὶ πάλιν ἀναφαιρέτως ὑπὸ τοῦτο δὴ τὸ μονύδριον, ὅσα δ' ἐξ οἰκείων ἀναλωμάτων ὅδε ὁ Φιλανθρωπηνὸς προσέθετο ἐν αὐτῷ, εἰ μὲν αἱροῖτο καὶ βούλοιτο ἐᾶσαι ταῦτα ψυχικῆς ἕνεκεν ἑαυτοῦ σωτηρίας, εὖ ἂν καὶ καλῶς ἔχοι· εἰ δ' οὖν, λάβῃ ταῦτα καὶ ὑπεκστῇ τῆς τε κατοχῆς καὶ ἐφορείας αὐτοῦ, ἀπέχοντος ἐκεῖθεν κατὰ τὸν ὅμοιον τρόπον καὶ τοῦ τοιούτου Τριακονταφύλλου, μόνων τῶν κτητόρων τὴν συνήθη μνήμην ἐχόντων, ἅτε τοῦ κατὰ τὸν τόπον ἐπισκόπου τὴν πνευματικὴν ἀνάκρισιν ἐπὶ τούτῳ ἔχειν ὀφείλοντος κατὰ τὴν τῶν ἱερῶν κανόνων ἀκριβῆ παρατήρησιν. περὶ μέντοι τῆς κατασπορᾶς, ἣν ἐπὶ τῇ ῥηθείσῃ τοῦ μονυδρίου γῇ ὁ διαληφθεὶς Φιλανθρωπηνὸς κατέσπειρεν, ἐτάχθη καὶ διεγνώσθη, ὡς ἂν, ἐπεὶ καλῇ πίστει τὰ σπέρματα κατεβάλετο ἐν αὐτῇ ἰδίοις πόνοις καὶ ἀναλώμασι, συγκλείσῃ καὶ συναγάγῃ ταῦτα ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως, λάβῃ τε καὶ τὴν ἡμίσειαν τῶν ὑδρομυλώνων μερίδα, κἂι ὅσην εἰς τὰ οἰκήματα κατηνάλωσεν ἔξοδον, εἴπερ οὔτε ὑδρομύλωνα εὗρεν, ἡνίκα ἐπελάβετο τοῦ τοιούτου μονυδρίου, οὔτε μὴν οἰκήματα, ἐπὶ δέ γε τῷ καταφυτευθέντι παρ' αὐτοῦ ἀμπελίῳ κρατήσῃ ἡ τοπικὴ συνήθεια κατὰ τὸν γεωργικὸν νόμον. τοίνυν καὶ ὀφείλει πραχθῆναι τὰ περὶ τούτου κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν. ταῦτα παρεκβληθέντα κ. τ. λ. †.

VI. †. Μηνὶ τῷ αὐτῷ, ιζ', ἡμέρᾳ τῇ αὐτῇ, ἰνδ. η'. προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ αὐτῷ τόπῳ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ τῶν αὐτῶν ἱερωτάτων ἀρχιερέων †.

† Πρό τινος ἤδη καιροῦ ἀνέφερεν ἐπὶ τῆς ἡμῶν μετριότητος προκαθημένης συνοδικῶς ὅ τε οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μοῦ αὐτοκράτορι κῦρ Ἰωάννης ὁ Τριακοντάφυλλος καὶ ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ Γεώργιος ὁ Καβαλλάριος, ὡς ὁ Ἀβάκης ἐκεῖνος δύο γαμβροὺς ἠγάγετο ἐπὶ ταῖς ἑαυτοῦ θυγατράσι,

τόν τε αὐτάδελφον τοῦ αὐτοῦ Τριακονταφύλλου τὸν Μακρυδούκαν ἐκεῖνον καὶ τὸν οἰκεῖον τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ ..... τὸν Παλαιολόγον, ὃς δὴ Μακρυδούκας καὶ θυγατέρα γεγεννηκὼς ἔλαθε δι' ἀρραβωνικῶν δεσμῶν συναρμόσας αὐτὴν τῷ πρὸς μητρὸς θείῳ τοῦ συγγάμβρου αὐτοῦ τοῦ δηλωθέντος Παλαιολόγου, τῷ εἰρημένῳ Καβαλλαρίῳ, ὅτε δὴ καὶ δεηθέντων τούτων συνοδικῆς τυχεῖν διαγνώσεως, εἴ γε δέον τὸ τοιοῦτον συνίστασθαι συνοικέσιον, οὐδόλως παρεχωρήθη τοῦτο προβῆναι, ἤδη δὲ καὶ πάλιν συνοδικῶς παραστὰς ὁ τοιοῦτος Τριακοντάφυλλος, διαγνώσεως ἐδεήθη τυχεῖν. διέγνωσται οὖν τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν, ἕκτου μὲν ἐξ ἀγχιστείας βαθμοῦ τυγχάνειν τὸ ῥηθὲν συνοικέσιον, σύγχυσιν δὲ τῶν τῆς συγγενείας ὀνομάτων συμβαίνειν, καὶ ἐπεὶ κατὰ τὴν τῶν ἱερῶν κανόνων ἀκριβῆ παρατήρησιν οὐδόλως τὰ τοιαῦτα παρακεχώρηται, συγχύσεως γενομένης τῶν ὀνομάτων ἐντεῦθεν, συμβαίνει γὰρ τὸν αὐτὸν ἐν τῷ μέρει καὶ θεῖον καὶ ἀνεψιὸν ὀνομάζεσθαι, ἄκυρον νομίζεται τὸ τοιοῦτον συνοικέσιον καὶ ὡς μηδὲ τὴν ἀρχὴν ὅλως προβὰν· ἔσονται τοίνυν ἄμφω τὰ μέρη ἀπ' ἀλλήλων διεζευγμένα ἔχοντα ἐπ' ἀδείας, ἑτέροις, εἴ γε βούλοιντο, ὁμιλῆσαι γάμοις, ἐχούσης ὡς ἀνηνέχθη δηλονότι τῆς ὑποθέσεως. ταῦτα παρεκβληθέντα κ. τ. λ. †.

LXIV. 6834—1325 septembri ind. IX.

Synodus dirimit controversiam.

† Μηνὶ σεπτεμβρίῳ, κζ', ἡμέρᾳ παρασκευῇ, ἰνδ. θ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Σάρδεων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυδίας, Γρηγορίου, τοῦ Νικομηδείας, ὑπερτίμου καὶ ἐξάρχου πάσης Βιθυνίας, Μαξίμου, τοῦ Χαλκηδόνος, ὑπερτίμου καὶ προέδρου Μαρωνείας, Θεοδούλου, τοῦ Μελιτηνῆς καὶ ὑπερτίμου, Θεοδοσίου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Δυρραχίου καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Μιτυλήνης καὶ ὑπερτίμου, Διονυσίου καὶ τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Ἀνήνεγκεν ἐπὶ τῆς ἡμῶν μετριότητος προκαθημένης συνοδικῶς ὁ ἀπὸ τῆς ἐν τῇ θεοσώστῳ πόλει Θεσσαλονίκης σεβασμίας βασιλικῆς μονῆς τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Χριστοῦ καὶ ἐπικεκλημένης τοῦ Φιλοκάλου διάκονος καὶ ἐκκλησιάρχης μοναχὸς Μαλαχίας, ὡς μοναχός τις τῶν ἐν τῇ τοιαύτῃ μονῇ ἀσκουμένων Δοσίθεος καλούμενος ἔκστασιν φρενῶν καὶ παρατροπὴν πάσχων κατὰ καιρικὰ διαστήματα ἐκ νόσου ἐπιλειψίας, θεραπείαν τῷ πάθει ἐπιζητῶν ἦν, ἐντύχων δέ τινι τῇ τῶν Βωγομίλων αἱρέσει, ὡς ἔοικε, προσκειμένῳ καὶ τὰ περὶ τούτου αὐτῷ κοινωσάμενος, ἤκουσε παρ' ἐκείνου, εἴπερ ἀπαλλαγὴν ἐθέλοι τοῦ συνέχοντος πάθους εὑρεῖν, μιάναι τὸ τῶν ἁγίων θεοφανίων ἁγίασμα καὶ ἐκ τούτου πιεῖν, καὶ τοῖς τούτου λόγοις παρασυρεὶς καὶ τὴν γνώμην ματαιωθεὶς ἐτόλμησε τὴν τοιαύτην μυσαρὰν πρᾶξιν μή τινος λαβόντος αἴσθησιν τῶν ἐν τῇ μονῇ, ἀσθενείᾳ δὲ δεινῇ περιπεσὼν καὶ ἤδη πνέων τὰ λοίσθια προσεκαλέσατο πνευματικὸν τὸν ἱερομόναχον Ἡσαΐαν καὶ τῶν κατ' αὐτὸν ποιησάμενος πρὸς τοῦτον ἐξαγορίαν, ἀνωμολόγησε καὶ τόδε τὸ τόλμημα, ὃς δὴ πνευματικὸς καὶ ἡμερῶν τριῶν παρελθουσῶν οὐκ ἀνεκάλυφε πρός τινα, ἀλλ' εἶχε παρ' ἑαυτῷ· ἔπειτα ἐξεῖπε τοῦτο πρὸς τὸν δηλωθέντα ἐκκλησιάρχην, βουληθεὶς δὲ οὗτος πεῖρᾳ γνῶναι κατὰ δοκιμασίαν, ὅπως ἔχον ἐστὶ τὸ μιανθέν, λαβὼν ἐξ ὑάλου φυάλην ἀπῆλθεν εἰς τὴν κολυμβήθραν, ἔνθα εὑρίσκετο τοῦτο, καὶ τοῖς μυκτῆρσι προσεγγίσας καὶ ἀκριβῶς ἐξετάσας αὐτὸ οὐχ εὗρε, καθὼς εἶχε δι' ὑποψίας. μοναχὸς δέ τις Ἰωσὴφ καλούμενος εἰς παρεκκλησιάρχην εὑρισκόμενος τηνικαῦτα καὶ ἀπέχθειαν ἐπ' αὐτῷ τρέφων ἐκ τοῦ μεταστῆναι παρὰ τούτου τῆς ἑαυτοῦ διακονίας, μετὰ δύο μῆνας τῆς μονῆς ἀποδράσας λιβέλλου γράμμα κατὰ τούτου πρὸ τῆς πύλης αὐτῆς ἔρριψεν, ὡς καὶ αὐτοῦ δῆθεν μιασμὸν ἐπὶ τούτῳ πεποιηκότος· εἶτα ἀναζητήσας τὸν τοιοῦτον Ἰωσὴφ ὅδε ὁ ἐκκλησιάρχης καὶ εὑρών, καθείλκυσεν ἐπὶ τοῦ ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης, ὑπερτίμου καὶ ἐξάρχου πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῦ, ὥστε τοῦ κινηθέντος δοῦναι παράστασιν, καὶ οὔτ' ἐξ ἑαυτοῦ, οὔτε διὰ μαρτύρων εἶδεν ἰσχύοντα παραστῆσαι τὸ ῥηθὲν κατηγόρημα, καὶ παραπεμφθεὶς ὁ δηλωθεὶς ἐκκλησιάρχης εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον παρά τε τοῦ τοιούτου ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης καὶ ὑπερτίμου

καὶ παρὰ τοῦ καθηγουμένου τῆς εἰρημένης μονῆς καὶ τῶν ἐν αὐτῇ μοναχῶν, ἐπεὶ καὶ ὁ τοιοῦτος Ἰωσὴφ πλεῖστα παρὰ τούτων ἐκβιασθεὶς ἐνταῦθα σὺν τούτῳ καταλαβεῖν οὐδόλως ἠθέλησε, συνοδικῆς διαγνώσεως ἐδεήθη τυχεῖν. οὕτως οὖν ἐχούσης τῆς ὑποθέσεως διέγνωσται τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν, αὐτὸν μὲν δὴ τοῦτον τὸν ἐκκλησιάρχην ἀνέγκλητον εἶναι καὶ ἀνεύθυνον, ἐπεὶ γὰρ ὁ κατηγορήσας ἀπέχθειαν κατ' αὐτοῦ τρέφων, ὡς εἴρηται, τὴν τοιαύτην κατηγορίαν ἐπλάσατο, καὶ ἀπαιτηθεὶς ταύτης παράστασιν οὐδαμῶς ἴσχυσε δοῦναι, καὶ τὸ τοῦ λιβέλλου γράμμα ἐν δισταγμῷ τὰ τῆς κατηγορίας διέξεισι ἔχον καθαρῶς ἐπὶ λέξεως· „δοκεῖν ἐκείνῳ καὶ φαίνεσθαι γενέσθαι παρὰ τούτου τὸν μιασμόν" ἀθῶος ἐντεῦθεν οὗτος καὶ πάντη ἀνώτερος τῆς τοιαύτης διαβολῆς κρίνεται, ὅθεν καὶ ἔσται μένων ἐπὶ τοῦ οἰκείου βαθμοῦ, ἀκολούτως ἐνεργῶν καὶ μετερχόμενος τὸ λειτούργημα τῆς διακονίας αὐτοῦ, καὶ εἰς μείζονα δεῆσαν προβιβασθήσεται, ὡς μηδένα ἔχων εἰς τοῦτο ἐμποδισμόν, ἐπεὶ καὶ παρὰ τῶν ἀκριβῶς εἰδότων τὰ κατ' αὐτόν, καὶ τοῦ καθηγουμένου καὶ πάντων τῶν μοναχῶν, θεοφιλοῦς ἀντιποιεῖσθαι ἀγωγῆς μεμαρτύρηται, ἐφ' ὅσον ἐστὶν ἐν τῇ ῥηθείσῃ μονῇ εὑρισκόμενος. ὅ γε μὴν σκαιωρίσας καὶ πλασάμενος κατὰ τοῦδε τοῦ ἐκκλησιάρχου τὴν τοιαύτην κατηγορίαν ὀφείλει μένειν ἀργὸς καθάπαξ τοῦ ἱερουργεῖν, ὁπουδήποτε εὑρισκόμενος, ἅτε ψευδῆ καὶ ἀσύστατα κατειπὼν τούτου, καὶ ἀπὸ κοιλίας εἰκῆ καὶ μάτην φθεγξάμενος. περὶ δέ γε τοῦ ῥηθέντος πνευματικοῦ τοῦ Ἡσαΐου μὴ αὐτίκα τὸν μιασμὸν ἀνομολογήσαντος, καθάπερ ἐχρῆν, ἀλλ' ἐπὶ τοσαύταις ἡμέραις παρυποκρύψαντος καὶ αἰτίου γεγενημένου τοῖς μετασχοῦσι μετὰ τοῦτο τοῦ μιασμοῦ, εἴπερ δὴ καὶ μετέσχον, διέγνωσται συνοδικῶς, ἐπισχημένον εἶναι αὐτὸν τοῦ ἱερουργεῖν ἐπὶ μῆνας ἕξ. ὀφείλουσι μέντοι τὸ ἀπὸ τοῦδε ὅ τε καθηγούμενος τῆς δηλωθείσης μονῆς καὶ οἱ τοιοῦτοι μοναχοὶ μὴ ἐν ἀνέτῳ τόπῳ ἐᾶν τὸ τῶν ἁγίων θεοφανίων ἁγίασμα, ἀλλ' ἐν ἀσφαλεῖ καὶ τοῖς πολλοῖς ἀβάτῳ συντηρεῖν, ὥστε μὴ ἐξεῖναι τῷ βουλομένῳ ἐπίβουλόν τι ἐπὶ τούτου ποιεῖν. καὶ γοῦν ὀφείλει πραχθῆναι τὰ περὶ τούτου κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτο-

φύλακος βεβαιωθέντα καὶ πιστωθέντα ἐπεδόθη μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις, ἔτους, ϛου ωου λου δου †.

LXV. 6835—1327 ianuario ind. X.

Synodus committit metropolitae Caesareensi curam variarum ecclesiarum Orientis per adiunctionem.

† Μηνὶ ἰανουαρίῳ, ἡμέρᾳ δευτέρᾳ ἰνδ. ι', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἡσαΐου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Σάρδεων, τοῦ Νικομηδείας, τοῦ Χαλκηδόνος, τοῦ Ἀδριανουπόλεως, τοῦ Προύσης, τοῦ Δυρραχίου, τοῦ Μελενίκου καὶ τοῦ Λιτβῶν, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς πάσχοντες· εὐαγγελικὴ μὲν ἡ ῥῆσις, ὃ δὲ βούλεται καὶ πρὸς ὃ τὴν ἡμετέραν διάνοιαν ἐγρηγορέναι παρεγγυᾷ, οὐκ ἀσαφὴς, οὐδὲ πολλῶν πάντως εἰς ἀνάπτυξιν δεομένη τυγχάνει τῶν λόγων τοῖς τὸν νοῦν ὑγιαίνουσι· ψυχῶν τοιγαροῦν ἡμᾶς οἰκονομίαν καὶ ἰατρείαν πεπιστευμένους περὶ ἐκείνας μάλιστα εἰκότως τὰ τῆς σπουδῆς ἔχει, αἳ ποιμένων ἀμοιροῦσι πνευματικῶν, καὶ διὰ τοῦτο εὐόλισθος αὐταῖς εἶναι πέφυκεν ἡ ἀναστροφή. ἐπειδὴ τοίνυν αἱ κατὰ τὸν τόπον τῆς Ἀνατολῆς ἁγιώταται μητροπόλεις, ἡ τῆς Σεβαστείας δηλονότι, ἡ τῶν Εὐχαίτων, ἡ τοῦ Ἰκονίου, ἡ τοῦ Μωκησοῦ καὶ ἡ ἁγιωτάτη ἀρχιεπισκοπὴ Ναζιανζὸς ἀμοιροῦσι γνησίων ἀρχιερέων ἐπὶ χρόνον ἤδη συχνὸν διὰ τὴν ἐπικρατήσασαν παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν σύγχυσιν καὶ ἀνωμαλίαν ἐκ τῆς τῶν ἀθέων ἐχθρῶν ἐπιθέσεως, καὶ ἐντεῦθεν στερεῖται ὁ ὑπ' αὐτὰς χριστιανικὸς λαὸς ἀρχιερατικῆς ἐπιστασίας καὶ ἐπισκέψεως καὶ τοῦ ἀπὸ ταύτης ἁγιασμοῦ, ἡ μετριότης ἡμῶν συνδιασκεψαμένη τὰ περὶ τούτου τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν, ἐπέτρεψε καὶ ἀνέθετο τῷ ἱερωτάτῳ μητροπολίτῃ Καισαρείας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ἀνατολῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ, ὡς πλησιοχωροῦντι ταῖς τοιαύταις ἐκκλησίαις καὶ διὰ τὸ μὴ εὐχερὲς εἶναι τό γε νῦν ἔχον γνησίους αὐταῖς ἐπικηρυχθῆναι ἀρχιερεῖς, ὥστε ἰθύνειν ταύτας καὶ διεξάγειν ἀρχιερατικῶς κατὰ λόγον ἐπιδόσεως. τοίνυν καὶ ἐπιλήψεται τούτων καὶ πάν-

των τῶν διαφερόντων αὐταῖς κτημάτων καὶ πραγμάτων καὶ πνευματικῶς ἐπισκέψεται καὶ ποιμανεῖ τὸν ὑπ' αὐτὰς κλῆρον καὶ τὸν λοιπὸν χριστιανικὸν λαὸν καὶ εἰς διακόνους ἐξ αὐτῶν καὶ πρεσβυτέρους χειροτονήσει καὶ προβιβάσει κατὰ τὴν ἐκκλησιαστικὴν καὶ κανονικὴν παράδοσιν καὶ πάντα τἄλλα ἐπ' αὐταῖς, ὅσα καὶ τοῖς γνησίοις ἐφεῖται ἀρχιερεῦσι, διαπράξεται, ἄνευ μέντοι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως· ὅθεν καὶ ὀφείλουσι καὶ οἱ κληρικοὶ τῶν τοιούτων ἁγιωτάτων ἐκκλησιῶν καὶ οἱ τοῦ λοιποῦ χριστιανικοῦ πληρώματος πάντες ὑποκύπτειν τούτῳ καὶ ὑπακούειν καὶ εὐπειθεῖν καὶ τὴν πνευματικὴν αὐτοῦ παραίνεσιν καὶ εἰσήγησιν δέχεσθαι καὶ ἀποπληροῦν, καταρτίζουσαν αὐτοὺς εἰς τὰ ψυχωφελῆ καὶ σωτήρια. ἐπειδὰν μέντοι ἐπιψηφισθῇ ἀρχιερεὺς γνήσιός τινι τῶν τοιούτων ἁγιωτάτων ἐκκλησιῶν, ὀφείλει ὁ αὐτὸς ἱερώτατος ἀρχιερεὺς Καισαρείας ὑπεξίστασθαι τῆς ἐκκλησίας ταύτης καὶ παραχωρεῖν ἐκείνῳ τῆς αὐτῆς κατοχῆς καὶ ἀρχιερατικῆς κυβερνήσεως. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων, καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος βεβαιωθέντα καὶ πιστωθέντα ἐπεδόθη μηνὶ καὶ ἰνδ. τοῖς προγεγραμμένοις ἔτους ,ϛου ωου λου εου †.

LXVI. 6836—1327 septembri ind. XI.

Synodus dirimit controversiam.

† Μηνὶ σεπτεμβρίῳ, ἡμέρᾳ β', ἰνδ. ια'. προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἡσαΐου, ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Νικομηδείας, ὑπερτίμου καὶ ἐξάρχου πάσης Βιθυνίας, Μαξίμου, τοῦ Νικαίας καὶ ὑπερτίμου, Καλλιστράτου, τοῦ Χαλκηδόνος, ὑπερτίμου καὶ προέδρου Μαρωνείας, Θεοδούλου, τοῦ Μονεμβασίας καὶ ὑπερτίμου, Ἰωάννου, τοῦ Προύσης, ὑπερτίμου καὶ προέδρου Βιζύης, Νικολάου, τοῦ Δυρραχίου, ὑπερτίμου καὶ προέδρου Σελυβρίας, Γρηγορίου, τοῦ Μιτυλήνης καὶ ὑπερτίμου Διονυσίου, τοῦ Σουγδαίας καὶ ὑπερτίμου Λουκᾶ, τοῦ Βάρνης, ὑπερτίμου καὶ προέδρου Χριστουπόλεως, Μαρκέλλου καὶ τοῦ ἀρχιεπισκόπου Λοπαδίου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Ὁ ἱερώτατος μητροπολίτης Σερρῶν καὶ ὑπέρτιμος, ἐν ἁγίῳ

πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, συνεδριάζων τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς, ἀνέφερεν, ὡς ὁ ὑπ' αὐτὸν θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἔσχε μὲν αἰτήσας παρὰ τοῦ μητροπολίτου Σερρῶν κῦρ Νίφωνος ἐκείνου μονύδριόν τι τῆς μητροπόλεως, εἰς ὄνομα τιμώμενον τοῦ δεσπότου σωτῆρος Χριστοῦ καὶ ἐπικεκλημένον τῆς Γαστελέγκου· μετὰ μέντοι τὴν ἐκείνου ἀποβίωσιν ἔσχε καὶ ἐκ παραδόσεως τῶν αὐτῆς κληρικῶν μονύδρια δύο, τὸ μὲν ἓν εἰς ὄνομα τιμώμενον τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένον τῆς Βοριτζοῦς, τὸ ἕτερον δὲ ἐπ' ὀνόματι τετιμημένον καὶ αὐτὸ τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένον οὕτω πως τοῦ Δοχῆνος, ἐφ' ᾗ δὴ ἐκδόσει τῶν κληρικῶν καὶ πατριαρχικὸν ἐπορίσατο γράμμα, τὸ ἀναφαίρετον τούτοις περιποιούμενον ὑπὸ βάρει ἐπιτιμίου, ἐξέδοτο δὲ καὶ ἐξ ὧν εἶχον ταῦτα δὴ τὰ μονύδρια ὑδρομυλώνων καὶ χωραφίων, πρὸς οὓς ἄρα καὶ ἐξέδοτο, καὶ ἐζήτησεν, εἴ γε δέον, ἀνασωθῆναι καὶ ἀποκαταστῆναι αὐτά τε καὶ τὰ αὐτῶν κτήματα τῇ μητροπόλει πάλιν, ἅτε δὲ παρὰ τῶν κληρικῶν ἀμετόχως ἐκδοθέντα μηδεμίαν εἰς τὰ τῆς ἐκκλησίας ἐχόντων ἄδειαν, ὡς τοῖς ἱεροῖς κανόσι περὶ τούτου δοκεῖ, ἔλεγε δὲ ἅμα καὶ ὡς σχεδὸν πάντων τῶν ὑπ' αὐτὴν μονυδρίων ἡ κατ' αὐτὸν μητρόπολις ἐστέρηται, περιελθόντων εἴς τε ἄλλους καὶ εἰς τὸν αὐτὸν θεοφιλέστατον ἐπίσκοπον Ζιχνῶν κατὰ τὸν εἰρημένον τρόπον, τῆς τῶν ἀρχιερέων δηλαδὴ ἐκδόσεως καὶ τῆς τῶν κληρικῶν. παρόντος τοίνυν τῷ δικαστηρίῳ καὶ αὐτοῦ δὴ τοῦ Ζιχνῶν καὶ μηδὲν ἔχοντος ἐπὶ τοῖς εἰρημένοις ἀντιλέξαι, ἀλλ' ὁμολογοῦντος τὸν αὐτὸν τρόπον περιελθεῖν αὐτῷ τὰ εἰρημένα μονύδρια, ἡ μετριότης ἡμῶν συνδιασκεψαμένη τὰ περὶ τούτου τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν, ἐδικαίωσεν ἀποκαταστῆναι τῇ μητροπόλει, ὅσα οἱ κληρικοὶ παρὰ γνώμην τοῦ ἰδίου ἀρχιερέως ἐκδεδώκασι τῶν μονυδρίων ἢ καὶ τῶν ἄλλων αὐτῆς πραγμάτων, καὶ ὅσα τούτων αὐτὸς δὴ ὁ θεοφιλέστατος ἐπίσκοπος Ζιχνῶν ἐξεποιήσατο καὶ ἐκδέδωκε, πρὸς οὓς ἄρα καὶ ἐκδέδωκε, τῶν γὰρ ἱερῶν καὶ θείων κανόνων διαγορευόντων, πάντων τῶν τῆς ἐκκλησίας τὴν ἐξουσίαν τὸν ἐπίσκοπον ἔχειν καὶ ὡς θεοῦ ἐφορῶντος αὐτὰ διοικεῖν, οὐδεμία πάντως ἄδεια τοῖς κληρικοῖς ὑπολείπεται, κατ' ἐξουσίαν τι πράττειν εἴς τι τῶν ὑπ' αὐτὴν, εἰ μή πως καὶ τὴν τῶν ψυχῶν ἐπιμέλειαν ἐμπεπιστεῦσθαι λέγειν τολμῷεν, ὅπερ ἄτοπον· μέντοι γε καὶ ἐπανασωθη-

σεται τῇ ἐκκλησίᾳ μὲν τὰ τοιαῦτα ταύτης μονύδρια, τοῖς μονυδρίοις δὲ πάνθ' ὅσα ἐκ τῶν προσόντων αὐτοῖς ἀπροσόδων κτημάτων φθάσαντές τινες κατέχουσι καὶ νέμονται ἐκ παραδόσεως τοῦ αὐτοῦ θεοφιλεστάτου ἐπισκόπου Ζιχνῶν ἢ καὶ ἑτέρου τινὸς παρ' εἴδησιν τοῦ κατὰ τόπον ἀρχιερέως, τὸ ἄκυρον ἔχειν ὀφείλοντος τοῦ προβάντος ἐπὶ τῇ τῶν κληρικῶν ἐκδόσει πατριαρχικοῦ γράμματος, θεμελίου γὰρ οὐκ ἀγαθοῦ καὶ ὁ ὄροφος ἧκιστα ἀγαθός. ἐπειδὴ γὰρ ἀπηγόρευται τοῖς ἱεροῖς καὶ θείοις κανόσι, μηδέν τι πράττειν τοιοῦτον τοὺς κληρικούς, συνακροῦται καὶ αὐτὸ τῇ παρὰ τὴν αὐτῶν παρατήρησιν ἐκδόσει, ἅτε δὴ καὶ αὐτὸ τῆς κανονικῆς ἀκριβείας οὐκ ἐξεχόμενον. ἐπανασωθήσεται τοίνυν τὰ μονύδρια τάδε τῇ μητροπόλει, καὶ οὐδὲ οἱ κατέχοντές τι τούτων ἀντιποιηθῆναι αὐτοῦ πειράσονται, ἀλλ' ἐκστήσονται τέλεον τῆς αὐτῶν κατοχῆς· ἀφορισμοῦ γὰρ βαρύτατον συνοδικὸν ἐπιτίμιον ἐπανατεινόμεθα κατ' αὐτῶν, εἰ μὴ ἐκστήσονται τῆς αὐτῶν κατοχῆς. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου χαρτοφύλακος πιστωθέντα καὶ βεβαιωθέντα ἐπιδέδοται μηνὶ καὶ ἰνδ. τοῖς ἀναγεγραμμένοις ἔτους ,ϛου ωου λου ϛου †.

LXVII. 6837—1329 aprili ind. XII.

Synodus confirmat mandatum imperatoris, quo metropolitae Serrorum subiicitur episcopatus Nicopoleos.

† Μηνὶ ἀπριλλίῳ, ἡμέρᾳ ζ', ἰνδ. ιβ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἡσαΐου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Σάρδεων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυδίας καὶ προέδρου Μιτυλήνης, Γρηγορίου, τοῦ Μελιτηνῆς, ὑπερτίμου καὶ προέδρου Αἴνου, Θεοδοσίου, τοῦ Μονεμβασίας καὶ ὑπερτίμου, Ἰωάννου, τοῦ Προύσης, ὑπερτίμου καὶ προέδρου Βιζύης, Νικολάου, τοῦ Φιλιππουπόλεως καὶ ὑπερτίμου, Μαξίμου, τοῦ Τραϊανουπόλεως καὶ ὑπερτίμου, Ἰωαννικίου, τοῦ Ἄπρω, ὑπερτίμου καὶ τὸν τόπον ἐπέχοντος τοῦ Εὐχαίτων, Ἰωσὴφ, τοῦ Διδυμοτείχου καὶ ὑπερτίμου, Θεοδούλου, τοῦ Βρύσεως καὶ ὑπερτίμου Γερασίμου, τοῦ Μαδύτων καὶ ὑπερτίμου, Ἰσαὰκ, τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, τοῦ Σουγδαίας, ὑπερτίμου καὶ προέδρου Λακεδαι-

μονίας, Λουκᾶ, τοῦ Λιτβῶν καὶ ὑπερτίμου, Θεοφίλου, τοῦ Ἀρκαδιουπόλεως, ὑπερτίμου καὶ προέδρου Μεσήνης, Μαλαχίου, τῶν ἀρχιεπισκόπων, τοῦ Λοπαδίου καὶ προέδρου Γαρέλλης, Ἱεροθέου, τοῦ Ξανθείας, Γερασίμου, τοῦ Δέρκου, Λουκᾶ, καὶ τοῦ Μηδείας, Εὐθυμίου, παρισταμένων καὶ θεοφιλεστάτων ὁσποτικῶν ἀρχόντων †.

† Βασιλικὸν ἄρα καὶ τοῦτο προνόμιον τὸ τὰς εἰς ἐπισκοπὰς τελούσας τῶν ἐκκλησιῶν τῶν ὑφ' ἃς τὸ πρότερον ἐτύγχανον ὑποκείμεναι ἀποσπᾶν καὶ τιμῆς ἀξιοῦν μείζονος· ἀμέλει καὶ τὴν τῶν Ζιχνῶν ἐκκλησίαν εἰς ἐπισκοπὴν τελοῦσαν τὸ ἀπ' ἀρχῆς τῆς ἁγιωτάτης μητροπόλεως τῶν Σερρῶν εἰς μητρόπολιν ἤδη προενήνοχε καὶ τετίμηκεν ὁ ἐκ θεοῦ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ· πρόνοιαν μέντοι ποιούμενος καὶ τῆς τῶν Σερρῶν, ὅπως ἂν σχοίη καὶ αὕτη τρόπον ἕτερον ἀναπληρωθὲν τὸ ἐνδέον, ἀνθ' ἑτέραν ἐπισκοπὴν ἀντικαθίστησι ταύτῃ ἐκ τῶν τῆς Φιλίππου σεπτῷ προστάγματι τῆς ἁγίας βασιλείας αὐτοῦ περιέχοντι τάδε· „ἐπεὶ ἀπεσπάσθη ἡ πρότερον ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν τῶν Σερρῶν τελοῦσα ἁγιωτάτη ἐπισκοπὴ τῶν Ζιχνῶν καὶ ἐτιμήθη εἰς μητρόπολιν παρὰ τῆς βασιλείας μου, ἐδέησε δὲ καὶ διέκρινε τοῦτο καὶ ἡ βασιλεία μου, ἵνα ἀντικαταστῇ ἑτέρα ἐπισκοπὴ εἰς τὴν τοιαύτην τῶν Σερρῶν μητρόπολιν, θεσπίζει καὶ διορίζεται ἡ βασιλεία μου διὰ τοῦ παρόντος προστάγματος, εἶναι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑποκειμένην τῇ τοιαύτῃ ἁγιωτάτῃ μητροπόλει Σερρῶν τὴν ἁγιωτάτην ἐπισκοπὴν Νικοπόλεως, ἥτις ἐτέλει πρότερον ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν Φιλίππων, καὶ κατέχεσθαι καὶ διεξάγεσθαι ταύτην παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Σερρῶν καὶ ὑπερτίμου ὡς ἰδίαν ἐπισκοπήν, οὐ μόνον δὲ παρὰ τούτου, ἀλλὰ καὶ παρὰ τῶν καθεξῆς ἀρχιερατευσόντων εἰς τὴν τοιαύτην ἁγιωτάτην ἐκκλησίαν, ὅθεν ὀφείλει καὶ ὁ γενησόμενος μητροπολίτης Φιλίππων στέρξαι τοῦτο, ὅσον θεσπίζει καὶ διορίζεται ἡ βασιλεία μου, καὶ ἀρκεῖσθαι εἰς τὰς προσούσας τῇ τοιαύτῃ μητροπόλει ἑτέρας ἐπισκοπάς, ἀνενόχλητον παντάπασιν ἐῶν τὸ μέρος τῆς εἰρημένης ἁγιωτάτης τῶν Σερρῶν μητροπόλεως ἐπὶ τῇ κατοχῇ καὶ διεξαγωγῇ τῆς δηλωθείσης ἁγιωτάτης ἐπισκοπῆς Νικοπόλεως καὶ πάσης τῆς ἀνέκαθεν προσούσης αὐτῇ ἐνορίας· εἰς τὴν περὶ τούτου γὰρ ἀσφάλειαν ἐγένετο καὶ ἀπελύθη καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα. εἶχε τὸ· μηνὶ φεβρουαρίῳ ἰνδ. ιβ'. δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς θείας χειρός." ἀκολούθως τοίνυν τῷ σεπτῷ

τῷδε προστάγματι καὶ ἡ μετριότης ἡμῶν συνοδικῶς πέπραχεν, ὑποκεῖσθαι τῇ τῶν Σερρῶν τὴν τῆς Νικοπόλεως εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, ἐπεὶ γὰρ διέκρινε καὶ ἐθέσπισε καὶ διωρίσατο τοῦτο ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, ὡς ἐξουσίαν ἔχων ἐκ θεοῦ τοῦ προστιθέναι καὶ ἀφαιρεῖν, ἔνθα τοῦτο λυσιτελεῖν οἶδε, καὶ ἀνθ' ἧς εἶχε πρότερον ἡ τῶν Σερρῶν δέδωκε τὴν τῆς Νικοπόλεως, ἔσται κατ' ἐκείνην αὕτη ὑποκειμένη διηνεκῶς τῇ τῶν Σερρῶν ὡς ἰδία ἐπισκοπὴ ταύτης, καὶ ἐπ' ἀδείας ἕξει ὁ νῦν ἱερώτατος μητροπολίτης Σερρῶν καὶ οἱ μετ' αὐτὸν, ἐπίσκοπον, ἐπὰν δεήσῃ, ἐπ' αὐτῇ χειροτονῆσαι, ἀρκεῖσθαι τοῦ Φιλίππων ὀφείλοντος ταῖς ὑπολοίποις ἐπισκοπαῖς τῆς ὑπ' αὐτὸν ἐκκλησίας, εἰδότος, ὡς βασιλεῦσιν ἔξεστιν, ὑπερτέρως ἢ κατὰ νόμους οἰκονομεῖν τὰ πράγματα, καὶ ἅμα ἕπεσθαι ὀφείλοντος καὶ ὁμογνωμονεῖν ταῖς συνοδικαῖς διαγνώσεσι, τοῖς ἱεροῖς κανόσιν οὐδαμῶς ἀπεναντίας ἰούσαις, ἐπειδὴ καὶ πολλὰ τοιαῦτα οἰκονομίας τρόπῳ κατὰ καιροὺς πέπρακται καὶ παρὰ τῶν πρὸ ἡμῶν. προέβη δὲ τὰ τῆς πράξεως ταύτης, πρὶν ἂν καὶ ἐπικηρυχθῇ τῇ τῶν Φιλίππων, ὡς δῆλα καὶ αὐτῇ τότε γενέσθαι· διὰ δὴ ταῦτα καὶ ἀπαραποίητα στέργειν ὀφείλει τὰ περὶ τούτου, ὡς καὶ τὸ σεπτὸν διορίζεται πρόσταγμα. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος πιστωθέντα ἐπιδέδοται μηνὶ καὶ ἰνδ. τοῖς ἀναγεγραμμένοις ἔτους ͵ϛου ωου λ ζ' †.

LXVIII. (6837—1329) aprili ind. XII.

Imperator confirmat praecedentem actionem synodalem.

† Ἕτερον θεῖον καὶ προσκυνητὸν πρόσταγμα ἐπικυροῦν τὴν τοιαύτην πρᾶξιν †.

† Ἐπεὶ, ὡς ἐτάχθη εἰς μητρόπολιν διὰ προστάγματος τῆς βασιλείας μου ἡ ἁγιωτάτη ἐκκλησία Ζιχνῶν, ἥτις ἦν πρότερον ἐπισκοπὴ τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν, ἔταξεν ἡ βασιλεία μου διὰ προστάγματος ὁμοίως αὐτῆς, καὶ ἵνα εὑρίσκηται ὑπ' αὐτὴν τὴν ἁγιωτάτην μητρόπολιν Σερρῶν ἐπισκοπὴ ἀπὸ τῶν ὑποκειμένων πρότερον τῇ ἁγιωτάτῃ μητροπόλει Φιλίππων, ἡ Νικόπολις, χηρευούσης τηνικαῦτα ἀρχιερέως τῆς αὐτῆς μητροπόλεως Φιλίππων, καὶ ἐγένετο ἐπὶ τούτῳ καὶ συνοδικὴ πρᾶξις ἔγγραφος καὶ διάγνωσις τοῦ παναγιωτάτου μου

δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου, ὥστε κατέχεσθαι εἰς τοὺς ἑξῆς χρόνους παρὰ τοῦ μέρους τῆς εἰρημένης ἁγιωτάτης μητροπόλεως Σερρῶν τὴν τοιαύτην ἁγιωτάτην ἐπισκοπὴν Νικοπόλεως ἀντὶ τῆς ἀφαιρεθείσης ἐξ αὐτῆς ἐκκλησίας τῶν Ζιχνῶν, ἐδέησε δὲ ἐπὶ τῇ τοιαύτῃ συνοδικῇ πράξει προβῆναι καὶ πρόσταγμα, τὸ παρὸν ἀπολύει ἡ βασιλεία μου, δι' οὗ καὶ εὐδοκεῖ καὶ προστάσσει καὶ διορίζεται, ἵνα κατὰ τὴν περίληψιν τῆς ῥηθείσης συνοδικῆς ἐγγράφου διαγνώσεως κατέχηται ἡ δηλωθεῖσα ἁγιωτάτη ἐπισκοπὴ Νικοπόλεως παρὰ τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν ἀντὶ τῆς ἀφαιρεθείσης ἐξ αὐτῆς, ὡς εἴρηται, τῶν Ζιχνῶν ἐκκλησίας, ὥστε καὶ ἐπ' ἀδείας ἔχειν τὸν ἱερώτατον μητροπολίτην Σερρῶν καὶ ὑπέρτιμον ἐπίσκοπον χειροτονῆσαι εἰς αὐτὴν, ὀφείλοντος καὶ τοῦ ἱερωτάτου μητροπολίτου Φιλίππων καὶ ὑπερτίμου, ἔτι δὲ καὶ τῶν μετὰ ταῦτα ἀρχιερατευσόντων εἰς τὴν τοιαύτην ἁγιωτάτην μητρόπολιν, συντηρεῖσθαι καὶ ἐμμένειν εἰς τοῦτο, καθὼς ἐτάχθη, καὶ μηδεμίαν ἐπάγειν διενόχλησιν τῷ ἱερωτάτῳ μητροπολίτῃ Σερρῶν καὶ τοῖς μετ' αὐτὸν ἀρχιερεῦσι τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας ἕνεκεν τῆς ῥηθείσης ἐπισκοπῆς Νικοπόλεως ἤ τινος τῶν δικαίων αὐτῆς, ἐπεὶ τὸ στέργον ἕξει καὶ ἀμετάτρεπτον, ὅσον περὶ τούτου ἐτάχθη καὶ διεγνώσθη. καὶ τούτου χάριν ἐγένετο καὶ ἀπελύθη ἐπὶ τῷ προσεῖναι τῷ τῆς ἁγιωτάτης μητροπόλεως Σερρῶν μέρει εἰς ἀσφάλειαν καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα †.

† Εἶχε τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. ιβ'. δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς θείας χειρός †.

LXIX. 6838—1329 decembri ind. XIII.

Synodus dirimit controversiam.

† Μηνὶ δεκεβρίῳ, ἡμέρᾳ δευτέρᾳ, ἰνδ. ιγ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἡσαΐου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέσου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἀσίας, Ματθαίου, τοῦ Μελιτηνῆς καὶ ὑπερτίμου, Θεοδοσίου, τοῦ Παλαιῶν Πατρῶν καὶ ὑπερτίμου..... τοῦ Σερρῶν καὶ ὑπερτίμου, Μακαρίου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Προύσης, ὑπερτίμου καὶ προέδρου Βιζύης, Νικολάου, τοῦ Ἄπρω, ὑπερτίμου καὶ τὸν τόπον ἐπέχοντος τοῦ Εὐχαίτων, Ἰωσὴφ, τοῦ

Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, τοῦ Γάνου καὶ ὑπερτίμου, Μηνᾶ καὶ τοῦ ἀρχιεπισκόπου Προικοννήσου, Μανουὴλ, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

† Παρέστη τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ Θεόδωρος ὁ Βρανᾶς, καὶ ἀνέφερεν, ὡς ἡ σύζυγος αὐτοῦ ἄπαις τελευτῶσα τὸν βίον, διαθήκην μὲν οὐκ ἐξέθετο, ἔφθασε δὲ ὅμως εἰπεῖν ἐνώπιον ἄλλων τε ἱκανῶν τῶν παρατυχόντων ἀξιοπίστων καὶ αὐτῆς δὴ τῆς ἰδίας μητρὸς, τῆς μοναχῆς κυρᾶς Εὐφροσύνης τῆς Πετραλειφίνης, ὅσον ἤθελεν ἐπὶ τοῖς προικῴοις αὐτῆς πράγμασι καὶ μετὰ τὸ λεγάτα τάξαι, πρὸς οὓς ἠβούλετο, ἀπό τε τῶν τῆς προικὸς κτημάτων καὶ τῶν λοιπῶν πραγμάτων αὐτῆς, τὴν λοιπὴν κατοχὴν καὶ διοίκησιν ἐπέτρεψε καὶ ἀνέθετο τούτῳ, προσαναθεῖσα ἅμα αὐτῷ καὶ τὴν φροντίδα τῆς οἰκείας ψυχῆς, ὅπερ καὶ στέργουσα ἦν καὶ οὐδαμῶς εἰς ἀθέτησιν τῶν εἰρημένων χωροῦσα καὶ ἡ δηλωθεῖσα μήτηρ αὐτῆς μέχρι τριμηνιαίου καιροῦ, καθ' ὃν δὴ καὶ τὴν κηδείαν ἐτέλεσεν οὗτος καὶ τὰ μνημόσυνα. ἔπειτα προβαλλομένη, ὡς ἀτελὴς ἦν τὸν χρόνον ἡ θυγάτηρ αὐτῆς, χρόνων ἔτι οὖσα εἴκοσι δύο, καὶ διὰ τοῦτο οἰομένη μηδεμίαν ἄδειαν ἔχειν ἐκείνην ἐκ τῶν νόμων διαθήκην ἐκθέσθαι, πρὶν ἂν δῆθεν καταλάβῃ τὸν εἰκοστὸν πέμπτον ἐνιαυτὸν, ἔτι δὲ προβαλλομένη ὁμοίως καὶ τὸ μὴ φθάσαι γραφῇ τὰ εἰρημένα δοθῆναι, ἀντιποιεῖται τῆς τῶν πραγμάτων ὁλότητος, μικρὰ τῶν παρὰ τῆς διαληφθείσης θυγατρὸς αὐτῆς εἰρημένων φροντίζουσα, ἐφ' οἷς δὴ καὶ συνοδικῆς ἐδέησεν αὐτῷ διαγνώσεως, καὶ ἐψήφισται συνοδικῶς, ὡς, εἰ καὶ μὴ χρόνων ἦν εἰκοσιπέντε ἡ τούτου σύζυγος, ἀλλ' οὐ παρὰ τοῦτο ἀπείργεται παρὰ τῶν νόμων τοῦ διαθήκην ἐκθέσθαι, αὐτεξουσία γὰρ οὖσα, πᾶν τὸ κατὰ γνώμην ἐπὶ τοῖς οἰκείοις πράγμασιν ἐπ' ἀδείας εἶχε διαπράξασθαι, τῶν νόμων ταῖς αὐτεξουσίαις, μὴ μόνον εἰς τὸν εἰκοστὸν πέμπτον χρόνον γενομέναις, ἀλλὰ καὶ τούτου κατωτέρω πολλῷ, ἀπ' αὐτοῦ δὴ τοῦ τεσσαρεσκαιδεκάτου ἐπέκεινα ἄδειαν διδόντων ἐπὶ τοῖς αὐτῶν πράγμασι διατίθεσθαι· μέντοι γε καὶ ἐπειδὴ ἔφθασεν εἰπεῖν ἐν ἐπηκόῳ τῶν παρατυχόντων μαρτύρων, ὅσον εἶπε καὶ διετάξατο, ἐξ ὧν δὴ μαρτύρων μάλιστα τὸ ἰσχυρὸν ἔχει τὰ διατεταγμένα καὶ βέβαιον, ἐχρῆν μὲν ὡς τὸ ἀκώλυτον ἐχούσης ἐκ τῶν νόμων, ἅτε αὐτεξουσίας εὑρισκομένης καὶ χρόνων εἰκοσιδύο, κρατῆσαι, ὅσον εἶπε, καὶ ἐγκρα-

τῇ ἐντεῦθεν εἶναι τοῦ διμοίρου τόνδε τὸν ἄνδρα αὐτῆς, τὸ τρίτον μόνον τῆς προικὸς δικαιουμένης ἐκ τῶν νόμων λαβεῖν τῆς μητρός. ὅτι δὲ οὗτος μὴ εὐπετῶς ἔλεγεν ἔχειν καὶ εὐκόλως εἰς τὴν διοίκησιν τῶν ἀνηκόντων τῇ ψυχῇ διὰ τὸ εἰς βασιλικὰς δουλείας ἀσχολεῖσθαι, καὶ ἐζήτησεν ἐπιτραπῆναι μᾶλλον τὴν αὐτῶν διοίκησιν τὴν ἐκείνης μητέρα, γενέσθαι τοῦτο συνοδικῶς ἡ μετριότης ἡμῶν ἀπεφήνατο. καὶ γοῦν ἕξει μὲν ὁ Βρανᾶς εἰς μερίδας ἴσας τρεῖς διαιρεθέντων τῶν προικῴων πραγμάτων, τὴν μίαν αὐτῶν ὁλόκληρον, τὴν δὲ ἑτέραν ἡ εἰρημένη πενθερὰ αὐτοῦ ἡ Πετραλειφίνα κατὰ τὸν ὅμοιον τρόπον, τὴν δὲ λοιπὴν τρίτην ἀναδέξεται καὶ αὐτὴν αὐτὴ δὴ ἡ πενθερὰ αὐτοῦ, καὶ μετὰ τὸ ὑπεξαιρεθῆναι ἀπὸ τοῦ τοιούτου λοιποῦ τρίτου τὰ εἰς κηδείαν τῆς ἀποιχομένης, ἔτι δὲ καὶ τὰ μνημόσυνα ἀναλωθέντα, διαδώσει τὰ περιττεύοντα πτωχοῖς. καὶ γοῦν ὀφείλει πραχθῆναι τὰ περὶ τούτου κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν, μηδενὸς ἐναντιωθῆναι ὀφείλοντος, εἰ μή γε βούλεται συνοδικῷ περιπεσεῖσθαι ἐπιτιμίῳ, κἂν ὁποῖος ἄρα καὶ ᾖ ὁ τοιοῦτος. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος πιστωθέντα ἐπιδέδοται μηνὶ καὶ ἰνδ. τοῖς ἀναγεγραμμένοις ἔτους ,ϛ ω λ ηου †.

LXX. 6838—1330 februario-aprili ind. XIII.

Synodus dirimit tres controversias.

I. † Μηνὶ φευρουαρίῳ, ἡμέρᾳ δευτέρᾳ, ἰνδ. ιγ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἡσαΐου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέσου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἀσίας, ..., τοῦ Μελιτηνῆς καὶ ὑπερτίμου, Θεοδοσίου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Προύσης, ὑπερτίμου καὶ προέδρου Βιζύης, Νικολάου, τοῦ Σερρῶν καὶ ὑπερτίμου, Μακαρίου, τοῦ Μηθύμνης καὶ ὑπερτίμου, Μαλαχίου, καὶ τοῦ Προικοννήσου, Μανουὴλ, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων.

† Τοῦ πανσεβάστου σεβαστοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, δομεστίκου τῶν δυσικῶν θεμάτων κῦρ Γεωργίου τοῦ Στρατηγοῦ, γαμβρὸν ἐπὶ τῇ αὐτοῦ θυγατρὶ λαβόντος τὸν Παδυάτην

κῦρ Γεώργιον, ὁ συμπένθερος αὐτοῦ ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Θεόδωρος ὁ Παδυάτης ἐκεῖνος, ἀναδέχεται μὲν τὰ τῆς προικὸς πράγματα, ποσότητος ὄντα ὑπερπύρων λιτρῶν λς', καὶ τὰ μὲν αὐτῶν εἰς οἰκείας χρήσεις καταναλίσκει, τὰ δὲ εἰς ἐνέχυρα δίδωσι, καὶ ὑπέρπυρα δανεισάμενος κατὰ τὸν ὅμοιον τρόπον καὶ αὐτὰ ἀναλώσας, ἀλλ' ἐπειδὴ μὴ εὐπόρει τὴν ἀπόδοσιν αὐτῶν ποιήσασθαι, ἐκδίδωσι τῷδε τῷ δομεστίκῳ, ἀνθ' ὧν, ὡς εἴρηται, κατανάλωσε τῆς προικὸς πραγμάτων τὸ περὶ τὴν Βήραν κτῆμα αὐτοῦ, τὸ τῆς ἁγίας Εἰρήνης λεγόμενον, ὃ δὴ ἐκτιμηθὲν ἐς ὕστερον προσταγῇ βασιλικῇ ὑπερπύρων ἑπτακοσίων τετίμηται, λοιπαζομένων ἔτι πρὸς τὴν τῆς ὁλότητος ποσότητα καὶ ὑπερπύρων χιλίων ἑπτακοσίων ἐννενηκονταδύο. τελευτήσαντος μέντοι τὸν βίον τοῦ Παδυάτου κῦρ Θεοδώρου, ἐκρατήθη τὸ κτῆμα βασιλικὸν, τοῦ δομεστίκου δὲ ἀνενέγκαντος περὶ τούτου καὶ δείξαντος, ἀντὶ τῶν προικῴων πραγμάτων τῆς αὐτοῦ θυγατρὸς ἐκδοθῆναι τοῦτο παρὰ τοῦ Παδυάτου, ἀπελύθη πρὸς αὐτὸν γεγονότος αὐτῷ εἰς τοῦτο καὶ σεπτοῦ προστάγματος. ἔπειτα διανίσταται ὁ ἕτερος υἱὸς αὐτοῦ Ἰωάννης ὁ Λάσκαρις, καὶ γίνεται δι' ὄχλου τῷ δομεστίκῳ περὶ τοῦ κτήματος τοῦδε· καὶ τῆς ὑποθέσεως ἐπὶ τῆς καθ' ἡμᾶς ἱερᾶς καὶ θείας συνόδου κινηθείσης οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς τοῦ Παδυάτου τοῦδε ἐγκλητεύσαντος, αἰσθόμενος κατ' αὐτοῦ τὴν ψῆφον ἤδη ἐκφερομένην, μὴ ἀναμείνας αὐτὴν ἐνοχλεῖ τὰς βασιλικὰς ἀκοὰς, καὶ ἐπὶ τοῦ σεκρέτου αἰτεῖται ἀντικριθῆναι τῷ δομεστίκῳ. γίνεται τοῦτο, καὶ τῆς ἀπολῃπτικῆς ἀποδείξεως τοῦ Παδυάτου ἐμφανισθείσης, ἔτι δὲ καὶ τὸ παρ' ἐκείνου γεγονὸς τοῦ κτήματος ἐκδοτήριον, ἐδικαίωσεν ἡ κρίσις, κατέχεσθαι κατ' αὐτὸ παρὰ τοῦ μέρους τοῦ δομεστίκου τὸ κτῆμα, γράμματος καὶ σεπτοῦ προστάγματος προβάντος τὴν ἐκείνου κατοχὴν καὶ κυριότητα βεβαιοῦντος αὐτῷ. χρόνος τὸ ἀπ' ἐκείνου παρῴχετο. καὶ πάλιν τοῦ Λάσκαρι Ἰωάννου ἀναφορὰν ποιησαμένου καὶ αὖθις κρίσιν ἐπὶ τοῦ σεκρέτου ζητήσαντος, ἐξ ὑπαρχῆς πάλιν τῷ σεκρέτῳ κεκίνηται ἡ ὑπόθεσις ἐκ βασιλικῆς προσταγῆς, συνελθόντων κατὰ ταὐτὸ τῶν συγκλητικῶν ἀρχόντων καὶ δικασάντων τὴν ὑπόθεσιν. ὅτε δὴ καὶ πάλιν τὴν νικῶσαν ἠνέγκατο τὸ μέρος τοῦ δομεστίκου, ὡς καὶ γράμμα κἀντεῦθεν καὶ σεπτὸν ἐπ' αὐτῷ πρόσταγμα τούτῳ γενέσθαι πάλιν εἰς τὴν τοῦ κτήματος κυριότητα· ἀσφαλισαμένου μέντοι τοῦ Λάσκαρι καὶ διαβεβαιωσαμένου ἐγ-

γράφως καὶ ἐνόρκως, ἐνέχεσθαι τὰ τῆς περιουσίας αὐτοῦ εἰς τὴν λοιπάδα τῆς προικὸς, εἰ ἐνόρκως πιστώσεται ὁ δομέστικος, ὅτι δὴ καὶ ἡ ἀπολη̃πτικὴ ἀπόδειξις τοῦ Παδυάτου ἐστὶ, καὶ τὸ τῆς ἐκδόσεως τοῦ κτήματος γράμμα ἐκείνου ἐστί. προβαίνει μὲν παρὰ τοῦ δομεστίκου καὶ τοῦτο εἰς τέλος, παρόντων καὶ ἀκροωμένων τοῦ ὅρκου καὶ αὐτοῦ δὴ τοῦ Λάσκαρι καὶ τοῦ ἐπ' ἀδελφῇ γαμβροῦ αὐτοῦ τοῦ Σγουροπούλου, ἰσχυρίζεται δὲ ἔτι ὁ Λάσκαρις, δεῖξαι καὶ παραστῆσαι, ὡς ὁ αὐτάδελφος αὐτοῦ, ὁ τοῦ δομεστίκου γαμβρὸς, ἐνεχύρασε τὰ πλείω τῆς προικὸς, οὗ δὴ καὶ αὐτοῦ ἐξετασθέντος εὕρηται ἀπὸ μαρτυρίας τῶν κατεχόντων αὐτὰ, ὡς παρὰ τοῦ πατρὸς αὐτῶν ἐνεχυράσθησαν, ὡς καὶ τὸ τούτου χάριν προβὰν γράμμα τῶν δικαστῶν δείκνυσιν, εἰ μὴ μόνον ἐπιβαλταρίων δύο, χειλωντίου ἑνὸς καὶ κούπας μιᾶς. ταῦτα καὶ μόνον εὑρέθησαν παρὰ τῇ θυγατρὶ τοῦ δομεστίκου καὶ τοῦ ἀνδρὸς αὐτῆς. ἐχρῆν μὲν οὖν αὐτὸν δὴ τὸν Λάσκαριν ἡσυχάσαι τοῦ λοιποῦ καὶ μηκέτι δι' ὄχλου γενέσθαι περὶ τοῦ κτήματος, διαφόρων ἐπ' αὐτῷ κρίσεων γεγονυιῶν, ὡς εἴρηται, καὶ ἐπὶ πάσαις ἀπελεγχθεὶς μάτην καὶ ἐπ' οὐδενὶ δικαίῳ περὶ αὐτοῦ ἐνοχλῶν· ὁ δ', ὥσπερ φιλονεικῶν, κακὸν ἐπὶ κακῷ τεκταίνει πρόσχημα θεὶς εἰρήνης τῆς πρὸς τὸν ἀδελφὸν καὶ ἱκανῆς παρ' αὐτοῦ τυχὼν κυβερνήσεως, κακοῖς αὐτὸν ἀμείβεται τοῖσδε· ὑφαιρεῖται τοὺς ἵππους αὐτοῦ καὶ εἰς τὴν Κωνσταντινούπολιν ἀνελθὼν καὶ παρὰ τοῦ δομεστίκου τε τὴν κλοπὴν τῶν ἵππων ὀνειδισθεὶς, ὑπισχνεῖται πρὸς ἐκεῖνον πάλιν ἐπανήξειν καὶ τοὺς ἵππους ἀνασώσειν, ὅ τε καὶ αἰτησαμένου γράμμα τι τούτου, καὶ τῇ καθ' ὁδὸν ἐξόδῳ ἐφοδιασθῆναι, ὑπέρπυρα τούτῳ πέντε καὶ γραφὴ πρὸς ἐκεῖνον δίδοται. ὁ δὲ πρὸς τοὺς τὴν Μποκοβίκον οἰκοῦντας ἀσεβεῖς ἀπελθὼν καὶ ἱκανοὺς ἐξ αὐτῶν ὡπλισμένους λαβὼν καὶ κατὰ τοῦ ἀδελφοῦ κινηθεὶς ἐν τῷ εἰρημένῳ κτήματι τηνικαῦτα εὑρισκομένου, αἴφνης ἐπεμπίπτει τούτῳ καὶ φονεύει ἕνα τινὰ τῶν ἀνθρώπων αὐτοῦ, ὀνόματι Καλόθετον, αὐτὸ τοῦτο καὶ τοῦ ἀδελφοῦ παρὰ μικρὸν ἐλθόντος παθεῖν, διαρπάσας τηνικαῦτα καὶ τὴν καθευρεθεῖσαν γεννηματικὴν εἴσοδον, καὶ τὸν οἶνον ἔτι δὲ καὶ τὰ προσόντα τοῖς ἐποίκοις τοῦ τοιούτου κτήματος, ἐφ' οἷς καὶ ἐπὶ πλέον ἀπαναιδευσάμενος καὶ ἀπαναισχυντῶν, πρόσεισι τοῖς καθολικοῖς τῶν Ῥωμαίων κριταῖς, καὶ κρίσιν πάλιν ἐξαιτεῖται· ὅτι δὲ ἀνηνέχθη τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐκκλησιαστικὴν εἶναι τὴν ὑπόθεσιν, συνοδικῶς ἐκεῖθεν

μᾶλλον ἐπιτέτραπται κριθῆναι. ἀμφοτέρων τοίνυν τῶν μερῶν, τοῦ δομεστίκου δηλαδὴ καὶ τῶν ἀντιδικούντων αὐτῷ, τοῦ Λάσκαρι Ἰωάννου καὶ τοῦ ἐπ' ἀδελφῇ γαμβροῦ αὐτοῦ τοῦ Σγουροπούλου, ἐπιστάντων τῷ καθ' ἡμᾶς ἱερῷ συνοδικῷ δικαστηρίῳ, καὶ τοῦ δομεστίκου ἀρχῆς ἀπ' ἄκρης ὡς ἔσχεν ἡ ὑπόθεσις διηγησαμένου καὶ τὰ ἐφ' ἑκάστῃ κρίσει καὶ ἐξετάσει γράμματα καὶ προστάγματα προκομίσαντος, καὶ ἀναγνωσθέντων πάντων, ἐπέτρεψεν ἡ μετριότης ἡμῶν, εἴ τι πλέον ἔχει καὶ ὁ Λάσκαρις εἰς δικαίωσιν ἑαυτοῦ προβαλέσθαι καὶ εἰπεῖν, ἀλλ' εἶχεν οὐδὲν οὐδαμῶς εὔλογον καὶ δίκαιον, οὔτε τι πλέον τῶν προτέρων εἰρημένων εἰπεῖν· μέντοι γε καὶ ἐδικαίωσε παραπλησίως καὶ ἡ μετριότης ἡμῶν, κατέχεσθαι καὶ δεσπόζεσθαι τὸ κτῆμα τόδε τὸ τῆς ἁγίας Εἰρήνης κατὰ τὴν ἔκδοσιν τοῦ Παδυάτου ἐκείνου κῦρ Θεοδώρου καὶ κατὰ τὰς προγεγονυίας κρίσεις παρὰ τοῦ μέρους τοῦ δομεστίκου, καὶ μηδεμίαν αὐτὸν ὄχλησιν ἢ τινα διασεισμὸν εὑρεῖν τοῦ λοιποῦ ἐπ' αὐτῷ παρά τινος τῶν ἁπάντων ἕνεκα τῆς αὐτοῦ κατοχῆς καὶ νομῆς καὶ κυριότητος, ἱκανωθῆναι ὀφειλόντων αὐτῷ καὶ τῶν λοιπαζομένων ἐκ τῆς περιουσίας τοῦ Λάσκαρι κατὰ τὴν ἔνορκον ἔγγραφον ἀσφάλειαν αὐτοῦ, προσαποδοθῆναί τε αὐτῷ παρὰ τοῦ Λάσκαρι τοῦδε καὶ ὅσα ἐκ τοῦ κτήματος ἀφείλετο, καθὼς εἴρηται, ἡνίκα καὶ τὸν φόνον εἰργάσατο, ἐνέχεσθαι ὀφείλοντος αὐτοῦ δὴ τοῦ Λάσκαρι καὶ τοῖς τοῦ φόνου ἐπιτιμίοις. καὶ ταῦτα μὲν ὀφείλει πραχθῆναι κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν, ὡσὰν δὲ μὴ καὶ πάλιν τοῦ λοιποῦ ποτε καὶ εἰς τὸ ἑξῆς εἰς δικαστήριον οἱονδήτι καθέλκηται τὸ μέρος τοῦ δομεστίκου χάριν τῆς τοιαύτης ὑποθέσεως, καὶ κατατρίβηται καὶ καινοτομῆται, προδήλως ἀδικεῖσθαι ἀναφανὲν, τὸ παρ' ἑαυτῆς ἀφορισμοῦ συνοδικοῦ ἐπιτίμιον ἡ μετριότης ἡμῶν ἐκφωνεῖ συνοδικῶς κατὰ παντὸς τοῦ δικάσαι πάλιν ταύτην πειραθησομένου ἢ ἀναδεξομένου καὶ χεῖρα βοηθὸν ὁπωσδήποτε τῷ τοιούτῳ Λάσκαρι δώσοντος τῆς τοιαύτης ὑποθέσεως ἕνεκα. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος πιστωθέντα ἐπιδέδοται μηνὶ καὶ ἰνδ. τοῖς ἀναγεγραμμένοις ἔτους ,ς ω λ η' †.

II. † Μηνὶ ἀπριλλίῳ, ἡμέρᾳ δ', ἰνδ. ιγ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἰσαΐου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέσου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἀσίας, ..., τοῦ Μελιτηνῆς, ὑπερτίμου καὶ προέδρου Κυφέλων, Θεοδοσίου, τοῦ Προύσης, ὑπερτίμου καὶ προέδρου Βιζύης, Νικολάου, τοῦ Σερρῶν καὶ ὑπερτίμου, Μακαρίου, τοῦ Παλαιῶν Πατρῶν καὶ ὑπερτίμου ....., τοῦ Σουγδαίας, ὑπερτίμου καὶ προέδρου Λακεδαιμονίας, Λουκᾶ, τοῦ Βερροίας καὶ ὑπερτίμου, Διονυσίου, καὶ τοῦ Προικοννήσου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Φθάνει μὲν πρό τινος ἤδη καιροῦ ψήφισμα συνοδικὸν ἀπολυθῆναι τῷ οἰκείῳ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ Θεοδώρῳ τῷ Βρανᾷ, δικαιοῦν γενέσθαι αὐτὸν ἐν κατοχῇ τοῦ τρίτου τῶν προικῴων τῆς ἀποιχομένης γυναικὸς αὐτοῦ πραγμάτων, ἐπειδήπερ ἐπέστη καὶ ἀνέφερεν εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον, ὅτι δὴ τελευτῶσα ἐκείνη διαθήκην μὲν οὐδὲν ἔφθασε γενέσθαι, ἔφθασε δὲ ὅμως εἰπεῖν, ὅσον ἠβούλετο ἐπ' αὐτοῖς, καὶ μετὰ τὸ λεγάτα πρὸς οὓς ἤθελε καταλιπεῖν ἐπιτρέψαι τούτῳ καὶ ἀναθῆναι τὴν τῶν λοιπῶν διοίκησιν καὶ ἅμα τὴν φροντίδα τῆς οἰκείας ψυχῆς ὑπὸ μάρτυσιν ἄλλοις τε τῶν ἀξιοπίστων καὶ αὐτῆς ἐνώπιον τῆς οἰκείας μητρὸς τῆς μοναχῆς κυρᾶς Εὐφροσύνης τῆς Πετραλοιφίνης, ἐπιστᾶσα δὲ νῦν καὶ αὐτὴ δὴ ἡ μήτηρ ἐκείνης τῷ καθ' ἡμᾶς ἱερῷ συνοδικῷ δικαστηρίῳ καὶ ἀνενέγκασα, ἄλλως ἔχειν τὴν ὑπόθεσιν καὶ οὐχ ὡς ἐκεῖνος ἀνέφερε, προσεξεῖπεν ἅμα καὶ ὡς πρὶν ἢ τὸ ψήφισμα κομίσασθαι τὸν Βρανᾶν, ἔσχεν αὕτη παρ' ἐκείνου ἔκδοσιν ἐγγράφως εἰς τὰ προικῷα τῆς θυγατρὸς πράγματα, καὶ ἅμα προέτεινεν ἐπὶ τοῦ μέσου καὶ τὸ γράμμα ἔχον οὕτω κατὰ ῥῆμα· „ἐπεὶ εἶχον μετὰ τῆς κυρᾶς μου, τῆς μάννας μου διενέξεις καὶ ὀχλήσεις διὰ τὰ δοθέντα μοι παρ' αὐτῆς πράγματα χάριν προικὸς, καὶ θεοῦ εὐδοκοῦντος ἤλθομεν πάλιν εἰς εἰρήνην καὶ καταλλαγὴν καὶ ἰσασμὸν μετ' ἀλλήλων, ποιῶ ἰδοὺ τὸ παρὸν ἡμέτερον γράμμα πρὸς αὐτὴν, δι' οὗ καὶ λέγω, ὅτι ἄνευ τῶν ἐντὸς τῆς θεοσώστου Ἀδριανουπόλεως ὀσπητίων ἡμῶν, ἐξουσίαν ἔχει ἵνα κρατήσῃ, εἴ τι μοι ἔδωκεν, ὡς εἴρηται, καὶ ποιήσῃ ἐπ' αὐτοῖς εἴ τι ἂν ἄρα καὶ θελήσῃ, καὶ διακρίνῃ ὑπὲρ τῆς ψυχῆς τῆς θυγατρὸς αὐτῆς,

ὡς ὀφείλοντος καὶ ἐμοῦ στέργειν εἴ τι ἂν διαπράξηται, ὡς εἴρηται, ὡς οἰκοκυρὰ εἰς αὐτά· καὶ διὰ τὴν εἰς τοῦτο πληροφορίαν ἐγένετο καὶ ἐπεδόθη αὐτῇ καὶ τὸ παρὸν γράμμα παρ' ἐμοῦ. εἶχε καὶ τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. ιγ', καὶ ὑπογραφήν· ὁ δοῦλος τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, Θεόδωρος ὁ Βρανᾶς." ἐν ἐπηκόῳ τοίνυν τοῦ γράμματος τοῦδε ἀναγνωσθέντος, εἶχε μὲν ἡ μετριότης ἡμῶν ἀποφήνασθαι κατ' αὐτὸ καὶ ἐπιτρέψαι ταύτῃ δὴ τῇ πενθερᾷ τοῦ Βρανᾶ τὴν ἐξουσίαν τῶν τοιούτων πραγμάτων, πᾶσαν δὲ χώραν ὅμως ἀντιλογίας περιαιροῦσα διέκρινε, συνοδικῶς, ἐξετασθῆναι τὴν ὑπόθεσιν τοπικῶς, κἂν μὲν εὑρεθῇ ἀληθὲς ὑπὸ μάρτυσιν ἀξιοπίστοις, ὅσον ἀνήνεγκεν ὁ Βρανᾶς, πραχθῆναι, ὅσον τὸ τηνικαῦτα προβὰν ψήφισμα διέξεισι, καὶ λαβεῖν αὐτὸν τὰ τρίτα τῆς προικὸς, εἰ δ' οὖν, ἀναλαβεῖν τὴν προῖκα δίχα τῶν οἰκημάτων τὴν πενθεράν. ἐπὶ μέντοι τοῖς οἰκήμασιν, ἐπειδὴ, ὡς αὕτη λέγει, προκομίσαι μάρτυρας ἔχει καὶ παραστῆσαι τὴν ἣν ἐπ' αὐτοῖς ἐποιήσαντο μετ' ἀλλήλων κατάστασιν, πραχθῆναι ὀφείλει, ὅσον ἔταξαν ἀμφότεροι· ἀνατιθέαμεν τοίνυν τὰ περὶ τούτου τῷ εἰς κεφαλὴν εὑρισκομένῳ κατὰ τόπον καὶ τοῖς προκρίτοις τοπικοῖς ἄρχουσιν, ὡς ἂν σύναμα τοῖς τὴν ἐνοχὴν τῶν ἐκκλησιαστικῶν δικαίων ἀνατεθειμένοις καὶ τοῖς εὐλαβεστάτοις κληρικοῖς, ποιήσωνται τὴν ἐξέτασιν καὶ εἰς τέλος τὰ τοῦ πράγματος ἄξωσιν, ὀφειλόντων τῶν μαρτύρων συντηρηθῆναι εἰς φόβον θεοῦ καὶ εἰπεῖν καὶ μαρτυρῆσαι, ὅσον γινώσκουσιν εἰς ἀλήθειαν, συνοδικὸν γὰρ τούτου χάριν ἐπιτίμιον ἐκπεφώνηται κατ' αὐτῶν· καὶ γοῦν ὀφείλει πραχθῆναι τὰ περὶ τούτου κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος πιστωθέντα ἐπιδέδοται μηνὶ καὶ ἰνδ. τοῖς ἀναγεγραμμένοις ἔτους ,ς ω λ η' †.

III. † Μηνὶ ἀπριλλίῳ, ἡμέρᾳ, ε', ἰνδ. ιγ', προκαθημένου τοῦ πανα-γιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἡσαΐου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέσου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἀσίας, Ματθαίου, τοῦ Προύσης,

ὑπερτίμου καὶ προέδρου Βιζύης, Νικολάου, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Παλαιῶν Πατρῶν, ὑπερτίμου....., τοῦ Σερρῶν καὶ ὑπερτίμου, Μακαρίου, τοῦ Βερροίας καὶ ὑπερτίμου, Διονυσίου, τοῦ Μεθώμνης καὶ ὑπερτίμου, Μαλαχίου, τοῦ Σουγδαίας, ὑπερτίμου καὶ προέδρου Δακεδαιμονίας, Λουκᾶ, τοῦ Προικοννήσου, Μανουὴλ, καὶ τοῦ Κῶ, Γερασίμου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Παρέστη τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ ἡ μοναχὴ Ἀγαθονίκη, καὶ ἀνέφερεν, ὡς ὁ πρὸς μητρὸς θεῖος αὐτῆς, ὁ μοναχὸς Θεοδόσιος, ἐκ τῆς Σ..αμάνδρου ὑποχωρήσας ὁμοῦ μετ' αὐτῆς, ἔτι δὲ καὶ τῆς μητρὸς αὐτῆς τῆς μοναχῆς Ἀναστασίας διὰ τὴν τῶν ἐχθρῶν βαρβάρων ἐπίθεσιν, καὶ εἰς τὴν θεοφύλακτον πόλιν Ἡράκλειαν ἐλθὼν καὶ ἐν αὐτῇ οἰκήσας, ἀνήγειρεν ἐντὸς αὐτῆς οἰκείοις αὐτοῦ κόποις καὶ ἀναλώμασι μονύδριον εἰς ὄνομα τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τῆς Κριονεριτίσσης, εἰς ὃ εἰσαχθεῖσαι παρ' αὐτοῦ ἀμφότεραι εὑρίσκοντο καὶ διῆγον ἐν αὐτῷ· μετὰ μέντοι χρόνων τινῶν παραδρομὴν, ἐπείπερ ἠσθένησεν ὁ ῥηθεὶς θεῖος αὐτῆς ὁ μοναχὸς Θεοδόσιος, καὶ ἠθέλησε καὶ ἐζήτησεν ἰδεῖν τὸν θεοφιλέστατον ἐπίσκοπον Δανείου, ἅμα μὲν καὶ διὰ τὸ, ἵνα δέξηται τὴν ἐξαγορείαν αὐτοῦ, ἅμα δὲ καὶ διὰ τὸ, ἵνα διαθήκη γένηται ὑπὸ μάρτυρι αὐτῷ καὶ τοῖς αὐτοῦ κληρικοῖς, ἐπέστη μὲν καὶ κατέλαβε πρὸς αὐτὸν ὁ αὐτὸς θεοφιλέστατος ἐπίσκοπος Δανείου, καὶ ἐδέξατο τὴν ἐξαγορείαν αὐτοῦ, εἰπόντος καὶ περὶ τοῦ μονυδρίου, ὅσον ἦν αὐτῷ πρὸς βουλήσεως, καὶ παραπέμποντος τὴν κατοχὴν τούτου πρὸς αὐτὰς δὴ τὰς μοναχὰς, μετ' ὀλίγον δὲ καὶ ὁ Κουνάλης Γεώργιος ἐπιστὰς, ἐνεπόδισε καὶ οὐκ εἴασε γραφῆναι τὴν διαθήκην, καὶ τελευτῇ χρησαμένου τοῦ μοναχοῦ, διαθήκην αὐτὸς δὴ ὁ Κουνάλης ἐξέθετο, τοῦ ἰδίου υἱοῦ ταύτην ἐγχαράξαντος, καὶ, καθὼς αὐτὸς ἠρέσκετο, πεποίηκε ταύτην, καὶ παρέπεμψε καὶ ἐπαφῆκε δι' αὐτῆς τὸ μονύδριον τόδε παρὰ τὸν σκοπὸν καὶ τὴν θέλησιν τοῦ δομήτορος πρὸς τὸ μέρος τοῦ περιποθήτου συμπενθέρου τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος τοῦ ἐπὶ τοῦ κανικλείου ἐκείνου, παρ' οὗ δὴ καὶ κατεσχέθη ἔκτοτε καὶ ἠμελήθη, καὶ κατήντησεν εἰς ἐρήμωσιν πολλήν· ταῦτα ἡ εἰρημένη μοναχὴ Ἀγαθονίκη ἀνενέγκασα ἐδεήθη τῆς ἡμῶν μετριότητος. ἡ μετριότης τοίνυν ἡμῶν δεῖν εἶναι κρίνασα καὶ τοῦ μέρους τοῦ ἐπὶ τοῦ κανικλείου

ἀκοῦσαι, εἴ τι προβαλέσθαι καὶ εἰπεῖν ἔχει περὶ τοῦ μονυδρίου, διαμηνύεται ἀπαντῆσαι καὶ αὐτοὺς εἰς τὸ δικαστήριον, καὶ πεπόμφασιν οὗτοι τὴν διαθήκην, μηδὲν ἕτερον, ἀλλ' ἢ μόνον αὐτὴν εἰς δικαίωσιν ἑαυτῶν προβαλέσθαι ἔχοντες, καὶ ἐπεὶ τρόπον, ὃν εἴρηται, τὸν Κουνάλην πλάσαι ταύτην ἡ μοναχὴ ἔλεγεν, ἰσχυρίζετο δὲ καὶ τὸ μέρος τοῦ ἐπὶ τοῦ κανικλείου, μόνην ταύτην δὴ τὴν μοναχὴν Ἀγαθονίκην ἐνοχλεῖν περὶ τοῦ μονυδρίου, τῆς μητρὸς αὐτῆς τῆς μοναχῆς Ἀναστασίας δεχομένης καὶ στεργούσης τὴν διαθήκην. καὶ ἐδέησε διὰ τοῦτο ἐπιστῆναι καὶ αὐτὴν εἰς τὸ δικαστήριον, λαβεῖν δὲ ἡμᾶς πληροφορίαν τῶν εἰρημένων καὶ παρὰ τοῦ δηλωθέντος θεοφιλεστάτου ἐπισκόπου Δανείου, προσεκλήθη καὶ κατέλαβε καὶ αὕτη, καὶ ἐρωτηθεῖσα συνοδικῶς, πεπλασμένην ὁμοίως καὶ αὐτὴ τὴν διαθήκην ἔλεγεν, ἔγραφε δὲ καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Δανείου καὶ ἐμαρτύρησε, προβῆναι τὰ τοῦ πράγματος, ὡς ἡ μοναχὴ ἀνέφερε, καὶ ὡς πρὸς αὐτὰς παρέπεμψεν ἐκεῖνος τὸ μονύδριον, καὶ ὡς ὕστερον ἐπλάσατο τὴν διαθήκην ὁ Κουνάλης καὶ ὑπέγραφεν εἰς αὐτὴν καὶ ὑπογραφὴν δῆθεν τοῦ ἐπισκόπου καὶ ἑτέρων, αὐτὰ δὲ ταῦτα ἐμαρτυρήθη ἐγγράφως καὶ παρὰ τῶν κληρικῶν αὐτοῦ καὶ παρὰ τοῦ καθηγουμένου τοῦ μοναστηρίου τοῦ Μωσηλὲ, ὅθεν καὶ ἐδικαίωσεν συνοδικῶς ἡ μετριότης ἡμῶν, γενέσθαι τὰς μοναχὰς ἀμφοτέρας ἐν κατοχῇ τοῦ μονυδρίου τοῦδε κατὰ τὴν τοῦ δομήτορος θέλησιν· καὶ γοῦν ἐπιλήψονται καὶ καθέξουσιν αὐτὸ μετὰ καὶ τοῦ ὑπ' αὐτὸ μετοχίου, ἀντιστρέψαι καὶ ἀποδοῦναι ὀφείλοντος τοῦ μέρους τοῦ ἐπὶ τοῦ κανικλείου, εἴ τι ἀφείλοντο ἀπ' αὐτοῦ. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος πιστωθέντα ἐπιδέδοται μηνὶ καὶ ἰνδ. τοῖς ἀναγεγραμμένοις ἔτους ,ϛου ωου λ η' †.

LXXI. Sine anno.

Esaias scribit Catholico ecclesiae armeniacae, se eum cum tota ecclesia armeniaca recipere in sinum ecclesiae orthodoxae.

† Αἰδεσιμώτατε, τιμιώτατε καὶ εὐλαβέστατε καθολικὲ τῆς ἐκκλησίας τῶν Ἀρμενίων. ἡ μετριότης ἡμῶν ἐκ μέσης ψυχῆς ἐπεύχεται ἅψασθαι τὴν χάριν τοῦ εἰρηνοδότου θεοῦ ἡμῶν τῶν καρδιῶν τῆς τε αἰδεσιμότητός σου καὶ παντὸς τοῦ ὑπ' αὐτὴν λαοῦ, ὥστε κραταιότερον καὶ

ἐντελέστερον καὶ ζητῆσαι καὶ καταπράξασθαι τὴν μεθ' ἡμῶν ἕνωσιν, ὥσπερ καὶ ἡμεῖς καὶ ζητοῦμεν καὶ ἀποδεχόμεθα καὶ δι' εὐχῆς καὶ ἐφέσεως ποιούμεθα. οἱ ἀποσταλέντες παρ' ὑμῶν πρέσβεις, καταλαβόντες ἐνταῦθα, διεκόμισαν πρὸς ἡμᾶς, ἅσπερ ἐπεφέροντο γραφὰς παρὰ τῆς εὐλαβείας ὑμῶν. ἡ γοῦν μετριότης ἡμῶν ἀθροίσασα περὶ αὐτὴν τοὺς παρατυχόντας τῶν ἀρχιερέων καὶ σύνοδον ποιησαμένη, συμπαρόντος ἡμῖν καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος μετὰ τῆς ὑπ' αὐτὸν συγκλήτου καὶ τάξεως, προέτρεψεν ἀναγνωσθῆναι τὰς τοιαύτας γραφὰς, καὶ δὴ ἀναγνωσθεισῶν εἰς ἐπήκοον πάντων ἔγνωμεν ἀκριβῶς τὴν ὑμετέραν ἐπιστροφὴν, ἣν θεοῦ κινήσαντος ἡμᾶς μετὰ θερμῆς πάνυ καὶ εἰλικρινοῦς διαθέσεως ἐδείξασθε· ὅσης οὖν εὐθυμίας ἐπλήσθημεν ἐπὶ τούτοις, ὅσης ἡδονῆς καὶ οἵαν ἔσχομεν πνευματικὴν εὐφροσύνην, τί χρὴ καὶ λέγειν; πλὴν ὅτι ἐπεσκέψατο κύριος τὴν κληρονομίαν αὐτοῦ, καὶ οὐ παρεῖδεν ὑμᾶς, τὸν οἰκεῖον αὐτοῦ λαὸν, ὃν τῷ ἰδίῳ αἵματι περιεποιήσατο, διεσπασμένον εἶναι καὶ διερρηγμένον εἰς τέλος, ἀλλ' ὥσπερ πρότερον διὰ σπλάγχνα ἐλέους θεοῦ πατρὸς καθ' ἡμᾶς ἀναμαρτήτως γέγονεν ἄνθρωπος, καὶ τὸ μεσότοιχον καθελὼν τοῦ φραγμοῦ τὴν ἀρχαίαν καταλέλυκεν ἔχθραν, καὶ κατήλλαξεν ἡμᾶς τῷ θεῷ καὶ πατρὶ, οὕτω καὶ νῦν ἰδὼν αὖθις ὑμᾶς σπέρματα πονηρὰ δεξαμένους παρὰ τοῦ κοινοῦ πολεμίου καὶ διάστασιν ἑτέραν πεπονθότας ἐπὶ πάνυ πολλοῖς τοῖς χρόνοις πρὸς τὴν κοινὴν μητέρα τῶν ἐκκλησιῶν, ᾤκτειρε καὶ κατεδυσωπήθη, καὶ οὐκ ἀφῆκε τὸν τοιοῦτον ἐχθρὸν μέχρι τέλους ἐπεγγελᾶν τῇ συντριβῇ τῆς ἰδίας κληρονομίας· ἅτε τοίνυν σοφὸς ὢν ἰατρὸς τῶν ἡμετέρων ψυχῶν καὶ συμφερόντως οἰκονομῶν τὰ ἡμέτερα, τούς τε καιροὺς εἰδὼς ἄριστα τῆς θεραπείας ὑμῶν, καὶ ὁποίοις φαρμάκοις ἡ ἐνοχλοῦσα νόσος ἐξιαθήσεται καὶ τὸ ἐμφωλεῦον ἐξαιρεθήσεται πάθος, εἰ καὶ μέχρι τοῦ παρόντος ἐμακροθύμησεν, ἀλλ' οὖν ὅτε γνησίως ὑμᾶς εἶδε τὴν ἰατρείαν παραδεξομένους, τῇ τέχνῃ ἐχρήσατο, καὶ μυστικῶς λαλήσας ἐν τῇ καρδίᾳ ὑμῶν τὰ ψυχωφελῆ καὶ σωτήρια, τῇ καθολικῇ ἐκκλησίᾳ ὡς γνησίᾳ μητρὶ προσδραμεῖν καθωδήγησεν, ἐπειδὴ καὶ μητρὸς λόγον ἡμεῖς ἐπέχομεν, πρός τε ὑμᾶς καὶ πάντας τοὺς βουλομένους χριστιανοὺς καὶ εἶναι καὶ ὀνομάζεσθαι, ὡς καὶ ὑμεῖς ἀκριβῶς ἴστε, καὶ γὰρ ἐξ ἡμῶν τὰ ἱερὰ τῆς εὐσεβείας δόγματα ἀνὰ πᾶσαν φοιτῶσι τὴν οἰκουμένην, ἐξ ἡμῶν αἱ διδασκαλίαι τῶν θείων πατέρων καὶ τῶν ἁγίων δὲ συνόδων, αἱ

θεόπνευστοι νομοθεσίαι, ἐξ ἡμῶν, ὡς ἀπὸ πηγῆς τινος, εἰς το τῆς ἐκκλησίας πλήρωμα ἐξεχύθησαν. ἐπεὶ τοίνυν θεὸς ἥψατο τῆς ὑμετέρας καρδίας, καὶ ὀψὲ γοῦν ἐπέγνωτε τὴν κοινὴν μητέραν τὴν ἐκκλησίαν, ἧς τοσοῦτον ἐχωρήσθητε χρόνον, καὶ διαπτύετε καὶ βδελύττεσθε, καὶ παντελῶς ἀποβάλλεσθε, ἃ κακῶς ἐφρόνησαν οἱ πατέρες ὑμῶν, ἐπὶ καταστροφῇ τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων καὶ νηπιότητα καὶ ἄγνοιαν ἐκείνων καταγινώσκετε, καὶ ὁμολογεῖτε τρανῶς τὴν ἀλήθειαν, καὶ ἀξιοῦτε καὶ ἱκετεύετε μετὰ θερμοῦ καὶ ζήλου καὶ πόθου, προσδεχθῆναι ὑμᾶς εἰς δόξαν τοῦ τὰ πάντα πεποιηκότος θεοῦ καὶ πατρὸς, τί ἄλλο ποιῆσαι ἡμᾶς ἔδει ἢ σπλάγχνα οἰκτιρμῶν ὑμῖν ἐπανοῖξαι, καὶ ὡς υἱοὺς τὸν ἴδιον ἐπεγνωκότας πατέρα καὶ προσλαβεῖν καὶ προσδέξασθαι καὶ χαρῆναι τὰ μάλιστα καὶ μονονουχὶ πανηγυρίσαι, ὅτι, οὓς νεκροὺς ἐνομίζομεν, ὡς ζῶντας ὁρῶμεν, καὶ οὓς ἀπολωλότας ἐλογιζόμεθα, τούτους σωζομένους εὕρομεν κατὰ τὴν ἡμετέραν εὐχήν; εἰ γὰρ ὁ εὐαγγελικὸς γάμος ἐκεῖνος τοὺς ἐκ τῶν ὁδῶν καὶ φραγμῶν ἐπὶ τὸ δεῖπνον μετακαλεῖται καὶ τῆς πνευματικῆς πανδαισίας ἐμπίπλησιν, ἡμεῖς ὑμᾶς τοὺς ὄντας ποτὲ φίλους καὶ ἀδελφοὺς, καὶ τῆς αὐτῆς ἡμῖν κοινωνοῦντας τραπέζης, οὐ παραδεξόμεθα μετεγνωκότας, οὐδὲ παραληψόμεθα, διορθώσεσθαι κατεπαγγελλομένους, ἅπερ οἱ πατέρες ὑμῶν ἐξ ἀβουλίας ἐφρόνησαν; καὶ πῶς ἂν αὐτοῦ Χριστοῦ μιμηταὶ γενώμεθα τοῦ τὸν Πέτρον θερμόν τι καὶ περιπαθὲς δακρύσαντα μετὰ τὴν ἄρνησιν παραδεξαμένου, καὶ τὸν λῃστὴν συγκληρονόμον λαβόντος τοῦ παραδείσου μιᾶς φωνῆς ἕνεκεν; εἰ δὲ καὶ χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι καὶ μιᾶς δραχμῆς εὕρεσις ἡδονὴν ἄρρητον, ὡς τὰ θεῖά φησι λόγια, ἡμεῖς ὑμᾶς ὅλον ἔθνος μέγα τε πολὺ καὶ πανταχοῦ διαβεβοημένον πρὸς ἡμᾶς ἐπιστρέφον καὶ ὁμοφρονεῖν ὑπισχνούμενον καὶ ὁμοδοξεῖν κατὰ πάντα, οὐ συνάψομεν ἑαυτοῖς, οὐδ' ὡς οἰκεῖα περιποιησόμεθα μέλη, ὧν τῷ χωρισμῷ σπαραττόμεθα; οὐ τοῦτο νόμος, ἀγαπητοὶ, τοῦ ἀγαθοῦ τε καὶ πράου καὶ εἰρηνικοῦ πνεύματος, ἀλλ' ἤδη καὶ θύραν ὑμῖν ὑπανοίγομεν μετανοίας καὶ προσκαλούμεθα, ὡς γνήσια τέκνα, καὶ μεθ' ἡμῶν βουλόμεθα στῆναι καὶ κοινῇ τὴν τριάδα δοξάσαι, μόνον εἰ μετὰ ὑγιοῦς φρονήματος καὶ καθαρᾶς γνώμης καὶ ἀνεπιθολώτου καρδίας τὴν μεθ' ἡμῶν ἀσπάσεσθε ἕνωσιν, καὶ ὥσπερ χείλεσιν, οὕτω καὶ διανοίᾳ φρονήσετε καὶ κηρύξετε τὴν τῶν δογμάτων ἀλήθειαν,

ἐπεὶ γὰρ αὐτόμολοι πρὸς ἡμᾶς ἐπιστρέφετε, καὶ οὐ βία τις ἔξωθεν εἰς τοῦτο ἐλαύνει, οὐδ' ἔστι τις ὁ καταναγκάζων, εἰ μὴ θεὸς μόνος ὁ πάντας σωθῆναι βουλόμενος καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, δέον ἐστὶ τὴν ὑμετέραν ἀγάπην τὰ τῆς ὀρθοδοξίας καὶ φρονῆσαι καὶ ὁμολογῆσαι καὶ τοῖς ὅλοις πρὸς ἡμᾶς ἐξομοιωθῆναι· ὅθεν καὶ διὰ τὸ τοιοῦτον θεοφιλὲς καὶ σωτήριον ὑμῶν ζήτημα ἐξελεξάμεθα καὶ ἀπεστείλαμεν πρὸς ὑμᾶς τὸν πανσέβαστον σεβαστὸν οἰκεῖον τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, προκαθήμενον τοῦ θεοφυλάκτου κοιτῶνος τῆς ἁγίας βασιλείας αὐτοῦ, κῦρ Μιχαὴλ τὸν Καλλικρηνίτην, καὶ τὸν τιμιώτατον ἐν ἱερομονάχοις κῦρ Γαβριὴλ, ἀλλὰ δὴ καὶ τὸν ἐντιμότατον ἐπίσκοπον τῶν ἐνταῦθα Ἀρμενίων, ὅστις δὴ προκαθήμενος τοῦ βασιλικοῦ κοιτῶνος μέλλει ἀπελθεῖν πρότερον εἰς τὸν σουλτάνον διὰ τὴν δουλείαν, ἣν ἠξίωσαν γενέσθαι οἱ ἀποσταλέντες παρ' ὑμῶν ἀποκρισιάριοι, οἱ μέντοι συναποσταλέντες μετ' αὐτοῦ μέλλουσιν ἀποκομίσαι πρὸς ὑμᾶς τό τε σεπτὸν πρόσταγμα τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ τὴν παροῦσαν ἡμετέραν γραφήν, ἐξ ὧν ἵνα καταλάβητε, ὅπως ἀσπασίως καὶ μετὰ πολλῆς ἀγάπης πνευματικῆς ἐδεξάμεθα τὴν ἐπὶ τὸ κρεῖττον ὑμῶν μεταβολήν, καὶ ὅπως ἀπεκδεχόμεθα ἀναπληρῶσαι ὑμᾶς καὶ τὰ ἐλλείποντα, καθὼς παραδηλοῦμεν διὰ τῶν, ὡς εἴρηται, ἐρχομένων αὐτόθι· περὶ μέντοι τῶν ἐνταῦθα Ἀρμενίων, οἵτινες προσετέθησαν εἰς τὴν ἡμετέραν ἁγίαν καὶ καθολικὴν ἐκκλησίαν, ἔχετε πληροφορίαν βεβαίαν, ὡς οὐκ ἔκ τινος βίας ἢ ἀνάγκης ἐποίησαν τοῦτο, καθὼς ἐγνωρίσατε ὑμεῖς, ἀλλὰ ἐξ οἰκείας γνώμης, ἐξ οἰκείας προαιρέσεως καὶ θελήσεως, οὐδὲ γὰρ οὐδὲ ἡμεῖς ἐμέλλομεν παραδέξασθαι τούτους εἰς κοινωνίαν, εἴπερ ἄκοντες προσήρχοντο· ἡ γὰρ πίστις καὶ ἡ ἐπὶ τοῖς δόγμασιν ἀκρίβεια τῆς προαιρέσεως ἕνι καὶ οὐ τῆς βίας· ὅστις γὰρ θέλει ὀπίσω μου ἀκολουθεῖν, ὁρίζει ὁ δεσπότης καὶ κύριος ἡμῶν ἐν τοῖς ἁγίοις εὐαγγελίοις· πῶς δὲ ἐμέλλομεν συγκοινωνοὺς ἔχειν τῆς πίστεως, οὓς ἐγινώσκομεν ἐξ ἀνάγκης καὶ φόβου προσελθόντας, τῇ δὲ καρδίᾳ ὄντας, ὅπερ ἦσαν καὶ πρότερον; τοῦτο καὶ ὑμεῖς διακρῖναι ἔχετε πάντως, ὡς οὐδὲν ἔχει ἄλλως ἢ ὡς γράφομεν καὶ πληροφοροῦμεν· καὶ ἀπὸ τοῦ νῦν μέλλει ἐνεργεῖσθαι εἰς αὐτοὺς, ὅσον ἀφορᾷ εἰς κυβέρνησιν αὐτῶν καὶ ἀνάπαυσιν, ἐπεὶ εἰς ἀποδοχὴν ἡμῶν ἔνι τοῦτο. ἀπέμεινεν οὖν εἰς ὑμᾶς, πῶς ἵνα ὑποστρεψάντων τῶν ἀποσταλέντων αὐτόθι λάβωμεν ἐντελῆ πληροφο-

ρίαν περὶ τῆς ὑμετέρας ἀληθοῦς ἐπιστροφῆς τε καὶ διορθώσεως, καὶ οὕτως ἀναμφιβόλως καὶ ἀδιστάκτως ὑμᾶς δεξάμενοι, ἓν σῶμα καὶ ἓν πνεῦμα γενώμεθα εἰς δόξαν τοῦ ἐν εἰρήνῃ καλέσαντος ἡμᾶς κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ἔρρωσο, ἐν κυρίῳ ἀγαπητὲ καθολικὲ, ἄνερ τιμιώτατε †.

LXXII. Sine anno.

Esaias scribit regi Armeniae, se eum cum tota ecclesia armeniaca recipere in sinum ecclesiae orthodoxae.

† Ὑψηλότατε ῥὴξ Κιλικίας καὶ Ἰσαυρίας καὶ πάσης Ἀρμενίας καὶ περιπόθητε ἐξάδελφε τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος· ἡ μετριότης ἡμῶν εὔχεται καὶ παρακαλεῖ τὸν θεὸν ἐξ ὅλης τῆς καρδίας, ὡς ἂν στηρίξῃ καὶ βεβαιώσῃ καὶ τὴν ῥηγικήν σου ἐξουσίαν καὶ τὸν ὑπ' αὐτὴν πάντα λαὸν, καὶ ἐνισχύσῃ εἰς τὴν καλὴν ὁρμὴν καὶ θέλησιν, ἣν ἐποθήσατε καὶ ἐθελήσατε, καὶ προθυμοτέρους, καθ' ὅσον ἐγχωρεῖ, ποιήσῃ εἰς τὸ καὶ εἰς πέρας ἀγαγεῖν τὴν τοιαύτην ὑμῶν ἐπαινετὴν ὁρμὴν καὶ θέλησιν, καθὼς καὶ ἡμεῖς ἀποδεχόμεθα καὶ εὐχόμεθα. τὴν μετὰ τοῦ ἀποσταλέντος ἐνταῦθα ἀποκρισιαρίου τῆς ῥηγικῆς σου ἐξουσίας γραφὴν αὐτῆς ἐδεξάμεθα, καὶ ἐγνώρισεν ἐξ αὐτῆς ἀναγνωσθείσης καὶ ἡ μετριότης ἡμῶν καὶ οἱ περὶ αὐτὴν ἱερώτατοι ἀρχιερεῖς οἱ παρατυχόντες ἐνταῦθα, ὅσα ἐδήλου καὶ ἐζήτει ἡ ῥηγικὴ σου ἐξουσία περὶ τῆς ζητήσεως, ἣν ἐποιήσατο εἰς ἡμᾶς ὁ αἰδεσιμώτατος καὶ τιμιώτατος καθολικὸς τῆς ἐκκλησίας τῶν Ἀρμενίων, ἀποστείλας καὶ τὴν ὁμολογίαν αὐτοῦ, ἣν δῆτα ὁμολογίαν διατείνεται καὶ ἡ ῥηγικὴ σου ἐξουσία ἐν τῇ γραφῇ αὐτῆς στέργειν καὶ αὕτη καὶ ὁ ὑπ' αὐτὴν λαὸς τῶν Ἀρμενίων· πληροφορηθήτω οὖν ἡ ῥηγικὴ σου ἐξουσία, ὡς μεγάλως ἀπεδεξάμεθα τὰ περὶ τῆς τοιαύτης ζητήσεως καὶ τῆς ῥηγικῆς σου ἐξουσίας καὶ τοῦ αἰδεσιμωτάτου καὶ τιμιωτάτου καθολικοῦ, ἐπεὶ καὶ διὰ τῆς χάριτος τοῦ πανοικτίρμονος θεοῦ, αὐτοῦ ἐσμὲν μαθηταὶ τοῦ εἰρηνικοῦ καὶ πράου καὶ ἀληθινοῦ ποιμένος, τοῦ διὰ τοῦτο μόνον ἐλθόντος ἐπὶ τῆς γῆς, ἵνα τὰ διῃρημένα συνάψῃ καὶ τὴν σωτηρίαν πάντων ἐργάσηται, καὶ ἐπὶ τῇ ὑμετέρᾳ ἐπιστροφῇ, τοσούτου πλήθους καὶ προσθήκης μεγάλης εἰς τὴν ἡμετέραν ἁγίαν καὶ καθολικὴν ἐκκλησίαν, μεγάλην ἀποδεδώκαμεν τὴν εὐχαριστίαν καὶ τὴν ἀνθομολόγησιν τῷ ἁγίῳ ἐλέει τοῦ θεοῦ, ὅτι οὐκ

εἴασεν εἰς τέλος τοσοῦτον λαὸν σφαλεροῖς δόγμασι προσέχειν καὶ ἀποτετμημένον εἶναι τῆς ἐκκλησίας αὐτοῦ. ὅσον τοίνυν ἔχομεν τοῦτο περὶ πολλοῦ, ἐγράψαμεν καὶ ἐδηλώσαμεν τοῦτο πρὸς αὐτὸν τὸν αἱδεσιμώτατον καθολικὸν καὶ γράφομεν καὶ πρὸς τὴν ῥηγικήν σου ἐξουσίαν, ὡς κατὰ πολὺ ἀποδεχόμεθα τὸ, ἵνα προσδεξώμεθα ὑμᾶς εἰς τὴν κοινωνίαν τὴν μεθ' ἡμῶν, γενομένου καὶ τοῦ πράγματος καὶ οἰκονομηθέντος, ὡς ἐνδέχεται, ὅθεν καὶ διὰ τὸ τοιοῦτον θεοφιλὲς καὶ σωτήριον ὑμῶν ζήτημα ἐξελεξάμεθα καὶ ἀπεστείλαμεν πρὸς ὑμᾶς τὸν πανσέβαστον σεβαστὸν οἰκεῖον τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, προκαθήμενον τοῦ θεοφυλάκτου κοιτῶνος τῆς ἁγίας βασιλείας αὐτοῦ, κῦρ Μιχαὴλ τὸν Καλλικρηνίτην, καὶ τὸν τιμιώτατον ἐν ἱερομονάχοις κῦρ Γαβριὴλ, ἀλλὰ δὴ καὶ τὸν τιμιώτατον ἐπίσκοπον τῶν ἐνταῦθα Ἀρμενίων, ὅστις δὴ προκαθήμενος τοῦ βασιλικοῦ κοιτῶνος μέλλει ἀπελθεῖν πρότερον εἰς τὸν σουλτάνον διὰ τὴν δουλείαν, ἣν ἠξίωσαν γενέσθαι οἱ αὐτόθεν ἐλθόντες ἀποκρισιάριοι, οἱ μέντοι συναποσταλέντες μετ' αὐτοῦ μέλλουσιν ἀποκομίσαι εἰς τὴν ῥηγικήν σου ἐξουσίαν τὸ σεπτὸν χρυσόβουλλον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ τὴν παροῦσαν ἡμετέραν γραφήν, ἐξ ὧν ἵνα καταλάβητε. ὅπως ἀσπασίως καὶ μετὰ πολλῆς ἀγάπης πνευματικῆς ἐδεξάμεθα τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν ὑμῶν, καὶ ὅπως ἀποδεχόμεθα ἀναπληρῶσαι ὑμᾶς καὶ τὰ ἐλλείποντα, καθὼς παραδηλοῦμεν διὰ τῶν, ὡς εἴρηται, ἐρχομένων αὐτόθι· περὶ μέντοι τῶν ἐνταῦθα Ἀρμενίων, οἵτινες προσετέθησαν εἰς τὴν ἡμετέραν ἁγίαν καὶ καθολικὴν ἐκκλησίαν, πληροφορηθήτω ἡ ῥηγική σου ἐξουσία, ὡς οὐκ ἔκ τινος ἀνάγκης ἢ φόβου ἐποίησαν τοῦτο, ἀλλὰ ἐξ οἰκείας γνώμης καὶ προαιρέσεως καὶ θελήσεως, ἐὰν γὰρ προέβαινε τοῦτο οὕτως, πῶς ἐμέλλομεν δέξασθαι ἡμεῖς εἰς κοινωνίαν ἀνθρώπους ἀκουσίως προσελθόντας τῇ πίστει, οἵτινες τῇ ἀληθείᾳ εἰς ἐκεῖνο ἔμελλον ἐμμένειν, ὅπερ ἦσαν καὶ πρότερον; οὐδὲν ἔχει ἀληθῶς, ὅσον ἐγνωρίσθη αὐτόθι περὶ τούτου, ἀλλὰ τὸ ἀληθὲς ἔχει, ὡς πληροφοροῦμεν ἡμεῖς, ἀπὸ τοῦ νῦν δὲ μέλλει ἐνεργεῖσθαι εἰς αὐτοὺς, ὅσον ἀφορᾷ εἰς κυβέρνησιν αὐτῶν, ἐπεὶ εἰς ἀποδοχὴν ἔνι τοῦτο τῆς ῥηγικῆς σου ἐξουσίας. ἡμεῖς δὲ εὐχόμεθα, ἵνα εὐδοκήσῃ ὁ εἰρηνάρχης θεὸς καὶ προβῇ ἡ τοιαύτη ἕνωσις καὶ προσδοχὴ ὑμῶν κατὰ τὴν ἀποδοχὴν αὐτοῦ τοῦ θεοῦ καὶ κατὰ τὴν ἡμετέραν ἀρχὴν καὶ ἔφεσιν. ἔτι δὲ καὶ, καθὼς ζητεῖ καὶ ὀρέγεται καὶ θέλει ἡ ῥη-

γική σου ἐξουσία, ἣν καὶ εἴη διατηροῦσα ἡ τοῦ θεοῦ χάρις εἰς πάντα τὰ αὐτῷ εὐάρεστα, πρεσβείαις τῆς ὑπὲρ λόγον τεκούσης αὐτὸν, τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος †.

LXXIII. 6839—1331 aprili ind. XIV.

Synodus dirimit controversiam.

Τὸ παρὸν ἀνεγνώσθη καὶ ἐξητάσθη ἀκριβεῖ βασάνῳ καὶ ἐρεύνῃ δοθὲν καὶ ἀπεδείχθη καὶ ἀνεφάνη ψευδὲς καὶ πεφαλτζευμένον καὶ πάντῃ ἀνατετραμμένον.

† Μηνὶ ἀπριλλίῳ, ἡμέρᾳ ϛ', ἰνδ. ιδ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἡσαΐου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέσου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἀσίας, Ματθαίου, τοῦ Σάρδεων, ὑπερτίμου, ἐξάρχου Λυδίας καὶ προέδρου Μιτυλήνης, Γρηγορίου, τοῦ Προύσης, ὑπερτίμου καὶ προέδρου Βιζύης, Νικολάου, τοῦ Παλαιῶν Πατρῶν καὶ ὑπερτίμου, Μητροφάνους, τοῦ Πισιδίας καὶ ὑπερτίμου, Γρηγορίου, τοῦ Σερρῶν καὶ ὑπερτίμου, Μακαρίου, τοῦ Βρύσεως καὶ ὑπερτίμου, Γερασίμου, τοῦ Σουγδαίας, ὑπερτίμου καὶ προέδρου Λακεδαιμονίας, Λουκᾶ, τοῦ Γαλίτζης καὶ ὑπερτίμου, τοῦ Προικοννήσου, Μανουὴλ, τοῦ Λοπαδίου καὶ προέδρου Γαρέλλης, Ἱεροθέου, καὶ τοῦ Λήμνου, Ἰακώβου, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Ὁ ἱερώτατος μητροπολίτης Μηθύμνης καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸς, συνεδριάζων τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ἀναφορὰν ἐποιήσατο πολλάκις μετὰ περιπαθείας, ὡς οἱ μοναχοὶ τῆς τοῦ Καλέως σεβασμίας μονῆς κατέσχον καὶ ἰδιοποιήσαντο ἀπὸ τῶν ὑπὸ τὴν λαχοῦσαν αὐτὸν ἐκκλησίαν μοναστηρίων μοναστήρια τέσσαρα, ἤγουν τὸ τοῦ ἁγίου Νικολάου, τὸ τῆς Καλῆς Λαγκάδος, τὸ τοῦ Ξηροκάστρου καὶ τὸ τοῦ Μυρσίνης, πορισάμενοι ἐκ ψευδοῦς ἀναφορᾶς ἐπ' αὐτοῖς σεπτὸν χρυσόβουλλον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, πρὸ τούτου δὲ μεταχειρισάμενοι καὶ δύο τῶν αὐτοῦ κληρικῶν, τὸν σακελλάριον δηλονότι καὶ τὸν πρωτέκδικον, καὶ πείσαντες αὐτοὺς ὑποσχέσεσί τισι, καὶ λαβόντες παρ' αὐτῶν ἐκδοτήριον γράμμα εἰς τὸ

ῥηθὲν μοναστήριον τοῦ Μυρσίνης, μὴ συνειδότος τούτου μηδὲ συμπράξαντος εἰς τὴν τοιαύτην ἔκδοσιν· ὡσαύτως ἀνήνεγκεν ὁ αὐτὸς ἱερώτατος ἀρχιερεὺς καὶ ὡς οἱ μοναχοὶ τῆς τῶν Ὁδηγῶν σεβασμίας μονῆς καὶ οἱ τῆς τοῦ κῦρ Ἀθανασίου κατέσχον καὶ αὐτοὶ παρὰ γνώμην καὶ ἔνδοσιν τούτου μοναστήρια ἕτερα, οἱ μὲν τῆς τῶν Ὁδηγῶν τὸ τοῦ Κρυοκόπου, οἱ δὲ τῆς τοῦ κυροῦ Ἀθανασίου τὸ τῆς ἁγίας Θεοφανὼ, ὡσαύτως καὶ ὁ κῦρ Ζωσιμᾶς τὸ ἐντὸς τοῦ κάστρου τῶν ἁγίων Θεοδώρων μοναστήριον τῆς Ὁδηγητρίας, καὶ τὸ ἐκτὸς αὐτοῦ μοναστήριον τὸ ἐπιλεγόμενον τὸ Βοῦρκος, ἔτι δὲ καὶ τὸ τῶν Ἁγίων Πέντε, καὶ τὸ ἐν τῇ ἐνορίᾳ τοῦ Κόρακος τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου καὶ τὸ τοῦ σωτῆρος Χριστοῦ, ἔτι γε μὴν κατέσχε καὶ ἡ μονὴ τῆς Κεχαριτωμένης μοναστήριον τὸ τοῦ ἁγίου Γεωργίου τὸ οὕτω πως ἐπιλεγόμενον τὸ Κρύον Νερὸν καὶ τὸ Κλημάτιον κατὰ τὸν ὅμοιον τρόπον. ἃ δὴ μοναστήρια καὶ ἀνακαλούμενος, ἅτε δὴ τρόπῳ παραλόγῳ καὶ ἀδίκῳ παρὰ τῶν εἰρημένων κατασχεθέντα, ἐδεήθη τῆς ἡμῶν μετριότητος. ἐπεὶ οὖν, ὡς εἴρηται, σεπτὸν τοῖς τοῦ Καλέως μοναχοῖς προέβη χρυσόβουλλον, δεῖν εἶναι συνοδικῶς ἔγνωμεν ἀκροάσασθαι καὶ αὐτῶν, εἴ τι προβαλέσθαι καὶ εἰπεῖν ἔχουσι δίκαιον. διαμηνύεται τοιγαροῦν ὁ τὴν ἡγουμενίαν τῆς αὐτῆς σεβασμίας μονῆς ἐγκεχειρισμένος ἱερομόναχος Ἱλαρίων εἰς τὸ καθ' ἡμᾶς ἱερὸν συνοδικὸν δικαστήριον ἀπαντῆσαι, εἰς ὃ δὴ καὶ ἀπαντήσαντος μετὰ καί τινων τῶν ἐν αὐτῇ μοναχῶν, ἐγεγόνει μὲν ἐξέτασις, καὶ ἀνεφάνη, ὡς ἐκ ψευδοῦς αὐτῶν ἀναφορᾶς τὸ σεπτὸν χρυσόβουλλον ἐπορίσαντο ἐπὶ τοῖς ῥηθεῖσι μοναστηρίοις, ὑπερετέθη δὲ ὅμως τὰ τῆς ἀποφάσεως, ἕως δῆλα τὰ περὶ τούτου καὶ τῷ ἐκ θεοῦ βασιλεῖ ποιήσωμεν. καὶ ἐπεὶ γεγονότος τούτου ἔνδοσις ἐκεῖθεν ἐγένετο διὰ μέσου τοῦ περιποθήτου γαμβροῦ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ πανευγενεστάτου μεγάλου δομεστίκου, ὥστε δικάσαι τὴν ὑπόθεσιν συνοδικῶς καὶ τὸ δόξαν κανονικῶς δίκαιον ἀποφήνασθαι, μετάκλητος καὶ αὖθις εἰς τὸ δικαστήριον ὁ ῥηθεὶς καθηγούμενος τοῦ Καλέως ἐγένετο, καὶ ἐρωτηθέντος καὶ αὖθις καὶ μηδὲν ἕτερον εἰπεῖν ἢ δεῖξαι εἰς δικαίωσιν ἑαυτοῦ δίκαιον ἔχοντος, ἀλλ' ἢ τὸ σεπτὸν χρυσόβουλλον καὶ τὸ γράμμα τῶν κληρικῶν, συνδιασκεψαμένη τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν, ἐδικαίωσεν, ἵνα, ἐπεὶ παρὰ γνώμην

καὶ ἔνδοσιν τοῦ τοπικοῦ ἀρχιερέως ἐπελάβοντο καὶ κατέσχον τὰ τοιαῦτα μοναστήρια οἱ τῆς τοῦ Καλέως μοναχοί, ἐπανέλθωσι καὶ αὖθις τῇ τῆς Μηθύμνης ἐκκλησίᾳ κανονικῶς, καὶ κατέχωνται καὶ διεξάγωνται παρὰ τοῦ ἀρχιερέως κατὰ τὸ δίκαιον, ὅπερ ἔχει εἰς αὐτὰ ἐκ τῆς τῶν ἱερῶν κανόνων διαταγῆς, τὸν αὐτὸν δὲ τρόπον ἐπανέλθωσι ταύτῃ δὴ τῇ ἐκκλησίᾳ καὶ ὅσα οἵ τε τῆς τῶν Ὁδηγῶν, καὶ οἱ τῆς τοῦ κῦρ Ἀθανασίου καὶ οἱ τῆς Κεχαριτωμένης καὶ ὁ κῦρ Ζωσιμᾶς καὶ εἴ τις ἄλλος εὑρίσκεταί τι μοναστήριον κατέχων τῆς αὐτῆς ἐκκλησίας χωρὶς ἐκδόσεως ἀρχιερατικῆς, ἅτε δὴ τῶν ἱερῶν κανόνων μηδενὶ τῶν ἁπάντων παραχωρούντων δίχα τῆς τοῦ ἀρχιερέως θελήσεως καὶ ἐνδόσεως ὑποποιεῖσθαι ἑαυτῷ μοναστήριον· ὅθεν καὶ ὀφείλουσι τὸ ἀπὸ τοῦδε καὶ αὐτοὶ οἱ τῆς τοῦ Καλέως σεβασμίας μονῆς μοναχοὶ καὶ οἱ εἰρημένοι ἕτεροι μοναχοὶ τῶν διειλημμένων μονῶν καὶ πάντες οἱ ἄλλοι ὑπεκστῆναι τῇ τῆς Μηθύμνης ἐκκλησίᾳ τῶν κατεχομένων παρ' αὐτῶν, καθ' ὃν εἴρηται τρόπον, μοναστηρίων αὐτῆς καὶ ἀποσχέσθαι αὐτῶν τελέως, καὶ μηδαμῶς εἰς τὸ ἔμπροσθεν ἀντιποιηθῆναι αὐτῶν, μὴ ἐνδιδόντος μηδὲ ἐπιτρέποντος τοῦ τοπικοῦ ἀρχιερέως, ἐπιτίμιον γὰρ βαρύτατον συνοδικῶς ἐπανατεινόμεθα καὶ ἐπαπειλοῦμεν τῷ τολμήσαντι, ὁποῖος ἄρα καὶ εἴη, ἀντιποιηθῆναί τινος μοναστηρίου τῆς τοιαύτης ἐκκλησίας ἐκτὸς γνώμης καὶ θελήσεως καὶ προτροπῆς τοῦ ἀρχιερατικῶς λαχόντος διιθύνειν τὰ κατ' αὐτήν· καὶ ὡς ἂν οὐδεὶς τῷ τοσούτῳ βάρει περιπέσῃ, παραινοῦμεν ἀποσχέσθαι τῶν μοναστηρίων τῶνδε τοὺς κατέχοντας αὐτά, ὡς εἴρηται, καὶ ἀνεμπόδιστον καὶ ἀνενόχλητον ἐπ' αὐτοῖς μένειν ἐᾶσαι τὸ μέρος τῆς αὐτῆς ἐκκλησίας, οὐ μὴν, ἀλλὰ καὶ εἴ τινες εὑρίσκονται διὰ γραμμάτων ἀρχιερατικῶν κατέχοντές τινα μοναστήρια τῆς τοιαύτης ἐκκλησίας, καὶ αὐτοὶ ὀφείλουσι προνοεῖσθαι προηγουμένως τῆς αὐτῶν συστάσεως, καὶ μὴ ἐπὶ τὸ χεῖρον χωρεῖν ταῦτα τῇ ἑαυτῶν ἀμελείᾳ ἐᾶν, ἔπειτα ὑπείκειν καὶ εὐπειθεῖν καὶ ὑποτάσσεσθαι, ὡς προσῆκον, καὶ τῷ κατὰ τόπον ἀρχιερεῖ, καὶ ἐπ' οὐδενὶ τῶν ἀνηκόντων αὐτῷ κανονικῶν δικαίων ἀδικεῖν τοῦτον, εἰ δ' οὖν, ἐξέσται αὐτῷ ἐξωθεῖν τούτους ἐκεῖθεν καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ ἐπανασώζειν τὰ μοναστήρια ταῦτα. τοῦτο δὲ κρατεῖν βουλόμεθα καὶ ἐπὶ ταῖς λοιπαῖς ἐκκλησίαις, πρᾶγμα γὰρ ἐπιχωριάσαν ὁρῶμεν ταῖς ἐκκλησίαις παράλογον καὶ τῶν ἱερῶν κανόνων ἐκτὸς, ἀφαιροῦνται γάρ τινες αὐτῶν μοναστήρια καὶ καρπίζονται ταῦτα δίχα γνώμης καὶ

θελήσεως ἀρχιερατικῆς, ὅπερ καὶ ἐκ μέσου γενέσθαι τῶν δικαιοτάτων ἐστί· καὶ ταῦτα μὲν ὀφείλει πραχθῆναι κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν, ἐπειδὴ δὲ ἔφθασαν καὶ οἱ εἰς τὸ Κρίτζος μοναχοί, καὶ κατέσχον παρὰ τὴν θέλησιν τοῦ ἀρχιερέως ἕτερα μοναστήρια τρία, ἤγουν τὸ τοῦ σωτῆρος Χριστοῦ, τὸ τοῦ Κεραμεῶνος καὶ τὸ τῶν ἁγίων Θεοδώρων, εἰς ὃ δὴ μοναστήριον τῶν ἁγίων Θεοδώρων ἐξ οἰκονομίας τῶν μοναχῶν τῶνδε προέβη ὁρισμῷ βασιλικῷ γράμμα τούτου, καὶ ἐδεήθη καὶ περὶ αὐτῶν. εἶχε μὲν ἡ μετριότης ἡμῶν συνοδικῶς ἀπάρτι τοῦτον δικαιῶσαι καὶ ἐπ' αὐτοῖς, ἐφ' ᾧ καὶ ταῦτα προσεπιλήψεται, ὑπερεθέμεθα δὲ τοῦτο, ἕως ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Μηθύμνης ἀνενέγκῃ τὰ περὶ τούτου τῷ ἐκ θεοῦ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κἂνπερ τούτου γενομένου ταχθῇ τις ἑτέρωθεν προμήθεια τοῖς εἰς τὸ τοιοῦτον κάστρον μοναχοῖς, ἐκστῶσι καὶ αὐτοὶ τελέως τῶν τοιούτων μοναστηρίων, καὶ τὸ ἀπ' ἐκείνου ἀπέχωσιν ἀπ' αὐτῶν διὰ τὸ παραλόγως καὶ τὴν ἀρχὴν παρ' αὐτῶν τὰ τοιαῦτα μοναστήρια κατασχεθῆναι, πλὴν ἕως ἂν, ὅσον εἴρηται, γένηται, ὀφείλουσι πᾶν, ὅσον ἐνεργεῖν μέλλουσιν οἱ τοιοῦτοι μοναχοὶ εἰς ταῦτα, ἐνεργῶσι τοῦτο μετ' εἰδήσεως καὶ γνώμης τοῦ ἀρχιερέως καὶ ἀποκομίζειν εἰδήσει καὶ αὐτοῦ ἐκεῖσε, ὅσον ἐκ τῆς αὐτῶν προσόδου ἀποκομίζειν μέλλουσι, τὸ δὲ περιττεῦον ὀφείλουσι καὶ αὐτὸ εἰδήσει τούτου καταναλίσκειν εἰς περιποίησιν καὶ σύστασιν καὶ βελτίωσιν τῶν μοναστηρίων τῶνδε. πρὸς τούτῳ μέντοι ὀφείλουσιν ἀποδιδόναι αὐτῷ καὶ τὰ κανονικῶς ἀνήκοντα τούτῳ δίκαια, τὴν ἀναφορὰν δηλαδὴ καὶ μνήμην τοῦ ὀνόματος αὐτοῦ, τὴν τῶν ψυχῶν ἀνάκρισιν καὶ τὸ τεταγμένον κανονικόν, ὡσαύτως καὶ εἴ τι ἄλλο σύνηθες ἔνι δίδοσθαι παρ' αὐτῶν τῷ μέρει τῆς ἐκκλησίας, εἰδέναι ὀφείλοντες, ὡς εἴ τι τουτωνὶ τῶν δικαίων ἀποστερήσαιεν καὶ εἰ μὴ εὐπειθεῖεν καὶ ὑπείκειεν τῷ, κατὰ τόπον ἀρχιερεῖ, ἀφαιρεθήσονται τὰ μοναστήρια ταῦτα κατὰ λόγον τὸν δίκαιον, ἐπ' ἀδείας γὰρ ἕξει ὁ ἱερώτατος ὅδε ἀρχιερεὺς τοιούτων αὐτῶν ὄντων κρατῆσαι καὶ αὐτὰ καὶ ἀπώσασθαι ἀπ' αὐτῶν τούτους, ὡς τοῖς ἱεροῖς κανόσι δοκεῖ. ταῦτα παρεκβληθέντα ἀπὸ τῶν ἡμερησίων συνοδικῶν παρασημειώσεων καὶ τῇ ὑπογραφῇ καὶ σφραγῖδι τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος πιστωθέντα καὶ βεβαιωθέντα ἐπιδέδοται μηνὶ καὶ ἰνδ. τοῖς ἀναγεγραμμένοις ἔτους ,ϛ^ου ω λ θ' †.

III.

(Κωδίκιον τῶν συνοδικῶν παρασημειώσεων γενομένων ἐπὶ τῶν ἡμερῶν τοῦ παναγιωτάτου δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Ἰωάννου τοῦ Καλέκα).

LXXIV. (6845—1337) iulio ind. V.

Joannes XIV. Calecas concedit Ignatio Calotheto monasterium Sosthenii.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος παρακελεύεται εἶναι τὸν τιμιώτατον ἐν ἱερομονάχοις, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν αὐτῆς υἱόν, κῦρ Ἰγνάτιον τὸν Καλόθετον ἐν κατοχῇ τοῦ περὶ τὸν Ἀνάπλουν διακειμένου μοναστηρίου τοῦ εἰς ὄνομα τιμωμένου τοῦ τιμίου ταξιάρχου τῶν ἄνω δυνάμεων Μιχαὴλ καὶ ἐπικεκλημένου τοῦ Σωσθενίου, ὥστε ἀπολαύειν τοῦτό τε καὶ τὰ προσόντα αὐτῷ κτήματα τῆς αὐτοῦ ἐφορείας καὶ πνευματικῆς ἐπισκέψεως, ὅθεν καὶ ἐπιλήψεται τοῦ τοιούτου μοναστηρίου καὶ τῶν ὑπ' αὐτὸ, καὶ ἐπ' ἀδείας ἕξει συνιστᾶν καὶ βελτιοῦν καὶ ἐπαύξειν τὰ κατ' αὐτὸ, κατέχων τοῦτο ἀναφαιρέτως καὶ ἀναποσπάστως, ἔτι γε μὴν ἀταράχως καὶ ἀνενοχλήτως διὰ πάσης αὐτοῦ τῆς ζωῆς· διὰ τοῦτο ὀφείλουσι καὶ οἱ ἐν τῷ μοναστηρίῳ τῷδε εὑρισκόμενοι μοναχοὶ εὐπειθῶς ἔχειν πρὸς τὸν παρὰ τούτου ἀποταχθησόμενον ἐπὶ τῇ διοικήσει τούτου καὶ διεξαγωγῇ καὶ ταῖς αὐτοῦ πνευματικαῖς εἰσηγήσεσιν ὑποκεῖσθαι καὶ πειθαρχεῖν. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν γέγονε καὶ ἐπεδόθη τῷ αὐτῷ τιμιωτάτῳ ἐν ἱερομονάχοις κῦρ Ἰγνατίῳ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος, μηνὶ ἰουλίῳ ἰνδ. ε' †.

LXXV. Sine anno.

Synodus excommunicat metropolitam Philipporum.

† Καθαίρεσις τοῦ Φιλίππων †.

† Ἐκινήθη ἐπὶ τῆς καθ' ἡμᾶς ἱερᾶς καὶ θείας συνόδου κατὰ τοῦ μητροπολίτου Φιλίππων καθοσιώσεως ἔγκλημα, οὗτινος, ὡς εἰκὸς, ἐξεταζομένου παρουσίᾳ καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος μεταξὺ τῶν περὶ τοῦ τοιούτου ἐγκλήματος λεγομένων ἀνέ-

κυφέ τις ἑτέρα κατηγορία ἐγκλήματος μοιχικοῦ, περὶ οὗ καὶ πολλῆς καὶ ἀκριβοῦς ἐξεστάσεως γενομένης οὐχ ἅπαξ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις, ἐπειδήπερ ἐδέησε μαρτύρων εἰς τὴν τῆς ἀληθείας εὕρεσιν καὶ παράστασιν, παρήχθησαν ἀπὸ τῶν ἐνασκουμένων μοναχῶν τῇ τοῦ Πρωτοσυγκέλλου σεβασμίᾳ μονῇ, ἐν ᾗ καὶ αὐτὸς τὴν οἴκησιν ἐποιεῖτο, ὁ ἱερομόναχος Γρηγόριος, ὁ ἱερομόναχος Ἱερόθεος καὶ ὁ διάκονος καὶ μοναχὸς Γρηγόριος, οἵτινες καὶ εἶπον καὶ ἐμαρτύρησαν ἐγγράφως ταῦτα·

† „Ἐγὼ ὁ ἱερομόναχος Γρηγόριος λέγω· εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ ὢν εἰς τοὺς αἰῶνας, οὐ ψεύδομαι, καὶ ὀμνύω εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια, ὅτι εἶδον τὴν Πετραλοιφίναν εἰσαγομένην κατὰ πρῶτον ὕπνον παρὰ τοῦ ἀνθρώπου τοῦ μητροπολίτου, τοῦ Ἀλβανίτου Μιχαὴλ, διὰ τῆς αὐλῆς τοῦ μοναστηρίου εἰς τὸ κελλίον τοῦ μητροπολίτου, ἀνδρῷα φοροῦσαν ἐνδύματα, καὶ πάλιν ἐξιοῦσαν μετ' αὐτοῦ τοῦ Ἀλβανίτου κατὰ τὸν καιρὸν τοῦ ὄρθρου, ὡσαύτως ἔβλεπον αὐτὴν καὶ κατὰ διαφόρους ἡμέρας εἰσερχομένην καὶ ἐξερχομένην φανερῶς †".

† „Ἐγὼ ὁ ἱερομόναχος Ἱερόθεος λέγω· εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ ὢν εἰς τοὺς αἰῶνας, οὐ ψεύδομαι, καὶ ὀμνύω εἰς τὰ ἅγια εὐαγγέλια τοῦ θεοῦ, ὅτι ἡ ὑποπτευομένη Πετραλοιφίνα ἤρχετο πολλάκις εἰς τὸ κελλίον τοῦ μητροπολίτου, καὶ συνήσθιε καὶ συνέπινε καὶ συνδιημέρευεν αὐτῷ, καὶ ἐξήρχετο ποτὲ μὲν ἡμέρας οὔσης, ποτὲ δὲ νυκτὸς, ἰδίως δὲ διεβίβασεν ἐντὸς τοῦ κελλίου τοῦ μητροπολίτου νυχθήμερα τρία· ὅτε δὲ συνήσθιον καὶ συνέπινον, ποτὲ μὲν παριστάμην καὶ ὑπηρέτουν αὐτοῖς, ποτὲ δὲ καθήμενος ἤσθιον καὶ ἐγὼ ἰδίως †".

† „Ἐγὼ Γρηγόριος μοναχὸς καὶ διάκονος λέγω· εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ ὢν εἰς τοὺς αἰῶνας, οὐ ψεύδομαι, καὶ ὀμνύω εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια, ὅτι εἶδον τὴν ὑποπτευομένην Πετραλοιφίναν εἰσερχομένην διὰ τῆς αὐλῆς τοῦ μοναστηρίου καὶ ἀπερχομένην εἰς τὸ κελλίον τοῦ μητροπολίτου μετὰ καὶ ἑτέρων γυναικῶν αὐτῆς τεσσάρων κατὰ τὸν καιρὸν τῆς φαλμῳδίας τοῦ μεσονυκτικοῦ, καὶ ἄλλοτε, ὅτε ἐψάλλετο ἡ τετάρτη ᾠδὴ, κατὰ τὸν ὄρθρον, μετὰ δύο γυναικῶν αὐτῆς."

Ἐπὶ τούτοις ἀπῃτήθησαν παρ' ἡμῶν καὶ αὐτοὶ οἱ τὸ τῆς καθοσιώσεως ἔγκλημα κεκινηκότες πιστώσασθαι, εἴτε διὰ μαρτύρων εἴτε

τρόπον ἄλλον ἀναντίρρητον καὶ βέβαιον τὰ κατ' αὐτὸ, καὶ ἐπεὶ μάρτυρας οὐδὲν εἶχον παραγαγεῖν, ἑτοίμως δὲ δι' ἐνόρκου ἀσφαλείας ἔχειν τὰ κατ' αὐτὸ πιστῶσαι διετείνοντο, εὕρομεν δὲ καὶ παρὰ τῶν πρὸ ἡμῶν ἐν τοῖς κωδικίοις διαπράξεων παραπλησίαν ἐνδεδομένην τὴν δι' ἐνόρκου ἀσφαλείας πίστιν καὶ ἀπόδειξιν, ἀκόλουθα κατεπράξαμεν, καὶ δὴ τῶν ἁγίων εὐαγγελίων τοῦ Χριστοῦ προτεθέντων ἐπ' ἐκκλησίας, ἠσφαλίσαντο τάδε·

† „Ἐγὼ ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως σεβαστὸς Ἰωάννης ὁ Τριχᾶς ὀμνύω εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν, ὅτι ἀπὸ τοῦ στόματος τοῦ Ἀσάνη κῦρ Μιχαὴλ ἔχω καὶ τοῦτο μετὰ τῶν ἄλλων, ὧν μοι εἶπε περὶ τῆς ἀπιστίας, ὅτι εἰς τὴν τοιαύτην ὑπόθεσιν ἔχομεν καὶ μέρος τῆς ἐκκλησίας, καὶ ὡς εἶπον ἐγὼ πρὸς αὐτὸν, τί ἔνι τοῦτο τὸ μέρος τῆς ἐκκλησίας, ὅπερ λέγεις; εἶπέ μοι, ὅτι ὁ μητροπολίτης Φιλίππων †".

† „Ἐγὼ ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Μανουὴλ ὁ Ἀβράμιος λέγω καὶ διαβεβαιοῦμαι, ὅτι ὅτε ἀπηρχόμην εἰς τὸν Ἀσάνην, ἔβλεπον τὸν Φιλίππων σχολάζοντα εἰς αὐτὸν, καὶ ὡς γνωριμώτατα ἔχων εἰς ἐμὲ ἠρώτησέ με, πῶς σχολάζω καὶ ἐγὼ, καὶ μεθ' εἶπον περὶ ὧν ἐλυπούμην, καὶ ὅτι δι' οὐδὲν ἄλλο σχολάζω ἀλλ' ἢ ἵνα μεσιτεύσῃ με εἰς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα, ἢ δέξηταί με, εἶπέ μοι, ὅτι μηδὲν ἔχῃς ἔννοιαν, ἐχάωσας γὰρ ἕνα, καὶ ἔχεις ἰδοὺ ἄλλον, ὡς δὲ οὐδὲν ἐφαίνετό μοι εὐπαράδεκτον τοῦτο, ἀλλ' ἔλεγον, ὅτι πολλὴ ἔνι ἡ μέσον τῶν δύο διαφορὰ, εἶπέ μοι πάλιν ὅτι· γίνωσκε ἐν πληροφορίᾳ, ἐχαώσαμεν ἕνα, καὶ ἔχομεν ἄλλον, εἴτε δὲ καὶ πλείονας τούτων λόγους ἢ εἶπον πρὸς αὐτὸν ἢ εἶπέ μοι, οὐδὲν ἐνθυμοῦμαι, ἴσως δὲ καὶ ἵνα λανθάνῃ με τὸ πῶς ἐλαλήθησαν μέσον ἡμῶν οἱ τοιοῦτοι λόγοι, διὰ τοῦτο οὐδὲν ὅρκον περὶ τούτου δίδωμι. ὅτι δὲ μέτοχος καὶ κοινωνὸς ἦν τῆς ἀπιστίας τῶν Ἀσανίων, ἀκριβῶς οἶδα τοῦτο, καὶ ὀμνύω εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν, ὅτι ἀληθεύω καὶ οὐ ψεύδομαι, ὡς ἀκριβῶς ἐπίσταμαι, οἷα δὴ καὶ αὐτὸς τοῦ πράγματος κοινωνὸς, ὅτι μέτοχος ἦν καὶ αὐτὸς εἰς τοῦτο καὶ κοινωνός."

† Διὰ ταῦτα ἡ μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν ὁμήγυρις τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Κυ-

ξίκου, τοῦ Σάρδεων, τοῦ Παλαιῶν Πατρῶν, τοῦ Δυρραχίου, τοῦ Ἄπρω, τοῦ Ἀμάστριδος, τοῦ Λακεδαιμονίας, τοῦ Μαδύτων, τοῦ Μηθύμνης, τοῦ Γαλίτζης, τοῦ Κῶ καὶ τοῦ Μηδείας, κατεψηφισάμεθα τούτου καθαίρεσιν, μέντοι γε καὶ ἔσται τὸ ἀπὸ τοῦδε ἀποτετμημένος τοῦ τῶν ἀρχιερέων χοροῦ, ἅτε δὴ ἀπελεγχθεὶς τρόπον, καθ' ὃν εἴρηται, ἀμφοτέροις τοῖς δηλωθεῖσιν ἐγκλήμασιν ἐνεχόμενος †.

LXXVI. Sine anno.

Synodus poenis ecclesiasticis afficit quosdam rebelles Epiri.

† Ἀνήνεγκαν εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον οἵ τε κληρικοὶ τῆς ἁγιωτάτης μητροπόλεως Ἰωαννίνων καὶ οἱ λοιποὶ ἔποικοι τῆς τοιαύτης θεοσώστου πόλεως, ὡς πρὸ χρόνων ἀποθανόντος τοῦ τυραννικῶς ἐπικρατοῦντος καὶ αὐθεντεύοντος εἰς αὐτοὺς τοῦ Θωμᾶ ἐκείνου προσελθόντες καὶ ὑποταγέντες εἰς τὴν ὑποχειριότητα καὶ δουλοσύνην τοῦ ἀοιδίμου καὶ μακαρίτου ἁγίου βασιλέως ἐκείνου, τοῦ πάππου τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἦσαν ὑποκείμενοι τῇ ἐκ θεοῦ βασιλείᾳ καὶ ἐμμένοντες τῇ ὑποταγῇ αὐτῆς κατὰ τοὺς ἐπὶ τούτῳ γεγονότας ὅρκους παρ' αὐτῶν, εἶτα τῆς μέσον τῶν βασιλέων διαφορᾶς γεγονυίας καὶ τῆς ἐντεῦθεν τῶν πραγμάτων συμβάσης συγχύσεως, ἐπεὶ ὁ κόντος κῦρ Νικόλαος ἐκεῖνος, ὃς καὶ δεσποτικῷ ἔφθασε τιμηθῆναι ἀξιώματι, ἀθετήσας τοὺς οὓς ὤμοσεν ὅρκους, ἐχώρησεν εἰς μάχην τῶν ὑποκειμένων τῇ βασιλείᾳ κάστρων, καὶ κατὰ τῆς τοιαύτης πόλεως στρατὸν συναγαγὼν ἐκινήθη, ὡς καὶ πολιορκίᾳ περιλαβεῖν τὰ τείχη αὐτῆς, ὁ αὐτάδελφος ἐκείνου κῦρ Ἰωάννης ὁ Δούκας, ὁ ὕστερον καὶ αὐτὸς δεσποτικῷ τιμηθεὶς ἀξιώματι παρὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐναντία φρονήσας αὐτῷ τῷ ἰδίῳ ἀδελφῷ καὶ μάχην κεκινηκὼς κατ' αὐτοῦ, ἐπεὶ ἀνθισταμένους εἶδε καὶ τοὺς τῶν Ἰωαννίνων ἐποίκους ἐκείνῳ, τούτοις προσρυεὶς καὶ ὅρκους δεδωκώς, ὥστε, εἰ δέξαιντο τοῦτον ἐν τῇ τοιαύτῃ πόλει ὡς κεφαλὴν καὶ οὐχ ὡς αὐθέντην, ἀλλ' ὡς ὅλον ὄντα τῆς ὑποχειριότητος τοῦ ἐκ θεοῦ βασιλέως καὶ μηδὲν τοῦ πρᾶξαι δεινὸν κατ' αὐτῶν μηδὲ τὴν ἀρχὴν αὐτῶν σφετερίσασθαι, ἐδέχθη παρ' αὐτῶν κατὰ τὴν ἣν ἐποιήσατο ζήτησιν καὶ οὓς ἔδωκεν ὅρκους, ἀποστατήσαντα δὲ τοῦτον ὕστερον τῆς ὑποταγῆς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐδέξαντο καὶ εἶχον ὡς αὐθέντην.

ἐν οὐδενὶ θέμενοι, οὓς εἶχον, ὡς δεδήλωται, ὅρκους εἰς τὴν βασιλείαν· ἐπεὶ δὲ οὗτος ἤδη ἐξ ἀνθρώπων ἐγένετο, δέον αὐτοὺς εἰς συναίσθησιν ἐλθεῖν καὶ ἀνακαλέσασθαι τὴν εἰς τὴν ἐκ θεοῦ βασιλείαν ὑποταγήν, ἣν ὤφειλον καθ' οὓς εἶχον, ὡς εἴρηται, ὅρκους, οἱ δὲ κακῷ τὸ κακὸν ἰώμενοι, ὃ λέγεται, ὅρκοις μὲν ἑαυτοὺς ἐνεπέδωσαν, στέργειν ὡς αὐθέντας τήν τε γυναῖκα καὶ τὸ παιδίον ἐκείνου, ὕστερον μέντοι προσέδραμον καὶ ἐνεχείρισαν ἑαυτοὺς τῇ ὑποταγῇ καὶ τῇ αὐθεντίᾳ τῇ βασιλικῇ, οὗ χάριν καὶ τὴν ἐξομολόγησιν ταύτην ποιούμενοι, τὴν προσήκουσαν θεραπείαν ἐζήτησαν μετὰ πολλῆς τῆς παρακλήσεως λαβεῖν, καθὼς ἂν τῇ ἱερᾷ καὶ θείᾳ συνόδῳ κριθείη ἁρμόδιον, προσθέντες καὶ τοῦτο ὡς τῶν ἐν τῇ τοιαύτῃ πόλει ἱερέων ἐνδυσαμένων τὰς ἱερατικὰς στολὰς, καὶ τὰ θεῖα καὶ ἱερὰ ἀνὰ χεῖρας ἐχόντων εὐαγγέλια, ἀφορισμὸς ἐκπεφώνηται παντὸς εἰς ταὐτὸ τοῦ λαοῦ συνδραμόντος, ὥστε μηδένα τῶν ἐποίκων τῆς τοιαύτης πόλεως ἰδίως καὶ μονομερῶς ἢ καθ' ἕνα ἢ κατὰ συστήματα προσελθεῖν τῷ εἰς κεφαλὴν τοῦ ἐκεῖσε μέρους ταχθέντι, καὶ τὰ κατὰ τὴν αὐτῶν προσέλευσιν οἰκονομοῦντι περιποθήτῳ γαμβρῷ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τῷ εὐγενεστάτῳ πιγκέρνῃ, ἢ μηνύματι ἢ γράμματι χρήσασθαι πρὸς αὐτὸν, ὅντινα δὴ ἀφορισμὸν παρ' οὐδὲν θέμενοί τινες καὶ ἔγραψαν καὶ ἐμήνυσαν καὶ καταστάσεις ἑαυτῶν χάριν ἐποιήσαντο, ἃς ἐποίησαν, οἱ δὴ καὶ αὐτοὶ τυχεῖν θεραπείας ἐπὶ τούτοις ὁμοίως ἐζήτησαν. περὶ μὲν οὖν τῆς κοινῆς ταύτης ὑποθέσεως τῶν ἐποίκων τῆς εἰρημένης πόλεως, ἐγκλήματι μὲν αὐτοὺς ἐπιορκίας περιπεσεῖν διέγνωμεν, προηγουμένως γὰρ ἔδει ἀποστῆναι αὐτοὺς ἐπιχειρήσαντος τὸ κατ' ἀρχὰς τῇ ἀποστασίᾳ τοῦ εἰρημένου Δούκα τῆς κοινωνίας αὐτοῦ, ἔπειτα, εἰ καὶ τοῦτο προσέπταισαν, ἀποθανόντος γοῦν αὐτοῦ ἐπαναδραμεῖν εἰς τὴν ὑποταγὴν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καθ' οὓς ἐποιήσαντο ὅρκους, νῦν δὲ παραβάντες τοὺς εἰς τὴν βασιλείαν προτέρους ὅρκους αὐτῶν ὅρκους ἑτέρους δεδώκασιν ἐπὶ τῷ ὑπὸ τὴν ἀρχὴν καὶ ὑποταγὴν τῆς γυναικὸς καὶ τοῦ παιδίου εἶναι ἐκείνου, δι' ἃ καὶ ἐπιορκίᾳ τούτους ἁλόντας ἐχρῆν μὲν τοῖς διηγορευμένοις τῷ περὶ τούτου κανόνι ὑπαχθῆναι ἐπιτιμίοις, συγκαταβάσει δ' ὅμως χρησάμενοι, ταῦτα διέγνωμεν ἐκδουλεῦσαι αὐτοὺς τὰ ἐπιτίμια· οἱ μὲν ἀπὸ τούτων οἰκονομήσαντες τὴν εἰρημένην ἀποστασίαν καὶ συνδραμόντες εἰς αὐτὴν καὶ εἰς τοὺς ὕστερον δὲ

γεγονότας ὅρκους ἐπὶ τῇ γυναικὶ καὶ τῷ παιδίῳ ἐκείνου πρῶτοι φανέντες αἴτιοι, ἀφέξονται ἐπὶ τριετίαν τῆς κοινωνίας τῶν θείων μυστηρίων ἀπὸ τοῦ καιροῦ, καθ' ὃν διακομισθῇ τὸ παρὸν γράμμα αὐτοῖς, ἔσονται δὲ ἱστάμενοι καὶ προσκλαίοντες ἔξω τῆς ἐκκλησίας φαλλούσης ἐπὶ τριμηνιαῖον καιρόν, τοῦτον δὲ τὸν καιρὸν οὔτε ἀντιδώρου μεταλήψονται, οὔτε ἁγίασματος πιοῦνται, μόνην δὲ παναγίαν λήψονται μετὰ τὸ φαγεῖν, ὀφείλουσι κατὰ τὸν καιρὸν τοῦτον καὶ κρέατος ἀπέχεσθαι τετράδα δὲ καὶ παρασκευὴν, ξηροφαγεῖν καὶ ὑδροποτεῖν, καὶ ποιεῖν ἑκάστης ἡμέρας μετανοίας πεντήκοντα, ἄνευ σαββάτου καὶ κυριακῆς, ἐπὶ ἐνιαυτῷ ἐντὸς ἵστασθαι τῆς ἐκκλησίας φαλλούσης, ὄπισθε μέντοι τῶν ψαλλόντων, ἐπὶ δὲ τῷ ἑτέρῳ ἐνὶ καὶ τοῖς ἐννέα μησὶν ἔσονται συνεστῶτες καὶ συνευχόμενοι τοῖς πιστοῖς, καὶ μετὰ τὴν τούτων συμπλήρωσιν ἀξιωθήσονται τῆς κοινωνίας τῶν θείων μυστηρίων καὶ ἄλλον τρόπον ἔχοντες πρὸς τοῦτο ἀξίως. οἱ δὲ ἀκολουθήσαντες αὐτοῖς ἄνευ ἀνάγκης ἀφέξονται ἐπὶ διετίαν τῆς κοινωνίας τῶν θείων μυστηρίων, οἰκονομηθήσεται δὲ αὐτοῖς ὁ τοσοῦτος καιρὸς κατὰ τὴν ἀναλογίαν τῆς ἀνωτέρω δοθείσης τριετίας, ὥστε κατὰ τὸ ἀνάλογον προσκλαίειν ἐπὶ διμηνιαῖον καιρὸν, καὶ τῆς ἐκκλησίας φαλλούσης ἔξω ἵστασθαι, καὶ μήτε ἀντιδώρου μεταλαμβάνειν, μήτε ἁγιάσματος πίνειν, μόνην δὲ παναγίαν λαμβάνειν μετὰ τὸ φαγεῖν, ἀπέχεσθαί τε ἐπὶ τοῖς δυσὶ τούτοις μησὶ κρέατος, καὶ τὰς τετράδας καὶ παρασκευὰς ξηροφαγεῖν καὶ ὑδροποτεῖν καὶ ποιεῖν ἑκάστοτε μετανοίας πεντήκοντα, ἄνευ σαββάτου καὶ κυριακῆς, ἐπὶ ἑξαμηνιαῖον ἐντὸς μὲν ἵστασθαι τῆς ἐκκλησίας φαλλούσης, ὄπισθεν δὲ τῶν ψαλλόντων, ἐπὶ δὲ τῷ ἑτέρῳ ἐνιαυτῷ καὶ τοῖς τέσσαρσι μησὶν ἔσονται συνεστῶτες καὶ συνευχόμενοι τοῖς πιστοῖς καὶ μετὰ τὴν τούτων συμπλήρωσιν ἀξιωθήσονται τῆς κοινωνίας καὶ ἄλλον τρόπον ἔχοντες πρὸς τοῦτο ἱκανῶς. οἱ δὲ ἀναγκασθέντες καὶ παρασυρέντες εἰς τὴν εἰρημένην ἐπιορκίαν ἔσονται ὑπὸ τὰ ἐπιτίμια ἐπὶ χρόνον ἕνα, καὶ ἐπιμετρεθήσονται αὐτοῖς ταῦτα ἀναλόγως, ὡς πρὸς τὴν τῶν τριῶν χρόνων καὶ τῶν δύο ἀπαρίθμησιν. εἴπερ δὲ εὑρίσκονται μετὰ τούτων καὶ ἱερωμένοι, εἰ μὲν εἰς τοὺς πρώτους τεταγμένοι, ἀργήσουσι παντὸς ἔργου ἱερατικοῦ ἐπὶ τριετίαν, οἱ δὲ εἰς τοὺς δευτέρους ἐπὶ διετίαν, οἱ δὲ εἰς τοὺς τρίτους, ἐπὶ ἐνιαυτὸν, προσκληθήσονται δὲ ἄλλοθεν ἱερεῖς, οἵτινες ἔσονται εἰς ἁγιασμὸν τούτων. αἱ δὲ γυναῖκες καὶ τὰ παιδία ἐπὶ τεσσαρακονθήμερον ὑποκείσονται τοῖς

εἰρημένοις ἐπιτιμίοις κατὰ τὸ ἀνάλογον. εἴπερ μέντοι συμβῇ τινα τούτων διὰ μέσου τοῦ τῶν ἐπιτιμίων καιροῦ ἀσθενίᾳ περιπεσεῖν θάνατον ἀπειλούσῃ, ὀφείλει οὗτος διὰ τὸ μὴ ἀπελθεῖν ἀνεφοδίαστος καὶ ἀμέτοχος τῶν θείων μυστηρίων μεταλαβεῖν, ἐὰν δὲ εἰς ὑγείαν ἐπανέλθῃ, ἀπέχεσθαι τούτων, μέχρις ἂν ὁ τεταγμένος παρέλθῃ καιρός. καὶ ταῦτα μὲν ὀφείλουσι δουλεῦσαι τὰ ἐπιτίμια οὗτοι, περὶ δὲ τοῦ γεγονότος ἀφορισμοῦ, ἐπεὶ καὶ οἱ περιφρονήσαντες τοῦτον, ὁπωσδήποτε καὶ ἐγένετο, εὐθύνῃ ἐνέχονται, καὶ οἱ ἐκφωνήσαντες τοῦτον ἱερεῖς ἀσύνηθες τῇ ἐκκλησίᾳ ἔργον εἰργάσαντο, καὶ μόνῳ τῷ ἀρχιερεῖ ἐφειμένον, καὶ τούτῳ μετὰ μεγάλης σκέψεως καὶ συμβούλοις χρωμένῳ τοῖς θείοις κανόσι καὶ νόμοις, ἄλλως τε δὲ καὶ τὸ τοῦ ἐπὶ τῇ συνωμοσίᾳ καὶ φατρίᾳ κανόνος ἅπτεται αὐτῶν τῶν διαπραξαμένων τὸ τοιοῦτον ἔργον, διέγνωμεν, ὡς ἂν ἐπὶ ἑτέραν τριετίαν καὶ οὗτοι οἱ ἱερεῖς καὶ οἱ τὸν ἀφορισμὸν ἀθετήσαντες τῷ κανόνι τούτῳ καὶ τοῖς ἐπιτιμίοις δουλεύσωσιν, ἐπὶ ταύτῃ τῇ τριετίᾳ δὲ ἐξέσται τῷ ἱερωτάτῳ ἀρχιερεῖ Ἰωαννίνων καὶ ὑπερτίμῳ, ἀγαπητῷ ἡμῶν κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ, πρὸς τὴν συντριβὴν καὶ μετάνοιαν αὐτῶν καὶ ἄνεσιν ἐπιχορηγῆσαι αὐτοῖς τῶν τοιούτων ἐπιτιμίων, καθὼς ἂν διαγνοίη †.

LXXVII. Sine anno.

Synodus absolvit quosdam ecclesiasticos.

† Ἐλαλήθησάν τινα πρό τινος ἤδη καιροῦ, ὅσα δῆτα καὶ ἐλαλήθησαν παρὰ τοῦ Χιονίου κατὰ τοῦ τιμιωτάτου δικαιοφύλακος καὶ οἰκονόμου τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης, διακόνου τοῦ Καβάσιλα, ἔτι τε καὶ τῶν ἐντιμοτάτων, τοῦ τε χαρτοφύλακος διακόνου τοῦ Στρυμβάκονος καὶ τοῦ σακελλίου, διακόνου τοῦ Βρυεννίου, τὸ δ' αἴτιον, ὅτι προσαγγειλάντων τινῶν ἱερωμένων καὶ μοναχῶν αὐτὸν δὲ τὸν Χιόνιον, ὡς εἴη μετὰ τῶν αὐτοῦ ἀδελφῶν τὰ τῆς εὐσεβείας ἐξομοσάμενος, καὶ τὰ Ἰουδαίων φρονῶν, διατεθέντες οὗτοι δὴ οἱ τῆς ἐκκλησίας, ὡς εἰκὸς ἦν καὶ δίκαιον, εἰς τοῦτο διατεθῆναι, ἐξετάσει τὰ κατ' αὐτὸν δεδώκασιν ἀκριβεῖ ἐπ' ἐκκλησίας, καὶ ἰουδαΐζειν ἀπελεχθέντα, συνελάβοντο τοῦτον καὶ κατέσχον, καὶ παραδεδώκασι τὸν τοιοῦτον τῷ ἐκ θεοῦ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ὡς καὶ κατειρχθῆναι ἐντεῦθεν, διὸ δὴ καὶ ἔχθραν οὗτος δὴ ὁ Χιόνιος καὶ κακίαν εἰς αὐτοὺς ἔχων, ἐξεταζόμενος προστάξει βασιλικῇ παρὰ τῶν

συγκλητικῶν ἀρχόντων περὶ τῶν αὐτοῦ διδασκάλων καὶ μαθητῶν, καί τινας εἰπὼν καὶ καταμηνύσας τραπεὶς καὶ κατὰ τῶν τοιούτων ἐκκλησιαστικῶν, ἐλάλησέ τινας τηνικαῦτα καὶ κατ' αὐτῶν ἀκοὰς, τὰ δὲ ἦν, κατὰ μὲν τοῦ οἰκονόμου, ὡς ἤκουσε περὶ αὐτοῦ ὁ τοιοῦτος Χιόνιος παρὰ τοῦ Σταχύτζη, ὡς ἔτι παῖς ὢν ὁ οἰκονόμος εἰργάσατό τι ἔργον κοιραννικὸν καὶ δαιμονιῶδες, κατὰ δὲ τοῦ χαρτοφύλακος, ὅτι ἀναδεξάμενος ὁ αὐτὸς Χιόνιος τὴν κρίσιν τῶν ἐκεῖσε Ἰουδαίων καὶ τὰς παρεμπιπτούσας αὐτοῖς ὑποθέσεις διευλυτῶν, ἐπειδὴ συνέβαινεν ἐπιέναι τινὰς τῶν ἐποίκων τῆς πόλεως τούτοις δὴ τοῖς Ἰουδαίοις καὶ κακοῦν αὐτοὺς, ἐξυβρίζειν τε καὶ τὸ σέβας καὶ τὸν νόμον αὐτῶν δεινοπαθήσας αὐτὸς ἐπὶ τοῖς τοιούτοις, καὶ μάλιστα, ὅτι τὸν τοῦ Μωυσέος ὑβρίζουσι νόμον, δι' αὐτοῦ δοθέντα παρὰ θεοῦ, ἀπῆλθε διεγκαλῶν πρὸς τὸν χαρτοφύλακα κατὰ τῶν τοιούτων ἐποίκων τῆς πόλεως, ὅτε καὶ εἰπόντι, ὡς οὐδὲ τοῦτο καλῶς ποιοῦσιν οὗτοι δὴ οἱ τῆς πόλεως ἔποικοι, ὅτι τὸν δοῦλον πλέον τοῦ δεσπότου τιμῶσι, καὶ συναθροίζονται μὲν παμπληθεὶ εἰς τὸν ναὸν τοῦ ἁγίου μεγαλομάρτυρος καὶ μυροβλύτου Δημητρίου, τὸν δὲ ναὸν τοῦ δεσπότου σωτῆρος Χριστοῦ παρατρέχουσιν, εἶπεν αὐτῷ δῆθεν ὁ χαρτοφύλαξ, ὅτι πλέον τιμῶσιν οἱ Θεσσαλονικεῖς τὸν μάρτυρα τοῦ Χριστοῦ. κατὰ δὲ τοῦ σακελλίου εἶπε μὲν, μὴ γινώσκειν τι κατ' αὐτοῦ, ἀκοῦσαι δὲ παρὰ τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ Γεωργίου τοῦ Ἀγγέλου, ὡς οὐ δοξάζει νεκρῶν ἀνάστασιν. τῶν τοιούτων οὖν ἀκοῶν λαληθεισῶν τῷ τότε, ὡς εἴρηται, κατὰ τῶν εἰρημένων ἐκκλησιαστικῶν παρὰ τοῦ τοιούτου Χιονίου ὑπερετέθη τέως ἡ περὶ αὐτῶν ἐξέτασις διὰ τὸ χηρεύειν τὴν ἁγιωτάτην μητρόπολιν Θεσσαλονίκης ἀρχιερέως γνησίου, ἐπεὶ δὲ πάλιν ἐλαλήθη ταῦτα καὶ ἐπὶ τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν ἱερᾶς καὶ θείας συνόδου ἐξεταζούσης τὰ κατὰ τὸν Χιόνιον παρουσίᾳ καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καὶ ἐκρίθη προσῆκον εἶναι καὶ δίκαιον, ἐπιστῆναι καὶ αὐτοὺς εἰς τὴν σύνοδον, γράψαντες ἐπεσκήψαμεν αὐτοῖς ἐπιστῆναι, ἔνθεν τοι καὶ ὑπ' ἀσθενείας ἅμα καὶ γήρως τῆς πρὸς ἡμᾶς ἄψασθαι κωλυθέντων τοῦ οἰκονόμου τε καὶ τοῦ χαρτοφύλακος, ἄνεισιν ὁ σακελλίου σύναμα τῷ ἐπὶ θυγατρὶ γαμβρῷ τοῦ χαρτοφύλακος τῷ Παμφίλῳ, ἐπιστάντι δικαίῳ τοῦ τοιούτου πενθεροῦ αὐτοῦ, γραφὰς ἐπιφερόμενοι καὶ αὐτῶν τούτων ἀπολογητικὰς, ἔτι τε καὶ σεπτὸν πρόσταγμα τοῦ κρατίστου καὶ ἁγίου

μου αὐτοκράτορος, διοριζόμενον ἐξετασθῆναι τὰ κατ' αὐτοὺς καὶ ἀποκαταστῆναι. καὶ δὴ συνόδου συγκροτηθείσης γίνονται εἰς αὐτὴν μετάκλητοι καὶ οἱ εὑρεθέντες ἐνταῦθα τῆς συγκλήτου, ὁ περιπόθητος δηλονότι ἐξάδελφος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος κῦρ Ἀνδρόνικος ὁ Παλαιολόγος, ὁ συμπένθερος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἐπὶ τῆς τραπέζης, κῦρ Γεώργιος ὁ Χούμνος, ὁ θεῖος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μέγας δρουγγάριος κῦρ... ὁ Τορνίκης, ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι πρωτοαλλαγάτωρ κῦρ..... καὶ ἕτεροι, ἀρχιμανδρῖταί τε σὺν τούτοις καὶ καθηγούμενοι τῶν ἐνταῦθα σεβασμίων μονῶν καὶ ἀπὸ τῶν προκρίτων πολιτῶν οὐκ ὀλίγοι, παράγεται δὲ καὶ ὁ Χιόνιος ἐπὶ τοῦ μέσου, καὶ τῶν ἀπολογητικῶν γραμμάτων ἀναγνωσθέντων ἐν ἐπηκόῳ καὶ διεξιόντων πρὸς τοῖς ἄλλοις, τοῦ μὲν οἰκονόμου, ὡς οὐδεμίαν εἶχε μετ' αὐτοῦ οὐδεπώποτε κοινωνίαν ἢ τινα ὁμιλίαν ὁ Χιόνιος, ἀλλ' ἀεὶ καὶ δι' ἔχθρας ἦν πρὸς αὐτόν, τοῦ χαρτοφύλακος δὲ, ὡς δι' οὐδὲν ἄλλο, ἀλλ' ἢ διὰ τὴν εἰρημένην ἀνωτέρω αἰτίαν τῆς εἰς αὐτοὺς ἔχθρας τὰ τοιαῦτα κατ' αὐτῶν ἐλάλησεν ὁ Χιόνιος, τῶν τοιούτων γραμμάτων ἐπακροώμενος καὶ αὐτὸς διωμολόγει τὰ εἰρημένα, καὶ ταύτην εἶναι καὶ μόνην ἔλεγε τὴν αἰτίαν, δι' ἣν καὶ κατ' αὐτῶν ἐξηνέχθη τῷ τότε, ἐπειδὴ οὗτοι κατέγνων αὐτοῦ καὶ κατεψηφίσαντο ἐκφαυλίσαντες ἐπ' ἐκκλησίας πρότερον, εἶτα καὶ καθειρχθη ὑπ' αἰτίοις αὐτοῖς, μὴ συνειδέναι δέ τι κατ' αὐτῶν διετείνετο, ἡμῶν δὲ καίτοι πολλὰ αὐτὸν βιασαμένων, εἴ τι σύνοιδεν αὐτοὺς τῶν μὴ καθηκόντων εἰργασμένους ἢ καὶ φρονήσαντας, εἰπεῖν τοῦτο καὶ φανερὸν θέσθαι, αὐτὸς ἐνστατικῶς ἔχων ἦν, καὶ τὰ μὲν τῆς κατηγορίας ἐκφεύγων, διαβεβαιούμενος δὲ, μηδέν τι πλέον ἔχειν τῶν εἰρημένων εἰπεῖν, οὔτε κατὰ τοῦ οἰκονόμου, οὔτε κατὰ τοῦ χαρτοφύλακος, καὶ πολλῷ πλέον μὴ γινώσκειν ἔλεγέ τι κατὰ τοῦ σακελλίου, ἐπιμαρτυρῶν ἅμα αὐτῷ δὴ τῷ σακελλίου καί τινα τρόπου θεοφιλοῦς καὶ ἐπαίνου ἄξια. ὁ μέντοι σακελλίου πρὸς τὴν εἰρημένην κατ' αὐτοῦ κατηγορίαν ἀπηντικῶς καὶ πληροφορήσας, ὡς ἔχει δόξης περί τε τῆς τῶν νεκρῶν ἀναστάσεως καὶ τῶν ἄλλων δογμάτων τῆς ἐκκλησίας, ἐνεφάνισεν ἔπειτα καὶ γράμμα τοῦ διαληφθέντος οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι τοῦ Ἀγγέλου, ὅπερ καὶ εἰς ἐπήκοον ἀνεγνώσθη, ἔχον ἐπ' αὐτῶν τῶν λέξεων οὑτωσί· „ὁ δοῦλος τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως

Γεώργιος ὁ Ἄγγελος τὸ παρὸν γράμμα ποιῶ, κάτωθεν μέλλων ὑπογράψειν αὐτό, δι' οὗ δὴ καὶ λέγω καὶ ἐξασφαλίζομαι ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἁγίων ἀγγέλων ἀληθεύσειν· ἐπεὶ γὰρ πρὸ καιροῦ οὐκ ὀλίγου ὁ Χιόνιος ἐλεγχθεὶς, εἰς οἵαν ἐνέπεσεν ἀσέβειαν, κατήγορος γέγονε προσώπων τινῶν, καὶ δὴ μετὰ τῶν ἄλλων τοῦ σακελλίου τοῦ Βρυεννίου, ἡ δὲ κατ' αὐτοῦ κατηγορία ἦν τοιαύτη λαληθεῖσα ἐνώπιον τῆς συγκλήτου, ὅτι ἤκουσε παρ' ἐμοῦ εἰπόντος, ὡς οὐ δοξάζει ἀνάστασιν ὁ τοιοῦτος σακελλίου, κἀντεῦθεν ἠρωτήθην μὲν καὶ τότε ὑπὸ τῆς συγκλήτου, καὶ εἶπον καὶ τότε, ἃ μέλλω καὶ νῦν ἐρεῖν, ἠρωτήθην δὲ καὶ νῦν ὑπὸ τοῦ ἁγιωτάτου μου δεσπότου τοῦ πανιερωτάτου μητροπολίτου Θεσσαλονίκης, ὑπερτίμου καὶ ἐξάρχου πάσης Θετταλίας, μετ' ἐπιτιμίου ἀφορισμοῦ ἐνώπιον τοῦ περιποθήτου γαμβροῦ τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ πιγκέρνη, τῶν οἰκείων τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, πανσεβάστου ἐπάρχου τῶν μεγάλων ἀδνουμιαστῶν, τοῦ τε Ταλέα κῦρ Ἀλεξίου, καὶ τοῦ Κωκαλᾶ κῦρ Γεωργίου, τοῦ κριτοῦ τοῦ θεοφρουρήτου φωσάτου τοῦ Σεναχηρεὶμ, τοῦ ἑταιρειάρχου τοῦ Γλαβᾶ, παρόντος καὶ τοῦ καθολικοῦ κριτοῦ τῶν Ῥωμαίων, μεγάλου διοικητοῦ, τοῦ Γλαβᾶ, ἤδη ὅσον γινώσκω, ὅτι εἶπον βεβαίως καὶ ὁμολογουμένως, λέγω τοῦτο μετὰ πάσης ἀληθείας, μεμνημένος μὲν καὶ τῆς τοῦ θεοῦ φοβερᾶς κρίσεως, βλέπων δὲ καὶ πρὸς τὸν ἐπιτεθέντα μοι μετ' ἐπιτιμίου ἀφορισμόν. ἐπεὶ γὰρ ἐδέησε γενέσθαι διαζύγιον παρὰ τῆς ἐκκλησίας ἐμοῦ τε καὶ τῆς γυναικός μου, ἧς εἶχον, ἐδέησε δὲ γενέσθαι ὑπηρέτην τοῦ τοιούτου γράμματος τὸν δηλωθέντα σακελλίου, εἶχε δὲ ὕβρεις κατ' ἐμοῦ τὸ τοιοῦτον διαζύγιον, λυπηθεὶς ἐγὼ ἅμα μὲν καὶ διὰ κεφάλαιά τινα τῆς κρίσεως ἐμπεριειλημμένα τῷ τοιούτῳ διαζυγίῳ, ἐφ' οἷς ἐλογιζόμην, ὅτι ἠδικούμην, ἅμα δὲ καὶ διὰ τὸ πολὺ καὶ σκληρὸν καὶ ἀφόρητον τῶν κατ' ἐμοῦ ὕβρεων ἐξηνέχθην, ὁμολογῶ, καὶ εἶπον· κύριε ἐλέησον, καὶ πιστεύει ὁ γράψας ταῦτα ἀνάστασιν ἢ κρίσιν, καὶ γράφει τοιαῦτα κατ' ἐμοῦ; ὡς φαίνεται, ἀσεβής ἐστι, καὶ διαβάλλει με οὕτως, ὅτι περιπατῶ ἐγὼ εἰς καπηλεῖα καὶ ἀδιαφορίας καὶ ἀσωτείας· ταῦτα καὶ μετὰ τοιούτου σκοποῦ καὶ κατὰ τὸν τοιοῦτον νοῦν εἶπον καὶ ἐλάλησα πρὸς τὸν Χιόνιον, ὅσον εἶπον, ἐνώπιον δὲ τοῦ θεοῦ οὔτε παρ' αὐτοῦ τοῦ σακελλίου δι' ἐμαυτοῦ ἢ δι' ἑτέρου τινὸς ἢ ἤκουσα ἢ κατέλαβον τρέφοντα δόγμα ἑτερόδοξον τῆς καθολικῆς ἐκκλησίας, ἀλλὰ μᾶλλον γινώσκω καὶ τοῦ-

τον εὐσεβῆ καὶ ὁμόδοξον μετὰ τῆς καθολικῆς ἐκκλησίας καὶ ἱερωμένον, καὶ εἰς δήλωσιν τούτου τὸ παρὸν ἐξεθέμην γράμμα μηνὶ ὀκτωβρίῳ, εἰκοστῇ τετάρτῃ, ἰνδ. πέμπτης." τούτων οὖν οὕτω λαληθέντων ἐπ' ἀκροάσει τῆς καθ' ἡμᾶς ἱερᾶς καὶ θείας συνόδου, τῶν τε συγκλητικῶν ἀρχόντων καὶ παντὸς τοῦ συνειλεγμένου πλήθους ἀκριβῶς ἐξετασθέντων, ἐπειδὴ ὁ μὲν Χιόνιος ἐκφεύγων ἦν, ὡς ἂν εἴποι τις, τὰ τῆς κατηγορίας, ἀπαράδεκτος ὢν, καὶ ἄλλως μὴ ὅτι γε εἰς κατηγορίαν ἀνθρώπων ἱερωμένων, ἀλλ' οὐδὲ εἰς μαρτυρίαν, ἅτε δὴ καὶ μόνος καὶ τοιαῦτα πεφρονηκὼς διωμολόγει τε καὶ ὡς τῇ πρὸς αὐτοὺς ἔχθρᾳ καὶ κακίᾳ, καθὼς εἴρηται, τὰ τοιαῦτα ἐλάλησε κατ' αὐτῶν, ἀσύστατα δὲ ἦν ταῦτα καὶ ἀναπόδεικτα παντελῶς καὶ ἀπίθανα, ὡς τοῦ μὲν Σταχύτζη, παρ' οὗ ἠκηκόει ὁ Χιόνιος, ὡς ἔλεγε, τὸ κατὰ τοῦ οἰκονόμου ἐπ' ἀσεβείᾳ καὶ αὐτοῦ διαβεβαιουμένου παραπλησίως, δι' ἣν αἰτίαν καὶ παρὰ τῆς τοῦ θεοῦ ἐκκλησίας ἀποκηρυχθεὶς ὁ τοιοῦτος φυγὰς ᾤχετο· καὶ ὅπερ δὲ εἴρηται κατὰ τοῦ χαρτοφύλακος, οὐδὲν ἦν τοιοῦτον οἷον ὑπόληψίν τινα δοῦναι κατ' αὐτοῦ περὶ τοῦ ὑγιοῦς καὶ ὀρθοδόξου φρονήματος· τὸ κατὰ τοῦ σακελλίου δὲ καὶ αὐτὸ ἄλλως ἔχον ἀνεφάνη προδήλως, ἀφ' ἧς οὗτος δὴ ὁ σακελλίου προεκόμισεν ἐγράφου μαρτυρίας τοῦ Ἀγγέλου, δεξαμένου τούτου χάριν καὶ βάρος ἀφορισμοῦ, ἥτις ἔγγραφος μαρτυρία καὶ ὑπογραφῇ τῇ αὐτοῦ, ἔτι δὲ καὶ ἱκανῶν ἄλλων καὶ ἀξιοπίστων τὸ ἀπαράγραπτον εἶχε καὶ βέβαιον. διὰ ταῦτα κοινῇ γνώμῃ καὶ διασκέψει διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέσου, τοῦ Κυζίκου, τοῦ Σάρδεων, τοῦ Πισιδίας, τοῦ Δυρραχίου, τοῦ Ἀμάστριδος καὶ τοῦ Μηθύμνης, ἀθῴους εἶναι τούτους δὴ τοὺς διαληφθέντας ἐκκλησιαστικοὺς καὶ ἀνωτέρους τῆς τοιαύτης κατηγορίας, ἥτις μάτην τούτοις προσετρίβη καὶ συκοφαντικῶς, καθὰ μετὰ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξέτασιν ἀποδέδεικται. μέντοι γε καὶ μετιέναι ὀφείλουσι τὰ τῆς ἱερωσύνης αὐτῶν . . . . . .

finis deest.

LXXVIII. (6846—1338) februario ind. VI.

Synodus dirimit controversiam.

† Διένεξις ἀνέκυψε μεταξὺ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἐξαμιλίου καὶ τοῦ μέρους τοῦ ἐκείσε μοναδρίου τοῦ εἰς ὄνομα τιμωμένου

τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Παναγίας περὶ αὐτοῦ δὴ τοῦ μονυδρίου, τῶν μὲν ἀπὸ τοῦ μέρους αὐτοῦ, τοῦ ἱερομνήμονος δηλονότι τῆς αὐτῆς ἐκκλησίας πρεσβυτέρου Μανουὴλ τοῦ Ἀρτανᾶ καὶ ἀναγνώστου Μιχαὴλ τοῦ Κρυονερίτου, ἀντιποιουμένων τοῦ τοιούτου μονυδρίου, ὡς ἀπὸ γονικότητος αὐτοῖς διαφέροντος, τοῦ ἐπισκόπου δὲ ἀντιποιουμένου καὶ μὴ παραχωροῦντος τούτου αὐτοῖς· δεῆσαν τοίνυν τούτοις ἡμετέρας καὶ συνοδικῆς διαγνώσεως ἐφίστανται τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ τὰ μέρη ἀμφότερα, καὶ τῆς ὑποθέσεως ἀκριβεῖ δοθείσης, ὡς ἐχρῆν, ἐξετάσει, γράμμα οὗτοι δὴ οἱ τοῦ μέρους τοῦ μονυδρίου προκομίζουσι πατριαρχικὸν καὶ σεπτὸν πρόσταγμα, προβῆναι λέγοντες ταῦτα ἐξ ἀναφορᾶς τῶν προγόνων αὐτῶν δυναστευομένων παρὰ τοῦ τηνικαῦτα ἐπισκόπου, καὶ ἐπεὶ διελάμβανε ταῦτα, ἐξετασθῆναι τὴν ὑπόθεσιν τοπικῶς, γράμμα μὲν οὐδὲν εἶχον ἐξετάσεως ἐμφανίσαι, προέτειναν δὲ μαρτυρίας ἐγγράφους τῶν τοπικῶν μαρτυρούντων, καὶ γονικόθεν αὐτοῖς τοῦτο δὴ τὸ μονύδριον ἀνήκειν, καὶ παρὰ τοῦ μέρους αὐτῶν καὶ πρότερον καὶ μετὰ τὰ εἰρημένα δικαιώματα κατέχεσθαι, ὁ μέντοι θεοφιλέστατος ἐπίσκοπος ἀντεπῆγεν, ὡς ἐξεδόθη φθάσαν εἰς πρόσωπον ἕτερον παρὰ τοῦ πρὸ αὐτοῦ ἐπισκόπου, προτείνων δὲ καὶ τὰ ἐκείνῳ προβάντα δικαιώματα ἐπὶ τῇ ἐκδόσει τοῦ μονυδρίου, ἐπειρᾶτο τὸν τρόπον τοῦτον ἀμετόχους αὐτοῦ τούτους δεικνύειν, ἣν δὴτα ἔκδοσιν καὶ αὐτὴν παρὰ τὸν εἰκότα καὶ δίκαιον λόγον οὗτοι γενέσθαι διετείνοντο, ἔλεγον δὲ ἅμα καὶ ὡς κατὰ σκοπὸν λαβὸν αὐτὸ τοῦ βελτιῶσαι, τοὐναντίον ἅπαν ἔφθη πεποιηκὸς, δι' ἃς δῆτα αἰτίας καὶ ἐξεβλήθη τῆς αὐτοῦ κατοχῆς, ἐφ' οἷς οὐκέτι ἀντειπεῖν εἶχεν ὁ ἐπίσκοπος, οὐδέ τι πλέον εἰς οἰκείαν προβαλέσθαι δικαίωσιν· ἔνθεν τοι καὶ διέγνωσταν τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἐφέσου, τῷ Κυζίκου, τῷ Σάρδεων, τῷ Δυρραχίου, τῷ Ἀμάστριδος, τῷ Σουγδαίας καὶ τῷ Μηθύμνης, προσεῖναι μὲν τούτοις τὸ τῆς γονικότητος δίκαιον ἐπὶ τῷ τοιούτῳ μονυδρίῳ, ἅτε δὴ κατὰ τὰς τῶν τοπικῶν μαρτυρίας τοῖς προγόνοις αὐτῶν διαφέροντος καὶ παρ' ἐκείνων, ὡς εἴρηται, κατεχομένου καὶ πρότερον, καὶ μεθὸ τὰ εἰρημένα προέβησαν δικαιώματα, πάντα τρόπον πραγματεύεσθαι ὀφείλουσι τὰ εἰς τὴν αὐτοῦ σύστασιν καὶ ἐπαύξησιν, ἔχειν δὲ καὶ τὸν ἐπίσκοπον τὰ ἐξ αὐτοῦ τούτῳ ἀνήκοντα κανονικὰ δίκαια, φροντίζειν ὀφείλοντος καὶ αὐτοῦ καὶ προσηκόντως ἐπιμελεῖσθαι τῆς ἐπὶ τὸ κρεῖτ-

τον αὐτοῦ ἐπιδόσεως, διὸ δὴ καὶ ἔσονται τοῦ λοιποῦ καὶ ἀμφότερα τὰ μέρη μένοντα, εἰς ὅσον διεγνώσθη συνοδικῶς, καὶ ἀνενοχλησίαν πρὸς ἄλληλα ἔξουσι, μηθ' ἑτέρου τούτων, μήτε τοῦ ἐπισκόπου τοῦδε ἤ τινος τῶν μετ' αὐτόν, μήτε τῶν ἀπὸ τοῦ μέρους τούτου δὴ τοῦ μονυδρίου ὀφείλοντος ἐκδοῦναί ποτε αὐτὸ εἰς μετόχιον, καὶ τῆς ἐκκλησίας ἐντεῦθεν ἀποξενῶσαι, τῷ γὰρ πειραθησομένῳ ποιήσασθαι τοῦτο ἐπιτίμιον συνοδικὸν ἐπανατεινόμεθα. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ ἔγγραφος διάγνωσις καὶ ἀπόφασις εἰς ἀσφάλειαν ἐπιδέδοται μηνὶ φεβρουαρίῳ ἰνδ. ἕκτης †.

LXXIX. (6847—1338) novembri ind. VII.

Tribunal ecdici afficit poena ecclesiastica Tzerentzem Georgium.

† Τὸν Τζερέντζην Γεώργιον ἐπὶ μαγείαις καὶ ἄλλαις ἀρρητουργίαις κρατηθέντα καὶ ἀσεβείας ἔργα διαπραξάμενον, ὡς καὶ γράφειν τὸ τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ μέγιστον καὶ θειότατον ὄνομα καὶ σβεννύειν καὶ πατεῖν τῷ μέλανι, ἅμα δὲ καὶ χαρακτῆρας καὶ ἐπικλήσεις δαιμόνων ἐκτίθεσθαι καὶ διὰ ταῦτα ἱκανῶς τιμωρηθέντα, ἔπειτα δὲ καὶ εἰς τὸ ἱερὸν ἐκδικεῖον παραπεμφθέντα ἐπὶ τῷ λαβεῖν θεραπείαν καὶ ἐξομολογησάμενον καὶ ἀποθεραπευθῆναι αὐτοῦ τὰ τοῦ σφάλματος δεηθέντα, τάττομεν αὐτὸν ἵστασθαι ἔξω τῆς ἐκκλησίας φαλλούσης καὶ συγχώρησιν αἰτεῖσθαι, ὡς ἔθος, παρὰ τῶν εἰσερχομένων ἁπάντων καὶ ἐξερχομένων, μετὰ δὲ τὴν ἀπόλυσιν εἰσέρχεσθαι καὶ προσκυνεῖν καὶ ἀσπάζεσθαι τὰς ἁγίας εἰκόνας, νηστεύειν τε ὁλοτελῶς κρέατος, τυροῦ, γάλακτος καὶ ὠῶν, ποιεῖν πρὸς τούτοις καὶ μετανοίας καθ' ἡμέραν ἀνὰ ἑκατόν, χωρὶς σαββάτου καὶ κυριακῆς καὶ τῶν ἄλλων δεσποτικῶν ἑορτῶν, τότε δὲ λέγειν εἰς διπλασμὸν τούτων τὸ κύριε ἐλέησον μετὰ κατανύξεως καὶ συντριβῆς τῆς αὐτοῦ καρδίας, ἔτι δὲ σπουδάζειν σωφρόνως βιοῦν, καὶ εἴπερ οὐ δύναται ἐγκρατεύεσθαι, ἀγαγέσθαι ἑαυτοῦ καὶ γυναῖκα νόμιμον, εἰδήσει καὶ τῆς ἁγίας ἐκκλησίας τοῦ θεοῦ, ποιεῖν δὲ καὶ ἐλεημοσύνην, καθὼς αὐτῷ δυνάμεως καὶ εὐπορίας πρόσεστι, μετὰ δὲ τριετίαν, εἴπερ ἀναφανείη προθύμως ἐκδουλεύων καὶ ἐκπληρῶν τὰ δοθέντα αὐτῷ ταῦτα ἐπιτίμια, οἰκονομηθήσεται τότε τὰ κατ' αὐτὸν καὶ μετὰ πλείονος συγκαταβάσεως, ὡς ἂν δόξῃ τῇ ἐκκλησίᾳ θεοῦ προσῆκον, τῆς μέντοι ἁγίας μεταλήψεως καὶ τῶν ἄλλων ἁγιασμάτων ἀμέτοχον εἶναι μέχρι συμπληρώσεως τῆς αὐτοῦ βιοτῆς, εἰ δέ

γε νόσος αὐτῷ ἐπισυμβαίη, θάνατον ἀπειλοῦσα, ἐξεῖναι αὐτῷ τῶν ἀχράντων μυστηρίων μεταλαμβάνειν, ῥαίσαντι δὲ τῆς νόσου καὶ εἰς ὑγείαν ἐπανελθόντι τοῦ αὐτοῦ κανόνος ἔχεσθαι μέχρι τῆς αὐτοῦ τελευτῆς, ὡς εἴρηται, ἐπὶ τούτοις δὲ ὀφείλει ἐν μνήμῃ ἔχειν καὶ φυλάττειν ἀπαράθραυστα καὶ ἀμετάθετα, ὅσα δι' ἐγγράφου αὐτοῦ ὑπέσχετο, καὶ ὅσα οἱ ὑπὲρ αὐτοῦ ἐγγύας δεδωκότες φυλάξειν αὐτὸν διωμολόγησαν καὶ ἐξησφαλίσαντο. ἐπὶ τούτου γὰρ καὶ ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν σιγίλλιον τοῦ ἱεροῦ ἐκδικείου τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας δι' ἀσφάλειαν μηνὶ νοεμβρίῳ ἰνδ. ἑβδόμης †.

LXXX. (6847—1338) novembri ind. VII.

Joannes XIV. iterum admonet Tzerentzem Georgium.

† Ἐπειδὴ ὁ Τζερέντζης Γεώργιος εἰς ἀθεμίτους καὶ ἀτόπους πράξεις ἐκκλησίας καὶ συνοδικῶς ἀπελεγχθεὶς ἐπ' αὐταῖς, ἐκρατήθη ἔπειτα εἰς φυλακὴν διὰ τό, ὅτι ἐπέθετο καὶ φυγῇ, ἀνήνεγκαν δὲ καὶ παρεκάλεσαν περὶ αὐτοῦ οἱ κατὰ γένους αὐτῷ προσήκοντες, καὶ ἀπελύθη μὲν οὗτος τῆς φυλακῆς ὁρισμῷ τοῦ ἐκ θεοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἀνηρτήθη δὲ τὰ κατ' αὐτὸν ἐκεῖθεν εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον, κἀντεῦθεν καὶ ἐδόθησαν αὐτῷ κατὰ τὴν τῆς ἐκκλησίας συνήθειαν ἐπιτίμια ἀνάλογα τοῖς τοιούτοις αὐτοῦ πταίσμασι, δεδώκασι δὲ καὶ ἐγγύας ὑπὲρ αὐτοῦ οἱ ἀπὸ τοῦ γένους αὐτοῦ διὰ γράμματος, κατὰ μέρος διαλαμβάνοντος, ὅσα φυλάξειν αὐτὸν ὑπισχνοῦνται, καθὼς ἀπῃτήθη παρὰ τῆς ἐκκλησίας θεοῦ, ἀπολύουσα τὸ παρὸν γράμμα ἡ μετριότης ἡμῶν παρακελεύεται καὶ διὰ τούτου πρὸς αὐτὸν, ἵνα συντηρηθῇ καὶ φυλάξῃ ἑαυτὸν τοῦ λοιποῦ καὶ εἰς τὸ ἔμπροσθεν ἀμέτοχον ἀπὸ τῶν τοιούτων ἀθεμίτων καὶ ἀτόπων ἐργασιῶν, καὶ οὐδὲν τολμήσῃ παραβῆναί τι τῆς τοιαύτης ὑπὲρ αὐτοῦ ὑποσχέσεως καὶ ἐγγύης, ἀλλὰ καὶ κατὰ πᾶσαν αὐτοῦ τὴν δύναμιν ἐπισπεύδῃ καὶ ἐπαγωνίζηται εἰς τὴν τῶν δοθέντων αὐτῷ ἐπιτιμίων ἐκπλήρωσιν· οὕτω γὰρ ἕψεται πάντως αὐτῷ καὶ ἡ τῶν τοιούτων ἀποπημάτων αὐτοῦ συγχώρησις· εἰ δὲ μή, εἰ φωραθείη δηλονότι ποτὲ ἐπὶ πράξει τοιαύτῃ ἢ ἀθετήσει τι τῆς ὑπὲρ αὐτοῦ τοιαύτης ὑποσχέσεως καὶ ἐγγύης, πρὸς τῷ ὑποσχεῖν αὐτὸν εὐθύνην σωματικὴν τὴν προσήκουσαν, ἐσεῖται καὶ ψυχικῶς ὑπ' ἀφορισμὸν συνο-

δικὸν τῆς ἡμῶν μετριότητος. τούτου γὰρ χάριν καὶ τὸ παρὸν αὐτῆς ἀπελύθη γράμμα μηνὶ νοεβρίῳ ἰνδ. ζ' †.

LXXXI. Sine anno.

Cyrillus, metropolita Sidae, pollicetur se in ecclesia sua esse mansurum.

† Οἱ ἐκλεγόμενοι παρὰ τῆς τοῦ θεοῦ ἁγίας καὶ καθολικῆς ἐκκλησίας εἰς ἀρχιερέας αὐτοῦ, οἵ τε ἄλλοι καὶ οἱ εἰς χριστιανικὸν λαὸν ὑπὸ ἔθνος ἀσεβὲς τελοῦντα πεμπόμενοι ἐκεῖνο πάντως ἐν νῷ στρέφειν ὀφείλουσιν, ὅτι δηλαδὴ ἀποστολικὸν ἀνειλήφεσαν ἀγῶνα, καὶ δρόμον ἐτάχθησαν τρέχειν τῶν τοῦ Χριστοῦ σεπτῶν μαθητῶν καὶ ἀποστόλων, πρὸς οὓς καὶ ἄλλα πλεῖστα κινδύνων γέμοντα εἴρηται, καὶ τὸ· „ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων." ἐπεὶ τοίνυν καὶ αὐτὸς κρίμασιν οἷς οἶδε θεὸς ἐξελέγην παρὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, καὶ ἐψηφίσθην εἰς τὴν ἐκκλησίαν τὴν Σίδην, ἧς ἄρχειν ἔλαχεν ἐθνικὴ χεὶρ ἀσεβὴς, καὶ ἔνι ὑποφία, μή ποτε χειροτονηθεὶς οὐδὲν ἀπέλθω ἐκεῖσε, ἢ καὶ ἀπελθὼν ὑποστρέψω πάλιν εἰς τὴν βασιλίδα ταύτην τῶν πόλεων διʼ ἄνεσιν καὶ ἀπαλλαγὴν τῶν προκειμένων δυσχερῶν, τὴν παροῦσαν ἔγγραφον ὑπόσχεσιν ποιοῦμαι διὰ τοῦτο πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην τὸν οἰκουμενικὸν πατριάρχην καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ λέγω καὶ διαβεβαιοῦμαι, ὡς οὐ μὴ ἔχω ἄδειαν μετὰ τὴν γενησομένην ἐπʼ ἐμοὶ χειροτονίαν, τῇ τοῦ θεοῦ χάριτι, προσκαρτερῆσαι ἐνταῦθα καὶ πρόφασιν εὑρεῖν περὶ ἀργίας καὶ ἀναβαλέσθαι τὴν ἀποδημίαν, ἀλλʼ οὐδὲ μετὰ τὸ ἀπελθεῖν εἰς τὴν ἐκκλησίαν ταύτην, εἰς ἣν ἐψηφίσθην, ὑποστρέψαι ἐνταῦθα, καταλιπὼν τὴν ἐγχειρισθεῖσαν μοι ποίμνην, ἐκτὸς μεγάλης ἀνάγκης καὶ χρείας, ἣν κρινεῖ καὶ ὁ παναγιώτατος ἡμῶν δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος εὔλογον καὶ ἀληθινὴν, καὶ τότε δὲ ὑπισχνοῦμαι μὴ ἐνοχλεῖν ὅλως τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ τῷ οἰκουμενικῷ πατριάρχῃ, μηδὲ κατεπείγειν καὶ ζητεῖν κυβέρνησιν καὶ ἐκκλησίας ἑτέρας ποιμανσίαν καὶ ἐπιστασίαν, ἀλλὰ διάγειν εἰρηνικῶς καὶ ἀταράχως, μέχρις ἂν εὔδρομον γένηται τὸ τὰ τῆς κατʼ ἐμὲ ἐκκλησίας διεξάγεσθαι παρʼ ἐμοῦ, καθὼς ἐτάχθην. εἰ δʼ ἴσως παραχωρήσει ὁ θεὸς παραβῆναί με τὴν τοιαύτην ὑπόσχεσίν μου καὶ ἀθετῆσαι, ὅσον ἤδη διαβεβαιοῦμαι, ἐπισπῶμαι κατʼ ἐμαυτοῦ καὶ ἀσπασίως δέχομαι, ἣν ἂν διαγνοίη ἐπʼ ἐμοὶ καταδίκην

μετὰ τῆς θείας καὶ ἱερᾶς συνόδου ὁ παναγιώτατος ἡμῶν δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης. ἐπὶ τούτῳ γὰρ ἐγένετο καὶ ἡ παροῦσα ἔγγραφος ὑπόσχεσίς μου δι' ἀσφάλειαν †.

Manu propria.

† Κύριλλος ἱερομόναχος καὶ πατὴρ πνευματικὸς τὰ ἄνωθεν γεγραμμένα στέργων καὶ βεβαιῶν ὑπέγραψα †.

LXXXII. Sine anno.

Joannes XIV. promittit Nicaeensibus reversuris in sinum ecclesiae remissionem.

† Πιττάκιον πατριαρχικὸν εἰς τοὺς εὑρισκομένους εἰς τὴν Νίκαιαν †.

† Τοῖς ἀπὸ ἁμαρτίας ὑποστρέφουσιν ἡ τοῦ θεοῦ ἐκκλησία, τὸ κοινὸν τῶν ψυχῶν ἰατρεῖον, τὰς ἑαυτῆς σωτηρίους ὑπανοίγουσα πύλας καὶ ἑκάστῳ τὰ πρόσφορα φάρμακα ἐπιτιθεῖσα πᾶσι τὰ πρὸς σωτηρίαν οἰκονομεῖ· δεῖ τοίνυν μὴ ἀπαγορεύειν μηδένα, μηδὲ εἰς ἀπόγνωσιν ἐμπεσόντα καταφρονεῖν τῆς ἑαυτοῦ σωτηρίας, οὐδὲ γάρ ἐστιν, οὐκ ἔστιν ὅλως ἁμαρτία ἡ νικῶσα τὴν τοῦ θεοῦ φιλανθρωπίαν, καὶ πολλὰ τῶν τῆς προτέρας ἀφισταμένων κακίας καὶ γνησίαν ἐνδεικνυμένων τὴν μετάνοιαν καὶ ἐπιστροφὴν ἡ θεία γραφὴ φέρει τά παραδείγματα, τά τε ἄλλα καὶ τὸ τοῦ ἀσώτου, τὸ τῆς πόρνης, τὸ τοῦ λῃστοῦ, τὸ τῶν Νινευιτῶν, τὸ τοῦ Μανασσῆ, ὃς ἐπὶ τεσσαράκοντα ἔτη τὸν λαὸν εἰδωλολατρεῖν παρεσκεύασεν, ἀποστάντας τοῦ δημιουργοῦ· οὐδένα γὰρ ἀπωθεῖται, οὐδὲ ἀποστρέφεται ὁ θεός, φιλανθρωπίας ἄπειρον ἔχων πέλαγος, μόνον ἐὰν γνησίως μετανοήσωμεν καὶ προσπέσωμεν καὶ κλαύσωμεν καὶ δεηθῶμεν τῆς αὐτοῦ ἀγαθότητος. ἐπεὶ οὖν παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν ὑπερίσχυσε καθ' ἡμῶν ἡ τῶν Ἰσμαηλιτῶν ἐπίθεσις, καὶ πολλοὺς οὗτοι τῶν ἡμετέρων χειρωσάμενοι καὶ καταδουλώσαντες παρεβιάσαντο καὶ παρέσυραν, φεῦ ὥστε καὶ τὰ τῆς ἑαυτῶν κακίας καὶ ἀθεότητος ἐλέσθαι, τοῖς εἰς βάθος δὲ κακίας τοσαύτης ἐμπεσοῦσιν αἴσθησις, οἱ κακοῦ γεγόνασιν, ἐπιγενομένη τὰ τῶν Χριστιανῶν πάλιν ἀνακαλέσασθαι διεγείρει, λογισμὸς δέ τις εἴσεισιν ἕτερος, καὶ διστάζουσι καὶ βέβαιόν τι μαθεῖν ζητοῦσιν, εἰ μὴ διαμάρτωσιν, ἀλλ' ἐπιτεύξονται τῆς ἑαυτῶν σωτηρίας, πᾶσι τοῖς τοιούτοις ἐγγυᾶται ἡ τοῦ θεοῦ ἐκκλησία καὶ πληροφορίαν βεβαίαν δίδωσιν. ὡς ἑλομένους τὰ

τῆς ἀληθοῦς εἰς θεὸν πίστεως καὶ τῆς τῶν μουσουλμάνων κακίας, εἰς ἣν ἐξεκυλίσθησαν, ἀποστάντας, τῇ τῶν χριστιανῶν πάλιν μερίδι συναριθμήσει καὶ ἰάσεται καὶ θεραπεύσει, καὶ οὐδὲ εὑρήσουσιν ἐμπόδιόν τι πρὸς τὴν τῶν ἰδίων ψυχῶν σωτηρίαν διὰ τὸ προγεγονὸς αὐτοῖς, ὡς εἴρηται, σφάλμα, ἀλλ' ὅσοι μὲν τούτων καὶ φανερὰν καὶ πεπαρρησιασμένην ἐνδείξονται τὴν μετάνοιαν, ὡς καὶ παθεῖν ἑλέσθαι ὑπὲρ τῆς εἰς θεὸν πίστεως, οὗτοι καὶ μαρτυρικὸν ἀναδήσονται στέφανον, (ἀπόδειξις τούτου σαφὴς ὁ μέγας τοῦ Χριστοῦ μάρτυς Ἰάκωβος ὁ Πέρσης), ὅσοι δὲ τῷ φόβῳ τῶν κολάσεων καθ' ἑαυτοὺς καὶ ἐν τῷ λελῃθότι διαζῆν θελήσουσι, τὰ τῶν χριστιανῶν ἐνστερνιζόμενοι καὶ ποιοῦντες, καὶ αὐτοὶ σωτηρίας ἐπιτεύξονται, μόνον κατὰ τὸ δυνατὸν τηρεῖν σπουδάζοντες τὰς τοῦ θεοῦ ἐντολάς. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν καὶ τὸ παρὸν τῆς τοῦ θεοῦ ἐκκλησίας γράμμα ἐγένετο †.

LXXXIII. Sine anno.

Jeremias, metropolita Chersonis, pollicetur se in ecclesia sua esse mansurum.

† Οἱ ἐκλεγόμενοι παρὰ τῆς ἁγίας τοῦ θεοῦ καὶ καθολικῆς ἐκκλησίας κ. τ. λ. LXXXI. vide pag. 182—183.

Manu propria.

† Ὁ ταπεινὸς μητροπολίτης Χερσῶνος καὶ ὑπέρτιμος Ἱερεμίας τὰ ἄνωθεν γεγραμμένα στέργων καὶ βεβαιῶν ὑπέγραψα †.

LXXXIV. Sine anno.

Macarius, metropolita Bitzynes, pollicetur se in ecclesia sua esse mansurum.

† Οἱ ἐκλεγόμενοι παρὰ τῆς ἁγίας τοῦ θεοῦ καὶ καθολικῆς ἐκκλησίας κ. τ. λ. LXXXI. vide pag. 182—183.

Manu propria.

† Ὁ ταπεινὸς μητροπολίτης Βιτζύνης καὶ ὑπέρτιμος Μακάριος τὰ ἄνωθεν γεγραμμένα στέργων καὶ βεβαιῶν ὑπέγραψα †.

LXXXV. Sine anno.

Joannes XIV. scribit ad clerum Constantinopoleos de incantationibus.

† Ἡ μετριότης ἡμῶν γνωρίσασα, ὡς ἐν τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων μέσον τῶν ἐν αὐτῇ λογικῶν τοῦ Χριστοῦ προβάτων ἐγκατ-

ἐσπειρεν ὁ τῶν ζιζανίων σπορεύς τινας αὐτοῦ θεραπευτὰς τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς προσκειμένους καὶ ταῖς διδασκαλίαις, μαγείαις δηλαδὴ καὶ πολλοῖς ἑτέροις ἀτόποις καὶ ἀσεβείας μεστοῖς, προσίασι δὲ τούτοις καί τινες τῶν πιστῶν, καὶ ἀναμάττονται τὰ τῆς τοιαύτης αὐτῶν κακίας καὶ ἀσεβείας, οὐ μικρῶς ἐντεῦθεν ἔπαθε τὴν ψυχὴν καὶ εἰς λύπην κατηνέχθη ἀφόρητον, καὶ πλεῖστα κατέχεε δάκρυα, ὅτι δὴ εἰς τοσαύτην ἀναισθησίαν καὶ ἀτοπίαν ἐξηνέχθησαν οἱ ἄνθρωποι, ὡς ἐγκαταλιμπάνειν θεὸν τὸν ποιήσαντα καὶ ἐπιλανθάνεσθαι θεοῦ τοῦ τρέφοντος καὶ τοιούτοις προσιέναι ψυχοφθόροις καὶ τοῦ ἀντιχρίστου προδρόμοις, ὅθεν καὶ πᾶσιν, ὡς εἰκὸς, τρόποις προθυμηθεῖσα ἐξορίσαι τῆς χριστιανικῆς πολιτείας καὶ τοῦ γένους τὰ τοιαῦτα μιάσματα, ἅτε δὴ καὶ χρέος καὶ ὀφειλὴν ἔχουσα πᾶσι διαμαρτύρασθαι καὶ νυκτὸς καὶ ἡμέρας καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἐπειδὴ καὶ τούτου χάριν ἐτάχθησαν οἱ ποιμένες, ἵνα καὶ τοῖς ἄλλοις σαλπίζωσι καὶ προμηνύωσι τὰ μέλλοντα δυσχερῆ, καὶ διὰ τοῦτο ἀπαραίτητος ἡ κόλασις, κἂν εἷς ὁ ἀπόλωλὼς τύχῃ, ὡς τῆς ῥομφαίας ἐρχομένης, ἂν μὴ σαλπίσωσι τῷ λαῷ, μηδὲ σημάνωσι, καὶ ἐλθοῦσα ἡ ῥομφαῖα λάβῃ ψυχὴν, τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρὸς τῶν ποιμένων ζητήσει ὁ κύριος, καὶ οὐ δυνήσονται προβάλλεσθαι τὴν ἄγνοιαν, οὐδὲ εἰπεῖν, οὐκ ἠκούσαμεν τῆς σάλπιγγος, οὐδὲ εἴδομεν τὸν πόλεμον, οἱ τὰς τῶν ἄλλων ἀγνοίας ταχθέντες ἐπανορθοῦν καὶ τὸν διαβολικὸν κίνδυνον προμηνύειν ἐρχόμενον. διὰ ταῦτα προαναφωνεῖ καὶ ἐπισκήπτει τοῖς ἐποίκοις τῆς μεγαλοπόλεως ταύτης ἅπασι, φοβηθῆναι τὸ βαρὺ κρίμα καὶ τὴν φοβερὰν ἡμέραν τῆς ἀνταποδόσεως τοῦ κυρίου πρὸ ὀφθαλμῶν λαβεῖν καὶ μὴ θελῆσαι τοῖς τοιούτοις συναπόλλυσθαι, ἀλλὰ κατὰ νοῦν λαβεῖν τὴν ἀποταγὴν, ἣν ἐπὶ τοῦ ἁγίου βαπτίσματος ἀπαιτούμεθα, ἥτις μικρὰ μὲν φαίνεται λεγομένη, νοουμένη δὲ καὶ πάνυ ἐστὶ μεγάλη, ἣν ὁ ἰσχύσας φυλάξαι τρισμακάριστός ἐστι, διὰ γὰρ ὀλίγων ῥημάτων, πᾶν κακὸν ὀνομαζόμενον, ὃ μισεῖ ὁ θεὸς, ἀποτασσόμεθα, πορνείαν, μοιχείαν, ἀκαθαρσίαν, ψεῦδος, κλοπὴν, φθόνον, φαρμακείαν, μαντείαν, ἐπαοιδίαν, θυμὸν, ὀργὴν, βλασφημίαν, ἔχθραν, ἔριν, ζῆλον, μέθην, ἀργολογίαν, ὑπερηφανίαν, βλακείαν, γελοιασμοὺς, κιθαρισμοὺς, ᾄσματα δαιμονιακὰ, παιδοφθορίας, πνευμάτων ἐπερωτήσεις, πλεονεξίας, μισαδελφίας, ἁρπαγὰς, τούτοις πᾶσι καὶ τοῖς ὁμοίοις τούτων ἀποτασσόμεθα ἐν τῇ τοῦ ἁγίου βαπτίσματος ἀποταγῇ, ἅπερ πάντες γινώ-

σκομεν, ὅτι ἔργα καὶ διδασκαλίαι εἰσὶ τοῦ διαβόλου, πάντα δὲ ταῦτα ἐμάθομεν ἐν σκότει ὄντες τὸ πρὶν ὑπὸ τὴν ἐξουσίαν τοῦ διαβόλου, πρὶν φθάσῃ εἰς ἡμᾶς τὸ φῶς, ὅτε ἦμεν πεπραμένοι ὑπὸ τῆς ἁμαρτίας, ὅτε δὲ ἐβουλήθη ὁ φιλάνθρωπος καὶ ἐλεήμων θεὸς λυτρώσασθαι ἡμᾶς ἐκ τῆς τοιαύτης πλάνης, ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, καὶ ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος, καὶ ἔδωκεν ἑαυτὸν ἀντάλλαγμα ὑπὲρ ἡμῶν, καὶ ἐξηγόρασεν ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, καὶ ηὐδόκησεν ἀναγεννῆσαι ἡμᾶς διὰ ὕδατος καὶ πνεύματος, ταύτην τὴν ἀποταγὴν καὶ τὴν καλὴν ὁμολογίαν ἀπαιτεῖται ἕκαστος ἐν τῇ ὥρᾳ καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐπερωτῶνται γὰρ ποιμένες καὶ περὶ τῆς ἰδίας πολιτείας καὶ ὑπὲρ τῆς ποίμνης αὐτῶν, καὶ ἀπαιτεῖται ἕκαστος τὰ λογικὰ πρόβατα, ἅπερ παρέλαβε παρὰ τοῦ ἀρχιποιμένος Χριστοῦ, ἐπερωτῶνται οἱ ἐν ἐξουσίᾳ, ἐπειδὴ καὶ πᾶσα ἐξουσία ἀπὸ θεοῦ, ἐπὶ ἀναχαιτίσει τῶν κακῶν καὶ ψυχολέθρων καὶ σωφρονισμῷ τῶν εἰς ἄτοπα ἐκφερομένων καὶ συστολῇ, καὶ λόγον δώσουσι καὶ περὶ τῆς ἑαυτῶν πολιτείας καὶ περὶ τῶν ὑπὸ τὴν ἐξουσίαν αὐτῶν, ὁμοίως δὲ καὶ πρεσβύτεροι δώσουσι λόγον ὑπὲρ τῆς ἐκκλησίας αὐτῶν, ἅμα δὲ καὶ οἱ διάκονοι καὶ πᾶς δὲ πιστὸς ὑπὲρ τοῦ οἴκου αὐτοῦ, ὑπὲρ τῆς γυναικὸς καὶ τέκνων καὶ παίδων καὶ παιδισκῶν δώσει λόγον, εἰ ἐξέθρεψεν αὐτοὺς ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου, καθὼς παραγγέλλει ὁ θεῖος ἀπόστολος, πλούσιοι καὶ πένητες, καὶ μικροὶ καὶ μεγάλοι, περὶ ὧν ἔπραξαν ἔργων, ἐπερωτῶνται, γέγραπται γὰρ, ὅτι πάντες παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος, πρὸς ὁ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε πονηρόν. ταῦτ' οὖν εἰδότες καὶ ὅτι διὰ τὴν ἀνομίαν ἡμῶν ἐγκατέλιπεν ἡμᾶς ὁ κύριος, καὶ παρέδωκεν εἰς χεῖρας βαρβάρων, καὶ ἁπήχθη αἰχμάλωτος εἰς τοὺς πολεμίους ὁ λαὸς, καὶ παρεδόθη τῇ διασπορᾷ, φοβηθῶμεν, ἀγαπητοὶ, καὶ ἀποστήτω ἕκαστος ἀπὸ τῶν πονηριῶν αὐτοῦ, καὶ μὴ καταδεχέσθω συναπάγεσθαι τοῖς τοῦ διαβόλου θεραπευταῖς, ἀλλὰ σπουδαζέτω τὴν ἑαυτοῦ ψυχὴν τῆς αἰωνίου κατακρίσεως περισώσασθαι, καταμηνύων καὶ εἴ τινα ἔφθασε γνωρίσαι ἄνδρα ἢ καὶ γυναῖκα τὰ μαγικὰ μητερχόμενον, ὡς ἂν τῆς τοιαύτης κακίας καὶ ἐργασίας τοῦ διαβόλου ἐκπομπευομένης διορθῶνται καὶ οἱ τοιοῦτοι, καὶ οὐδὲ τοὺς ἁπλουστέρους εἰς τὸ τῆς ἀπωλείας βάραθρον κατασπῶσι. τούτου γὰρ ἕνεκα καὶ ἵνα πάντὸς κακοῦ, ὃ μισεῖ καὶ ἀποστρέφεται ὁ θεὸς,

ἡ ἡμετέρα καθαρεύῃ πολιτεία, ἐκκλησιαστικοῖς ἐπετρέψαμεν καὶ ἀνεθέμεθα, ὥστε περιιέναι αὐτοὺς καὶ ζήτησιν ἀκριβῆ ποιεῖσθαι ἐν ἑκάστῃ γειτονίᾳ τῆς βασιλευούσης ταύτης τῶν πόλεων, μήπω τις ἐγκέκρυπται τῷ ποιμνίῳ λύκος, δορὰν ἐνδεδυμένος προβάτου, καὶ μόρφωσιν μὲν εὐσεβείας ἔχων, ἠρνημένος δὲ τὴν αὐτῆς δύναμιν, μαγείαις χαίρων καὶ γοητείαις καὶ τοῖς λοιποῖς ἔργοις τοῦ διαβόλου. τοῖς οὖν πεποιῆσθαι τὴν τῶν τοιούτων ζήτησιν ἀνατεθειμένοις καὶ ὑμεῖς ὀφείλετε συνεργεῖν εἰς τοῦτο, καὶ καταφανεῖς τιθέναι, εἴ τινας τοιούτους συνοίδατε, τούς τε προσιόντας αὐτοῖς, ὅσον γὰρ κακόν ἐστιν ἐν τῇ μεγαλοπόλει ταύτῃ, ἥτις τῇ τοῦ θεοῦ χάριτι οὐ μόνον τῷ μητρὸς ἐπέχειν τόπον τῶν λοιπῶν διενήνοχε καὶ προκαθέστηκε πόλεων, ἀλλὰ καὶ τῷ πηγὴν εἶναι τῆς εὐσεβείας, τοιαῦτα ἐν αὐτῇ τολμᾶσθαι διαβολικὰ καὶ ἀπωλείας ψυχῶν πρόξενα· καὶ ποίας ἂν συγγνώμης ἐπιτύχοιτε ὑμεῖς, εἰ περικαλύπτοιτε τοὺς τοιούτους, καὶ συγχωροῦντες εἴητε ἀναμεμίχθαι ὑμῖν αὐτοὺς καὶ βάλλειν ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τὴν καρδίαν καὶ θανατοῦν; ἀλλὰ εἰ μὴ διανασταίητε πρὸς τὴν τῶν τοιούτων ἀνεύρεσιν, ὥστε τῆς ἡμετέρας πολιτείας ἐξελαθῆναι καὶ δίκην ὑποσχεῖν τὴν ἀξίαν, εὖ ἴστε, ὡς παροξυσμῷ παροξυνεῖται καθ' ὑμῶν ἐπὶ πλέον ὁ κύριος, καὶ τίς ὑποστήσεται ἀπὸ προσώπου αὐτοῦ; διανάστητε τοίνυν, παρακαλῶ, καὶ ζῆλον ἐνδείξασθε ὑπὲρ θεοῦ τὸν προσήκοντα, ἰδίᾳ μέντοι ὑμῖν τοῖς ἱερωμένοις, οἳ καὶ τοῖς ἄλλοις ὑπόδειγμα εἶναι ὀφείλετε, τοῦ καλοῦ καὶ τῆς ἀρετῆς, καὶ πρότερον μὲν παρηγγυησάμεθα μετὰ τῆς προσηκούσης πνευματικῆς αὐστηρίας, ἀπέχεσθαι τῆς ἐν καπηλείοις διατριβῆς, καὶ νῦν δὲ πάλιν αὐτὰ ταῦτα καὶ διὰ τῶν παρόντων γραμμάτων ἐπισκήπτομεν, ὡς οἱ μὴ τοῦτο τοῦ λοιποῦ παραφυλαξάμενοι τὴν κανονικὴν ὑφέξουσι καταδίκην· ἔτι ἐπισκήπτομεν, ἵνα πρὸ τῶν ἄλλων ἁπάντων συνεργῆτε τοῖς ἀνατεθειμένοις τὸ παρὸν λειτούργημα εἰς ἀνεύρεσιν τῶν ψυχοφθόρων ἀνθρώπων, ὑπείκοντες τούτοις δὴ τοῖς τὴν ζήτησιν αὐτῶν ποιουμένοις, ἐφ' οἷς καὶ περὶ αὐτῶν τούτων καὶ περὶ ἄλλων ἀναγκαίων καὶ λυσιτελῶν λέγειν μέλλουσι πρὸς ὑμᾶς, ἐπεὶ καὶ βάρος ἐκφωνοῦμεν καὶ ἐπιτίθεμεν παντὶ τῷ εἴδησιν ἔχοντι τοιούτου ψυχοφθόρου καὶ λυμεῶνος, ἵνα ὑποδείξητε τοῦτον τοῖς εἰς τοῦτο ἀνατεθειμένοις ἐκκλησιαστικοῖς, ἔτι δὲ καὶ εἴ τινα σύνοιδε προσιόντα τοῖς τοιούτοις καὶ συμφιλιούμενον †.

LXXXVI. Sine anno.

Joannes XIV. mandat quibusdam magistratibus ut ecclesiasticos in persequendis incantatoribus adiuvent.

† Οἱ κεφαλαττικεύοντες εἰς τὴν θεοφύλακτον, θεοδόξαστον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν, συμπένθερε τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἐπὶ τῆς τραπέζης, κῦρ Γεώργιε Χοῦμνε, καὶ θεῖε τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μέγα δρουγγάριε τῆς βίγλης, κῦρ Δημήτριε Τορνίκη, ἐν ἁγίῳ πνεύματι ποθεινότατοι υἱοὶ τῆς ἡμῶν μετριότητος· ἡ μετριότης ἡμῶν ἐγνώρισεν, ὅτι εἰς τὴν θεοφύλακτον ταύτην βασιλίδα τῶν πόλεων ἐνεργοῦνται μὲν καὶ ἄλλα τινὰ ἄτοπα παρά τινων ἀπὸ τῶν ἐποίκων αὐτῆς ἀνδρῶν τε καὶ γυναικῶν, εὑρίσκονται δὲ ἀναμεμιγμένοι (—αι) εἰς τὸν λαὸν τοῦ θεοῦ καὶ πολλοὶ (πολλαὶ) μαγείαις καὶ γοητείαις προσκείμενοι (—αι) καὶ χρώμενοι (—αι), οἵτινες καὶ τὰς ἑαυτῶν μὲν ψυχὰς τῇ ἀπωλείᾳ παραδιδόασιν, ἀπατῶσι δὲ καὶ πολλοὺς προσέρχεσθαι αὐτοῖς, καὶ ποιοῦσι βλάβην ἐντεῦθεν καὶ ὄλεθρον καὶ ψυχικὸν καὶ σωματικὸν εἰς τοὺς ἀνθρώπους· πόσον οὖν κακὸν καὶ ὀλέθριον ἔνι τοῦτο ὡς ἄντικρυς φθορὰ εἰς τὸν ἀκραιφνῆ χριστιανισμόν, ὃν ἡγούμεθα καὶ ἐλπίζομεν, ὅτι εἴπερ που ἀλλαχοῦ πολιτεύεται, πολιτεύεται τῇ τοῦ θεοῦ χάριτι καὶ εἰς τὸν ἐνοικοῦντα τῇ τοιαύτῃ μεγαλοπόλει λαόν, καὶ ὅτι ἱκανόν ἐστι τοῦτο μόνον ἐπισπάσασθαι προφανῶς τὴν τοῦ θεοῦ ὀργὴν καθ' ἡμῶν, καὶ ὑμεῖς φρονήσεως ὄντες, οἵας ἐστὲ, καὶ γένους καὶ χριστιανισμοῦ καθαρωτάτου, ἵνα διακρίνητε. ἡ μετριότης τοίνυν ἡμῶν ταῦτα μαθοῦσα καὶ τὴν ψυχὴν οὐ μικρῶς ἔπαθε, καὶ εἰς λύπην ἀφόρητον κατηνέχθη, καὶ δάκρυα πλεῖστα κατέχεε, τὸ μὲν καὶ ὅτι εἰς τοσαύτην ἀναισθησίαν καὶ ἀτοπίαν ἐξηνέχθησαν οἱ ἄνθρωποι, καὶ οὕτως ἐπλανήθησαν, ὡς ἀποστῆναι τοῦ θεοῦ καὶ ἀπολέσαι τὴν εἰς αὐτὸν εὐσέβειαν διὰ τῶν τοιούτων μαγειῶν καὶ γοητειῶν, τὸ δὲ καὶ ὅτι ὁμολογουμένως διὰ τὰ τοιαῦτα ἄτοπα καὶ ἀσεβείας μεστὰ ἔργα τὸ πλέον ὑπέστη τὸ γένος τῶν Χριστιανῶν τὸν ἀφανισμὸν καὶ τὴν φθορὰν καὶ τὴν αἰχμαλωσίαν, ἣν ὑπέστη καὶ ὑφίσταται. εἰ μὲν οὖν μακράν που τῆς βασιλίδος τῶν πόλεων ταύτης ἠκούομεν ἐνεργούμενα τοιαῦτα ὀλέθρια καὶ ἔξω τοῦ χριστιανισμοῦ καὶ τῆς εὐσεβείας ἔργα, πάντως χρέος εἴχομεν καὶ ζῆλον ἀναλαβεῖν ὑπὲρ τῆς εὐσεβείας

αὐτῆς, καὶ εἰ κίνδυνος προέκειτο καὶ προθυμηθῆναι καὶ πᾶσι τρόποις σπουδάσαι ἐξορίσαι τῆς χριστιανικῆς πολιτείας καὶ τοῦ γένους τὰ τοιαῦτα μιάσματα, ἐπεὶ δὲ ἐντὸς ταύτης τῆς θεοδοξάστου Κωνσταντινουπόλεως, ἔνθα ἔνι ἡ ἐκκλησία τοῦ θεοῦ καὶ ἡ ἐξ αὐτοῦ εὐσεβεστάτη βασιλεία, εἰς ἣν δῆτα μεγαλόπολιν καὶ ἐνοχὴν ἔχετε ὑμεῖς, οἷαν ἔχετε, καὶ τὸ ὅλον εἰπεῖν, ἔνθα ἡ πηγὴ τοῦ χριστιανισμοῦ εὑρίσκεται, τολμῶνται τὰ τοιαῦτα, ποίας ἂν συγγνώμης τύχοιμεν παρὰ θεοῦ, καὶ πῶς οὐ δικαίως πᾶσα μέμψις ἡμῖν παρὰ παντὸς ἐπαχθήσεται, εἰ μὴ διανασταίημεν εἰς ζήτησιν ἀκριβῆ καὶ ἀνεύρεσιν τῶν τοιούτων κακίστων καὶ ὀλεθρίων καὶ ἀσεβῶν ἀνθρώπων καὶ εἰς ἐκδίκησιν αὐτοῦ τοῦ θεοῦ; γενομένης γὰρ τῆς ἐκδικήσεως ταύτης καὶ τοῦ ἐξιλασμοῦ κατὰ τὸ τοῦ Φινεὲς ἀείμνηστον ἔργον ἐκεῖνο, θαρρῶ εἰς τὴν φιλανθρωπίαν αὐτοῦ τοῦ θεοῦ, ὡς κοπάσει ἡ καθ' ἡμῶν θραῦσις καὶ τὸ ἀνένδοτον τῆς ὀργῆς, καὶ ἐπιβλέψει ἵλεως εἰς τὸν ταλαιπωρούμενον ἐπὶ τοσοῦτον καὶ ταῖς παρ' αὐτοῦ μάστιξι διὰ τὰ παροξύνοντα αὐτὸν κακὰ παιδευόμενον λαὸν αὐτοῦ, οὐ μὴν ἀλλὰ καὶ τοὺς ἐπὶ ταῖς τοιαύταις ἀτοπίαις διαθερμανθέντας καὶ εἰς ζῆλον διαναστάντας τὸν τῷ θεῷ ὀφειλόμενον, ἀμείψεται δωρεαῖς πολυτρόποις αὐτὸς ὁ διὰ τοῦ προφήτου εἰπών· „ζῶ ἐγὼ, τοὺς δοξάζοντάς με δοξάσω". ποῖον γὰρ ἂν ἕτερον ἔργον ὑπὲρ τῆς δόξης εἴη τοῦ θεοῦ ἢ τοὺς τὴν εἰς αὐτὸν εὐσέβειαν διὰ τῶν δαιμονικῶν ἐπικλήσεων καὶ τῶν μαγειῶν καὶ γοητειῶν ἀνατρέποντας καὶ καταλύοντας ἄντικρυς λανθάνοντας ζητῆσαι καὶ εὑρεῖν καὶ εἰς μέσον ἑλκύσαι καὶ ταῖς πρεπούσαις ὑποβαλεῖν κακώσεσι καὶ κολάσεσιν; ἡμεῖς μὲν οὖν ἀνεθέμεθα ἐκκλησιαστικοῖς τὴν τοιαύτην ἐνέργειαν, οἳ μέλλουσι περιιέναι καὶ ἀνιχνεύειν καὶ ζητεῖν πάντα τρόπον τοὺς τὰ εἰρημένα ἄτοπα καὶ ἀσεβήματα χαίροντας, ἄνδρας λέγομεν καὶ γυναῖκας, καὶ τὸ εἰς τὴν αὐτῶν δύναμιν ἧκον, οὐ μόνον εἰς τὴν τῶν τοιούτων σπεύδοντες ἔσονται ζήτησίν τε καὶ εὕρεσιν, ἀλλ' ἤδη καὶ εἰς τὴν τῶν γινομένων ἄλλων κατὰ τὴν πολιτείαν ἀτοπημάτων διόρθωσιν, ἐπισκήπτομεν δὲ καὶ ἀξιοῦμεν καὶ ὑμᾶς ὡς εὐσεβεῖς καὶ φιλοθέους, καθὼς εἴπομεν, συνεργοὺς φανῆναι εἰς τοῦτο καὶ ἀνθρώπους διδόναι τούτοις, ὅτε χρείαν ἔχουσι τοῦ δημοσίου, ἱκανοὺς εἰς τὴν τοιαύτην τῶν κακῶν ἀνθρώπων ἔρευναν, ὥστε τοὺς ἁλισκομένους καὶ εὑρισκομένους μετόχους τῆς εἰρημένης ἀσεβείας, πάσχοντας πρότερον, ὅσα τοῖς φιλευσεβέσι νόμοις δοκεῖ, τέλος καὶ τῶν

τῆς πόλεως ὁρίων ἀπελαύνεσθαι. ἵν' οὖν ἔχοιτε τὴν παρὰ θεοῦ βοήθειαν ἐπὶ πᾶσιν, οἷς αὐτῆς χρῄζετε, φάνητε φιλοῦντες θεὸν καὶ τὴν εἰς αὐτὸν εὐσέβειαν περὶ πλείστου ποιούμενοι, καὶ σπεύσατε εἰς τοῦτο τὸ εἰρημένον θεοφιλέστατον ἔργον καὶ κόπον, εἰ πρόκειται, ὑποστῆναι ὑμᾶς σωματικόν, ὥστε ἐξορίσαι τὴν λύμην τοῦ χριστιανικοῦ λαοῦ, ἵνα καὶ ἐν τῷ παρόντι αἰῶνι εὕρητε τὰς ἀμοιβὰς, καὶ ἐν τῷ μέλλοντι τῶν ἀγαθῶν ἐκείνων ἀπολαύσητε, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπήσασιν αὐτὸν ἐκ ψυχῆς καὶ τῶν ἐντολῶν αὐτοῦ ὑπεραγωνισαμένοις †.

LXXXVII. (6847—1339) iunio ind. VII.

Synodus constituit, excommunicato metropolitae Philipporum hyperpyra centum annua esse pendenda a duobus episcopatibus ecclesiae Philippopoleos, qui antistitibus carent.

† Καὶ ὁ τῆς ἡμετέρας φύσεως λόγος καὶ τὰ θεῖα παραγγέλματα ἐπικάμπτεσθαι ἡμᾶς ἀπαιτεῖ τοῖς κακῶς ἔχουσι καὶ φιλανθρώπως αὐτοῖς προσφέρεσθαι καὶ ἡμέρως καὶ ὡς οἷόν τε ἐστὶ τὸ πολὺ κουφίζειν τῶν συμφορῶν, ὅσῳ δὴ καὶ κοινὰ πᾶσιν ἡ φύσις προύθηκε τὰ δυστυχήματα. ταῦτ' ἄρα καὶ τῷ ποτε Φιλίππων, πρὸς τῇ ἀποβολῇ καὶ ἀποπέσει τοῦ θείου τῆς ἀρχιερωσύνης σεμνώματος καὶ τῆς ἀξίας πενίᾳ καὶ ἐνδείᾳ πιεζομένῳ τῶν χρειωδῶν, καὶ ἱκεσίαν πρὸς ἡμᾶς κεκινηκότι, ἐπαρκέσαι τὰ πρὸς ζωάρκειαν, οὓς εὐήκοον ὑπέσχομεν, καὶ προνοήσασθαι τούτῳ τὰ πρὸς τὸ ζῆν συντείνοντα τῶν εἰκότων εἶναι καὶ δικαίων κεκρίκαμεν· μέντοι γε καὶ διασκέψει καὶ γνώμῃ κοινῇ τῆς περὶ ἡμᾶς ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἐφέσου, τοῦ Κυζίκου . . . . . τάττομεν δίδοσθαι πρὸς αὐτὸν ὑπέρπυρα ἑκατὸν ἀπὸ τῶν εἰσοδημάτων τῶν ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν Φιλιππουπόλεως χηρευουσῶν ἐπισκοπῶν, τῆς Ἰωαννίτζης καὶ τοῦ Ὑπερπυρακίου, δίδοσθαι δὲ ταῦτα αὐτῷ ἐτησίως ἀνεγκρατήτως καὶ ἀνυστερήτως, ὅπερ καὶ ὀφείλει γίνεσθαι καὶ ἐνεργεῖσθαι, ὡς διεγνώσθη καὶ διετάχθη συνοδικῶς. ὀφείλει μέντοι καὶ ὁ χειροτονηθησόμενος εἰς τὴν τοιαύτην μητρόπολιν Φιλιππουπόλεως ἀρχιερεὺς στέρξαι τοῦτο, ὅσον διεγνώσθη συνοδικῶς, καὶ μηδόλως εἰς τὴν τῆς τοιαύτης ἐκκλησιαστικῆς καταστάσεως χωρῆσαι ἀθέτησιν. ἐπὶ τούτῳ γὰρ ἐγένετο καὶ ἐπεδόθη αὐτῷ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος. μηνὶ ἰουνίῳ ἰνδ. ζ' †.

LXXXVIII. (6847—1339) iulio ind. VII.

Joannes XIV. respondet metropolitae Russiae interroganti de metropolita mortuo miracula patrante.

† Ἱερώτατε μητροπολῖτα Ῥωσίας καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι, ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι· γραφὴν ἐδεξάμεθα τῆς ἱερότητός σου, διεξιοῦσαν ἅμα καὶ πληροφοροῦσαν περὶ τοῦ πρό σου ἀρχιερέως τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας, ὡς ἐδοξάσθη μετὰ θάνατον παρὰ θεοῦ καὶ γνήσιος αὐτοῦ θεράπων ἀνεδείχθη, ὡς καὶ θαύματα τελεῖσθαι μεγάλα παρ' αὐτοῦ καὶ παντοίας νόσους θεραπεύεσθαι. εὐφράνθημεν οὖν καὶ ἠγαλλιασάμεθα τῷ πνεύματι ἐπὶ τούτοις, καὶ τὴν ὀφειλομένην ἀνεπέμψαμεν τῷ θεῷ δοξολογίαν, ἐπεὶ δὲ καὶ παρ' ἡμῶν ἐζήτει μαθεῖν ἡ ἱερότης σου τὸ ποιητέον ἐπὶ τῷ τοιούτῳ ἁγίῳ λειψάνῳ, οἶδε δὲ αὕτη καὶ οὐκ ἀγνοεῖ, ὡς ἔχει τάξεως καὶ συνηθείας ἐν τοῖς τοιούτοις ἡ τοῦ θεοῦ ἐκκλησία, πληροφορίαν καὶ ἐπ' αὐτῷ λαβοῦσα βεβαίαν καὶ ἀναμφίλεκτον, τῷ τοιούτῳ τῆς ἐκκλησίας χρήσεται πάντως τύπῳ ἡ ἱερότης σου καὶ περὶ αὐτό, καὶ ὕμνοις καὶ ἱεραῖς τιμήσεις καὶ θεραπεύσεις δοξολογίαις τὸν τοῦ θεοῦ θεράποντα, καὶ τῷ ἑξῆς παραδώσεις χρόνῳ εἰς αἴνεσιν καὶ δόξαν τοῦ δοξάζοντος θεοῦ τοὺς αὐτὸν δοξάζοντας, οὗ ἡ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος. μηνὶ ἰουλίῳ ἰνδ. ζ' †.

LXXXIX. 6847—1339 iunio ind. VII.

Synodus dirimit controversiam ortam inter metropolitam Thessalonices et monasterium Acapnii.

† Διένεξις ἀνέκυφε μέσον τῶν τε ἐνασκουμένων μοναχῶν τῇ κατὰ τὴν Θεσσαλονίκην σεβασμίᾳ πατριαρχικῇ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ δεσπότου σωτῆρος Χριστοῦ καὶ ἐπικεκλημένου τοῦ Ἀκαπνίου, καὶ τοῦ μέρους τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης περὶ τοῦ ἐκεῖσε κλήρου τοῦ θείου ναοῦ τοῦ εἰς ὄνομα τῶν Ἀσωμάτων τετιμημένου, τοῦ μὲν τοπικοῦ ἀρχιερέως σφραγῖσι καὶ τιμαῖς ὀφφικίων καὶ περὶ αὐτὸν χρῆσθαι ἐθέλοντος, ναὶ μὴν καὶ εἰς οἰκονόμον ἀρτίως διὰ σφραγῖδος προβιβάσαντος ἐν αὐτῷ, ὃν δῆτα καὶ προεβίβασε, τῶν μοναχῶν δὲ ἀνθισταμένων καὶ ἐναντιουμένων αὐτῷ, ἅτε δὴ τῶν περὶ

τοῦ κλήρου τοῦδε προσόντων αὐτοῖς χρυσοβούλλων, τὸν ἀρχιμανδρίτην τῆς αὐτῆς σεβασμίας μονῆς καὶ ἐφορεύειν καὶ ἐπιλέγεσθαι τούτους διοριζομένων, οὐκ ἀπὸ τῶν τῆς μητροπόλεως κληρικῶν, οὐκ ἀπὸ τῶν τῆς παναγίας, οὐκ ἀπὸ τῶν τοῦ μεγαλομάρτυρος καὶ μυροβλύτου Δημητρίου, ἀλλ' ἀπὸ τῶν ἐν εὐκτηρίοις οἴκοις προσανεχόντων θεῷ, περὶ τοῦ Θεσσαλονίκης μηδέν τι μηδαμῶς μεμνημένων. ἐπεὶ οὖν ἀρχὴν ἔσχεν ἐντεῦθεν αὐτοῖς τὰ τῆς διενέξεως καὶ λύσιν οὐδαμῶς ἐλάμβανεν, ἐξαποστέλλουσιν εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον οἱ μοναχοὶ τὸν ἀπὸ τῆς αὐτῆς σεβασμίας μονῆς ἱερομόναχον κῦρ Μαλαχίαν, ἐπιθέμενοι τούτῳ τὰ προσόντα περὶ τῆς ὑποθέσεως ταύτης αὐτοῖς δικαιώματα, ἐφ' ᾧ τὰ κατ' αὐτὴν ἀνενέγκαι καὶ τὸ ποιητέον ζητῆσαί τε καὶ μαθεῖν. ἀφιγμένου οὖν ἐπ' αὐτῷ τούτῳ καὶ τοῦ ἱερομονάχου κῦρ Διονυσίου, προτροπῇ καὶ ἀναθέσει τοῦ ἱερωτάτου ἀρχιερέως Θεσσαλονίκης, ἐπέτρεψε συνοδικῶς ἡ μετριότης ἡμῶν ἑκατέρῳ εἰπεῖν καὶ διηγήσασθαι, ὅσον εἰπεῖν ἔχει, καὶ δὴ τὰς πρὸς ἡμᾶς γραφὰς τοῦ Θεσσαλονίκης ὁ αὐτὸς ἱερομόναχος κῦρ Διονύσιος ἐμφανίσας, αἳ δὴ γραφαὶ διεξιοῦσαι ἦσαν εἰς πρᾶξιν αὐτὸν ἑδρασθῆναι συνοδικὴν καὶ τὴν τοῦ οἰκονόμου σφραγῖδα, προεκόμισεν ἔπειτα καὶ τὴν συνοδικὴν πρᾶξιν, ἥτις καὶ ἐν ἐπηκόῳ ἀναγνωσθεῖσα περὶ μὲν τῶν, ὧν διωρίζετο τὰ χρυσόβουλλα, μνείαν ἐποιεῖτο οὐδ' ἡντιναοῦν, οἷα μηδὲ ἐμφανισθέντων τηνικαῦτα τυχὸν, τὸν Ἀκαπνίου δὲ ἀπεῖργε χειροτονίας μὴ ποιεῖν ἐν τῷ τοιούτῳ κλήρῳ βαθμῶν. καλῶς τοῦτο πάντως καὶ κανονικῶς τῆς συνόδου διορισαμένης, ἅτε δὴ τοῦ τοιούτου χρήματος τῶν χειροτονιῶν ἀρχιερεῦσι προσήκοντος, ἐπὶ τούτοις προέτεινε μὲν καὶ ὁ τῆς τοῦ Ἀκαπνίου μεταγενεστέραν πατριαρχικὴν γραφὴν, ἐνδιδοῦσαν τῷ ταύτης ἀρχιμανδρίτῃ, ὥστε εἰς οἰκονόμον καθιστᾶν, ὃν ἂν ἐπιλέξηται, καὶ κληρικοὺς ἐγκαταλέγειν τῷ κλήρῳ τῷδε δι' οἰκείων γραμμάτων, προέτεινε δὲ καὶ τὰ χρυσόβουλλα καὶ πρόσταγμα σεπτὸν ἐπ' αὐτοῖς τοῦ ἀοιδίμου καὶ μακαρίτου βασιλέως, τοῦ πάππου τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καὶ ἕτερον σεπτὸν πρόσταγμα ἀρτίως ἀπολυθὲν παρ' αὐτοῦ δὴ τοῦ ἐκ θεοῦ βασιλέως, ὁμοῦ καὶ τὴν τοῦ κλήρου ἐπιλογὴν καὶ ἐφορείαν καὶ τὴν ἐπιτήρησιν τοῦ τοιούτου θείου ναοῦ τῷ κατὰ καιροὺς τῆς τοῦ Ἀκαπνίου προεδρεύοντι ἐνετίθει καὶ ἐνεχείριζε, τούς τε φθάσαντας ἐνταγῆναι τούτῳ διπλοκλήρους παρέστελλε, καὶ τὸν Θεσσαλονίκης ἀπέτρεπεν

ἐκεῖθεν. ἀμέλει καὶ συνδιασκεψαμένη τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἐφέσου, τῷ Πισιδίας, τῷ Μαδύτων, τῷ Μηθύμνης καὶ τῷ Χίου, διέγνω καὶ ἀπεφήνατο, προσῆκον εἶναι καὶ δίκαιον, ἐκεῖνα καὶ εἰς τὸν ἑξῆς πάντα χρόνον ἐπὶ τῷ τοιούτῳ κλήρῳ κρατεῖν καὶ ἐνεργεῖσθαι, ὅσα τὰ περὶ αὐτοῦ χρυσόβουλλα ὑπετύπωσεν, ἔτι τε καὶ ὅσα τὰ ἐπ' αὐτοῖς σεπτὰ προστάγματα, ὥστε τὸν τῆς τοῦ Ἀκαπνίου καὶ τὴν ἐφορείαν καὶ ἐπιλογὴν ἔχειν αὐτοῦ, καὶ πάντα ἐπ' αὐτῷ ποιεῖν, ὅσα διὰ τῶν αὐτῶν δικαιοῦται δικαιωμάτων, μέντοι γε καὶ ἐφορεύων ἔσται καὶ ἐπιλεγόμενος τοὺς τοιούτους κληρικοὺς καὶ γράμμασιν οἰκείοις τούτους ἐγκαθιστῶν ὡς τὸ πρότερον, τήν τε τῶν ἱερῶν σκευῶν φυλακὴν καὶ τὴν τοῦ οἰκονομείου ὑπηρεσίαν τὸν αὐτὸν τρόπον ἐπιτρέπων καὶ ἀνατιθείς, ὃν ἂν ἱκανὸν ἐξ αὐτῶν ἐπὶ τούτοις καὶ ἁρμόδιον διακρίνῃ κατὰ τὴν προτέραν συνήθειαν καὶ καθ' ὅπερ ἀρχῆθεν ἔσχε προνόμιον, φυλάττεσθαι τούτου ὀφείλοντος καὶ τὸ ἀπαράτρωτον ἔχειν ἐπὶ πᾶσι τοῖς κατὰ καιροὺς τὴν αὐτῆς προστασίαν διαδεξομένοις, πλὴν οὐχ ἕξει τις αὐτῶν ἐπ' ἀδείας, σφραγῖδα οἱουδήτινος ὀφφικίου ποιήσασθαι, οὔτε μὴν ἐναρίθμιόν τινα τῷ τοιούτῳ κλήρῳ ποιῆσαι διπλόκληρον, ἀπαγορεύομεν γὰρ τούτοις ἅπασι καὶ ἡμεῖς ὁμοίως τῇ προλαβούσῃ συνόδῳ, καὶ οὐδαμῶς ἐκχωροῦμεν, οὐδὲ ἄδειαν δίδομεν, σφραγῖδας τελεῖν καὶ χειροτονίας ὀφφικίων, ἐπεὶ ταῦτα, ὡς εἴρηται, ἀρχιερεῦσι προσήκουσι. περὶ μέντοι τῶν κατὰ τὸ παρὸν εὑρισκομένων διπλοκλήρων, εἰ καὶ κατὰ τὴν τῶν εἰρημένων τῆς τοιαύτης μονῆς δικαιωμάτων περίληψιν παρασταλῆναι αὐτοὺς ἔδει, ἀλλ' οὖν διακρίσει τὸ πρᾶγμα δοῦσα ἡ μετριότης ἡμῶν συνοδικῶς τούτους μὲν εἴασε διὰ βίου εἶναι καὶ εὑρίσκεσθαι ἐν αὐτῷ, τοῦ λοιποῦ δὲ καὶ εἰς τὸ ἔμπροσθεν οὐκ ὀφείλει ὁ τῆς τοῦ Ἀκαπνίου διπλόκληρον ὅλως εἰς τὸν τοιοῦτον παραδέξασθαι κλῆρον, ἀλλ' εἰ καὶ παραδέξεται ὁπωσδήποτε, αὐτόθεν ἡ πρᾶξις αὕτη εὐθὺς τὴν κατάλυσιν ἕξει, ἥκιστα γὰρ εἰκὸς καὶ δίκαιον ἡμῖν κέκριται, ἄλλο τι παρά τινος εἰς τὸν τοιοῦτον κλῆρον πραχθῆναι, παρ' ὃ τά τε χρυσόβουλλα καὶ τὰ σεπτὰ προστάγματα διορίζονται, ὀφείλοντος καὶ τοῦ νῦν ἱερωτάτου ἀρχιερέως Θεσσαλονίκης καὶ τῶν μετ' αὐτὸν στέργειν καὶ ἐμμένειν εἰς ὅσον ταῦτα διέξεισι, ἵν' οὕτω καὶ ἀσύγχυτος ἡ τάξις αὕτη διατελῇ εἰς αἰῶνα τὸν ἅπαντα. τῆς γὰρ περὶ τούτου χάριν ἀσφαλείας ἐγένετο καὶ ἐπεδόθη τῇ πολλάκις διαληφθείσῃ τοῦ Ἀκαπνίου σεβασμίᾳ πατριαρχικῇ μονῇ

καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος εἰς διαιωνίζουσαν τὴν ἀσφάλειαν, μηνὶ ἰουνίῳ ἰνδ. ζ' †.

XC. (6848—1340) februario ind. VIII.

Synodus dirimit controversiam.

† Οἱ ἐνασκούμενοι μοναχοὶ τῇ σεβασμίᾳ μονῇ τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένῃ τοῦ Πλυναρίου διένεξιν ἔχοντες μετὰ τοῦ Καλοστρατιώτου περὶ τοῦ ἀνήκοντος αὐτοῖς ἐμφυτεύματος, ἀφ' ὧν οὗτος ἀνήγειρεν οἰκημάτων ἐν τῇ περιοχῇ καὶ τοῖς δικαίοις τῆς αὐτῆς σεβασμίας μονῆς, ζητήσας ἐπὶ τούτῳ καὶ λαβὼν παρ' αὐτῶν τὸ τοιοῦτο τόπιον, ἐκίνησαν τὰ περὶ τούτου ἐπὶ τῆς καθ' ἡμᾶς ἱερᾶς καὶ θείας συνόδου, καὶ δὴ τῶν μερῶν ἀμφοτέρων τῷ δικαστηρίῳ παρεστώτων, ἐξετάσει δοθείσης τῆς κατ' αὐτοὺς τοιαύτης ὑποθέσεως, οἱ μὲν μοναχοὶ τὰ ἐπὶ τῇ περιοχῇ τῆς αὐτῆς μονῆς καὶ τοῖς ὁπουδήποτε διαφέρουσιν αὐτῇ κτήμασι προσόντα αὐτοῖς σεπτὰ χρυσόβουλλα προκομίσαντες, ἃ δὴ χρυσόβουλλα τὸ ἀπαρεγχείρητον καὶ ἀπαραποίητον, ἀναφαίρετόν τε καὶ ἀναπόσπαστον περιποιοῦνται αὐτοῖς εἰς ταῦτα, ἐζήτουν κατ' αὐτὰ, ὡς καὶ ἐπὶ τῷ τοιούτῳ τοπίῳ δικαιούμενοι τὸ τεταγμένον ἐμφύτευμα, ὁ Καλοστρατιώτης δὲ καὶ αὐτὸς τὸ παρ' ἑαυτῷ σεπτὸν χρυσόβουλλον τοῦ ἀοιδίμου καὶ μακαρίτου βασιλέως τοῦ πάππου τοῦ ἐκ θεοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἐμφανίσας, δικαιοῦσθαι δι' αὐτοῦ διετείνετο, ὥστε μηδέν τι πρὸς αὐτοὺς διδόναι. ἀναγνωσθέντος μέντοι τοῦδε τοῦ σεπτοῦ χρυσοβούλλου ἐν ἐπηκόῳ, καὶ διαλαμβάνοντος διὰ χρέους τοῦ Καλοστρατιώτου δημοσιακὸν κρατηθῆναι καὶ πραθῆναι τὰ οἰκήματα αὐτοῦ ταῦτα τῷ δρουγγαρίῳ....., ἅμα δὲ καὶ διοριζομένου, μὴ ὑποκεῖσθαι αὐτὰ δημοσιακῷ τέλει ἢ ἑτέρῳ οἱῳδήτινι, ἐπειδὴ ἀνεφάνη ἐντεῦθεν ἀριδήλως, ὡς δι' αἰτίαν αὐτοῦ ἐκρατήθησαν καὶ ἐπράθησαν τὰ τῆς ἀνακτίσεως αὐτοῦ πάντως καὶ βελτιώσεως, φθάσας δὲ ὅμως ἐξωνήσατο παρὰ τοῦ δρουγγαρίου, καὶ κατέχει καὶ νέμεται πάλιν αὐτὰ, διὰ τοῦτο καὶ ὅτι οὐδὲ διαμνημονεύει τὸ αὐτὸ σεπτὸν χρυσόβουλλον τῆς τοιαύτης μονῆς, οὐδὲ ἀποπέμπεται ὅλως αὐτὴν ῥητῶς ἀπὸ τοῦ τοιούτου τοπίου, ὡς μὴ ἀνενεχθέντος τοῦ πράγματος, ὡς εἰς ἀλήθειαν εἶχεν, ἑτέρων καὶ αὐτῇ προσόντων χρυσοβούλλων καὶ μὴ ἀναιρουμένων διὰ τοῦ ἐμφανιζομένου παρὰ

τοῦ Καλοστρατιώτου, διασκέψει συνοδικῇ δοῦσα τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν, ἔκρινε διά τε τὰς εἰρημένας αἰτίας, καὶ ἅμα διὰ τὸ καὶ τοὺς φιλευσεβεῖς νόμους οὕτωσὶ περὶ τῶν τοιούτων διαγορεύειν· „δεῖ τοὺς οἰκονόμους τῶν ἐκκλησιῶν ἀδεῶς ἐκδικεῖν τὰ περιελθόντα εἰς τὴν βασιλείαν ἐξ εὐαγῶν οἴκων ἀκίνητα καὶ ἀμείψεως τρόπον, ἐὰν πρὸς ἕτερον μετέλθωσι πρόσωπον, καὶ πάλιν ὁ κατὰ δωρεὰν λαβὼν ἀκίνητον ἐκκλησιαστικὸν, πρὸς τῷ μὴ ἀπολαῦσαι τοῦ δωρηθέντος, καὶ ἕτερον παραπλήσιον ἀποδώσει“ μηδὲν εἶναι κώλυμα καὶ ἐμπόδιον τοῖς μοναχοῖς, ἀναζητεῖν τὸ τοιοῦτον αὐτῶν δίκαιον· μέντοι γε καὶ ἐδικαίωσε γνώμῃ κοινῇ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Θεσσαλονίκης, τοῦ Πισιδίας, τοῦ Δυρραχίου, τοῦ Διδυμοτείχου, τοῦ Μαδύτων, τοῦ Αἴνου, τοῦ Χερσῶνος καὶ τοῦ Βάρνης, ἔτι δὲ καὶ τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, καθολικοῦ κριτοῦ, κῦρ Νικολάου τοῦ Ματαράγγου, συμπαρόντος τῇ συνόδῳ καὶ συνδικάζοντος ἡμῖν τὰ τῆς ὑποθέσεως, ὡς ἂν διδῶται τῇ αὐτῇ σεβασμίᾳ μονῇ τοῦ Πλυναρίου παρὰ τοῦ Καλοστρατιώτου τὸ ὑπὲρ τῶν τοιούτων οἰκημάτων αὐτοῦ ἀνῆκον ταύτῃ ἐμφύτευμα, ὡς ἐτάχθη τὸ ἀπ' ἀρχῆς καὶ συνεφωνήθη, ὀφείλοντος ἀποδιδόναι τοῦτο κατὰ τὸ ἀνυστέρητον, ἐπειδὴ οὐδὲ παρέσχον αἰτίαν οἱ μοναχοί τινα τῇ πρὸς τὸν δρουγγάριον πράσει τῶνδε τῶν αὐτοῦ οἰκημάτων, ὥστε καὶ ζημίαν ὑποσχεῖν αὐτοὺς ἐντεῦθεν, ἀλλ' αὐτὸς ἑαυτῷ γέγονεν αἴτιος εἰς τοῦτο· „τὰ παρ' ἑτέρων δὲ γινόμενα ἑτέρους οὐ καταβλάπτουσιν“ οἱ αὐτοὶ καὶ ταῦτα νόμοι φασὶν, οὐ μὴν ἀλλ' ὅτε καὶ μὴ εἶχεν οὕτω περιλήψεως τὸ αὐτὸ σεπτὸν χρυσόβουλλον, ὡς παρυποκλαπῆναι δοκεῖν τῶν βασιλικῶν ἀκοῶν, ἀλλὰ ῥητῶς ἀπεστέρει καὶ τὴν μονὴν τοῦ τοιούτου αὐτῆς τοπίου, ἐπειδὴ τοῦτο ὑπ' αἰτίῳ τῷ Καλοστρατιώτῃ συμβῆναι ἔμελλεν, οὐδ' οὕτως ἰσχυρογνωμονεῖν αὐτὸν ἔδει καὶ ἀγνώμονος προφανῶς ἔργον ἐνδείκνυσθαι, ὡς ἀποστερῆσαι ταύτην τοῦ ἐμφυτεύματος ἐπὶ κρίματι τῆς οἰκείας ψυχῆς· κἂν μὲν οὖν ἀποδιδῷ τοῦτο, εὖ ἂν ἔχοι, εἰ δὲ μὴ, ἐξέσται τοῖς μοναχοῖς ἀποπέμψασθαι αὐτὸν ἐκεῖθεν τὰς ὕλας λαβόντα τῶν τοιούτων αὐτοῦ οἰκοδομιῶν. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἐπεδόθη αὐτοῖς καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος, μηνὶ φεβρουαρίῳ ἰνδ. η' †.

XCI. (6848—1340) maio ind. VIII.

Synodus concedit cuidam clerico facultatem promotionis.

† Παρέστη τῇ ἡμῶν μετριότητι κροκαθημένῃ συνοδικῶς ὁ ἀπὸ τοῦ κλήρου τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης, Δημήτριος ὁ Ἐσκαμματισμένος, καὶ ἀνέφερεν, ὡς ἀπορφανισθεὶς πατρόθεν καὶ μητρόθεν ἦν ὑπείκων καὶ ὑποτασσόμενος τοῖς πρώτοις αὐταδέλφοις αὐτοῦ, τῷ Νικολάῳ καὶ τῷ Θεοδώρῳ, οἵτινες δὴ καὶ συνέθεντο καὶ συνεβιβάσθησαν διὰ μόνης φιλῆς συμφωνίας πρὸ χρόνων μετὰ τοῦ Φόρτου Μιχαὴλ, ἐφ' ᾧ λαβεῖν τὴν τοῦ ἀνεψιοῦ αὐτοῦ θυγατέρα τὴν Ξένην νύμφην ἐπὶ τούτῳ δὴ τῷ Δημητρίῳ· γενομένης μέντοι τῆς τοιαύτης αὐτῶν συμφωνίας, ἐπείπερ εἶδεν οὗτος τὴν κόρην ἀφήλικα παντελῶς, ἐχώρησεν εὐθὺς εἰς ἀθέτησιν τῆς πράξεως ταύτης, ἥτις δὴ πρᾶξις λαληθεῖσα καὶ ἐπὶ τῆς ἐκεῖσε ἁγιωτάτης ἐκκλησίας τὸ ἄκυρον ἔσχε κατὰ τὴν ἐπὶ τοῖς τοιούτοις διαταγὴν τῶν φιλευσεβῶν νόμων, ὡς τῆς κόρης μήπω τὸν ἔννομον πρὸς γάμον φθασάσης χρόνον. ἔπειτα ἠγάγετο ἑαυτῷ γυναῖκα νομίμως, καὶ ζητήσαντος ἱερωθῆναι, ἐπειδὴ ἐλαλήθη τὰ τῆς εἰρημένης ἐπὶ τῇ τοῦ Φόρτου συμβιβάσεως, γέγονε περὶ τούτου ἐξέτασις παρὰ ἐκκλησιαστικῶν προτροπῇ καὶ ἀναθέσει τοῦ ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης, ὑπερτίμου καὶ ἐξάρχου πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῦ, παρ' ὧν δὴ καὶ ἐρωτηθεῖσαι ἥ τε μήτηρ καὶ ἡ μάμμη, ἔτι δὲ καὶ ὁ αὐτάδελφος τοῦ εἰρημένου Φόρτου ὁ δρουγγάριος καὶ ἡ αὐτοῦ σύζυγος, εἶπον καὶ διεβεβαιώσαντο ὑπὸ βάρει ἀφορισμοῦ, ὡς χρόνων ἦν τὸ κόριον τότε πέντε καὶ πρὸς, ὅτε μεταξὺ αὐτοῦ τε καὶ τοῦ Ἐσκαμματισμένου τὰ ψιλὰ γέγονε σύμφωνα. ταῦτα ὁ δηλωθεὶς Ἐσκαμματισμένος ἀνενέγκας προέτεινεν ἐπὶ τοῦ μέσου καὶ γράμμα τῶν ποιησαμένων τὴν ἐρώτησιν ἐκκλησιαστικῶν, τοῦ πρωτονοταρίου δηλονότι καὶ τοῦ λογοθέτου, ὑπογραφῇ τῇ αὐτῶν πεπιστωμένον, πρὸς δὲ καὶ τοῦ ἱερομονάχου Γρηγορίου, συνῳδὰ τοῖς παρ' αὐτοῦ ῥηθεῖσι διεξιὸν, καὶ ἐζήτησεν ἡμετέρας τυχεῖν εἰς τοῦτο καὶ συνοδικῆς διαγνώσεως. συνεδριάζοντος τοίνυν τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ καὶ τοῦ αὐτοῦ ἱερωτάτου ἀρχιερέως Θεσσαλονίκης καὶ εἰπόντος καὶ αὐτοῦ καὶ πληροφορήσαντος, οὕτως ἔχειν τὸ ἀληθὲς, διέγνωσται τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Σάρ-

δεων, τῷ Σμύρνης, τῷ Λακεδαιμονίας, τῷ Αἴνου, τῷ Βάρνης καὶ τῷ Κῶ, μηδέν τι κώλυμα εἶναι, μηδὲ ἐμπόδιον τῷ Ἐσκαμματισμένῳ τῷδε εἰς ἱερωσύνην προβιβασθῆναι, ὅσον τὸ ἀπὸ τῆς τοιαύτης φιλῆς συμφωνίας· ἐπεὶ γὰρ ἡ μὲν πρεσβυτέρα νομοθεσία μετὰ τὸν ἑπταετῆ καθίστη χρόνον μνηστεύεσθαι, αἱ νεαραὶ δὲ τοῦ κῦρ Λέοντος τοῦ σοφοῦ καὶ τοῦ κῦρ Ἀλεξίου τῶν βασιλέων, ἐκείνας εἶναι καὶ κρατεῖν καὶ ἐμπολιτεύεσθαι τῇ τῶν Χριστιανῶν καταστάσει μνηστείας θεσπίζουσι, τὰς εἰς τὸν δωδέκατον δηλαδὴ χρόνον καὶ μετ' αὐτὸν καὶ μεθ' ἱερῶν εὐχῶν συντελουμένας, ἀμφοτέρων δὲ τουτωνὶ τῶν μνηστειῶν ἠλλοτρίωται τὸ τοῦ Ἐσκαμματισμένου, εἰκότως τὸ ἀκώλυτον ἕξει, ἱερατικοῦ ἀξιωθῆναι βαθμοῦ. ἐπὶ τούτῳ γὰρ ἐπιδέδοται αὐτῷ εἰς ἀσφάλειαν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος, μηνὶ ματΐῳ ἰνδ. η' †.

XCII. Sine anno.

Joannes XIV. monet Nicaenos, ut perseverent in fide christiana.

† Οἱ κατὰ Νίκαιαν εὑρισκόμενοι κληρικοί, ἱερωμένοι, μοναχοὶ καὶ ὁ λοιπὸς ἅπας χριστιανικὸς λαός, ἐν κυρίῳ ἀγαπητὰ τέκνα τῆς ἡμῶν μετριότητος· τὴν ἀπὸ θεοῦ εἰρήνην καὶ τὸ ἔλεος, ἀπαλλαγήν τε τῶν ἀνιαρῶν καὶ πᾶν ἄλλο ἀγαθὸν καὶ σωτήριον ἐπευχόμεθα πᾶσιν ὑμῖν ἐκ θεοῦ παντοκράτορος· ἡμεῖς ὅσον καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν ἄλλων ἁπάντων τῶν ἐν τοῖς βαρβάροις χριστιανῶν ὑπεραλγοῦμεν καὶ ὀδυνώμεθα, οὐδὲ εἰπεῖν ἔχομεν, πληροφορήθητε, ὅθεν οὐδὲ διαλιμπάνομεν καὶ νυκτὸς καὶ ἡμέρας ἱκετεύοντες καὶ παρακαλοῦντες τὸν θεόν, ἵνα τὴν διὰ πλῆθος ἁμαρτιῶν ἐπενεχθεῖσαν τῷ γένει ἡμῶν καταιγίδα εἰς αἰθρίαν μεταποιήσῃ καὶ ἀποστρέψῃ τὰ κακὰ τοῖς ἐχθροῖς, ὅπερ καὶ θαρροῦμεν, ὡς οὐ μὴ ἀπομείνῃ ἐπὶ πολύ, ἵνα οὐδὲν δώσει ὁ τῶν οἰκτιρμῶν κύριος τέλος χρηστὸν ταῖς ὑπὲρ ἡμῶν ἱκεσίαις, μόνον σπουδάζετε καὶ ὑμεῖς θεραπεύειν τὸν θεὸν διὰ τῶν καλῶν ὑμῶν ἔργων καὶ τῆς θεοφιλοῦς ἀναστροφῆς, εἰ γὰρ καὶ κυριεύουσιν ὑμῶν οἱ ἐχθροί, ἀλλὰ τῶν οἰκείων ψυχῶν καὶ τῆς γνώμης αὐτοὶ ἑαυτῶν ἐστὲ κύριοι, καὶ τῆς προαιρέσεως ὑμῶν ἐστι, φυλάξαι τὸ καλὸν καὶ μὴ φυλάξαι· πλὴν ὡς ἐμάθομεν παρὰ τοῦ κριτοῦ, συντηρεῖσθε καὶ φυλάσσετε τὰ τῆς χριστιανικῆς ὑμῶν καταστάσεως, εἰς ὃ καὶ ἀσαλεύτους

καὶ παγίους μένειν εὐχόμεθα, ἵνα καὶ τῶν ἐπηγγελμένων ἐπιτύχητε ἀγαθῶν, ἃ ἡτοίμασε ὁ θεὸς τοῖς ἀγαπήσασιν αὐτὸν ἐκ ψυχῆς, καὶ τὰς σωτηρίους αὐτοῦ φυλάξασιν ἐντολὰς, οὗ ἡ χάρις διαφυλάξαι ὑμᾶς †.

XCIII. (6848—1340) maio ind. VIII.

Synodus statuit, ut monasterium patriarchale Hodegetriae in regione Didymotichi iterum sit coenobium virile.

† Ἐπειδὴ ἀνενέχθη εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον, ὡς τὸ περὶ τὸ Διδυμότειχον πατριαρχικὸν μοναστήριον τὸ εἰς ὄνομα τιμώμενον τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Ὁδηγητρίας ἀποκατέστη μὲν εὐθὺς τὴν ἀρχὴν ἀπ' αὐτῆς τῆς αὐτοῦ κτίσεως ἀνδρῶον, καὶ διέμεινεν ἐπὶ τοῦ σχήματος τοῦδε καὶ τῆς καταστάσεως ἐπὶ χρόνοις, ὅσοις δὴ καὶ διέμεινε, παρὰ τοῦ καθηγουμένου καὶ τῶν ἐν αὐτῷ μοναχῶν διοικούμενον καὶ διεξαγόμενον, ἔπειτα κατελείφθη παρὰ τῶν μοναχῶν, καὶ κατῴκησαν αὐτὸ μονάστριαι, ἐπὶ τοσοῦτον δὲ ἦλθεν ἀπορίας ἐντεῦθεν, ὡς καὶ παντελῆ ἐρήμωσιν κινδυνεύειν ὑποστῆναι, καὶ διὰ ταῦτα ἐζήτησεν ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι....., ὡς τὸ κτητορικὸν ἐπ' αὐτῷ δίκαιον κεκτημένος, εἴ γε δίκαιον, εἰς τὴν ἀρχῆθεν ἐπανελθεῖν τοῦτο κατάστασιν, καὶ μονάζοντας πάλιν ἔχειν οἰκήτορας, διὰ τὸ καὶ τὰς πλείους τῶν μοναζουσῶν αὐτοῦ μετοίκους γεγονέναι ἐκεῖθεν ἐφ' ἕτερα γυναικεῖα μοναστήρια, δι' ἣν εἴρηται αἰτίαν. συνδιασκεψαμένη τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Κυζίκου, τῷ Σάρδεων, τῷ Σμύρνης, τῷ Λακεδαιμονίας, τῷ Αἴνου, τῷ Μαδύτων, τῷ Μηθύμνης, τῷ Ρωσίου καὶ τῷ Κῶ, διέκρινε προσῆκον εἶναι καὶ δίκαιον, ἐπανασωθῆναι τῷ τοιούτῳ πατριαρχικῷ μοναστηρίῳ τὰ τῆς ἀρχαίας αὐτοῦ καταστάσεως, καὶ παρὰ μοναχῶν ἀνδρῶν οἰκεῖσθαι τοῦτο καὶ διοικεῖσθαι καὶ διεξάγεσθαι, καθὼς ἀποκατέστη καὶ τὴν ἀρχὴν, ἐπεὶ καὶ ἀπηγόρευτο τῇ ἐκκλησίᾳ θεοῦ, τὰς σεβασμίους μονὰς μεταβολὴν ὅλως δέχεσθαι τῆς πρώτης αὐτῶν καταστάσεως, καὶ εἰς γυναικείας μὲν τὰς ἀνδρῴας, τὰς δὲ τῶν γυναικῶν εἰς ἀνδρῴας μεταποιεῖσθαι. καὶ γοῦν ὀφείλει πραχθῆναι τὰ περὶ τούτου κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διάγνωσιν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος γεγονὸς εἰς ἀσφάλειαν ἐπιδέδοται, μηνὶ μαΐῳ ἰνδ. η' †.

XCIV. Sine anno.

Joannes XIV. monet metropolitam et clerum Trapezuntis, ne amplius imperatoris Comneni adulterio conniveant.

† Ἱερώτατε μητροπολῖτα Τραπεζοῦντος καὶ ὑπέρτιμε, ἀγαπητὲ κατὰ κύριον ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. οἶδας, ὅτι εὑρισκομένου σου ἐνταῦθα ἐλαλήθη περὶ τοῦ περιποθήτου γαμβροῦ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, αὐθέντου τῆς Τραπεζοῦντος, τοῦ μεγάλου Κομνηνοῦ, ὅτι οὐδὲν διάκειται καλῶς, οὐδὲ σχετικῶς πρὸς τὴν περιπόθητον θυγατέρα τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τὴν γυναῖκα αὐτοῦ, τὴν μεγάλην Κομνηνήν, οὐδὲ στέργει αὐτὴν, καθὼς ὀφείλει ὡς γυναῖκα αὐτοῦ, μηδεμίαν διδοῦσαν αἰτίαν, τῇ τοῦ θεοῦ χάριτι, ἀλλὰ περιφρονεῖ καὶ πικραίνει ἐπὶ τοσοῦτον αὐτὴν, ὥστε ὑπόνοιαν εἶναι, μήπως προϊόντος τοῦ χρόνου ἀθετήσῃ αὐτὴν, καὶ ὡς εἴπομεν καὶ ἐδείξαμεν ταῦτα, ἅπερ ἐγνωρίσαμεν, πρὸς τὴν σὴν ἱερότητα, ἔτι δὲ καὶ τοὺς μετά σου ἐλθόντας ἐνταῦθα κληρικούς σου, τοσοῦτον διεβεβαιώσασθε, μὴ εἶναι ἀληθῆ, ὥστε πάντα τρόπον ἐποιήσατε πληροφορῆσαι τὰς ἡμετέρας καρδίας, καὶ δέδασθαι, ὅτι οὐδὲν ἔχουσιν οὕτως, ὡς ἐγνωρίσαμεν, τὰ εἰρημένα. νῦν δὲ ἐμάθομεν τρανώτερον, ὅτι τοσοῦτον ἀπέστερξε καὶ ἀπώσατο ὁ περιπόθητος γαμβρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ὁ μέγας Κομνηνὸς αὐτὴν τὴν περιπόθητον θυγατέρα τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τὴν γυναῖκα αὐτοῦ, ὥστε καὶ ἔλαβεν ἄλλην μοιχαλίδα, καὶ συνοικεῖ ταύτῃ, ὡς δῆθεν νομίμῳ. πόσον οὖν ἕνι τοῦτο ἄτοπον καὶ ὀλέθριον καὶ ἀπηγορευμένον καὶ οὐ μόνον εἰς ψυχικὴν ἀπώλειαν ἀφορῶν αὐτοῦ τοῦ μεγάλου Κομνηνοῦ, ἀλλὰ καὶ ἄτιμον καὶ ἐπιβλαβὲς καὶ κατὰ τὴν σωματικὴν αὐτοῦ κατάστασιν καὶ ἀρχὴν, ἔχετε καὶ ὑμεῖς διακρῖναι, καὶ οὐδὲν ἕνι χρεία λόγων πολλῶν, ὥστε παραστῆσαι τοῦτο πρὸς ὑμᾶς· θαυμάζομεν δὲ εἰς τὴν ἱερότητά σου καὶ τοὺς αὐτόθι ἄλλους ἀρχιερεῖς καὶ τοὺς πνευματικοὺς καὶ ἱερωμένους ἄνδρας, πῶς ἠνέσχεσθε μέχρι τοῦ νῦν τῆς ἐνεργηθείσης τοιαύτης ἀτοπίας, καὶ οὐδὲν ἀνελάβεσθε ζῆλον θεῖον τὸν προσήκοντα, καὶ ἐνέστητε καὶ ἠλέγξατε τὴν παρανομίαν καὶ τὴν τοσαύτην ἀναισχυντίαν, ἥτις ἐτολμήθη ἐπὶ καταλύσει τῶν θείων θεσμῶν καὶ κανόνων καὶ ἐπὶ βλάβῃ τοῦ αὐτόθι χριστια-

νικοῦ λαοῦ, ὥστε, εἰ δέοι, καὶ ὑπὲρ τούτου ἀποθανεῖν· πάντως γὰρ οἴδατε, ὅπως ἔχουσι τὴν τοιαύτην ἄτοπον πρᾶξιν οἱ αὐτοὶ θεῖοι καὶ ἱεροὶ κανόνες, καὶ ὅπως τοὺς μοιχαλίσι συνοικοῦντας ἀκοινωνήτους ἔχουσι, καὶ τῆς τῶν πιστῶν ὁμηγύρεως ἀλλοτρίους ποιοῦνται παντάπασιν. ἔδει οὖν, ἵνα συναχθῆτε πάντες καὶ λαλήσητε μετὰ ζήλου καὶ σπουδάσητε πᾶσι τρόποις καὶ πάσαις μηχαναῖς, καταλῦσαι τὴν τοιαύτην ἄτοπον καὶ ἐπάρατον πρᾶξιν καὶ ἀνομίαν, καὶ γὰρ οὐδὲ θείαν λειτουργίαν, οὐδὲ ψαλμῳδίαν σχεδὸν ἔπρεπε τελεσθῆναι εἰς τὸν αὐτόθι τόπον, τοιαύτης ἀνομωτάτης πράξεως τελεσθείσης καὶ ἐνεργουμένης ἔτι. πληροφορήθητε, ὅτι μεγάλως ἐλυπήθημεν καὶ λυπούμεθα εἰς ὑμᾶς, ἡμεῖς γὰρ περὶ ἄλλων τινῶν τῶν ὡς ἠκούσαμεν ἐνεργουμένων καὶ λαλουμένων αὐτόθι, οἶδας ὅτι ἀνάθεσιν μεγάλην ἐποιησάμεθα πρός σε, ὥστε ἐπιμεληθῆναι ἀνακοπῆναι καὶ διορθωθῆναι αὐτὰ, καὶ ἐπεὶ εἰς τὸ μέγα τοῦτο ἀτόπημα τὸ θεομισέστατον, ὃ προδήλως ἀφορίζουσιν οἱ θεῖοι καὶ ἱεροὶ κανόνες, οὐδὲν ἐνεδείξω ζῆλον, οὐδὲ ἐλάλησας οὔτε σὺ, οὔτε οἱ ἄλλοι πνευματικοὶ ἄνδρες οἱ αὐτόθι καὶ οἱ τοῦ κλήρου, ποίαν ἐλπίδα ἵνα ἔχωμεν εἰς τὰ ἄλλα, ὅτε ὁ περιπόθητος γαμβρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ὁ μέγας Κομνηνὸς οὐδὲν ἐνθυμεῖται τοῦτο, ἢ καὶ ἐνθυμούμενος παραβλέπει καὶ παρατρέχει τοῦτο, τοῦ πάθους συνθολοῦντος τὸν λογισμὸν αὐτοῦ; ἀλλὰ ὑμεῖς πρέπει, ἵνα ἐνθυμηθῆτε, ὅτι ὅτε ἀνθρωπίνη οὐδὲν γέγνηται ἐκδίκησις, ἀνέξεσθαι μέλλει ὁ θεὸς τῆς τοσαύτης ἀδικίας καὶ παρανομίας, καὶ οὐκ ἀγανακτήσει μεγάλην ἀγανάκτησιν κατὰ τοῦ αὐτόθι τόπου; ἡ μετριότης οὖν ἡμῶν καὶ ἡ περὶ αὐτὴν θεία τῶν ἱερωτάτων ἀρχιερέων σύνοδος καὶ πᾶσα ἡ τοῦ θεοῦ ἐκκλησία φροντίζοντες μὲν, ὡς ἔχομεν χρέος, καὶ τῆς ψυχικῆς ὠφελείας αὐτοῦ τοῦ περιποθήτου γαμβροῦ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος τοῦ μεγάλου Κομνηνοῦ, φροντίζοντες δὲ καὶ τοῦ συμφέροντος τῷ αὐτόθι χριστιανικῷ λαῷ, ἐγράψαμεν ὅσα ἐγράψαμεν πρὸς αὐτὸν, παρεγγυώμενοι, ὡς καθολικοὶ πατέρες, ἀποστῆναι αὐτὸν τῆς ὀλεθρίου ταύτης καὶ παρανομωτάτης πράξεως, καὶ ἀπολῦσαι μὲν, μᾶλλον δὲ ἐξορίσαι μακρὰν ἀπὸ τῶν αὐτόθι τὴν θεοστυγῆ μοιχαλίδα, ἣν καὶ ὑπ' ἀφορισμὸν ἐποιησάμεθα κατὰ τὴν τῶν θείων καὶ ἱερῶν κανόνων ἀκολουθίαν, προσλαβέσθαι δὲ καὶ συνοικεῖν τῇ κατὰ τοὺς θείους νόμους γυναικὶ αὐτοῦ, τῇ περιποθήτῳ θυγατρὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, παρεγγυώμεθα

δὲ καὶ πρὸς ὑμᾶς, ἀναφωνοῦντες τὸ συμφέρον καὶ λυσιτελοῦν ὑμῖν ἐπὶ ἀρχιερατικῇ καὶ ἱερατικῇ ὑπηρεσίᾳ καὶ διακονίᾳ ὑμῶν, ὅτι, εἴπερ οὐδὲν γένηται, ὅσον γράφομεν, καὶ οὐδὲν σκοπήσητε, ἐπεὶ ἀφορισμὸς ἐγένετο κατὰ τῆς τοιαύτης ἀτοπίας καὶ παρανομίας, καὶ ἐπιμεληθῆτε ἐνδείξασθαι τὴν ἔνστασιν, ἣν ὀφείλετε ἐπὶ ἐκκοπῇ καὶ διορθώσει τοῦ πράγματος, ἀλλὰ κοινωνῆτε τοῖς ἀτόποις ἔργοις, ἀπαλλοτριωθήσεσθε καὶ ὑμεῖς τῆς ἐκκλησιαστικῆς κοινωνίας, ἅτε προελόμενοι οἰκειοθελῶς ἀποτεμεῖν ἑαυτοὺς τῆς ὁλομελείας τοῦ τῆς καθόλου ἐκκλησίας σώματος. ἀπέμεινεν οὖν εἰς ὑμᾶς, πῶς ἵνα ἐπιμεληθῆτε ἀπαλλάξαι τοῦ ψυχικοῦ ὀλεθρίου πτώματος καὶ τὸν περιπόθητον γαμβρὸν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τὸν μέγαν Κομνηνόν, καὶ ὑμᾶς αὐτοὺς τοῦ ἐπηρτημένου κινδύνου, καὶ τὸν αὐτόθι λαὸν τοῦ ἀπὸ τῆς εἰρημένης αἰτίας ὀλέθρου καὶ τῆς παρὰ τοῦ θεοῦ ἀγανακτήσεως, ὡς ἂν καὶ ἡ χάρις τοῦ θεοῦ εἴη μεθ' ὑμῶν †.

XCV. Sine anno.

Joannes XIV. iubet colligi scripta theologica damnati monachi Barlaam.

† Ἐπειδὴ ἀπηλέγχθη ὁ μοναχὸς Βαρλαὰμ ἐπὶ τῆς συγκροτηθείσης ἱερᾶς καὶ θείας συνόδου χάριν τῶν λαληθέντων παρ' αὐτοῦ κατὰ τῶν ἱερῶς ἡσυχαζόντων, βλάσφημα λαλῶν καὶ ἄντικρυς ἐναντία τοῖς θείοις τῶν πατέρων λόγοις, καὶ διὰ τοῦτο κρίνει ἀναγκαῖον ἡ μετριότης ἡμῶν, ἵνα περισυναχθῶσιν, ὁπουδήποτε εὑρίσκονται, συγγράμματα τούτου περὶ τῆς τοιαύτης ὑποθέσεως· ἀπολύουσα τὸ παρὸν γράμμα παρακελεύεται διὰ τούτου τοῖς τε ἐν ταῖς σεβασμίαις μοναῖς μοναχοῖς καὶ τοῖς οἰκήτορσι τῆς βασιλίδος ταύτης τῶν πόλεων, ἵνα, ὅστις ἔχει σύγγραμμά τι τοῦ τοιούτου μοναχοῦ περὶ τῆς τοιαύτης ἢ περὶ ἄλλης ἐκκλησιαστικῆς ὑποθέσεως, μηδὲν ἔχῃ τοῦτο παρ' ἑαυτῷ ἀπὸ τοῦ νῦν, ἀλλὰ ἐνέγκῃ τοῦτο εἰς τὴν ἡμῶν μετριότητα, ὅθεν καὶ οὐδεὶς ὀφείλει ἀπὸ τούτων συσχεῖν καὶ ἔχειν παρ' ἑαυτῷ τοιοῦτόν τι σύγγραμμα, εἴτε πολύ, εἴτε ὀλίγον τοῦ δηλωθέντος μοναχοῦ Βαρλαάμ, εἰδότες, ὡς ὁ μὴ φανερὸν ποιήσας καὶ ἐνεγκὼν, ὅπερ, ὡς εἴρηται, ὑπὸ ἀφορισμὸν ποιήσεται ἑαυτὸν, ὃν ἐκφωνεῖ ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος, ἀπολυθέντος εἰς ἀσφάλειαν τοῦ μὴ περιπεσεῖν τινα τῷ ἐκ τοῦ εἰρημένου βάρους κρίματι, αὐτὰ δὲ ταῦτα παρακελεύεται ἡ μετριότης

ἡμῶν καὶ πρὸς τοὺς οἰκήτορας τῶν ὁπουδήποτε λοιπῶν πόλεων, τούς τε μοναχοὺς καὶ τοὺς κοσμικούς, ἵνα καὶ αὐτοὶ, ὑφορώμενοι τὸ ἐκ τοῦ ἀφορισμοῦ κατάκριμα, ἐμφανίσωσι πρὸς τὸ μέρος τῶν ὁπουδήποτε ἐκκλησιῶν, εἴ τι ἔχει ἕκαστος σύγγραμμα τοῦ εἰρημένου μοναχοῦ, ὡς εἴρηται, ὥστε δημοσίᾳ ἀφανισθῆναι αὐτό †.

XCVI. (6849—1341) iulio ind. IX.

Synodus condemnat dogmata monachi Barlaam.

† Ἐπαινετὸς ἀληθῶς ὁ εἰπὼν, τὴν ταπείνωσιν ἀληθείας εἶναι ἐπίγνωσιν· αὕτη γὰρ καὶ τῶν οἰκείων μέτρων ἐστὶ κατάληψις, καὶ δι' αὐτῆς τήν τε πρὸς θεὸν εἰρήνην καὶ τὴν πρὸς τὸν πλησίον καρπούμεθα, δι' ἧς αὖθις καὶ τὴν ἐπὶ τοῦ παρόντος καὶ τὴν ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἀνάπαυσιν ποριζόμεθα, κατὰ τὴν θεσπεσίαν ἐκείνην καὶ προτρεπτικὴν εἰς τοῦτο τοῦ κυρίου φωνήν· „μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν," αὕτη πείθει τὸν κεκτημένον ἑαυτῷ μὲν προσέχειν καὶ θεῷ προσανέχειν, παντὸς δὲ κακοῦ τῷ τοῦ κυρίου φόβῳ κατὰ τὸν τοῦ σοφοῦ Σολομῶντος λόγον ἐκκλίνοντα, εὐλαβῶς περὶ τὰ ὑπὲρ ἑαυτὸν καὶ σωφρόνως ἔχειν, ὅρια πατέρων αἰώνια μὴ μεταίροντα καὶ τὰς ἐφ' ἑκάτερα παρατροπὰς, ὑπερβολὰς, φημὶ, καὶ ἐλλείψεις ἀποτρεπόμενον, τὴν βασιλικὴν ὁδεύειν καὶ μέσην καὶ πρὸς οὐρανοὺς καὶ θεὸν ἁπλανῶς καὶ ἀσφαλῶς φέρουσαν, ἀλλ' ὁ ἐκ Καλαβρίας ὁρμώμενος μοναχὸς Βαρλαὰμ, εἰς τὸ τῆς οἰήσεως πέλαγος ἐξ ἀφροσύνης πάντως καὶ ἰδιορυθμίας καθεὶς ἑαυτὸν, καὶ μέγα φρονῶν ἐπὶ τῇ τῆς θύραθεν ἐπιστήμῃ φιλοσοφίας κατὰ τῆς ὑπερφυοῦς καὶ ὄντως φιλοσοφίας ἐχώρησεν, ἐπιστρατεύσας τῇ διδασκαλίᾳ τοῦ πνεύματος, τὴν μηδὲ χωρεῖν ὅλως τὰ τοῦ πνεύματος δυναμένην ψυχικὴν καὶ ἀποδεδοκιμασμένην φιλοσοφίαν, τὸν μαθητιῶντα γὰρ οὗτος ὑποκριθεὶς προσῆλθέ ποτε σὺν δόλῳ τισὶ τῶν παρ' ἡμῖν μοναχῶν, οἱ τὸν ἡσύχιον προελόμενοι βίον, τοῖς ἄλλοις πᾶσι χαίρειν εἰπόντες, θεῷ προσανέχουσι, καὶ τούτων οὐδενὶ μὲν τῶν ἐλλογιμωτέρων, τοῖς ἁπλουστέροις δὲ μᾶλλον ἐφοίτησεν ἐξεπίτηδες, δέει πάντως τοῦ μὴ φωραθῆναι. μετὰ μικρὸν μέντοι καὶ αὐτῶν ἀποστὰς, ἀποτρόπαιον ἐγγράφως τούτων κατηγόρηκε φρόνημα, ὡς δῆθεν ὑπ' αὐτῶν πρεσβευόμε-

νον, ἀκούσας γὰρ ἐκείνων λεγόντων, ὡς ἀπὸ παραδόσεως ἐχόντων τῶν ἁγίων πατέρων, ὅτι οἱ διὰ τῶν ἐντολῶν τοῦ θεοῦ κεκαθαρμένοι τὰς καρδίας ἐλλάμψεις θείας μυστικῶς καὶ ἀπορρήτως ἐγγινομένας αὐταῖς δέχονται, κατηγόρησεν αὐτῶν, ὡς τὴν οὐσίαν αὐτὴν τοῦ θεοῦ μεθεκτὴν λεγόντων, τῶν δὲ ἀπολογουμένων, οὐ τὴν οὐσίαν, ἀλλὰ τὴν ἄκτιστον καὶ θεοποιὸν χάριν τοῦ πνεύματος, διαθεΐας αὐτοῖς ἐντεῦθεν ἔγκλημα προστρίψασθαι ἐπεχείρησεν, οὐ μὴν ἀλλὰ καὶ εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ παρελθὼν καὶ τὰ περὶ τούτου ἀνενέγκας τῇ ἡμῶν μετριότητι, κατηγορῶν μάλιστα τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Γρηγορίου τοῦ Παλαμᾶ ἐζήτησε μετακληθῆναι καὶ αὐτοὺς εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον· μετακληθέντων τοίνυν ἑτέραν ὁ Βαρλαὰμ ἐτράπετο, ἀποφεύγων καὶ μὴ καταπειθὴς ὅλως γινόμενος εἰς τὴν σύνοδον ἀπαντῆσαι καὶ τοῖς κατηγορηθεῖσι παρ' αὐτοῦ μοναχοῖς εἰς λόγους ἐλθεῖν καὶ ἀντικαταστῆναι αὐτοῖς, ἐφ' οἷς κατ' αὐτῶν συνεγράφατο, πρόφασιν μὲν τῆς ἀποφυγῆς ποιούμενος τηνικαῦτα τὴν βασιλικὴν ἀποδημίαν, τῇ δ' ἀληθείᾳ, ἑαυτοῦ καταγνοὺς καὶ τὸν ἐντεῦθεν ἔλεγχον δεδιώς· ἔπειτα συνόδου συγκροτηθείσης παρουσίᾳ καὶ τοῦ ἐκ θεοῦ βασιλέως, τοῦ ἀοιδίμου καὶ μακαρίτου, ἐν τῷ περιωνύμῳ ναῷ τῆς τοῦ θεοῦ λόγου Σοφίας, τῆς τε συγκλήτου καὶ οὐκ ὀλίγων ἀπό τε τῶν τιμιωτάτων ἀρχιμανδριτῶν καὶ καθηγουμένων καὶ τῶν τῆς πολιτείας συνειλεγμένων, μεταπεμφθεὶς καὶ ὁ αὐτὸς Βαρλαὰμ καὶ προτραπεὶς εἰπεῖν καὶ ἀποδεῖξαι, εἴ τι εἰπεῖν ἔχει κατὰ τῶν καθ' ἡσυχίαν ζώντων μοναχῶν, παρόντων ἤδη καὶ αὐτῶν τῇ συνόδῳ, αὐτὸς ὥσπερεὶ τοῦ προκειμένου λήθην παθών, μάλιστα δὲ συγχέειν πειρώμενος τὰ τῆς ὑποθέσεως, εἰς ἐρωτήσεις καὶ ἀπορίας ἐχωρεῖτο δογματικὰς, καὶ λύσεις τῶν ἀπορημάτων ἐζήτει, εἰς ὃ καὶ ἐνιστάμενος καὶ ἰσχυριζόμενος, μηδέν τι πρότερον εἰπεῖν, πρὶν ἂν τὴν ἐπὶ ταῖς ἐρωτήσεσι ταύταις ἀπόκρισιν καὶ λύσιν κομίσηται· ἐπειδὴ καὶ ἅπαξ καὶ δὶς καὶ μετ' ἐμβριθείας ἀποκρουσθεὶς, οὐκ ἐνεδίδου τῆς ἐνστάσεως ταύτης, οὐδὲ ἐπείθετο λέγειν περὶ τῆς τῶν προκειμένων ἐξετάσεως, τῆς κατὰ τῶν μοναχῶν δηλαδὴ ἐγγράφου παρ' αὐτοῦ κατηγορίας, ἐπέτρεψεν ἡ μετριότης ἡμῶν ἀναγνωσθῆναι εἰς ἐπήκοον τῆς συνόδου τοὺς ἱεροὺς καὶ θείους κανόνας, δι' ὧν ἀπηγόρευται καὶ οὐδαμῶς παρακεχώρηται, μὴ μόνον τοῖς κατ' αὐτὸν, ἀλλὰ καὶ τοῖς ἄλλοις πᾶσι, μηδέν τι περὶ δογμάτων κινεῖν, καὶ τοῖς ἄλλοις ἐντεῦθεν

πάντως ἀνάγκην ἐπιτιθέναι περὶ τοιούτων ἀπολογεῖσθαι, μηδὲ διδασκαλικὸν ἑαυτοῖς περιτιθέντας ἀξίωμα, διεξιέναι περί τινων ἐκκλησιαστικῶν ὑποθέσεων, μόνοις γὰρ ἐδόθη τοῦτο τοῖς ἀρχιερεῦσι θεοῦ παρὰ τῆς ἄνωθεν χάριτος· φησὶ γὰρ ὁ τῆς οἰκουμενικῆς ἕκτης συνόδου κανὼν ξδ', ὅτι οὐ χρὴ λαϊκὸν δημοσίᾳ λόγον κινεῖν ἢ διδάσκειν, ἀξίωμα διδασκαλικὸν ἐντεῦθεν περιποιούμενον, ἀλλ' εἶκειν τῇ παρὰ τοῦ κυρίου παραδοθείσῃ τάξει, καὶ τὸ οὖς τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λόγου λαβοῦσι διανοίγειν, καὶ τὰ θεῖα παρ' αὐτῶν ἐκδιδάσκεσθαι, ἐν γὰρ τῇ μιᾷ ἐκκλησίᾳ διάφορα μέλη πεποίηκεν ὁ θεός, κατὰ τὴν τοῦ ἀποστόλου φωνήν, ἣν ὁ θεολόγος ἑρμηνεύων Γρηγόριος, σαφῶς τὴν ἐν τούτοις τάξιν παρίστησι λέγων· „ταύτην αἰδώμεθα τὴν τάξιν, ἀδελφοί, ταύτην φυλάττωμεν, ὁ μὲν ἔστω τις ἀκοή, ὁ δὲ γλῶσσα, ὁ δε χεὶρ, ὁ δὲ ἄλλο τι, ὁ μὲν διδασκέτω, ὁ δὲ μανθανέτω, καὶ ὁ μὲν μανθάνων ἐν εὐπειθείᾳ καὶ ὁ χορηγῶν ἐν ἱλαρότητι καὶ ὁ ὑπουργῶν ἐν προθυμίᾳ, μὴ πάντες ὦμεν γλῶσσα τὸ ἑτοιμότερον, μὴ πάντες ἀπόστολοι, μὴ πάντες προφῆται, μὴ πάντες διερμηνεύωμεν·" καὶ μετά τινα· „τί σεαυτὸν ποιεῖς ποιμένα, πρόβατον ὤν; τί γίνῃ κεφαλὴ, ποῦς τυγχάνων; τί στρατηγεῖν ἐπιχειρεῖς, τεταγμένος ἐν στρατιώταις;" καὶ ἑτέρωθι ἡ σοφία διακελεύεται· „μὴ ἴσθι ταχὺς ἐν λόγοις, μὴ συμπαρεκτείνου, πένης ὤν, πλουσίῳ, μηδὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος· εἰ δέ τις ἀλῷ τὸν παρόντα παρασαλεύων κανόνα, ἐπὶ ἡμέρας ἀφοριζέσθω τεσσαράκοντα." καὶ πάλιν ὁ τῆς ἐν Χαλκηδόνι κανὼν ἐννεακαιδέκατος· „δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας ἐν πάσῃ μὲν ἡμέρᾳ, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λόγους ἐκ τῆς θείας γραφῆς ἀναλεγομένους, τὰ τῆς ἀληθείας νοήματά τε καὶ ῥήματα, καὶ μὴ παραβαίνοντας τοὺς ἤδη τεθέντας ὅρους ἢ τὴν ἐκ τῶν θεοφόρων πατέρων παράδοσιν, ἀλλὰ καὶ, εἰ γραφικὸς ἀνακινηθείη λόγος, μὴ ἄλλως τοῦτον ἑρμηνευέτωσαν, ἢ ὡς ἂν οἱ τῆς ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι διὰ τῶν οἰκείων συγγραμμάτων παρέθεντο, καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμείτωσαν, ἢ λόγους οἰκείους συντάττοντες, ἔστιν ὅτε καὶ ἀπόρως ἔχοντες πρὸς τοῦτο, ἀποπίπτοιεν τοῦ προσήκοντος, διὰ γὰρ τῆς τῶν προειρημένων πατέρων διδασκαλίας οἱ λαοὶ ἐν γνώσει γινόμενοι τῶν τε σπουδαίων καὶ τῶν αἱρετῶν καὶ τῶν ἀσυμφόρων καὶ ἀποβλήτων, τὸν βίον μεταρρυθμίζουσι πρὸς τὸ βέλτιον, καὶ τῷ τῆς

ἀγνοίας οὐχ ἁλίσκονται πάθει, ἀλλὰ προσέχοντες τῇ διδασκαλίᾳ ἑαυτοὺς πρὸς τὸ μὴ κακῶς παθεῖν παραθήγουσι, καὶ φόβῳ τῶν ἐπηρτημένων τιμωριῶν τὴν σωτηρίαν αὐτοῖς ἐξεργάζονται.“ μετὰ μέντοι τὴν ἀνάγνωσιν τῶν αὐτῶν ἱερῶν καὶ θείων κανόνων προεκομίσθησαν ἐπὶ τοῦ μέσου, ἃς ὁ Βαρλαὰμ φθάσας ἐποιήσατο ἀναφορὰς κατὰ τῶν μοναχῶν, καὶ ἀναγνωσθεισῶν τῶν τοιούτων ἀναφορῶν, προετράπη ὁ διαληφθεὶς ἱερομόναχος κῦρ Γρηγόριος ὁ Παλαμᾶς τὴν ἐπ' αὐταῖς ποιήσασθαι ἀπολογίαν, ὡς αὐτοῦ μάλιστα καθαπτομένου, ὅστις καὶ εἰπὼν ἐν προοιμίου λόγῳ καὶ ἀπολογησάμενος, ὅσα εἰκὸς, ἔπειτα διηγήσατο, καὶ ὡς ἐπισυνέβη τὰ τῆς αὐτῶν διαφορᾶς, προτέρου τοῦ αὐτοῦ Βαρλαὰμ συγγραφαμένου καὶ κατηγορήσαντος αὐτῶν, ἅπερ ἀνωτέρω εἴρηται, καὶ ἐναντία τοῖς τῶν πατέρων θείοις λόγοις, ὡς ἀπεδείχθη, ἐκθεμένου, καὶ ὡς ἐξ ἀνάγκης καὶ αὐτὸς πρὸς τὴν ἀπολογίαν καὶ ἀντίρρησιν κεκίνηται. ἔπειτα ὡρίσθη ἐνεχθῆναι τὰ τοῦ Βαρλαὰμ συγγράμματα, ἃ καὶ πρὸς ἐξαπάτην τῶν ἀκουόντων „κατὰ Μασαλιανῶν“ ἐπέγραφεν, ἐν οἷς συγγράμμασιν ἔλεγε καὶ περὶ τοῦ ἀπροσίτου φωτὸς τῆς μεταμορφώσεως δεσπότου σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν τῆς τοῦ φωτὸς τούτου θέας ἠξιωμένων, προκρίτων μαθητῶν αὐτοῦ καὶ ἀποστόλων, λέξεσιν αὐταῖς τάδε· „τὸ ἐν Θαβωρίῳ λάμψαν φῶς οὐκ ἀπρόσιτον ἦν, οὐδὲ κατὰ ἀλήθειαν ὑπῆρχε φῶς θεότητος, οὐδὲ ἀγγέλων ὅλως ἱερώτερον ἢ θειότερον, ἀλλὰ καὶ χεῖρον καὶ κατώτερον καὶ αὐτῆς τῆς ἡμετέρας νοήσεως, πάντα γὰρ τά τε νοήματα καὶ τὰ νοούμενα σεμνώτερά ἐστι τοῦ φωτὸς ἐκείνου, ὡς τῇ ὄψει διὰ τοῦ ἀέρος προσπίπτοντος καὶ αἰσθητικῇ δυνάμει ὑποπίπτοντος, καὶ τὰ αἰσθητὰ μόνα δεικνύντος τοῖς ὁρῶσιν, ὑλικοῦ τε ὄντος καὶ ἐσχηματισμένου καὶ ἐν τόπῳ καὶ ἐν χρόνῳ φαινομένου, καὶ τὸν ἀέρα χρωματίζοντος, καὶ νῦν μὲν συνισταμένου τε καὶ φαινομένου, νῦν δὲ διαλυομένου καὶ εἰς τὸ μὴ εἶναι χωροῦντος, ἅτε φανταστοῦ, μεριστοῦ τε καὶ πεπερασμένου, δι' ὃ καὶ ὁρώμενον ἦν ὑπὸ τῶν στέρησιν πασχόντων τῶν ἱερῶν ἐνεργειῶν, μᾶλλον δὲ μηδέπω ταύτας ὅλως κτησαμένων, καὶ ἔτι ἀκαθάρτων ὄντων καὶ ἀτελῶν καὶ ἐπ' αὐτῆς ἐκείνης τῆς ἐπὶ τοῦ ὄρους θέας, ὡς μηδέπω ἀξιωθέντων τῆς τῶν θεοειδῶν νοήσεων, ἀναγόμεθα δὲ ἀπὸ τοῦ τοιούτου φωτὸς ἐπὶ νοήματα καὶ θεωρήματα, ἃ κρείττω ἐστὶν ἀσυγκρίτως τοῦ φωτὸς ἐκείνου· τοιγαροῦν οἱ λέγοντες αὐτὸ ὑπὲρ νοῦν καὶ ἀληθινὸν καὶ

τὰ τοιαῦτα πεπλανημένοι εἰσὶ καθάπαξ, καὶ οὐδὲν τῶν φαινομένων καλῶν ὑψηλότερον εἰδότες, ἀσεβεῖς τε διὰ τοῦτο καὶ ὀλεθριώτατα δόγματα εἰς τὴν ἐκκλησίαν εἰσάγοντες.“ ταῦτα μὲν οὖν ὁ Βαρλαὰμ ἑτερόδοξα προδήλως καὶ ἐναντία τοῖς περὶ τοῦ θείου τούτου φωτὸς ῥηθεῖσι παρὰ τῶν ἁγίων, τούτων γὰρ ταῖς ῥήσεσι σύμφωνα διαβεβαιούμενοι καὶ φρονεῖν καὶ λέγειν οἱ μοναχοί, ταύτας καὶ προεβάλλοντο· φησὶ τοίνυν ὁ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης. „σήμερον φωτὸς ἀπροσίτου ἄβυσσος, σήμερον αἴγλης θείας χύσις ἀπεριόριστος ἐν τῷ Θαβὼρ τῷ ὄρει τοῖς ἀποστόλοις αὐγάζεται, νῦν ὡράθη τὰ τοῖς ἀνθρωπίνοις ἀθέατα ὄμμασι, σῶμα γήϊνον θείαν ἀπαυγάζει λαμπρότητα, σῶμα θνητὸν δόξαν πηγάζει θεότητος· ὁ γὰρ λόγος σὰρξ, ἡ σὰρξ δὲ λόγος ἐγένετο, εἰ καὶ μὴ τῆς οἰκείας ἐξέστη ἑκάτερον φύσεως· ὢ τοῦ θαύματος, οὐκ ἔξωθεν ἡ δόξα τῷ σώματι προσεγίγνετο, ἀλλ' ἔνδοθεν ἐκ τῆς ἀρρήτῳ λόγῳ γινομένης αὐτῷ καθ' ὑπόστασιν τοῦ θεοῦ λόγου ὑπερθέου θεότητος, ᾧ γὰρ ἐν ἐκείνῳ οἱ ἄγγελοι ἀκλινὲς ἐρείδειν τὸ ὄμμα οὐ σθένουσιν, ἐν τούτῳ τῶν ἀποστόλων οἱ πρόκριτοι τῇ δόξῃ τῆς ἑαυτοῦ βασιλείας ὁρῶσιν ἐκλάμποντα, ἐντεῦθεν ταὺς κορυφαίους τῶν ἀποστόλων προσλαμβάνεται μάρτυρας τῆς οἰκείας δόξης τε καὶ θεότητος, ἀποκαλύπτει δὲ αὐτοῖς τὴν οἰκείαν θεότητα, τελείους δὲ εἶναι τοὺς τὴν θείαν δόξαν εἰκὸς κατοπτεύοντας, τὴν ἁπάντων ἐπέκεινα, τὴν μόνην καὶ ὑπερτελῆ καὶ προτέλειον· ὁ θεῖος γὰρ ὄντως καὶ θεηγόρος Διονύσιος, οὕτως ὁ δεσπότης, φησὶν, ὀφθήσεται τοῖς ἑαυτοῦ τελείοις θεράπουσιν, ὃν τρόπον ἐν ὄρει Θαβὼρ τοῖς ἀποστόλοις ὀπτάνεται, Ἰωάννην παραλαμβάνει, ὡς τῆς θεολογίας παρθένον καὶ καθαρώτατον ὄργανον, ὅπως τὴν ἄχρονον δόξαν τοῦ υἱοῦ θεασάμενος „ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος“ βροντήσειε, μήτηρ γὰρ προσευχῆς ἡ ἡσυχία, προσευχὴ δὲ θείας δόξης ἐμφάνεια· ὅταν γὰρ τὰς αἰσθήσεις μύσωμεν, καὶ ἑαυτοῖς καὶ τῷ θεῷ συγγενώμεθα καὶ τῆς ἔξωθεν τοῦ κόσμου περιφορᾶς ἐλευθερωθέντες ἐντὸς αὑτῶν γενώμεθα, τότε τρανῶς ἐν ἑαυτοῖς τὴν τοῦ θεοῦ βασιλείαν ὀψώμεθα· ἡ βασιλεία γὰρ τῶν οὐρανῶν, ἥτις ἐστὶ βασιλεία θεοῦ, ἐντὸς ἡμῶν ἐστιν, Ἰησοῦς ὁ θεὸς ἀπεφθέγξατο· ἔμπροσθεν τῶν μαθητῶν μεταμορφοῦται, ὁ ἀεὶ ὡσαύτως δεδοξασμένος καὶ λάμπων ἀστραπῇ τῆς θεότητος, ἀνάρχως μὲν ἐκ πατρὸς γεννηθείς, τὴν φυσικὴν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος, καὶ ἡ τῆς θεότητος δόξα καὶ δόξα

τοῦ σώματος γίνεται, ἀλλ' ἀφανὴς ἡ δόξα ὑπάρχουσα ἐν τῷ φαινομένῳ σώματι τοῖς μὴ χωροῦσι τὰ ἀγγέλοις ἀθέατα, τοῖς σαρκὸς δεσμίοις ἀόρατος ἐχρημάτιζε· μεταμορφοῦται τοίνυν, οὐχ ὃ οὐκ ἦν προσλαβόμενος, οὐδὲ, εἰς ὅπερ οὐκ ἦν μεταβαλόμενος, ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐμφαινόμενος, διανοίγων τούτων τὰ ὄμματα καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας. καὶ τοῦτό ἐστι τὸ· μετεμορφώθη ἔμπροσθεν αὐτῶν, μένων γὰρ αὐτὸς ἐν ταυτότητι παρὸ τὸ πρὶν ἐφαίνετο, ἕτερος νῦν τοῖς μαθηταῖς ἑωρᾶτο φαινόμενος, καὶ ἔλαμψε, φησὶν, ὡς ὁ ἥλιος, οὐχ ὅτι μὴ τοῦ ἡλίου λαμπρότερον, ἀμήχανον γὰρ ἀπαραλήπτως ἐν τῇ κτίσει τὸ ἄκτιστον εἰκονίζεσθαι, ἀλλ' ὅσον ἐχώρουν καθορᾶν οἱ βλέποντες, θεὸν μὲν γὰρ οὐδεὶς ἑώρακε πώποτε, καθὰ πέφυκε φύσεως, καὶ ὃ δὲ ἑώρακεν, ἐν πνεύματι τοῦτο τεθέαται· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, ταῦτά ἐστιν, ἃ ὀφθαλμὸς οὐκ οἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη πώποτε. οὕτως ἐν τῷ αἰῶνι τῷ μέλλοντι πάντοτε σὺν κυρίῳ ἐσόμεθα Χριστὸν ὁρῶντες, τῷ φωτὶ ἀστράπτοντα τῆς θεότητος, τοῦτο τὸ φῶς κατὰ πάσης φύσεως ἔχει τὰ νικητήρια, αὕτη ἡ ζωὴ ἡ τὸν κόσμον νικήσασα, ἀλλ' ὁ Πέτρος „καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι", καὶ ἐντεῦθεν νεφέλη, οὐ γνόφου, ἀλλὰ φωτὸς ἐπεσκίασεν, τὸ κεκρυμμένον γὰρ ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν μυστήριον ἐκκαλύπτεται, φωνὴ πατρὸς ἐκ νεφέλης τοῦ πνεύματος γέγονε, καὶ δόξα διηνεκὴς καὶ διαιωνίζουσα δείκνυται. ὁ δὲ Κρήτης θεσπέσιος Ἀνδρέας· „ἐπὶ τὸ ὄρος, φησὶν, ἀνάγει τὸ ὑψηλὸν τοὺς μαθητὰς ὁ σωτὴρ, τί ποιήσων ἢ τί διδάξων; τὴν ὑπεραστράπτουσαν παραδείξων τῆς οἰκείας θεότητος δόξαν τε καὶ λαμπρότητα· τοῦτο τοίνυν ἑορτάζομεν σήμερον, τὴν τῆς φύσεως θέωσιν, τὴν εἰς τὸ κρεῖττον ἀλλοίωσιν, τὴν ἐπὶ τὰ ὑπὲρ φύσιν ἔκστασιν καὶ ἀνάβασιν, καθ' ἣν καὶ τοῦ κρείττονος ἡ ἐκνίκησις, ἢ τό γε κυριώτερον εἰπεῖν, ἡ ἀνεκλάλητος θέωσις· τοῦτο θαυμάζουσιν ἄγγελοι, τοῦτο δοξολογοῦσιν ἀρχάγγελοι, τοῦτο πᾶσα τῶν ὑπερκοσμίων ἡ νοητὴ διακόσμησις, ἀΰλως ἑστιωμένη, τεκμήριον ἐναργέστατόν τε καὶ ἀψευδέστατον τίθεται τῆς περὶ ἡμᾶς τοῦ λόγου φιλανθρωπίας· οὐκ ἔστι τῶν ἐν τῇ κτίσει θεωρουμένων, ᾧ χωρήσει τούτου τὴν ὑπερβολὴν τῆς λαμπρότητός, ὁ γὰρ ὑπερούσιος εἰς οὐσίαν ἀληθῶς ἐλθὼν καὶ ὑπὲρ οὐσίαν οὐσιωθεὶς, διὰ σαρκὸς ἡμῖν πεπολίτευται, ὃς δὴ καὶ ὑπερβαλλόντως ἐπὶ τοῦ ὄρους ἐξήστραψεν, οὐ τότε γενόμενος

ἑαυτοῦ διαυγέστερος ἢ ὑψηλότερος, ἄπαγε, ἀλλ' ὅπερ καὶ πρότερον τοῖς τελουμένοις τῶν μαθητῶν καὶ μυουμένοις τὰ ὑψηλότερα κατὰ ἀλήθειαν θεωρούμενος, ἔξω γὰρ σαρκὸς καὶ κόσμου γενόμενοι, καθ' ὅσον ἐφικτὸν, ἐνταῦθα τὰ τῆς μελλούσης καταστάσεως ἤδη, ἐξ ὧν ἐπειράθησαν, ἐδιδάχθησαν, εἰ γὰρ καὶ μηδενὶ τῶν ἁπάντων ἀκοινώνητόν ἐστι καθόλου τὸ ἀγαθὸν, ἀλλ' οὐχὶ ὅλον, ὅ τι ποτέ ἐστιν, ἀλλ' ὅσον καὶ ὅπως τοῖς μετέχουσιν, ὡς ἐφικτὸν, χωρητὸν γίνεται, καὶ τοῦτο δι' ἄκραν ἀγαθότητα ταῖς ἀπειροδώροις ἐλλάμψεσιν ὁδεῦον ἐπὶ πάντα καὶ προχεόμενον· ἀπόδειξις δὴ τῶν λεγομένων αὐτὸ ἂν εἴη τὸ μακάριον πάθος τὸ πολυύμνητον, ὅπερ ἐπὶ τοῦ ὄρους πεπόνθασιν οἱ ἀπόστολοι, ἡνίκα τὸ ἀπρόσιτον καὶ ἄχρονον φῶς τὴν οἰκείαν σάρκα μεταμορφῶσαν τῷ ὑπερβάλλοντι τῆς οἰκείας φωτοβλυσίας ὑπερουσίως ἐλάμπρυνεν. ὧ τοῦ θαύματος, κατ' ἔκστασιν τελειοτάτην τῆς φύσεως πίπτουσιν ὑπνοβάρει καὶ φόβῳ κρατούμενοι, μύσαντες τὰς αἰσθήσεις, πᾶσαν νοερὰν κίνησιν καὶ ἀντίληψιν παντελῶς ἑαυτῶν ἀποσπάσαντες, οὕτω κατὰ τὸν θεῖον ἐκεῖνον καὶ ὑπέρφωτον καὶ ἀόρατον γνόφον τῷ θεῷ συνεγένοντο τῷ μηδόλως ὁρᾶν τὸ ὄντως ὁρᾶν εἰσδεχόμενοι καὶ τῷ πάσχειν ἀγνώστως τὴν καθ' ὑπεροχὴν ἀγνωσίαν ποριζόμενοι καὶ τὴν πάσης νοερᾶς ἐπιστασίας ὑψηλοτέραν ἐγρήγορσιν ὕπνῳ μυσταγωγούμενοι, ἔξω πάντων ἐγένοντο τῶν ὁρωμένων τε καὶ νοουμένων, ἔτι δὲ καὶ ἑαυτῶν, ἵνα τὸ πάσης θεώσεώς τε καὶ ἀφαιρέσεως ἐκβεβηκὸς καθ' ὑπεροχὴν ὑπερούσιον, τῇ ἐκφάνσει τοῦ λόγου καὶ τῇ ἐπισκιάσει τοῦ πνεύματος καὶ τῇ ἄνωθεν ἐκ τῆς νεφέλης φερομένῃ φωνῇ τοῦ γεννήτορος δι' ἀγνωσίας καὶ ἀβλεψίας παιδευθῶσι μυστήριον". περὶ τοῦ θείου τούτου φωτὸς, φησὶν ὁ μέγας Γρηγόριος ὁ Θεολόγος· „φῶς ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς μικροῦ στερροτέρα καὶ ὄψεως"· καὶ αὖθις· „ἦξει μὲν ὡς ὁ ἐμὸς λόγος, τοιοῦτος δὲ, οἷος ὤφθη τοῖς μαθηταῖς ἢ παρεδείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος". ὁ δὲ ἅγιος Μάξιμος· „τοῦτό ἐστι, φησὶ, τὸ τοῦ θεοῦ εὐαγγέλιον, πρεσβεία θεοῦ καὶ παράκλησις πρὸς ἀνθρώπους δι' υἱοῦ σαρκωθέντος καὶ τῆς πρὸς τὸν πατέρα καταλλαγῆς μισθὸν δωρουμένου τοῖς πειθομένοις αὐτῷ τὴν ἀγέννητον θέωσιν, ἀγέννητον δὲ λέγω θέωσιν τὴν κατ' εἶδος ἐνυπόστατον ἔλλαμψιν, ἥτις οὐκ ἔχει γένεσιν, ἀλλ' ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν" καὶ αὖθις· „οὐ πᾶσιν ἀεὶ μετὰ δόξης, φησὶν ὁ κύριος, ἐπιφαίνεται τοῖς παρ' αὐτῷ ἱσταμένοις, ἀλλὰ τοῖς μὲν εἰσαγομένοις

ἐν δούλου μορφῇ παραγίνεται, τοῖς δὲ δυναμένοις ἀκολουθῆσαι αὐτῷ ἐπὶ τὸ ὑψηλὸν ἀναβαίνοντι τῆς αὐτοῦ μεταμορφώσεως ὄρος ἐν μορφῇ θεοῦ ἐπιφαίνεται, ἐν ᾗ ὑπῆρχε πρὸ τοῦ τὸν κόσμον εἶναι". καὶ πάλιν ὁ αὐτός· „τὸ φῶς, φησί, τοῦ προσώπου κυρίου τὸ νικῆσαν τῆς ἀνθρωπίνης αἰσθήσεως τὴν ἐνέργειαν τὸν τρόπον διετύπου τοῖς μακαρίοις ἀποστόλοις τῆς κατὰ ἀπόφασιν μυστικῆς θεολογίας, καθ' ἣν ἡ μακαρία καὶ ἁγία θεότης κατ' οὐσίαν ἐστὶν ὑπεράρρητος καὶ ὑπεράγνωστος καὶ πάσης ἀπειρίας ἀπειράκις ἐξῃρημένη, οὐδ' ἴχνος ὅλως καταλήψεως κἂν ψιλὸν τοῖς μετ' αὐτὴν καταλείψασα, ὁ τοῖς οὖσι γάρ, φησὶν ὁ αὐτὸς, μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτὸς, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται, ὁπότε καὶ αὐτὸς ὁ τρόπος, καθ' ὃν θέλων μετέχεται, μένει διηνεκῶς τοῖς πᾶσιν ἀνέκφαντος". φησὶ δὲ καὶ ὁ μέγας Βασίλειος· „τὸ πνεῦμα τὸ ἅγιον, ἀπρόσιτον τῇ φύσει, χωρητὸν δι' ἀγαθότητα, πάντα μὲν πληροῦν τῇ δυνάμει, μόνοις δὲ ὂν μεθεκτὸν τοῖς ἀξίοις, οὐχ ἑνὶ μέτρῳ μετεχόμενον, ἀλλὰ κατὰ ἀναλογίαν τῆς πίστεως διαιροῦν τὴν ἐνέργειαν, ἁπλοῦν τῇ οὐσίᾳ, ποικίλον ταῖς δυνάμεσιν, ὅλον ἑκάστῳ παρὸν καὶ ὅλον πανταχοῦ ὄν, ἀπαθῶς μεριζόμενον καὶ ὁλοσχερῶς μετεχόμενον, κατὰ τὴν εἰκόνα τῆς ἡλιακῆς ἀκτῖνος, καὶ ἑκάστῳ τῶν δεκτικῶν ὡς μόνῳ παρὸν, διαρκεῖ τοῖς πᾶσι τὴν χάριν, καὶ ὁλόκληρον ἐπαφίησι". καὶ πάλιν· „αἱ μὲν ἐνέργειαι τοῦ θεοῦ ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ, ἡμεῖς δὲ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν θεὸν, τῇ δὲ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα, αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος". οὕτω γὰρ καὶ ὁ μέγας Ἀθανάσιος λέγει, ὅτι οὐδεὶς ἀνθρώπων δύναται θεοῦ οὐσίαν γυμνὴν ἰδεῖν οὐδαμοῦ, ὅθεν πρόδηλον, ὅτι οὐ τὴν οὐσίαν τοῦ θεοῦ ἔβλεπον οἱ ἅγιοι, ἀλλὰ τὴν δόξαν, ὡς καὶ περὶ τῶν ἀποστόλων γέγραπται, ὅτι διαγρηγορήσαντες ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ αὖθις ὁ αὐτὸς, ἀπαθὴς, φησὶ, καὶ ἐν τοῖς παθήμασι τῆς σαρκὸς ὁ Χριστὸς ὡς θεὸς νικήσας θάνατον καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀνελθὼν εἰς τὸν οὐρανὸν ἐν δόξῃ φυσικῇ καὶ οὐκ ἐν χάριτι ἐρχόμενος ἐν τῇ ἑαυτοῦ θεότητι, ἐμφανῶς ἐκλάμπων ἐκ τοῦ ἐκ Μαρίας σώματος αὐτοῦ τοῦ ἁγίου τὴν δόξαν τὴν ἀπόρρητον, ὡς καὶ ἐπὶ τοῦ ὄρους ἔδειξεν ἀπὸ μέρους, διδάσκων ἡμᾶς, ὅτι καὶ πρότερον καὶ νῦν ὁ αὐτός ἐστιν ἀναλλοίωτος

ὢν καὶ μεταβολὴν οὐδεμίαν ἔχων περὶ τὴν θεότητα. οὕτω καὶ ὁ μέγας Διονύσιος· „ὅταν ἄφθαρτοι, φησὶ, καὶ ἀθάνατοι γενώμεθα, καὶ τῆς χριστοειδοῦς καὶ μακαριωτάτης ἐφικώμεθα λήξεως, πάντοτε σὺν κυρίῳ κατὰ τὸ λόγιον ἐσόμεθα, τῆς μὲν ὁρατῆς θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι, φανωτάταις ἡμᾶς μαρμαρυγαῖς περιαυγαζούσης, ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει, τῆς δὲ νοητῆς αὐτοῦ φωτοδοσίας ἐν ἀπαθεῖ καὶ ἀύλῳ τῷ νῷ μετέχοντες, καὶ τῆς ὑπὲρ νοῦν ἑνώσεως ἐν ταῖς τῶν ὑπερφανῶν ἀκτίνων ἀγνώστοις καὶ μακαρίαις ἐπιβολαῖς ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων νόων“. καὶ ὁ μέγας Βασίλειος· „ἆθλον γὰρ, φησὶν, ἀρετῆς θεὸν γενέσθαι καὶ τῷ καθαρωτάτῳ φωτὶ καταστράπτεσθαι, ἡμέρας ἐκείνης υἱὸν γενόμενον, ἣ μὴ διακόπτεται ζόφῳ, ἄλλος γὰρ ταύτην ποιεῖ ἥλιος, ὁ τὸ ἀληθινὸν φῶς ἀπαστράπτων, ὃς, ἐπειδὰν ἅπαξ ἐπιφαύσῃ ἡμῖν, οὐκέτι ἐν δυσμαῖς κρύπτεται, ἀλλὰ πάντα τῇ φωτιστικῇ ἑαυτοῦ δυνάμει περιπτυξάμενος, διηνεκὲς καὶ ἀδιάδοχον τοῖς ἀξίοις τὸ φῶς ἐμποιεῖ, καὶ αὐτοὺς τοὺς μετέχοντας τοῦ φωτὸς ἐκείνου ἄλλους ἡλίους ἀπεργαζόμενος· τότε γὰρ, φησὶ, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος“. καὶ ὁ θεῖος Μάξιμος· „ἡ ψυχὴ γίνεται θεὸς τῇ μεθέξει τῆς θεϊκῆς χάριτος πασῶν τῶν κατὰ νοῦν τε καὶ αἴσθησιν ἐνεργειῶν, αὐτῇ δὲ παυσαμένῃ καὶ τὰς τοῦ σώματος συναποπαύσασα φυσικὰς ἐνεργείας, συνθεωθέντος αὐτῇ κατὰ τὴν ἀναλογοῦσαν αὐτῷ μέθεξιν τῆς θεώσεως, ὥστε μόνον τὸν θεὸν διά τε τῆς ψυχῆς καὶ τοῦ σώματος τότε φαίνεσθαι, νικηθέντων αὐτῶν τῇ ὑπερβολῇ τῆς δόξης τῶν φυσικῶν γνωρισμάτων“. καὶ ὁ μέγας Διονύσιος· „οὐδεμίαν ὁρῶμεν θέωσιν ἢ ζωὴν, ἥτις ἀκριβῶς ἐμφερὴς ἐστι τῇ πάντων ὑπερκειμένῃ αἰτίᾳ“ καὶ ὁ αὐτὸς ἐρωτώμενος, πῶς ὁ πάντων ἐπέκεινα ὑπὲρ θεαρχίαν ἐστὶ καὶ ὑπὲρ ἀγαθαρχίαν, εἰ θεότητα, φησὶ, καὶ ἀγαθότητα νοήσαις, αὐτὸ τὸ χρῆμα τοῦ ἀγαθοποιοῦ δώρου καὶ τὸ ἀμίμητον μίμημα τοῦ ὑπερθέου καὶ ὑπεραγάθου, καθὸ θεούμεθα καὶ ἀγαθυνόμεθα, καὶ γὰρ, εἰ τοῦτο ἀρχὴ γίνεται τοῦ θεοῦσθαι καὶ ἀγαθύνεσθαι τοῖς θεουμένοις καὶ ἀγαθυνομένοις, ὁ πάσης ἀρχῆς ὑπεράρχιος καὶ τῆς οὕτω λεγομένης θεότητος καὶ ἀγαθότητος, ὡς θεαρχίας καὶ ἀγαθαρχίας ἐστὶν ἐπέκεινα“. καὶ ὁ Νύσσης θεῖος Γρηγόριος. „εἰ καὶ τὰ κρίματα αὐτοῦ, φησὶν, ἐξερευνηθῆναι οὐ δύναται καὶ αἱ ὁδοὶ οὐκ ἐξιχνιάζονται καὶ ἡ τῶν ἀγαθῶν ἐπαγγελία πάσης ὑπέρκειται τῆς ἀποστοχασμῶν εἰκασίας, πόσῳ μᾶλλον τῷ μέτρῳ

κατὰ τὸ ἄφραστόν τε καὶ ἀπροσπέλαστον ἄνω ἐστὶ καὶ ὑψηλότερον αὐτὸ τὸ θεῖον τῶν περὶ αὐτὸ νοουμένων". ἀλλὰ καὶ ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς πάλιν ἐν τοῖς ἱεροῖς μέλεσιν· „ἵνα σου δείξῃς ἐμφανῶς τὴν ἀπόρρητον δευτέραν κατάβασιν, ὅπως ὁ ὕψιστος θεὸς ὀφθήσῃ ἑστὼς ἐν μέσῳ θεῶν, τοῖς ἀποστόλοις ἐν Θαβὼρ Μωσῇ σὺν Ἠλίᾳ τε ἀρρήτως ἔλαμψας". καὶ ἐν ἑτέρῳ μέλει. „καὶ μικρὸν ὑποκρύψας τῆς σαρκὸς τὸ πρόσλημμα, μετεμορφώθη ἔμπροσθεν αὐτῶν, ἐμφαίνων τοῦ ἀρχετύπου κάλλους τὴν εὐπρέπειαν, καὶ ταύτην οὐχ ὁλόκληρον, τὸ μὲν πληροφορῶν αὐτούς, ἅμα καὶ φειδόμενος, μήπως σὺν τῇ ὁράσει καὶ τὸ ζῆν ἀπολέσωσιν, ἀλλ' ὡς ἠδύναντο χωρεῖν τοῖς σωματικοῖς ὀφθαλμοῖς περιφέροντες". καὶ ὁ μέγας Διονύσιος αὖθις ὁ θεῖός φησι· „γνόφος ἐστὶ τὸ ἀπρόσιτον φῶς, ἐν ᾧ κατοικεῖν ὁ θεὸς λέγεται, καὶ ὁρᾶτῳ ὄντι, διὰ τὴν ὑπερέχουσαν φανότητα, καὶ ἀπροσίτῳ δι' ὑπερβολὴν ὑπερουσίᾳ φωτοχυσίας". οὐχ ὁ θεὸς δὲ, φησὶν ὁ Χρυσόστομος, πατὴρ, ἀλλ' ἡ χάρις ἐκχεῖται. ἐπεὶ δὲ τὸν προσγενόμενον ἐπὶ τῆς θειοτάτης ἐκείνης θέας τοῖς ἀποστόλοις φόβον ἐκεῖνος αὖθις προεβάλλετο, ὡς ἀτελεῖς καὶ ἐπ' αὐτῆς ἐκείνης δεῖξαι διὰ τούτου τοὺς ἀποστόλους καὶ τὸ φῶς τοῦτο χαμαίζηλον τὸ τηνικαῦτα τούτοις ὁρώμενον, ὁ θειότατος καὶ ἀοίδιμος βασιλεὺς ὑπὸ τοῦ τοιούτου τότε φωτὸς πάντως καταυγασθεὶς τὴν διάνοιαν, ἔστι καὶ φόβος, εἶπεν, οὐ τῶν εἰσαγομένων, ἀλλὰ τῶν τελείων, περὶ οὗ φησιν ὁ προφήτης· „ὁ φόβος κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος". καὶ ἀλλαχοῦ πάλιν· „φοβήθητε τὸν κύριον πάντες οἱ ἅγιοι αὐτοῦ". δεῖγμα δὲ τοῦ μὴ τὸν εἰσαγωγικὸν, ἀλλὰ τὸν τέλειον ἔχειν τότε φόβον τοὺς ἀποστόλους τὸ ζητεῖν παραμένειν ἀεὶ τῷ ἀπορρήτῳ ἐκείνῳ θεάματι, ποιήσωμεν γὰρ ὧδε, φησὶ, τρεῖς σκηνὰς, καὶ· καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. ὁ γὰρ ἕτερον τρόπον τὸν φόβον ἔχων ἀπ' ἐκείνου προθυμεῖται φεύγειν, ὁ καὶ φοβεῖται, Πέτρος δὲ, ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης, νομίσας τὸν διαστηματικὸν τοῦτον καὶ· πεπερασμένον αἰῶνα παραρρυῆναι, τὸν δὲ ἀδιάστατόν τε καὶ ἄληκτον τοῦ φωτὸς ἐκεῖνον ἐπιφανῆναι, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, ἀπὸ διαθέσεως τῆς ψυχῆς ἐνθεαστικῶς ἔλεγεν, ἐκεῖνο γὰρ πάντως εἶδεν, ὃ οὐκ ἂν πάντως ἀνθρωπίνη φύσις ὁρᾶν δυνηθείη, εἰ μὴ πρὸς τὴν τοῦ ἁγίου πνεύματος χάριν ἀνακραθείη, τοσούτου γὰρ ἐκεῖνοι τότε ἠξιώθησαν, ὅσον ἀνθρωπίνη φύσις χωρήσειεν ἄν, συναιρομένου ταύτῃ τοῦ πνεύματος, μηδεὶς δὲ ἡμῶν, ἀκούων αὖθις, εἶπεν ὁ καὶ τὰ θεῖα σοφὸς

βασιλεὺς, ἐφ' ὅσον εἰκὸς ἐξυμνούντων τὸ θειότατον ἐκεῖνο φῶς, τὴν τοῦ θεοῦ φύσιν θεατὴν ἡμᾶς ὑπολαμβανέτω, εἰ γὰρ, ὡς καὶ πρὸς τοσοῦτον ὕψος θεωρίας ἀνέδραμον, χάριν καὶ δόξαν εἶδον θείαν, ἀλλ' οὐ τὴν φύσιν αὐτὴν τὴν χορηγοῦσαν τὴν χάριν, καὶ γὰρ ἴσμεν ἐκείνην, ὑπὸ τῶν θείων λογίων μεμυημένοι, ἀμέθεκτον, ἄληπτον, ἀόρατον καὶ αὐταῖς ταῖς ὑπερκοσμίοις καὶ ἀνωτάτω δυνάμεσιν, ὡς οὐδ' ἴχνος ὅλως καταλήψεως κἂν ψιλὸν τοῖς μετ' αὐτὴν καταλείψασαν. ἐπεὶ καὶ Γρηγορίων ὁ θεολογικώτατος ἔστιν ἃ τῶν προφητικῶν θεαμάτων καταλέξας πρότερον, ἐφεξῆς εὐθὺς ἐπήνεγκεν· „ἀλλ' οὔτε οὗτοι, περὶ ὧν ὁ λόγος, οὔτε τις ἄλλος τῶν κατὰ τούτους ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ κυρίου κατὰ τὸ γεγραμμένον, οὐδὲ θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν". ἐξ ὧν δὴ ῥητῶν καὶ λόγων, ἀνιέρως τοῖς ἱεροῖς ἐπιβάλλων ὁ Βαρλαὰμ καὶ ἐπισφαλῶς, ἀπηλέγχετό τε καὶ κατηισχύνετο, ἔτι τε εὕρηται ὁ τοιοῦτος Βαρλαὰμ πολλὰ καὶ τῶν τῆς ἡσυχίας ἐθίμων ἐγγράφως διαστρέψας καὶ κατηγορήσας, ἅμα τε καὶ τῇ συνήθει τούτοις, μᾶλλον δὲ πᾶσι τοῖς χριστιανοῖς προσευχῇ ἐπιθέμενος, τῇ κύριε Ἰησοῦ Χριστὲ, υἱὲ τοῦ θεοῦ, ἐλέησόν με, διελάμβανε γὰρ καὶ περὶ ταύτης ἐπ' αὐτῶν τῶν λέξεων οὕτωσί· „ἐγὼ πολλῶν ὄντων, ἅ τις ἂν ἔχοι δικαίως ἐγκαλεῖν τῷ τῆς τοιαύτης διδασκαλίας ὑφηγητῇ, οὐδενὸς ἔλαττον ἡγοῦμαι καὶ τοῦτο, ὅτι τὰ τῶν χριστιανῶν ἐπιχειρῶν διὰ τῶν εἰσπνοῶν ἀνατρέπειν μυστήρια, συκοφαντεῖν καὶ τοὺς πατέρας, ὡς, ἅπερ νῦν αὐτὸς ἐκδιδάσκει, ταῦτα κἀκείνους φρονήσαντας πρότερον"· ἐμβρόντητε καὶ μιαρὲ, τίς πώποτε ἐκείνων νῆψιν καὶ φυλακὴν καρδίας καὶ προσοχὴν, τοιαύτην τερατείαν, οἵαν σὺ παραδίδως, ὠνόμασεν; φασὶ δὲ τοῦτον νενομοθετηκέναι τοῖς μύσταις, εὐχῇ χρῆσθαι διὰ παντὸς οὕτως ἐχούσῃ· „κύριε Ἰησοῦ Χριστὲ, υἱὲ τοῦ θεοῦ, ἐλέησόν με". κἀκ τούτου οὖν ἔστι συνιδεῖν, ὁποῖος ἦν ὁ τῶν εἰσπνοῶν εὑρετὴς, τὸ μὲν γὰρ πάτερ ἡμῶν, ᾧ διαφερόντως οἱ Βογόμιλοι χρῶνται, οὐ νομοθετεῖ, ᾤετο γὰρ οὕτω κατάδηλος ἔσεσθαι, οἷς δ' ὅμως ταύτῃ μόνῃ τῇ μικρᾷ εὐχῇ διὰ βίου προσανέχειν ὑποτίθεται, τούτοις τάς τε ἄλλας ἁπάσας εὐχὰς βαττολογίας καταλιμπάνειν νομίζεσθαι, οἷς δ' αὖθις πάντων χριστιανῶν ἐν ταύτῃ τῇ εὐχῇ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ θεὸν ἡμῶν καλούντων, οὗτος τὸ ὁ θεὸς ἡμῶν εἰς τὸ υἱὲ θεοῦ μετείληφε, τούτοις τὸ πᾶν τῆς ἑαυτοῦ κακοδοξίας ἡμῖν ἐξεκάλυφε. τῷ γὰρ τῶν Βογομίλων ἀκολούθως δόγματι μεταβάλλει καὶ οὗτος ἐν τῇ εἰρημένῃ εὐχῇ τὸ

ὁ θεὸς ἡμῶν εἰς τὸ υἱὲ θεοῦ, ἐπεὶ ἄλλην γε αἰτίαν, δι' ἣν τὴν τοιαύτην πεποίηκε μεταβολήν, οὐκ ἂν εἰπεῖν τις ἔχοι. καὶ ταῦτα μὲν ὁ ἀτοπώτατος Βαρλαὰμ, τὰ δὲ καὶ αὐτὰ ἀπ' ἐναντίας ἔχει πάντως τῇ μακαριστῇ φωνῇ τοῦ θεμελίου τῆς πίστεως, Πέτρου, τοῦ κορυφαίου τῶν μαθητῶν, καὶ τῷ ἐπ' αὐτῇ τοῦ δεσπότου μακαρισμῷ, ὁ μὲν γὰρ εἶπε πρὸς αὐτόν· „σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος", ὁ δὲ κύριος πρὸς αὐτόν· „μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυφέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς", ἀλλὰ καὶ ἐν τῷ συμβόλῳ τῆς πίστεως, πιστεύομεν, λέγομεν, εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα, καὶ εἰς τὸν υἱὸν τοῦ θεοῦ, τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· ἆρ' οὖν οὐ θεὸν εἶναι τὸν Χριστὸν δοξάζομεν, ἐπεὶ πιστεύειν φαμὲν εἰς τὸν υἱὸν τοῦ θεοῦ; φησὶ δὲ περὶ τῆς τοιαύτης ἱερᾶς προσευχῆς καὶ ὁ χρυσορρήμων καὶ θεῖος διδάσκαλος Ἰωάννης, μονάζουσιν ἐπιστέλλων· „σχολάσατε διὰ παντὸς, καὶ παραμείνατε κυρίῳ τῷ θεῷ ἡμῶν, ἕως οὗ οἰκτειρήσῃ ἡμᾶς, καὶ μηδὲν ἕτερον ζητήσητε ἢ μόνον ἔλεος παρὰ τοῦ κυρίου τῆς δόξης, ζητοῦντες δὲ ἔλεος, ἐν ταπεινῇ καὶ ἐλεεινῇ καρδίᾳ ζητεῖτε καὶ βοᾶτε ἀπὸ πρωὶ ἕως ἑσπέρας, εἰ δυνατὸν καὶ ὅλην τὴν νύκτα τὸ κύριε Ἰησοῦ Χριστὲ, υἱὲ τοῦ θεοῦ, ἐλέησον ἡμᾶς· παρακαλῶ οὖν ὑμᾶς, βιάσασθε τὸν νοῦν ὑμῶν εἰς τοῦτο τὸ ἔργον ἕως θανάτου, πολλῆς γὰρ βίας χρῄζει τὸ ἔργον τοῦτο, ὅτι στενή ἐστιν ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ οἱ βιαζόμενοι εἰσέρχονται ἐν αὐτῇ, βιαστῶν γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· παρακαλῶ οὖν ὑμᾶς, μὴ χωρίζετε τὰς καρδίας ὑμῶν ἀπὸ τοῦ θεοῦ, ἀλλὰ προσμένετε καὶ φυλάττετε αὐτὴν μετὰ τῆς μνήμης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε, ἕως οὗ ἐμφυτευθῇ τὸ ὄνομα τοῦ κυρίου ἔσω ἐν τῇ καρδίᾳ, καὶ μηδὲν ἕτερον ἐννοεῖτε, ἢ ἵνα μεγαλυνθῇ Χριστὸς ἐν ὑμῖν. παρακαλῶ αὖ ὑμᾶς, τὸν κανόνα ταύτης τῆς προσευχῆς μηδέποτε καταπαύσητε ἢ καταφρονήσητε, ἀλλ' εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε ὁδεύετε, εἴτε τι ποιεῖτε, ἀδιαλείπτως κράζετε· κύριε Ἰησοῦ Χριστὲ, υἱὲ τοῦ θεοῦ, ἐλέησον ἡμᾶς, ἀδιαλείπτως γὰρ, φησὶν ὁ θεῖος ἀπόστολος, προσεύχεσθε χωρὶς ὀργῆς καὶ διαλογισμῶν". ἀλλὰ καὶ ὁ θεῖος διάδοχος, „ἀπαιτεῖ, φησὶν, ἡμᾶς πάντως ὁ νοῦς, ὅταν πάσας τὰς διεξόδους αὐτοῦ τῇ μνήμῃ ἀποφράξωμεν τοῦ θεοῦ, ἔργον ὀφεῖλον αὐτοῦ πληροῦν τὴν ἐντρέχειαν. δεῖ οὖν αὐτῷ διδόναι τὸ κύριε Ἰησοῦ Χριστὲ εἰς ὁλόκληρον

πραγματείαν τοῦ σκοποῦ, οὐδεὶς γὰρ, φησὶ, λέγει κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ, ὅσοι γὰρ τοῦτο τὸ ἅγιον καὶ ἔνδοξον ὄνομα τῷ βάθει μελετῶσιν ἀεὶ τῆς καρδίας ἀπαύστως, αὐτοὶ καὶ τὸ φῶς αὐτῶν τοῦ νοῦ δύνανται ὁρᾶν ποτε, πάντα γὰρ τὸν ἐπιπολάζοντα ῥύπον τῇ ψυχῇ ἐν αἰσθήσει ἱκανῇ καταφλέγει, καὶ γὰρ ὁ θεὸς ἡμῶν, φησὶ, πῦρ κατανάλισκον, ὅθεν εἰς ἀγάπην λοιπὸν πολλὴν τὴν ψυχὴν τῆς ἑαυτοῦ δόξης προσκαλεῖται ὁ κύριος, ἐγχρονίζον γὰρ τὸ ἔνδοξον ἐκεῖνο καὶ πολυπόθητον ὄνομα διὰ τῆς μνήμης τοῦ νοῦ τῇ θέρμῃ τῆς καρδίας ἕξιν ἡμῖν πάντως ἐμποιεῖ τοῦ ἀγαπᾶν τὴν αὐτοῦ ἀγαθότητα, οὗτος γάρ ἐστιν ὁ μαργαρίτης ὁ πολύτιμος, ὄντινα, πωλήσας τις τὴν περιουσίαν αὐτοῦ, εὑρεῖν δύναται καὶ ἔχειν ἀνεκλάλητον ἐπὶ τῇ αὐτοῦ εὑρέσει χαράν· καὶ μακρὸν ἂν εἴη λέγειν τὰς περὶ τούτου καὶ εἰς τοῦτο τῶν θεοφόρων πατέρων εἰσηγήσεις καὶ προτροπάς. ἰσχυριζομένων τοίνυν τῶν μοναχῶν, τῆς πνευματοκινήτου τῶν θεοφόρων διανοίας ἐπιτερπές τε καὶ θεῖον ἐξ ἀρχῆς εἶναι μελέτημα τὴν εὐχὴν ταύτην, ἅμα δὲ καὶ βουλομένων ἐφεξῆς συνείρειν, ὅσα περὶ αὐτῆς ἐν τοῖς τῶν ἁγίων συγγράμμασι κεῖται, οἷόν ἐστι καὶ τὸ εἰρημένον τῷ διὰ λόγων δειμαμένῳ τὴν κλίμακα τῆς πνευματικῆς ἀναβάσεως, μνήμη γὰρ, φησὶν, Ἰησοῦ κολληθήτω τῇ πνοῇ σου, καὶ τότε εἴσῃ ἡσυχίας ὠφέλειαν. τοιαῦτα προθυμουμένων ἐφεξῆς λέγων τῶν μοναχῶν ὁ τὰ πάντα θαυμάσιος βασιλεὺς, νῦν δὲ καὶ μακαρίῳ τέλει κατακλείσας τὸν βίον, ὡς χριστὸς κυρίου τὸν ὑπὲρ τοῦ χρίσαντος Χριστοῦ λόγον αὖθις ὑπολαβὼν, ἀλλ' ἔστω, φησὶ, καὶ δεδόσθω τῶν κακοδόξων τοῦτό τινα φάναι τὴν ἀρχὴν, οὐδὲν παρὰ τοῦθ' ἡμῖν ἔγκλημα καλῶς χρωμένοις τὸ κακῶς ἐκείνοις νενοημένον, οὐδὲ γὰρ, ἐπειδὴ θεὸν οὐράνιον λέγουσιν οἱ Πέρσαι, τὸν Ἀβραὰμ κακῶς ἐροῦμεν εἰπεῖν, τὸν θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, οὐδ' ἐπειδὴ κοσμοποιὸν νοῦν Ἕλληνές φασι τὸν θεὸν, ἡμεῖς τοῦτον τοῦ κόσμου ποιητὴν οὐκ ἐροῦμεν, ἢ τοῦτο λέγοντες ἐγκληθείημεν ἂν δικαίως, ὡς κατ' ἐκείνους φρονοῦντες· Ἕλληνες μὲν γὰρ τὴν ὕλην ἀγέννητον καὶ τῷ θεῷ συναΐδιον λέγοντες, καὶ ποιητὴν φασι τοῦ κόσμου θεὸν, ἀλλ' οὐχ ὡς προαγωγείᾳ τοῦ μήπω πρότερον μηδαμῶς ὄντος, ἀλλ' ὡς τοῦ ὄντος κοσμήτορα, τάξιν μόνον καὶ εἶδος καὶ θέσιν ἐναρμόνιον προστιθέντα τοῖς οὖσι μικροῦ τῆς κατ' ἀνθρώπους τέχνης, μηδὲν πλέον τῇ δυνάμει τοῦ θεοῦ νέμοντες, ἡμεῖς δὲ, ὥσπερ τὴν εἰς τὸ εἶναι πρόοδον ἐκ μὴ ὄντων τὰ πάντα δέξασθαι πιστεύ-

ὄντες πρὸς θεοῦ, ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ τοῦτον ἀκριβῶς γινώσκομεν, οὕτω καὶ θεοῦ υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέγοντες ὑμνοῦμεν, ἐπιβοώμεθα αὐτὸν ὡς θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ καὶ τὴν τοῦ υἱοῦ θεότητα ὁμολογοῦντες καὶ τὸν αἴτιον τῇ τοῦ υἱοῦ θεότητι προσμαρτυροῦντες. φασὶ δὲ καὶ Μασσαλιανοὺς καὶ Βογομίλους τὴν ὑπὸ τοῦ κυρίου τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις παραδεδομένην εὔχεσθαι εὐχὴν, τί οὖν ἀποσχώμεθα ταύτης ἡμεῖς διὰ τοῦτο, καὶ καταπροδῶμεν τοῖς κεκλοφόσι κακῶς τὰ ἡμέτερα, καὶ διὰ τοὺς ὑποκρινομένους ἐν λόγοις τὸ εὐσεβὲς τῶν ὄντως εὐσεβῶν ἡμεῖς ἀποστῶμεν φωνῶν; ἄπαγε τῆς αἰσχίστης κακοβουλίας. ἀλλ' ἐπειδὴ παράκλητον ἔχομεν πρὸς τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, μετ ἐλπίδος ἐπικαλεσόμεθα τὸ ὄνομα αὐτοῦ, καὶ σωτηρίας ἐκ τῆς τοιαύτης ἐπικλήσεως τευξόμεθα, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ προφήτου· „καὶ ἔσται, πᾶς, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται", καὶ ἐπειδήπερ οὐκ ἔστιν ὄνομα ἕτερον τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δὴ σωθῆναι ἡμᾶς, καὶ οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ καὶ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, μακάριος ὁ διὰ τῆς διηνεκὲς μελέτης τοῦ πολυυμνήτου τούτου ὀνόματος ἔνοικον ἔχων ἐν ἑαυτῷ τὸν θεὸν, εἰς αἰῶνα γὰρ, φησὶν, ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς, καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου, πῶς δ' οὐκ ἂν γένοιτο πνεύματος ἁγίου πλήρης ὁ τὸ θεῖον τοῦτο καὶ ὑπερδεδοξασμένον ὄνομα κατέχειν ἐν τῇ καρδίᾳ σπεύδων ἡμέρας καὶ νυκτὸς, τοῦ κυρίου ἐν εὐαγγελίοις λέγοντος, ὅτι δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτὸν ἡμέρας καὶ νυκτός; ἀνεφάνη οὖν καὶ ἀπηλέγχθη ἐκ τούτων ὁ Βαρλαὰμ βλασφήμως καὶ κακοδόξως λαλῶν περί τε τοῦ ἐν τῷ Θαβωρίῳ θείου φωτὸς καὶ ὧν κατὰ τῶν μοναχῶν περὶ τῆς μελετωμένης αὐτοῖς καὶ προφερομένης συχνῶς ἱερᾶς εὐχῆς συνεγράφετο, οἱ δὲ μοναχοὶ ἀπεδείχθησαν ἀνώτεροι τῆς κατηγορίας αὐτοῦ, ὡς στέργοντες καὶ ἐμμένοντες ταῖς περὶ τούτων τῶν ἁγίων πατέρων ἐξηγήσεσι καὶ παραδόσεσι, καθὼς καὶ αὐτοὶ ἀριδήλως διωμολόγησαν καὶ διεβεβαιώσαντο· ἔνθεν τοι καὶ κοινῇ συνοδικῇ ψήφῳ, ἅτε κακῶς καὶ ἐπισφαλῶς τοῖς θείοις ἐπιβαλὼν ὁ αὐτὸς Βαρλαὰμ, ὡς εἴρηται, καταψηφισθεὶς, συγγνώμην ἐπὶ τούτοις δῆθεν ᾐτήσατο. καὶ γοῦν ἀποφαι-

νόμεθα, ὡς εἰ μὲν ἐνδείξηται ἀληθῶς μετάνοιαν, καὶ διορθώσηται ἑαυτὸν, καὶ οὐδαμῶς οὐκέτι περὶ τῶν τοιούτων λέγων καὶ συγγραφόμενος φωραθείη, εὖ ἂν ἔχοι· εἰ δ' οὖν, ἀποκήρυκτος ἔσται καὶ ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου τῶν Χριστιανῶν συστήματος, ἀλλὰ καὶ, εἴ τις ἕτερός τι τῶν ὑπ' ἐκείνου βλασφήμως καὶ κακοδόξως κατὰ τῶν μοναχῶν, μᾶλλον δὲ τῆς ἐκκλησίας αὐτῆς λαληθέντων ἢ συγγραφέντων φανείη πάλιν τῶν μοναχῶν κατηγορῶν ἢ ὅλως τούτων ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρὰ τῆς ἡμῶν μετριότητος καθυποβαλλόμενος, ἀποκήρυκτος ἔσται καὶ αὐτὸς καὶ ἀποτετμημένος τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου τῶν χριστιανῶν συστήματος. μετ' ἐμβριθείας μέντοι καὶ πνευματικῆς αὐστηρίας καὶ ἐπιτιμήσεως λέγομεν, μηκέτι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς λόγον τινὰ τῶν ἁπάντων κινεῖν περὶ τούτων τε καὶ ἄλλων δογματικῶν λόγων, οὔτε ἐγγράφως δηλαδὴ, οὔτε ἀγράφως, ὡς οὐ μικρῶν ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ ἀνακυπτόντων σκανδάλων καὶ συγχύσεως καὶ ταραχῆς καὶ σάλου καὶ τρικυμίας ἐπιγινομένης ταῖς ψυχαῖς τῶν ἀκουόντων καὶ τῶν ἀκεραιοτέρων μάλιστα, δι' ἃ δὴ πάντως καὶ οἱ ἀνωτέρω ἐκτεθειμένοι θεῖοι κανόνες τοῖς θεοφόροις καὶ ἁγίοις πατράσιν ἐξετέθησαν. χάριν γὰρ τοῦ μηκέτι μηδένα ταῖς ὁμοίαις πλάναις περιπεσεῖν ποιούμενοι πρόνοιαν, καὶ τὸ παρὸν εἰς ἀσφάλειαν ἐκθέμενοι γράμμα, ταῖς οἰκείαις ὑπογραφαῖς ἐπεσημηνάμεθα κατὰ μῆνα ἰούλιον τῆς θ' ἰνδ' †.

XCVII. (6849—1340) novembri ind. IX.

Synodus dirimit controversiam ortam inter metropolitas Lacedaemoniae et Antiquarum Patrarum de episcopatu Amyclii.

† Τῶν δικαιοτάτων ἄρα καὶ πᾶσι πάνυ τοι ἐποφειλομένων ὅρια φυλάττειν ἕκαστον ἴδια καὶ μηδέν τοι τούτων ἐκτὸς πράττοντας φαίνεσθαι, „μὴ μέταιρε γὰρ", φησὶν, „ὅρια, ἃ ἔθεντο οἱ πατέρες σου, μηδὲ ὑπὲρ τὰ ἐσκαμμένα θέλε πηδᾶν", ὥστε καὶ τιμητέον ἡμῖν γε μάλιστα τοῦτο, οἳ περὶ αὐτοῦ καὶ τοῖς ἄλλοις διαμαρτύρεσθαι χρέος καὶ ὀφειλὴν ἔχομεν, οἷα δὴ τῶν τοῦ θεοῦ δικαιωμάτων ἐκφάντορες· ἴδοι δ' ἄν τις περὶ πλείονος αὐτὸ ποιουμένην καὶ αὐτήν γε τὴν φύσιν καὶ τὰ πράγματα, οὐχ ἥκιστα δὲ τὴν ἱερὰν καὶ θεσπεσίαν τῶν πατέρων

νομοθεσίαν· ἡ μὲν γὰρ πάντη πάντως ἀμετακίνητα τῆς ἑαυτῶν τάξεως τὰ οἰκεῖα τηρεῖ, κἂν βιάζηταί τις μυριάκις αὐτά, τὰ δὲ τὴν οἰκείαν οὐκ ἀγνοήσει φύσιν· ἀδύνατον γὰρ ὁμοίως ἢ τὸ πῦρ τῆς εἰς τὰ ἄνω φορᾶς ἢ τῆς εἰς τὰ κάτω κινήσεως τὸ ὕδωρ μετακινῆσαί τινα, οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, ὅπως ἑτέρως ἕξει ποτὲ ἢ ὡς τὴν ἀρχὴν ἐκείνη τούτοις ὥρισε καὶ ἐκύρωσε, καὶ φιλοστοργία δὲ πατέρων ἐντεῦθεν, ἀλλ' οὐκ ἄλλοθέν ποθεν, καὶ μητέρων φιλοτεκνία καὶ πᾶν, ὅ τι ἂν ἄλλο παραπλήσιον εἴποι τις, ἐντεῦθεν πάσχουσα τὴν ψυχὴν μήτηρ καὶ προκινδυνεύουσα τοῦ ἰδίου κυήματος πάντα τε δεύτερα ἢ οὐδὲν τιθεμένη τῆς ἐκείνου ζητήσεως, εἰ λάθοι που ἀποσχοινισθὲν· τῶν μὲν οὖν ἑαυτῆς ἰδίων οὕτως ἔχει φιλοστόργως ἡ φύσις, μιμεῖται δὲ αὐτὴν ἄντικρυς καὶ τὰ πράγματα, καὶ πρὸς αὐτὴν ἀπευθύνεσθαι θέλει, καὶ οὐκ ἀνέχεται χωρὶς εἶναι τούτων ἐπὶ πολύ, ὧν κακῶς ὑπέμεινε τὴν διάζευξιν, οἱονεί τισι φυσικαῖς ὁλκαῖς καὶ ἀντιπαθείαις ἀντισπώμενα καὶ ἀνθελκόμενα πάλιν, καὶ τοῖς ἱεροῖς δὲ καὶ θείοις κανόσι πάμπαν ἀπηγόρευται, μὴ τοὺς οἰκείους ὑπερβαίνειν ὅρους τινὰ ὁπωσδήποτε· ἀλλὰ γὰρ εἰς τί ταῦθ' ἡμῖν εἴρηται; δηλώσει πάντως τὰ νῦν ῥηθησόμενα. τὸ Ἀμύκλειον, ἡ ἐπισκοπή, ἣν μὲν ἄνωθεν ἐξ ἀρχῆς, ἐξ αὐτῆς, ὡς εἰπεῖν, τῆς ῥίζης καὶ τῆς ἀρχῆς διαφέρον τῇ ἀγιωτάτῃ μητροπόλει τῆς Λακεδαιμονίας, τὰ πρῶτα μὲν ἐνοριακὸν αὐτῆς δίκαιον ὄν, εἰς ἐπισκοπὴν ἔτι τελούσης τῆς τοιαύτης μητροπόλεως καὶ ὑπὸ τὴν τῆς Κορίνθου τεταγμένης, ἔπειτα, ἐξ ὅτου δηλαδὴ καὶ αὕτη τῷ τῆς μητροπόλεως ἐτιμήθη σεμνώματι, εἰς ἐπισκοπὴν καὶ αὐτὸ ἀποκαταστὰν παρὰ τοῦ μέρους αὐτῆς, σύναμα τῇ τῆς Πίσσης καὶ τῇ τῶν Ἐζερῶν δι' ἐνδόσεως ἐγγράφου βασιλικῆς καὶ συνοδικῆς. μεταξὺ μὲν πειραθείσης τῆς τῶν Παλαιῶν Πατρῶν εἰς οἰκείαν αὐτὸ μεταμεῖψαι ἐπισκοπὴν, ὅτε ἀπὸ ἀρχιεπισκοπῆς εἰς μητρόπολιν καὶ αὐτὴ προβιβασθεῖσα καὶ τιμηθεῖσα, ἔσχεν ὑφ' ἑαυτὴν καὶ ἐπισκοπὰς τῆς Κορίνθου, ἄλλας τε καὶ τὴν Λακεδαίμονος, ὑπὸ τῆς συνόδου δὲ κωλυθείσης· ἣν μὲν οὖν τῇ μητροπόλει Λακεδαίμονος διαφέρουσα ἄνωθεν ἡ ἐπισκοπὴ αὕτη, ὡς τὰ κατὰ μέρος περὶ τούτου διείληπται ἐν τοῖς προσοῦσιν αὐτῇ δικαιώμασι, φθάνει δὲ ὅμως ὑποτεθεῖσα τῇ τῶν Παλαιῶν Πατρῶν ὡς οἰκεία, εἶτα συνοδικῇ ἐγγράφῳ κρίσει καὶ διαγνώσει ἀφαιρεθεῖσα ἐκεῖθεν, τῇ τῆς Λακεδαίμονος ἀνασώζεται τῇ ἐμφανείᾳ τῶν δικαιωμάτων αὐτῆς· ἐπεὶ δὲ καὶ πρὸ ὀλί-

γου, ἐπὶ τοῦ πρὸ ἡμῶν δηλονότι ἀοιδίμου πατριάρχου, κῦρ Ἡσαΐου, τὴν αὐτὴν προτεῖναν καὶ πάλιν αἰτίαν τὸ μέρος τῆς τῶν Παλαιῶν Πατρῶν, ἴσχυσεν ἐπιλαβέσθαι τῆς ἐπισκοπῆς ταύτης, χηρευούσης τῆς Λακεδαίμονος, πορισάμενον ἐπὶ τούτῳ καὶ γράμμα συνοδικὸν καὶ σεπτὸν ἐπ' αὐτῷ πρόσταγμα, εἶτα ἐπ' ἀμφοῖν τούτοιν καὶ σεπτὸν χρυσόβουλλον, ὁ νῦν ἱερώτατος μητροπολίτης Λακεδαιμονίας καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, κῦρ Νεῖλος, οὐδαμῶς περιιδεῖν δέον ἔκρινεν ἀδικουμένην τὴν λαχοῦσαν αὐτὸν ἐπὶ τῇ οἰκείᾳ ταύτῃ ἐπισκοπῇ, καί γε ἀναφορὰν ποιησαμένου πρὸς τὸν ἐκ θεοῦ κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα καὶ κρίσιν αἰτησαμένου, ὁ ἐκ θεοῦ βασιλεὺς, ἡ βασιλικωτάτη τῷ ὄντι ψυχὴ καὶ μηδὲν οὕτω πνέουσα καὶ τρυφῶσα, ὡς τὸ δικαιοσύνην πανταχοῦ πολιτεύεσθαι καὶ ἐπικρατεῖν, ἐπιτρέπει καὶ ἀνατίθησιν ἡμῖν συνοδικῶς καὶ κανονικῶς τὸ ἀμφισβητήσιμον διευλυτῶσαι ἀμφοτέροις τούτοις δὴ τοῖς ἱερωτάτοις ἀρχιερεῦσιν· ἔνθεν τοι καὶ συνοδικῶς ἀλλήλοις ἀντιφέρονται, ἐν τῇ τῆς Γοργοεπηκόου σεβασμίᾳ μονῇ συνελθόντων ἡμῶν, ζητήσαντος τοῦτο τοῦ Παλαιῶν Πατρῶν διὰ τὴν συνήθως ἐνοχλοῦσαν αὐτὸν ἀσθένειαν, διαμηνυθέντος πρότερον καὶ δι' ἱερωτάτων ἀρχιερέων καὶ δι' ἐκκλησιαστικῶν ἀρχόντων διαφόρως καὶ ὑπερτεθέντος τοῦ πράγματος καὶ ἐπὶ μῆνας ἑπτὰ διὰ τὴν τοιαύτην αὐτοῦ ἀσθένειαν· καὶ ἐπεὶ ταῖς αὐταῖς ἦσαν αἰτίαις καὶ ἀμφότεροι χρώμενοι καὶ διισχυριζόμενοι, τῇ κατ' αὐτὸν ἑκάτερος ἐκκλησίᾳ διαφέρειν ἀρχῆθεν τὴν ἀμφίμαχον ταύτην ἐπισκοπὴν, πολλὴν ἡμεῖς, ὡς εἰκὸς, περὶ τούτου ζήτησιν ποιησάμενοι, εὕρομεν ἀριδήλως καὶ φανερῶς ἔκ τε τῆς συνοδικῆς ἐγγράφου διαγνώσεως καὶ ἀποφάσεως τοῦ τότε πατριάρχου κῦρ Γρηγορίου, ἐφ' ᾗ καὶ σεπτὸν προέβη χρυσόβουλλον, καὶ ἀπὸ τῶν ἄλλων παλαιγενῶν δικαιωμάτων, ἅπερ ὁ Λακεδαιμονίας προέτεινε, τοῦ βρεβίου δηλαδὴ τῆς βασιλικῆς καὶ συνοδικῆς ἐνδόσεως, ἐφ' ᾧ τὸν Λακεδαιμονίας ἀπαρτῆσαι ἀπὸ τῆς κατ' αὐτὸν ἐνορίας ἐπισκοπὰς τρεῖς ταύτας, τὸ Ἀμύκλειον, τὴν τῆς Πίσσης καὶ τὴν τῶν Ἑξερῶν, τῶν σεπτῶν χρυσοβούλλων, τοῦ τοπικοῦ σημειώματος καὶ τῶν ἄλλων διαφόρων δικαιωμάτων, ὡς ἄνωθεν καὶ ἐξ ἀρχῆς ἰδία τῆς Λακεδαίμονος ἦν ἡ τοιαύτη τοῦ Ἀμυκλείου ἐπισκοπὴ καὶ αὐτῇ ὑπέκειτο, εἰ καὶ μεταξὺ ἐκ περιπετείας πάντως ὑπὸ τὴν τῶν Παλαιῶν Πατρῶν γέγονεν· ἐχωρεῖτο

μὲν γὰρ ἀπ' ἐναντίας τῇ συνοδικῇ ταύτῃ διαγνώσει τὸ προσὸν τῇ τῶν Παλαιῶν Πατρῶν συνοδικὸν γράμμα τοῦ κῦρ Ἡσαΐου ἐν μέρει, αὐτόθεν δὲ ἀπηλέγχετο καὶ ἀνατροπὴν ἐλάμβανεν, ἐξ ὧν ὡς οἰκείας ἐδικαίου τὴν τῶν Παλαιῶν Πατρῶν ἐπιλαβέσθαι αὐτῆς, λέγων ἅμα καὶ ὡς οἰκονομίας λόγῳ παρεχωρήθη τῇ τῆς Λακεδαίμονος καὶ ὡς τὰ αὐτῆς ἠκύρωται δικαιώματα παρὰ τοῦ σεπτοῦ χρυσοβούλλου τοῦ βασιλέως τοῦ ἁγίου τοῦ πάππου τοῦ ἐκ θεοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ ἀοιδίμου καὶ μακαρίτου, καίπερ ἐπ' οὐδενὶ παλαιτέρῳ δικαιώματι ἐπερειδόμενον, ὥσπερ ἐπὶ πολλοῖς καὶ πολὺ τὸ βέβαιον ἔχουσι καὶ ἰσχυρὸν τὸ παρὰ τοῦ κῦρ Γρηγορίου προβάν, διαλαμβάνοντος δὲ τοῦ τοιούτου συνοδικοῦ γράμματος καὶ περὶ ἀκυρωσίας, ὡς εἴρηται, τῶν δηλωθέντων δικαιωμάτων, οὐδὲ τοῦτο παρέλκον ἡγησάμεθα, ὥστε μὴ τῇ προσηκούσῃ δοῦναι ἐξετάσει. ἐζητήθη τοίνυν καὶ ἐνεφανίσθη ἡμῖν τὸ σεπτὸν χρυσόβουλλον, παρ' οὗ ἀκυρωθῆναι ταῦτ' ἔλεγε, καὶ ἀνεγνώσθη ἐν ἐπηκόῳ, οὐδαμῶς δὲ ἐμέμνητο ὑποθέσεως τοιαύτης περὶ τῆς εἰρημένης ἐπισκοπῆς, ἀλλὰ περὶ ὑποθέσεως τοῦ μοναστηρίου τοῦ ἁγίου Νίκωνος καὶ περὶ ὕδατος. ἐπεὶ οὖν ἀριδήλως καὶ ἀναντιρρήτως ἀπεδείχθη, καθ' ὃν εἴρηται τρόπον, ἄνωθεν καὶ ἐξ ἀρχῆς τῇ τῆς Λακεδαίμονος διαφέρουσα ἡ τοῦ Ἀμυκλείου ἐπισκοπὴ καὶ ὡς ἐνοριακὸν αὐτῆς δίκαιον τὴν ἀρχὴν καὶ ὡς παρ' αὐτῆς εἰς ἐπισκοπὴν προβιβασθεῖσα καὶ ὑπ' αὐτὴν τελοῦσα, δι' ἃ καλῶς πάντως καὶ κανονικῶς ἐδικαίωσε καὶ ἡ τοῦ κῦρ Γρηγορίου συνοδικὴ πρᾶξις, οἷα μητρὶ γνησίᾳ τῇ τῆς Λακεδαίμονος ὑποκεῖσθαι καὶ πάλιν αὐτήν· συνδιασκεψαμένη τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Κυζίκου, τῷ Σάρδεων, τῷ Θεσσαλονίκης, τῷ Δυρραχίου, τῷ Χριστουπόλεως, τῷ Μαδύτων, τῷ Μηθύμνης καὶ τὸ Βάρνης, τὸ κῦρος καὶ βέβαιον ἔχειν καὶ εἰς τὸ ἑξῆς τὰ τοιαῦτα δικαιώματα τῆς πολλάκις διαληφθείσης ἁγιωτάτης μητροπόλεως Λακεδαιμονίας ἔκρινε, καὶ κατ' αὐτὰ ἐδικαίωσεν ἐπανελθεῖν καὶ ἐπανασωθῆναι τῇ διαληφθείσῃ ἁγιωτάτῃ μητροπόλει τῆς Λακεδαιμονίας τὴν ῥηθεῖσαν ἐπισκοπὴν αὐτῆς τοῦ Ἀμυκλείου καὶ ὑποκεῖσθαι αὐτῇ ἀναφαιρέτως καὶ ἀναποσπάστως εἰς τὸν ἑξῆς ἅπαντα καὶ διηνεκῆ χρόνον, κατά τε τὴν περίληψιν τῶν προσόντων αὐτῇ ἐγγράφων δικαιωμάτων, ἐξ ὧν ἀριδηλότατα ἀναφαίνεται, οἰκείαν ταύτης εἶναι ἐπισκοπήν, ὡς καὶ τὴν τῆς Πίσσης καὶ τὴν τῶν Ἐζερῶν,

καθὼς ἀνωτέρω λέλεκται, καὶ καθὼς οἱ ἱεροὶ καὶ θεῖοι δικαιοῦσι κανόνες· φησὶ γὰρ ὁ τῆς ἐν Χαλκεδόνι ἁγίας συνόδου ἑπτακαιδέκατος κανών· „τὰς καθ' ἑκάστην ἐκκλησίαν ἀγροικικὰς παροικίας ἢ ἐγχωρίους μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα, εἰ τριακονταετῆ χρόνον ταύτας ἀβιάστως διακατέχοντες ᾠκονόμησαν· εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐτῶν γεγένηταί τις περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικῆσθαι περὶ τούτων κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας· εἰ δέ τις ἀδικοῖτο παρὰ τοῦ ἰδίου μητροπολίτου, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ δικαζέσθω, καθὰ προείρηται". καὶ ὁ τῆς ἐν Ἐφέσῳ ὄγδοος κανὼν μετά τινα· „τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων διοικήσεων καὶ τῶν ἁπανταχοῦ ἐπαρχιῶν παραφυλαχθήσεται, ὥστε μηδένα τῶν θεοφιλεστάτων ἐπισκόπων ἐπαρχίαν ἑτέραν οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ ἄγουν τῶν πρὸ αὐτοῦ χεῖρα καταλαμβάνειν, ἀλλ' εἰ καί τις κατέλαβε καὶ ὑφ' ἑαυτῷ πεποίηται βιασάμενος, τοῦτον ἀποδιδόναι, ἵνα μὴ τῶν πατέρων οἱ κανόνες παραβαίνωνται, μηδὲ ἐν ἱερουργίας προσχήματι ἐξουσίας τῦφος κοσμικῆς παρεισδύηται, μηδὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν ἀπολέσαντες, ἣν ἡμῖν ἐδωρήσατο τῷ ἰδίῳ αἵματι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ πάντων ἀνθρώπων ἐλευθερωτής. ἔδοξε τοίνυν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ σώζεσθαι ἑκάστῃ ἐπαρχίᾳ καθαρὰ καὶ ἀβίαστα τὰ αὐτῇ προσόντα δίκαια ἐξ ἀρχῆς καὶ ἄνωθεν, κατὰ τὸ πάλαι κρατῆσαν ἔθος, ἄδειαν ἔχοντος ἑκάστου μητροπολίτου, τὰ ἴσα τῶν πεπραγμένων πρὸς τὸ οἰκεῖον ἀσφαλὲς ἐκλαβεῖν· εἰ δέ τις μαχόμενον τύπον τοῖς νῦν ὡρισμένοις προκομίσει, ἄκυρον εἶναι τοῦτον ἔδοξε τῇ ἁγίᾳ πάσῃ καὶ οἰκουμενικῇ συνόδῳ". καὶ γοῦν ἔσται μὲν ἡ ἐπισκοπὴ αὕτη ὑποτεταγμένη τῇ τῆς Λακεδαίμονος, καθὰ καὶ τὸ πρότερον, τοῦ ἱερωτάτου ταύτης μητροπολίτου φροντίζειν καὶ ὑπὲρ αὐτῆς ὀφείλοντος κατὰ τὸ χρέος, ὅπερ ἔχει ἐπ' αὐτῇ, οὐδεὶς δὲ οὐκέτι τῶν τοῦ μέρους τῆς τῶν Παλαιῶν Πατρῶν, οὔτε ὁ νῦν ἱερώτατος αὐτῆς ἀρχιερεύς, οὔτε τις τῶν μετ' αὐτὸν δι' ὄχλου περὶ αὐτῆς γενήσεται τῷ τῆς Λακεδαίμονος, ἐπεί, ἣν ἐπορίσατο συνοδικὴν πρᾶξιν, καὶ αὐτὴ τὸ ἄκυρον ἔχειν ὀφείλει, δι' ἃς εἴπομεν αἰτίας, ὅτι οὐδὲ ὀφείλει τις αὐτῶν, οὐδὲ δίκαιον ἴσχει ἀλλοτρίας ἀντιποιεῖσθαι ἐπισκοπῆς, ὡς ἀπεδείχθη ἐναργῶς καὶ προδήλως μετὰ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξέτασιν τῶν ἱερῶν

καὶ θείων κανόνων, δικαιούντων ἑκάστην ἐκκλησίαν, τῶν οἰκείων εἶναι ἐπαπολαύουσαν. τούτου γὰρ χάριν καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις ἐγένετο καὶ ἐπεδόθη τῷ μέρει τῆς πολλάκις διαληφθείσης ἁγιωτάτης μητροπόλεως Λακεδαιμονίας εἰς διαιωνίζουσαν τὴν ἀσφάλειαν †.

† Εἶχε τὸ· μηνὶ νοεβρίῳ ἰνδ. θ'. διὰ τῆς πατριαρχικῆς τιμίας χειρὸς, ἀπηώρητο αὐτοῦ καὶ βούλλα μολυβδίνη, ἔχουσα ἐν μὲν τῷ ἑνὶ μέρει τὴν εἰκόνα τῆς θεοτόκου βρεφοκρατοῦσαν, ἐν δὲ τῷ ἑτέρῳ· Ἰωάννης ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

XCVIII. (6849—1341) maio ind. IX.

Synodi decretum de quodam monasterio monialium.

† Ὁ δομέστικος κῦρ Φωκᾶς ὁ Μαρούλης ἐκεῖνος, θείῳ νυγεὶς ἔρωτι τὴν ψυχὴν καὶ ἱερὸν ἱδρυσάμενος οἶκον τῇ θεομήτορι πλησίον τῶν αὐτοῦ οἰκημάτων περὶ τὴν γειτονίαν τῆς πόρτης τῆς τοῦ ἁγίου μάρτυρος Ῥωμανοῦ, ἐπὶ θεμελίοις παλαιτάτου ναοῦ τοῦτον οἰκοδομήσας φιλοτίμῳ τῇ προαιρέσει καὶ δαψιλέσι τοῖς ἀναλώμασιν, ὃν δὴ ναὸν λόγος τετιμῆσθαι τῷ ὀνόματι τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Μηνοδώρας, Νυμφοδώρας καὶ Μητροδώρας, ἐπεὶ καὶ εἰς ἱερὰν θεῷ μονὴν τοῦτον ἀποκαταστῆσαι προέθετο, κελλία περὶ αὐτὸν δειμάμενος καὶ θριγγίῳ περιβαλὼν ἔξωθεν, κτήματά τε ἱκανὰ προσκυρώσας καὶ ἁπλῶς πάντα τὰ εἰς ἀπαρτισμὸν συντελέσας, μοναζουσῶν αὐτὸ γυναικῶν καθίστησι φροντιστήριον, εἰς ἣν δὴ κατάστασιν καὶ ἐμμένον ἦν, ἕως αὐτὸς ἐν τοῖς ζῶσιν εὑρίσκετο, ἐτήρησέ τε τὴν τάξιν ταύτην καὶ μετὰ τὴν αὐτοῦ ἀποβίωσιν ἐπί τισι χρόνοις· ἀλλ' ὁ υἱὸς ἐκείνου πρωτοιερακάριος κῦρ Ἰωάννης ὁ Συναδηνὸς μετασκευάσαι κατὰ νοῦν θέμενος καὶ μετενεγκεῖν εἰς ἀνδρῶαν ἀπὸ γυναικείας τὴν τοιαύτην μονὴν, ἠνάγκασε καὶ κατέπεισε συνεργοῦσαν εἰς τοῦτο φανῆναι καὶ συμπράττουσαν καὶ τὴν αὐτοῦ μητέρα τὴν δομεστίκισσαν καὶ οἷς οὗτος ἔλεγε περὶ τῆς μονῆς, καὶ οἷς προέτεινε γράμμασι, διαθήκῃ δηλαδὴ τοῦ πατρὸς δῆθεν καὶ ἐνώμοτον οἰκεῖον αὐτοῦ γράμμα, δι' οὗ κατησφαλίσατο καὶ πεπληροφόρηκεν, ὡς ἔλεγε πρὸς ἐκεῖνον εἰς τέλος ἀγαγεῖν τὴν ἣν ἔσχεν ἐκείνου ἀνάθεσιν, ὥστε εἰς ἀνδρῶαν ταύτην μετα-

ποιῆσαι, συμμαρτυροῦσαν εἶχε καὶ αὐτὴν δὴ τὴν οἰκείαν μητέρα, ἀπέκρυψε δὲ αὕτη σὺν τῷ υἱῷ τηνικαῦτα καὶ οὐ διωμολόγησε τήν τε εἰς τέλος βούλησιν καὶ τὸν σκοπὸν τοῦ ἀνδρὸς καὶ τὴν κατάστασιν, ἣν ἔσχε τὰ τῆς τοιαύτης μονῆς, ἕως τε κατὰ τὴν αὐτῶν πολλὴν καὶ ἐπίμονον περὶ τούτου ζήτησιν καὶ ἱκεσίαν καὶ τὴν ἐπὶ πλεῖον παρ' ἡμῶν παράτασιν εἰς τέλος τὰ τοῦ πράγματος εἴληχε, καὶ ἕως ὁ υἱὸς ἐν τοῖς ζῶσιν εὑρίσκετο. ἐπεὶ δὲ κἀκεῖνος ἐξ ἀνθρώπων ἐγένετο, μετάνοια τὰύτην εἰσῆει, καὶ συγγνώμης ἠξίου τυχεῖν, ἐφ' οἷς οὐ καλῶς συνέδρασε τῷ υἱῷ, κατειποῦσα τῆς ἀληθείας καὶ χῶραν κατ' αὐτῆς τῷ ψεύδει παρασχομένη, καὶ ταῦτα ἐπὶ πράγμασιν ἱεροῖς, ἅπερ οὐ μικρὸν οἶδεν ἐπάγειν τὸν τῆς ψυχῆς κίνδυνον, καὶ ἐν οἷς πάντας ἁπλῶς καὶ τοὺς τυχόντας ἀληθίζειν χρεών, μὴ ὅτι γε ἀνθρώπους τῶν πολλῶν διαφέροντας κατά τε τὴν ἑαυτῶν παίδευσιν καὶ γνῶσιν καὶ τῷ κατὰ κόσμον ἀξιώματι· „ἁγιάζεται καὶ γὰρ, ὥς φησι, τὸ στόμα τοῦ ἀληθεύοντος ἐκ τῆς ταυτοαληθείας Χριστοῦ, μολύνεται δὲ τὸ τοῦ ψευδομένου ἀπὸ τοῦ πατρὸς τοῦ ψεύδους τοῦ διαβόλου". ἀμέλει καὶ ἐπιστᾶσα τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ καὶ τὰ περὶ τούτου ἐξειποῦσα καὶ ἀνενέγκασα καὶ συγγνώμην αἰτησαμένη, μεθ' ἑαυτῆς ἔχουσα καὶ τὰς οἰκείας θυγατέρας καὶ σὺν αὐταῖς ἱκετεύουσα, ἵνα καὶ ἡ σεβασμία αὕτη μονὴ τὴν πρώτην ἀπολάβῃ κατάστασιν, ἐπειδὴ καὶ ἀσφάλειαν ἀπαιτηθεῖσα ἔγγραφον ταύτην ἐποιήσατο διαλαμβάνουσαν.... ἐλαλήθη δὲ παρὰ τοῦ μέρους αὐτῆς καὶ ὡς ταῖς ἀληθείαις ἀρχῆθεν ἡ μονὴ γυναικεῖα ἀποκατέστη καὶ ἐσφραγίσθη καὶ ἐν αὐτῇ καὶ καθηγουμένη, καὶ διέμεινεν οὕτω καὶ ἐπὶ ἱκανοῖς τοῖς χρόνοις, διὰ δὲ τὸ τοῦ υἱοῦ θέλημα καὶ τὴν ἀνάγκην τὴν προτέραν ἐποιήσατο μαρτυρίαν οὐκ ἀληθῆ, ποιησαμένου ταύτῃ τοῦ υἱοῦ διὰ τοῦτο καὶ ἀνάπαυσιν ἰδίαν διὰ κελλίων ἰδίων πλησίον τῆς τοιαύτης μονῆς καὶ ἀνεγείραντος ἐν αὐτοῖς καὶ οἶκον εὐκτήριον. καὶ ὡς καὶ ἡ ἐν τῇ τραπέζῃ ἱστορία ὁσίας εἶχε τὴν ἀρχὴν γεγραμμένας γυναῖκας, μετεποίησε δὲ τὴν ἱστορίαν ταύτην ὁ πρωτοιερακάριος ὕστερον εἰς ὁσίους, καὶ ἀριδήλως καὶ ὁμολογουμένως ἀνεφάνη, ὡς γυναῖκες ἀποκατέστησαν, καὶ εὑρίσκοντο ἐπὶ πολλοῖς τοῖς χρόνοις εἰς τὴν τοιαύτην μονὴν, καὶ πολλαὶ τούτων ἐν αὐτῇ ἀπεκάρησαν, καὶ οὐδὲ τὸ ἀντιδικοῦν μέρος εἶχεν ἀντιλέγειν πρὸς τοῦτο. ἡ μετριότης ἡμῶν ἐν δευτέρῳ τἆλλα θεμένη, ζήτησιν, ὡς ἐχρῆν, πολλὴν καὶ ἀκριβῆ ἐποιήσατο, εἰ ταῖς ἀληθείαις ἐγένετο τέως ἡ ὀφει-

λομένη ἐπὶ τῇ μονῇ ἐκκλησιαστικὴ κατάστασις, καὶ προεβλήθη καὶ ἐσφραγίσθη καθηγουμένη εἰς προστασίαν καὶ ποιμανσίαν τῶν αὐτῇ τότε εὑρισκομένων μοναζουσῶν, ἐκφωνήσασα τούτου χάριν καὶ ἀφορισμοῦ ἔγγραφον ἐπιτίμιον, ἐφ' ᾧ τοὺς εἴδησιν ἔχοντας περὶ τούτου καὶ εἰς μαρτυρίαν προκομισθησομένους εἰπεῖν καὶ μαρτυρῆσαι τὸ ἀληθὲς, ἐφ' ᾧ δὴ βάρει καὶ ἐμαρτυρήθη παρά τε τοῦ θεοφιλεστάτου πρωτονοταρίου διακόνου κῦρ Μιχαὴλ τοῦ Καβαλλαροπούλου καὶ παρ' ἑτέρων διαφόρων προσώπων, ὡς αὐτήκοοι ἐγένοντο τοῦ δομεστίκου καὶ ἔχουσι μαθόντες παρ' ἐκείνου τὴν ἐπὶ τῇ τοιαύτῃ μονῇ θέλησιν καὶ τὸν σκοπὸν αὐτοῦ, γυναικεῖαν δηλονότι καὶ ἐπιχειρίσαι καὶ ἀπαρτίσαι αὐτὴν, ὡς εἰς κατάντημα εἶναι καὶ ἀνάπαυσιν καὶ τῆς αὐτοῦ γυναικὸς καὶ τῶν θυγατέρων αὐτῶν. ὁ μέντοι πρεσβύτερος Κωνσταντῖνος ὁ Τζυβιστιανὸς διωμολόγησε ἰδεῖν ὀφθαλμοῖς οἰκείοις τὴν νεωστὶ σφραγισθεῖσαν ἡγουμένην ἐπὶ τῇ τοιαύτῃ μονῇ, παραπεμπομένην εἰς ταύτην παρὰ τῶν ἐν αὐτῇ μοναχῶν λαμπαδηφορουσῶν, ὡς εἴθισται, καὶ ὁ πρεσβύτερος δὲ Γεώργιος ὁ Τζαχείλης, ὁ τῷ θείῳ ναῷ τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Πηγῆς ὑπηρετούμενος ἱερατικῶς, καὶ αὐτὸς διωμολόγησε παρατυχὼν καὶ τοῦ εἰρημένου βάρους ἀκούσας ἐρωτωμένης τῆς τιμιωτάτης ἐν μοναχαῖς κυρᾶς.... τῆς Ἀγγελίνης, ὡς εἶδε διαφόρως παραγενομένην τὴν καθηγουμένην τῆς τοιαύτης μονῆς μετὰ καὶ ἑτέρων μοναχῶν εἰς προσκύνησιν τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Πηγῆς· ἐρωτηθεὶς δὲ προτροπῇ συνοδικῇ κατὰ τὸν ὅμοιον τρόπον παρὰ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Δυρραχίου, τοῦ Λακεδαιμονίας καὶ τοῦ Μαδύτων, καὶ ὁ συμπένθερος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἐπὶ τῆς τραπέζης, κῦρ Γεώργιος ὁ Χοῦμνος, εἶπε καὶ διεβεβαιώσατο περὶ τῆς ἐν τῇ μονῇ ταύτῃ σφραγισθείσης μοναχῆς, ὡς αὐτὸς οὗτος προεξένησε ταύτην τῷ δομεστίκῳ, ζητοῦντι καθηγουμένην τῇ μονῇ ἐγκαταστῆναι, οὐ μὴν ἀλλὰ καὶ ὁ ἀπὸ τῶν εὐλαβῶν ἐπισκοπειανῶν καὶ θυρωρῶν τοῦ κελλίου τῆς ἡμῶν μετριότητος, Γεώργιος ὁ Σιγηρὸς, καὶ αὐτὸς εἶπε καὶ ἐμαρτύρησε, παρεῖναι τῇ σφραγῖδι τῆς ἡγουμένης, ὅτε παρὰ τοῦ ἀοιδίμου πατριάρχου κῦρ Γερασίμου πρώτως ἤδη ἐσφράγισται, δεικνύων ἅμα καὶ τὸν τόπον, ἐν ᾧ ἐτελέσθη τὰ τῆς σφραγῖδος αὐτῆς. ἐξ ὧν δὴ μαρτυριῶν πληροφορίαν λαβόντες τοῦ πράγματος, εἴχομεν ὡς εἰκὸς παραγραφῆς ἀξίαν κρῖναι καὶ ἣν ἐνεφάνισε τὸ μέρος τοῦ πρωτοιερακαρίου,

διαθήκην δῆθεν τοῦ δομεστίκου, ὅτε καὶ ἀληθῶς ἐκεῖνος ταύτην ἐξέθετο, οὐδὲ γὰρ ἐξῆν ἐκείνῳ κατάστασιν λαβοῦσαν τὴν μονὴν παρὰ τῆς ἐκκλησίας θεοῦ, ἥντινα δῆτα καὶ ἔλαβε διὰ πατριαρχικῆς σφραγῖδος, ὡς εἴρηται, μεταποιῆσαι καὶ ἐφ' ἑτέραν κατάστασιν ἀγαγεῖν, εἰς ἀνδρῶαν δηλονότι ἀπὸ γυναικείας, ἀπείρηται γὰρ τοῖς ἱεροῖς πατράσι μετασκευάζεσθαι καὶ μεταποιεῖσθαι τὰς ἱερὰς μονὰς ἐκ τῆς ἧς ἔλαχον ἀρχῆθεν ἀποκαταστάσεως. ἀπηλέγχθη δὲ ὅμως καὶ ἡ διαθήκη πεπλασμένη ὑπὸ μάρτυρι τῷ ἱερομονάχῳ καὶ πνευματικῷ πατρὶ τῷ Θεοδωρίτῳ, ἐξειπόντι καὶ διομολογήσαντι, καὶ ὅπως ἐξέθετο ταύτην αὐτὸς γνώμῃ τοῦ πρωτοιερακαρίου, καὶ ὅπως ὑπέγραφεν ὡς ἀπὸ προσώπου τοῦ δομεστίκου εἰπόντος τοῦτο πρὸς αὐτόν. ἔνθεν τοι καὶ συνδιασκεψαμένη τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἡρακλείας, τῷ Σάρδεων, τῷ Δυρραχίου, τῷ Λακεδαιμονίας, τῷ Μαδύτων, τῷ Μηθύμνης, τῷ Βάρνης, τῷ Βιτζίνης καὶ τῷ Κῶ, διέγνω καὶ ἀπεφήνατο, ἵνα, ἐπειδὴ ἀπεδείχθη ἀριδήλως, ὡς ἐσφραγίσθη καὶ ἀποκατέστη παρὰ τῆς ἐκκλησίας θεοῦ καθηγουμένη ἐν τῇ τοιαύτῃ μονῇ, χρὴ δὲ κατὰ τοὺς ἐν τοῖς τοιούτοις θεσμοὺς τῶν πατέρων τὰς ἀρχῆθεν ἀνδρῴας εἰς ἀνδρῴας διατελεῖν, τὰς δὲ γυναικείας εἰς γυναικείας, καὶ μηδαμῶς ἐναλλάττειν καὶ μετατιθέναι τὴν τάξιν ταύτην τινὰ, ἀλλὰ ἀσύγχυτον ἐᾶν διαμένειν καὶ ἀπαραποίητον, ἐπανέλθῃ καὶ ἐπανασωθῇ καὶ τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ ἡ πρώτη καὶ ἀρχαῖα κατάστασις καὶ γυναικεῖαν εἶναι καὶ αὖθις ταύτην ὀνομάζεσθαι, καθὼς καὶ τὴν ἀρχὴν ἐδομήθη, καὶ καθὼς παρὰ τῆς ἐκκλησίας ἀποκατέστη θεοῦ, ἥτις δὴ καὶ λήψεται μὲν πάλιν τὴν κατάστασιν ταύτην, ἔσται δὲ διοικουμένη καὶ διεξαγομένη παρά τε τῶν ἐν αὐτῇ μοναζουσῶν καὶ τῆς τὴν προστασίαν καὶ ἡγουμενείαν αὐτῶν ἀναδεξομένης. ἡ μέντοι δομεστίκισσα καὶ ὅσαι τῶν θυγατέρων καὶ τοῦ γένους αὐτῶν καταντήσουσιν ἐν αὐτῇ, προνοήσονται παντοιοτρόπως αὐτῇ τὰ εἰς σύστασιν καὶ ἐπὶ τὰ βελτίω προχώρησιν, ἀλλ' οὐδέν τι λυμανοῦνται, οὐδὲ καινοτομήσουσι τῶν προσκυρωθέντων καὶ ἀφιερωθέντων αὐτῇ κτημάτων καὶ πραγμάτων ἢ τῶν εἰσέπειτα ἀφιερωθησομένων, ὡς ἂν οὕτω καὶ τὸ ἀνῆκον τοῖς δομήτορσι μνημόσυνον περισώζηται, ἀλλ' οὐδὲ ἐξέσται αὐταῖς κατεξουσιάζειν καὶ κατακυριεύειν τῆς τοιαύτης μονῆς ἢ καὶ τὰς ἐνασκουμένας αὐτῇ μοναχὰς ἄγειν καὶ φέρειν, ὡς βούλοιντο, καὶ ἀνακρίνειν, ἅς τε θέλοιεν εἰσάγειν καὶ ἐξάγειν, καὶ

τὰς μὲν ὑφ' ἑαυτὰς τὸν τρόπον τοῦτον ποιεῖσθαι, τῆς δὲ καθηγουμένης ἀφαιρεῖσθαι τὴν πνευματικὴν ἐξουσίαν, παρὰ τὴν τῶν ἱερῶν καὶ θείων κανόνων διατύπωσιν καὶ διαταγήν. φασὶ γὰρ οὗτοι· „πρᾶγμα σεμνὸν οὕτω καὶ τίμιον καὶ τοῖς μακαρίοις καὶ ὁσίοις πατράσιν ἡμῶν πάλαι καλῶς ἐπινοηθὲν, ἡ τῶν μοναστηρίων ἀνοικοδομὴ, κακῶς ὁρᾶται πραττόμενον σήμερον, τινὲς γὰρ ὄνομα μοναστηρίου ταῖς οἰκείαις περιουσίαις καὶ ὑπάρξεσι περιθέμενοι καὶ θεῷ καθαγιάζειν ταύτας ἐπαγγελλόμενοι, κυρίους τῶν ἀφιερωθέντων αὐτοὺς ἀναγράφουσι, καὶ μόνῃ τῇ προσηγορίᾳ τὸ θεῖον ἀφοσιοῦν ἐκμηχανᾶσθαι διεγνώκασι· τὴν γὰρ αὐτὴν ἐξουσίαν καὶ μετὰ τὴν ἀφιέρωσιν οὐκ ἐρυθριῶσι σφετερίζεσθαι, ἥνπερ ἔχειν οὐκ ἐκωλύοντο πρότερον, καὶ τοσαύτη καπηλεία προσετρίβη τῷ πράγματι, ὥστε καὶ πολλὰ τῶν ἀφιερωθέντων παρ' αὐτῶν δὴ τῶν ἀφιερωσάντων καθορᾶται πιπρασκόμενα, θάμβος ὁμοῦ καὶ μῖσος τοῖς ὁρῶσι παρεχόμενα, καὶ οὐ μόνον οὐκ ἔστιν αὐτοῖς μεταμέλεια, ἐφ' οἷς τῶν ἅπαξ ἀνατεθειμένων θεῷ τὴν ἐξουσίαν ἑαυτοῖς ἐπιτρέπουσιν, ἀλλὰ καὶ ἑτέροις ταύτην ἀδεῶς παραπέμπουσιν. ὥρισεν οὖν διὰ ταῦτα ἡ ἁγία σύνοδος, μηδενὶ ἐξεῖναι μοναστήριον οἰκοδομεῖν ἄνευ τῆς τοῦ ἐπισκόπου γνώμης καὶ βουλῆς, ἐκείνου δὲ συνειδότος καὶ ἐπιτρέποντος καὶ τὴν ὀφειλομένην ἐπιτελοῦντος εὐχὴν, ὡς τοῖς πάλαι θεοφιλῶς νενομοθέτηται, οἰκοδομεῖσθαι μὲν τὸ μοναστήριον, μετὰ πάντων δὲ τῶν αὐτῷ προσηκόντων σὺν αὐτῷ ἐκείνῳ βρεβείῳ ἐγκαταγράφεσθαι καὶ τοῖς ἐπισκοπικοῖς ἀρχείοις ἐγκατατίθεσθαι, μηδαμῶς ἄδειαν ἔχοντος τοῦ ἀφιεροῦντος παρὰ γνώμην τοῦ ἐπισκόπου ἑαυτὸν ἡγούμενον ἢ ἀνθ' ἑαυτοῦ ἕτερον καθιστᾶν· εἰ γὰρ, ἅπερ τις ἀνθρώπῳ χαρίζεται, τούτων οὐδέν τι κύριος εἶναι δύναται, πῶς, ἅπερ τις θεῷ καθαγιάζει καὶ ἀνατίθησι, τούτων ὑφαρπάζειν τὴν κυριότητα παραχωρηθήσεται;" καὶ πάλιν· „οἱ κληρικοὶ τῶν πτωχείων καὶ μοναστηρίων καὶ μαρτυρείων ὑπὸ τὴν ἐξουσίαν τῶν ἐν ἑκάστῃ πόλει ἐπισκόπων κατὰ τὴν τῶν ἁγίων πατέρων παράδοσιν διαμενέτωσαν, καὶ μὴ κατὰ αὐθάδειαν ἀφηνιάτωσαν τοῦ ἰδίου ἐπισκόπου· οἱ δὲ τολμῶντες ἀνατρέπειν τὴν τοιαύτην διατύπωσιν καθ' οἱονδήτινα τρόπον καὶ μὴ ὑποταττόμενοι τῷ ἰδίῳ ἐπισκόπῳ, εἰ μὲν εἶεν κληρικοὶ, τοῖς τῶν κανόνων ὑποκείσθωσαν ἐπιτιμίοις, εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ, ἔστωσαν ἀκοινώνητοι". διὰ ταῦτα δὴ καὶ αὗται κατὰ τὸ προσῆκον αὐταῖς χρέος, τὸ συμφέρον τῇ μονῇ προνοούμεναι, οὔτε τι τῶν αὐτῆς σφετερίσονται, οὐδὲ ἐκδώσουσιν ἢ

ταύτην ἢ τῶν αὐτῆς κτημάτων τι εἰς ἕτερον πρόσωπον, ἀλλ' ἐλευθέραν ἐάσουσι μένειν καὶ καθ' ἑαυτήν, διεξαγομένην παρὰ τῆς κατὰ καιροὺς ἀποτεταγμένης εἰς προστασίαν τῶν ἐν αὐτῇ μοναχῶν καὶ παρ' αὐτῶν δὴ τῶν αὐτῆς μοναχῶν, τοῖς γὰρ τὰ τοῦ θεοῦ ἰδιοποιουμένοις καὶ ὑφ' ἑαυτοὺς ποιεῖν ἐθέλουσι μέγιστον ἀπείληται ἐκεῖθεν κατάκριμα. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ ἔγγραφος διάγνωσις καὶ ἀπόφασις γεγονυῖα ἐπιδέδοται εἰς ἀσφάλειαν, μηνὶ ματ῾ῳ ἰνδ. θ' †.

XCIX. (6850—1342) aprili ind. X.

Synodus decernit, Michaelem Cabasilam non esse reum munerum acceptationis.

† Ὁ Καβάσιλας κῦρ Μιχαὴλ, πλησιασμὸν ἔχων καὶ ἐγγύτητα πρὸς τὸν ποτε Ἄπρω καὶ καθολικὸν κριτὴν, τοῦτο μὲν καὶ ὡς ἐκ παιδὸς ὑπ' αὐτῷ παιδαγωγηθείς, τοῦτο δὲ καὶ ὡς ἐπ' ἀνεψιᾷ γαμβρὸς αὐτοῦ εὑρισκόμενος καὶ βασιλικῷ ὁρισμῷ ὑποτασσόμενος αὐτῷ καὶ ὑπηρετούμενος, γραφῇ παραδιδοὺς τὰ παρ' αὐτοῦ κρινόμενα καὶ ἀποφαινόμενα, ἐπειδὴ ὁ μὲν ὅμοῦ τε τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα καὶ τὴν τῆς κρίσεως ἐνοχὴν παρῃτήσατο, δι' ἃς δῆτα αἰτίας καὶ παρῃτήσατο. ἐζήτησε δὲ ἀρτίως ὁ Καβάσιλας εἰς ἱερωσύνην προβιβασθῆναι, προσίστασθαι αὐτῷ εἰς τοῦτό τινες ἔλεγον τὰ τῆς τοιαύτης ὑπηρεσίας, δωροληψίας ἔγκλημα καὶ πλεονεξίας τούτῳ προσάπτοντες, ἐνίσταντο δὲ τοῦτο μάλιστα διὰ τὸ προσκεῖσθαι τῇ παραιτήσει, ὡς ὑπ' αἰτίᾳ δῆθεν τούτῳ γενέσθαι αὐτὴν λαμβάνοντι πλείω τοῦ δέοντος. τοῦ πράγματος τοίνυν δοθέντος διασκέψει συνοδικῇ καὶ ἀκριβῶς τρακταῖσθέντος, ἐπεὶ πολλαχοῦ διαγορεύοντες φαίνονται οἱ θ' ἱεροὶ καὶ θεῖοι τῶν ἁγίων κανόνες, οἵ τε φιλευσεβεῖς νόμοι, ὡς μετὰ παραγγελίαν καὶ ἐπιφώνησιν, εἰ μὴ τῆς πλεονεξίας καὶ αἰσχροκερδείας οἰασδήτινος παύσαιντο οἱ τὸ θεῖον ἔχοντες τῆς ἱερωσύνης ἀξίωμα, τηνικαῦτα καθαιρέσει καθυποβάλλονται, οὐδαμῶς προσῆκον, οὐδὲ δίκαιον ἐκρίθη κανονικῶς, ἐμποδὼν αὐτῷ γενέσθαι τὴν τοιαύτην παραίτησιν, ἅτε δὴ μὴ ἐνεχομένῳ, οἷς ἐκεῖνος φέρων ἑαυτὸν ὑπέθηκε καὶ ἠσφαλίσατο, ἐφ' ὧν ἀνώτερον ἑαυτὸν συντηρῆσαι δωροληψίας, τὰ γὰρ παρ' ἑτέρων γινόμενα ἑτέρους οὐ καταβλάπτουσι, καὶ ψυχή, φησὶν, ἡ ἁμαρτήσασα, αὐτὴ καὶ ἀποθανεῖται, πορισμὸς γὰρ εἰς ζωὴν ἑκάστῳ τὸ οἰκεῖον ἐπιτήδευμα, τῷ μὲν τόδε τῷ δὲ τόδε καὶ ἄλλῳ ἄλλο, καὶ τοῦτο οὐδένα ἂν ἔχοι λόγον

τὸν δίκαιον, ἐγκλήματος κατ' αὐτοῦ τόπον ἔχειν, ὡς καὶ τῆς οἰκείας προκοπῆς ἐντεῦθεν κωλύεσθαι, ὅθεν οὐδὲ τῷ Καβάσιλα ἐμπόδιον ἂν εἴη τὸ ἀπὸ τῆς εἰρημένης ὑπηρεσίας πολὺ εἴτε ὀλίγον λαμβάνειν, ἀλλ' εἴπερ ἐδίδου καὶ αὐτὸς ὑπὲρ τούτου τὴν αὐτὴν ἀσφάλειαν ὡς κριτής. ἔνθεν τοι καὶ διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν σύναμα τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Σάρδεων, τῷ Σίδης, τῷ Πηγῶν, τῷ Δυρραχίου, τῷ Μαδύτων, τῷ Ἄπρω, τῷ Μηθύμνης, τῷ Χίου, τῷ Γάνου, τῷ ...., τῷ Ἑξαμιλίου, τῷ Λιτίτζης καὶ τῷ ὑποψηφίῳ Μονεμβασίας, ἀθῷον εἶναι τὸν Καβάσιλαν, ὅσον τὸ ἀπὸ τῆς εἰρημένης αἰτίας, ἔχοντα καὶ ἄλλως εἰς ἱερωσύνην ἀξίως. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ ἔγγραφος διάγνωσις καὶ ἀπόφασις, καὶ ἐπιδέδοται πρὸς αὐτὸν μηνὶ ἀπριλλίῳ ἰνδ. δεκάτης †.

C. (6850—1342) iunio ind. X.

Joannes XIV. scribit metropolitae Philadelphiae, ut provideat in causa Joannis Januensis.

† Ἱερώτατε μητροπολῖτα Φιλαδελφείας καὶ ὑπέρτιμε, ἀγαπητὲ κατὰ κύριον ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. ἡ μετριότης ἡμῶν ἐγνώρισε περὶ τῶν αὐτόθι γενομένων, καὶ τοσοῦτον ἐλογίσατο ταῦτα ἄτοπα καὶ ἀπρεπῆ καὶ ἀνένδεκτα, ὅτι καὶ θαυμάζει, εἰ εἰσὶ τοιαῦτα, καὶ μάλιστα, εἰ καὶ αὐτὸς συνεργεῖς τοῖς τοιούτοις, ὃς μεγάλην ἔχεις τὴν ὀφειλὴν ἀναστέλλειν παντοίως αὐτά. κατέλαβε δὲ ἐνταῦθα καὶ ὁ Γενουίτης Ἰωάννης, καὶ ἐγνώρισε καὶ παρ' αὐτοῦ ἡ μετριότης ἡμῶν, ὅπως διετέθης, εἰς ὅσον πρὸ ὀλίγου ἐγράψαμεν περὶ τῆς ἀποτεταγμένης εἰς αὐτὸν προμηθείας, ὅπερ καὶ βαρέως ἔφερεν ἡ μετριότης ἡμῶν· ἄνθρωπον γὰρ προσελθόντα τῇ ὀρθοδοξίᾳ τῆς καθ' ἡμᾶς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, παριδόντα καὶ περιουσίας ἱκανῆς πορισμὸν καὶ τοὺς οἰκείους τοῦ γένους αὐτοῦ πλουσίους καὶ ἑτοίμως χορηγοῦντας αὐτῷ καὶ διὰ ταῦτα προμηθείας μερικῆς τυχόντα ἐπὶ κυβερνήσει καὶ ζωαρκείᾳ αὐτοῦ τε καὶ τῶν μετ' αὐτοῦ, τίνα λόγον ἔχεις ἀποστερεῖν αὐτῆς τοῦτον, ἣν ἡ βασιλεία καὶ ἡ ἐκκλησία διέκρινε καὶ ἀπέταξε; τοῦτο καὶ ἄδικον ἔνι καὶ ἀνοίκειον παντελῶς τῇ σῇ ἱερότητι, καὶ χωρὶς γὰρ τοῦ εἶναι προαποτεταγμένην αὐτῷ τὴν τοιαύτην κυβέρνη-

σιν καὶ διδομένην μέχρι σοῦ, ἥρμοζεν, ἵνα καὶ ὅτι ἄνθρωπος ἔνι τοιοῦτος καὶ ἀπὸ γένους τοιούτου, διακρίνῃ τὸ πρᾶγμα ἡ ἱερότης σου, καὶ ἀποτάξῃ πρώτως προμήθειαν εἰς αὐτὸν, ὥστε μὴ ἐξ ἀνάγκης καὶ λύπης παλινδρομῆσαι εἰς τὰ οἰκεῖα αὐτοῦ ἔθιμα, ἐπειδὴ καὶ οἰκεῖοι τοῦ γένους αὐτοῦ μεταχειρίζονται τοῦτο, ὑπισχνούμενοι καὶ δόσεις ἱκανὰς, ὡς λέγουσι· παρεγγυώμεθα, ἵνα οὐδὲν ἀπομείνῃ ἀδιόρθωτον, ὅσον ἐγένετο, μετ' ἐμβριθείας γὰρ τοῦτο καὶ βάρους παρεγγυώμεθα ἐκκλησιαστικοῦ, διὸ καὶ διδόσθω πρὸς αὐτὸν ἀπαραιτήτως, ὅσον κατέστη καὶ ἐδίδοτο, ὡς διαλαμβάνει καὶ τὸ ἐπὶ τούτῳ γεγονὸς γράμμα τοῦ μεγάλου στρατοπεδάρχου ἐκείνου κατὰ τὴν τῶν προσταγμάτων περίληψιν, ἀνυστερήτως τε καὶ ἀνενοχλήτως, ἀποδοθήτω δὲ καὶ ὅσον οὐδὲν ἔφθασεν ἀποδοθῆναι παρὰ σοῦ· ὥσπερ γὰρ οὐδὲν ἔνι δίκαιον, οὐδὲ ὀφείλει ἡ ἱερότης σου τὰ καλῶς καὶ χρησίμως οἰκονομηθέντα παρὰ τῶν πρὸ σοῦ ἱερωτάτων ἀρχιερέων ἀκυρῶσαι καὶ ἀθετῆσαι, οὕτως οὐδὲ τὸ τοιοῦτον θεοφιλὲς ἔργον, πληροφορίαν ἔχων βεβαίαν, ὡς, ἐὰν παραθεωρηθῇ, ὅσον καὶ δεύτερον ἤδη γράφομεν, καθ' ὑπερβολὴν παραλυπῆσαι μέλλεις ἡμᾶς, καὶ τὸ μὲν πρᾶγμα μέλλει καὶ μὴ βουλομένου σου λαβεῖν κατάστασιν, σὺ δὲ μεταμελήσῃ ἀνόνητα, οὐδὲ γὰρ ἀνέξεσθαι μέλλομεν περιφρονοῦντος καὶ παρ' οὐδὲν τιθεμένου τὰ δίκαια ὑποτιθεμένων σοι, ἐν λήθῃ τε ποιουμένου καὶ τὰ τῆς οἰκείας ἐγγραφῆς, ὅθεν καὶ οἶδας, πῶς ἵνα καὶ τὰ τοῦ πράγματος διορθώσῃς καὶ τὴν ἡμῶν μετριότητα θεραπεύσῃς· ἐπεὶ δὲ διορίζονται τὰ προσόντα αὐτῷ σεπτὰ προστάγματα καὶ περὶ ἐξκουσείας καὶ περὶ ἄλλων, ὅσον διορίζονται, ἐχέτω καὶ ἐπὶ τούτοις παρὰ τῆς ἱερότητός σου καὶ αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ ἀναδοχὴν καὶ βοήθειαν, ὥστε διατηρεῖσθαι, εἰς ὅσον διορίζονται, καὶ περὶ φόρου καὶ περὶ τοῦ κομμερκίου καὶ τοῦ βιριμίου καὶ τῆς βίγλης καὶ τῆς ἄλλης ἁπάσης ἐξκουσείας, ἀντιστραφήτω δὲ πρὸς αὐτὸν καὶ τὸ παρὸν γράμμα. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος. μηνὶ ἰουνίῳ ἰνδ. ι' †.

CI. (6850—1342) augusto ind. X.

Synodus affirmat, ecclesiam Pyrgii esse in numero metropolium.

† Ἡ ἁγιωτάτη τοῦ Πυργίου ἐκκλησία εὕρηται μὲν ἐκ παλαιοῦ εἰς μητρόπολιν ἀπὸ ἐπισκοπῆς τιμηθεῖσα προϊόντες δηλώσομεν, ὀλίγας ἐκ πολλῶν εἰς μέσον τὰς μαρτυρίας καὶ τὰς ἀποδείξεις παραγα-

γόντες· κεχειροτόνηται δὲ ὅμως ἐπίσκοπος ἐπ' αὐτῇ ὀλίγῳ πρότερον παρὰ τοῦ νῦν διιθύνειν λαχόντος ἀρχιερατικῶς τὴν τῆς Ἐφέσου ἁγιωτάτην μητρόπολιν, δέον ἀποσχέσθαι αὐτῆς καὶ μὴ τοιούτῳ τινὶ ἐπ' αὐτῇ ἐπιχειρῆσαι διὰ τὸ ὑποκεῖσθαι ταύτην πάλαι ποτὲ τῇ κατ' αὐτὸν, ὡς ὑπὸ τὴν καθ' ἡμᾶς ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν μετατεθείσης καὶ ταῖς λοιπαῖς αὐτῆς μητροπόλεσιν ἐνταχθείσης, εἰ γὰρ καὶ τῇ κατ' αὐτὸν ἀρχῆθεν ἐτύγχανε διαφέρουσα, ἀλλὰ καὶ τὰς πλείους τῶν μητροπόλεων, εἴ τις ἐξετάζειν ἐθέλει, ὑποκειμένας εὑρήσει τὴν ἀρχὴν ἐκκλησίαις ἑτέραις, μένουσι δὲ ὅμως, εἰς ἣν εἰλήχασιν ἔπειτα τάξιν καὶ τιμὴν βασιλικῇ προσταγῇ καὶ πράξει συνοδικῇ, ὅτι δὴ καὶ βασιλικόν ἐστι τοῦτο προνόμιον, τὰς ὑποδεεστέρας τῶν ἐκκλησιῶν εἰς τὸν ἀνωτέρω προάγειν βαθμόν. ὅτι δὲ, ὡς εἰπόντες ἔφθημεν, εἰς μητρόπολιν ἐτιμήθη χρόνοις οὐκ ὀλίγοις τοῖς ἄνω, παριστῶσι μὲν καὶ ἄλλαι τῶν ἐκκλησιαστικῶν πράξεων, τοῖς μητροπολίταις ἐναρίθμιον ἔχουσαι καὶ τὸν Πυργίου, ὡς ἐξ αὐτῶν τούτων ἐμφανισθεισῶν καταφανὲς καὶ ἡμῖν ἐγένετο συνοδικῶς. ἡ μέντοι τοῦ κῦρ Γεωργίου τοῦ Ξιφιλίνου, πατριαρχεύσαντος ἐν τοῖς χρόνοις τοῦ βασιλέως κῦρ Ἰσαακίου καὶ μέχρι τῆς τοῦ κῦρ Ἀλεξίου παραταθείσης τῆς πατριαρχείας αὐτοῦ, διέξεισι μετά τινα περὶ αὐτοῦ δὴ τοῦ Πυργίου κατὰ ῥῆμα καὶ τάδε· „ἐπεὶ δὲ καὶ παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Πυργίου, Κωνσταντίνου τοῦ Σπανοπούλου, λύσις τοῦ ἁγιωτάτου ἐκείνου πατριάρχου κῦρ Μιχαὴλ τοῦ Ἀγχιάλου προεκομίσθη, ἐξενεχθεῖσα ἐπὶ ὑπομνήσει αὐτοῦ, ὄντος ἐπισκόπου, καὶ δῆτα ὑπανεγνώσθη ἐπὶ κοινῷ ὁρισμῷ τῆς ἡμῶν μετριότητος, καὶ εὑρέθη ἔχουσα ἐν τῇ ἀρχῇ καὶ ἐν τῷ τέλει ῥητά τινα συνᾴδοντα τῷ σκοπῷ τῆς ἡμῶν μετριότητος, ὥρισε καταστρωθῆναι καὶ ταῦτα, ἃ καὶ ἔχουσιν αὐτολεξεὶ οὕτωσί· „ὅσοι μὲν ἐπὶ παλαιοῖς θεμελίοις ναῶν ὑποκειμένων τῇ κατὰ σὲ ἁγιωτάτῃ ἐπισκοπῇ ἔφθασαν οἰκοδομῆσαι ναοὺς, οὐδὲν ὠφεληθήσονται οὗτοι εἰς τὸ μὴ ὑποκεῖσθαί σοι". συμπάρεῖναι μέντοι δείκνυται ἐν αὐτῇ τηνικαῦτα καὶ τὸν Ἐφέσου, ὅτι δὲ οὐχ ἕτερός τις, ἀλλ' οὗτος ἦν ὁ πρῶτος ἐν τῇ τοῦ Πυργίου τῷ τοῦ μητροπολίτου τιμηθεὶς ὀνόματι, ὁ Σπανόπουλος δηλαδὴ Κωνσταντῖνος, δείκνυσι καὶ τὸ προσὸν τῇ ἐκκλησίᾳ ταύτῃ παλαιὸν ἀπογραφικὸν δικαίωμα, ὅπερ καὶ αὐτὸ ἐνεφανίσθη ἡμῖν παρὰ τῶν αὐτῆς κληρικῶν, ἐξ ὀνόματος τοῦτον παραδηλοῦν, εἰς ἐπισκόπους ἔτι τελοῦντα, οὐ μὴν ἀλλὰ καὶ τῶν παλαιῶν νομοκα-

νόνων βιβλίων οὐκ ὀλίγα τῷ καταλόγῳ τῶν μητροπόλεων καὶ τὴν τοῦ Πυργίου ἐναριθμοῦντα ἡμῖν εὕρηται, οἵστισιν ὁμοίως ταῖς μητροπόλεσιν αὐτὴν συνηρίθμησε καὶ ὁ ἐν μακαρίᾳ τῇ λήξει γενόμενος ἀοίδιμος καὶ μακαρίτης βασιλεύς, ὁ πρόπαππος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐν τῇ ἐκτεθείσῃ προσταγῇ τηνικαῦτα τῇ αὐτοῦ ἀπαριθμήσει καὶ τάξει τῶν ἁγιωτάτων ἐκκλησιῶν παρὰ τοῦ κυροῦ Μηνᾶ, ἥτις δὴ ἀπαρίθμησις ἐγκατέστρωται τῷ ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ Παντεπόπτου εὑρεθέντι νομοκάνονι, ἃ δὴ πάντα εἰδότας καὶ τοὺς τῇ Ἐφέσου ἀπαρεγχείρητα ἐχρῆν τὰ κατ' αὐτὴν συντηρεῖν καὶ ἀπαραποίητα. προήχθη δὲ ἀρτίως καὶ τὴν προτέραν ἀπέλαβε τάξιν τῆς μητροπόλεως αὕτη δὴ ἡ τοῦ Πυργίου παρὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος διὰ τοῦ ἐπὶ τούτῳ ἀπολυθέντος σεπτοῦ προστάγματος, ἔνθεν τοι καὶ ἡ μετριότης ἡμῶν ἀκολούθως ποιοῦσα γνώμῃ κοινῇ τῆς περὶ αὐτὴν ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Σάρδεων, τοῦ Δυρραχίου, τοῦ Μαδύτων, τοῦ Φιλίππων, τοῦ Μηθύμνης, τοῦ Χίου, τοῦ Βάρνης, τοῦ Γάνου, τοῦ Δράμας, τοῦ Τενέδου, τοῦ Κῶ καὶ τοῦ ὑποψηφίου Μονεμβασίας, τὴν παροῦσαν ἐκτέθηκε πρᾶξιν, ἐφ' ᾧ καὶ εἰς τὸν ἑξῆς τῷ χορῷ καὶ ταύτην δὴ τὴν τοῦ Πυργίου τῶν μητροπόλεων συνεῖναι, ὅθεν καὶ οὐδεὶς οὐδέποτε ὀφείλει πειράσασθαι τῆς τάξεως ταύτης καὶ τῆς τιμῆς ἀφελεῖν αὐτὴν καὶ ὑποβιβάσαι, ὀφειλὴ γὰρ καὶ χρέος τοῦτο πᾶσιν ἁπλῶς ἀπαραίτητον τοῖς ἐς ὕστερον, στέργειν τὰ καλῶς τοῖς πρὸ αὐτῶν δόξαντα καὶ ἀπαραποίητα καὶ ἀπαράτρωτα μένειν ἐᾶν, ὡς ὁμονοίας καὶ εἰρήνης παραίτιον· ὀφείλουσι μέντοι προσεῖναι καὶ ὑποκεῖσθαι τῇ αὐτῇ ἐκκλησίᾳ καὶ τὰ ἐν τῷ πρακτικῷ ταύτης διαλαμβανόμενα δύο χωρία, τὸ τοῦ Διοσιεροῦ δηλονότι καὶ τὸ τῆς Δίγδης, καὶ πάντα ἁπλῶς, ὅσα τοῖς ἐγγράφοις δικαιώμασιν αὐτῆς δικαιοῦται κατέχειν, ἀναφαιρέτως καὶ ἀναποσπάστως. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ ἔγγραφος πρᾶξις γενομένη τῇ πολλάκις διαληφθείσῃ ἁγιωτάτῃ μητροπόλει τοῦ Πυργίου ἐπιδέδοται εἰς διαιωνίζουσαν τὴν ἀσφάλειαν μηνὶ αὐγούστῳ ἰνδ. ι΄ †.

CII. (6850—1342) augusto ind. X.

Joannes XIV. dirimit controversiam.

† Διενέξεις οὐκ ὀλίγας ἔχοντες ὅ τε ἱερώτατος μητροπολίτης Χίου καὶ ὑπέρτιμος καὶ ὁ πανσέβαστος σεβαστὸς οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ Κωνσταντῖνος ὁ Πράσινος περί τινος μονυδρίου τοῦ ἁγίου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος καὶ ἑτέρου πανσέπτου ναοῦ τοῦ ἐν ἁγίοις παμμάκαρος Νικολάου, ἐφ' οἷς ἔχει δίκαιον γονικότητος ὁ αὐτὸς Πράσινος, ἔτι τε καὶ περὶ ἑτέρων τινῶν μονυδρίων, ἐκίνησαν τὰ περὶ τούτου ἐπὶ τῆς ἡμῶν μετριότητος, καὶ ἐπεὶ ὁ μὲν τοιοῦτος Πράσινος ἐνῆγε κατὰ τοῦ εἰρημένου ἱερωτάτου μητροπολίτου Χίου καὶ ὑπερτίμου, καὶ διετείνετο λαμβάνειν μὲν αὐτὸν τὰ εἰσοδήματα τῶν τοιούτων μονυδρίων τε καὶ ἐκκλησιῶν καὶ καρποῦσθαι ταῦτα πάντα αὐτὸν, κἀντεῦθεν πολὺς ἦν ἐγκείμενος καὶ ἀπαιτῶν ἀντιστρέψαι αὐτὸν ταῦτα, ὁ δέ γε ἱερώτατος μητροπολίτης Χίου καὶ ὑπέρτιμος ἀντέλεγε, μὴ ἀληθεύειν ὅλως αὐτὸν, εἰ καί τι δὴ ἔφθασε λαβών, διισχυρίζετο μὴ χρήσασθαι τούτῳ εἰς ἰδίας χρείας αὐτοῦ, ἀλλ' εἰς ἑτέρας ἀναγκαίας τῶν τε τοιούτων πανσέπτων ναῶν καὶ τῶν κατ' αὐτοὺς μοναχῶν καὶ ἑτέρων ἀνδρῶν. ἡ μετριότης ἡμῶν διὰ ταῦτα διέγνω καὶ ἀπεφήνατο κατὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας, ὡς ἂν ἔχῃ μὲν ὁ τοιοῦτος ἱερώτατος μητροπολίτης Χίου καὶ ὑπέρτιμος ἐπί τε τοῖς τοιούτοις μονυδρίοις καὶ ταῖς λοιπαῖς πάσαις κατ' αὐτὸν ἐκκλησίαις ἐπίσκεψιν καὶ ἀνάκρισιν πνευματικὴν τῶν τε εὑρισκομένων ἐν αὐτοῖς μοναχῶν καὶ ἑτέρων ἀνδρῶν, καὶ ἐπιτηρῇ καὶ ἐπιβλέπῃ ταῦτα, ὥστε μὴ φθείρεσθαι ὑπό τε τῶν εὑρισκομένων ἐν αὐτοῖς καὶ ἑτέρων τινῶν, εἴτε κτητόρων, εἴτε καὶ λοιπῶν, ἔχῃ δὲ καὶ τό τε μνημόσυνον αὐτοῦ καὶ τὸ διαφέρον αὐτῷ χάριν κανονικοῦ, εὑρίσκωνται δὲ τὰ ἀνήκοντα εἰσοδήματά τε καὶ πράγματα τῶν τε μονυδρίων καὶ τῶν κατ' αὐτῶν ἁπασῶν ἐκκλησιῶν ἐν αὐταῖς εἴς τε τὴν προσήκουσαν κυβέρνησιν τῶν ὄντων ἐν αὐτοῖς ἀνδρῶν καὶ εἰς σύστασιν καὶ βελτίωσιν τῶν τοιούτων μονυδρίων τε καὶ ἐκκλησιῶν, ἀπέχῃ δὲ τέλεον ἀπὸ τῶν λοιπῶν εἰσοδημάτων, καὶ οὐδαμῶς ἔχῃ ἐπ' ἀδείας ἀφελέσθαί τινα ἐξ αὐτῶν. εἴ τινες δὲ εὑρίσκονται κτητορικὰ δίκαια κεκτημένοι ἐν αὐτοῖς, ὀφείλουσι καὶ οὗτοι τὸ ἀνῆκον μόνον ἔχειν μνημόσυνον, ἀποσχέσθαι μέντοι παντάπασι τῶν τε πραγμάτων καὶ

τῶν ἐντεῦθεν εἰσοδημάτων τε καὶ καρποφοριῶν τῶν τοιούτων πανσέπτων ναῶν. τούτου γὰρ χάριν γέγονε καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν μηνὶ αὐγούστῳ ἰνδ. ι' †.

CIII. (6851—1343) martio ind. XI.

Joannes XIV. declarat, monasterium Salvatoris in oppido Sebriae esse patriarchale.

† Ἐπειδὴ τὸ ἐντὸς τῆς θεοσώστου πόλεως Σηβρίας εὑρισκόμενον μοναστήριον, τὸ εἰς ὄνομα τιμώμενον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος, αὐτούργιον ηὑρίσκετο πατριαρχικὸν, ἐκδοθὲν δὲ πρὸς πρόσωπα μοναχικὰ, ὅσα δὴ καὶ ἐξεδόθη, καὶ ἐστερεῖτο τούτου ἡ καθ' ἡμᾶς ἁγιωτάτη τοῦ θεοῦ μεγάλη ἐκκλησία, ἀπολύουσα τὸ παρὸν γράμμα ἡ μετριότης ἡμῶν, ἐν ἁγίῳ παρακελεύεται πνεύματι, προσεῖναι καὶ ὑποκεῖσθαι εἰς ἀεὶ τοῦτο καὶ πάντα τὰ ὑπ' αὐτὸ πάλιν τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, καὶ μηδὲ εἰς μετόχιον μοναστηρίου τινὸς δοθῆναί ποτε, μηδὲ εἰς πρόσωπον ἀρχοντικὸν ἢ ἀρχιερατικὸν ἢ ἱερατικὸν ἢ μοναχικὸν ἐκδοθῆναι ἢ ἐφορείας χάριν ἢ κατοχῆς ἢ ὁποίας ἄλλης ἡστινοσοῦν αἰτίας, ἐκφωνοῦμεν γὰρ, ὥστε μὴ γενέσθαι τοῦτό ποτε, τὸν ἀπὸ τῆς ζωαρχικῆς τριάδος ἀφορισμὸν, καὶ τούτῳ καθυποβάλλομεν ἀλύτως τὸ πρόσωπον, ὁποῖον ἄρα καὶ εἴη, ὅπερ ἀπὸ τοῦ παρόντος ἀναδέξηται τοῦτο ἢ εἰς μετόχιον ἢ δι' ἄλλην ἡντιναοῦν αἰτίαν, ὥστε μὴ προσεῖναι καὶ ὑποκεῖσθαι τοῦ λοιποῦ διὰ παντὸς ἀνέκδοτον τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ καὶ παρ' αὐτῆς διοικεῖσθαι. μηνὶ μαρτίῳ ἰνδ. ια' †.

CIV. (6851—1343) martio ind. XI.

Imperator confirmat, quae de asylis stabilita sunt.

† Ἐπεὶ ἐγνώρισεν ἡ βασιλεία μου, ὅτι οἱ προσφεύγοντες εἰς τὴν ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν οὐκ ἐθέλουσιν εὑρίσκεσθαι εἰς τοὺς τεταγμένους τόπους τῶν προσφυγείων διά τινα δειλίαν καὶ ὑποψίαν φόβου, ἀλλ' εὑρίσκονται ἐντὸς αὐτοῦ τοῦ ἱεροῦ τεμένους τῆς τοιαύτης ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας, ὅπερ ἐστὶν εἰς ἀθέτησιν καὶ ἀνατροπὴν τῶν τε ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν νόμων, ἔστι δὲ καὶ εἰς ἐμπόδισμα τοῦ ἐκτελεῖσθαι ἀταράχως καὶ

ἀσυγχύτως τὰς τεταγμένας καὶ νενομισμένας θείας παὶ ἱερὰς ὑμνῳδίας, ἡ βασίλεια μου, διὰ τῆς τοῦ θεοῦ χάριτος στέργουσα καὶ διατηροῦσα τὰ δοθέντα ἀνέκαθεν εἰς τοῦτο προνόμια τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ παρά τε τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν νόμων, οὓς δῆτα νόμους προεθέσπισαν καὶ ἔταξαν οἱ ἅγιοί μου αὐθένται καὶ βασιλεῖς, οἱ πρόγονοι τῆς βασιλείας μου, καὶ οἱ λοιποὶ ἅγιοι βασιλεῖς, οἱ ἀοίδιμοι καὶ μακάριοι, καὶ μηδέν τι ἕτερον διαπράττεσθαι βουλομένη, ἀλλὰ στηρίζουσα καὶ ἐποικοδομοῦσα μᾶλλον αὐτοῖς καὶ τὸ ἑδραῖον καὶ μόνιμον καὶ ἀμετακίνητον πᾶσι τοῖς τοιούτοις προνομίοις παρεχομένη, ἅμα μὲν καὶ τῆς τῶν νόμων ἀσφαλείας τὸν τρόπον τοῦτον φροντίζουσα, ἅμα δὲ καὶ τῶν ἑκάστοτε προσφευγόντων πρόνοιαν ποιουμένη, τὸ παρὸν ἀπόλυει πρόσταγμα, δι' οὗ καὶ θεσπίζει καὶ διορίζεται, ὡς ἂν εὑρίσκωνται οἱ ῥηθέντες πρόσφυγες εἰς τοὺς ἄνωθεν καὶ ἐξ ἀρχῆς τεταγμένους τόπους τῶν προσφυγείων, καὶ οὐδὲν ἔχωσι φόβον καὶ δειλίαν τινὰ τοῦ ἀποσπασθῆναι αὐτόθεν βίᾳ παρά τινος τῶν ἁπάντων, εἰδότων, ὡς εἴ τι παρὰ τὸν παρόντα τολμήσαιεν ὁρισμὸν τῆς βασιλείας μου, πρὸς τῷ ταῖς ἀπὸ τῶν νόμων ὑποβληθῆναι ποιναῖς, οὐ μετρίας τῆς ἀγανακτήσεως καὶ τιμωρίας καὶ παρὰ τῆς βασιλείας μου πειραθήσονται, ὀφειλόντων μέντοι καὶ τῶν κατὰ καιροὺς προσφευγόντων προσμένειν καὶ προσκαρτερεῖν τοῖς τεταγμένοις, ὡς εἴρηται, τόποις τῶν προσφυγείων καὶ μηδαμῶς προέρχεσθαι περαιτέρω τούτων, μηδὲ εἰσιέναι ὅλως εἰς τὸν ἱερὸν καὶ θεῖον ναόν, παρὰ τὰς τῶν ἱερῶν κανόνων καὶ φιλευσεβῶν νόμων διαταγάς. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα, μηνὶ μαρτίῳ ἰνδ. ια' †.

CV. (6851—1343) aprili ind. XI.

Synodus metropolitam Coi transfert in metropolim Corinthi.

Ἡ συνοδικὴ πρᾶξις ἡ ἐπὶ τῇ μεταθέσει τοῦ Κορίνθου γεγονυῖα.

† Ἡ τοῦ θεοῦ ἐκκλησία πάντα καλῶς οἰκονομοῦσα καὶ συμφερόντως, ὡς ὁ καιρὸς δηλονότι καὶ τὰ πράγματα ἀπαιτεῖ, τοῖς πολυειδέσι καὶ ἀρίστοις τρόποις τῶν αὐτῆς οἰκονομιῶν, ἐναρίθμιον καὶ τὸν τῆς μεταθέσεως ἔθετο, καὶ τούτου πλεῖστα τὰ ὑποδείγματα, πολλοὶ γὰρ καὶ πολλάκις ἀφ' ἑτέρων εἰς ἑτέρας μετετέθησαν ἐκκλησίας

τῶν ἱερωτάτων ἀρχιερέων, οὐ μόνον εἰς μητροπόλεις ἀπὸ μητροπόλεων, ἀλλὰ καὶ εἰς τὸν ὑψηλὸν τῆς πατριαρχείας θρόνον, ὡς ἀπὸ τῶν ἐκκλησιαστικῶν πράξεών ἐστι καταφανές· καὶ εἰκότως, καλὸν γὰρ ὁμοίως τὸν ἄριστον κυβερνήτην ἐπὶ τῶν οἰάκων καθῆσθαι καὶ τοὺς ἐπὶ πολλοῖς εὐδοκιμοῦντας τοῖς προτερήμασι τῶν πολλῶν προβεβλῆσθαι ἀνάλογον περιεζωσμένους τὴν ἡγεμονίαν. πρὸς τὴν αὐτὴν δὲ νῦν καὶ ἡμεῖς ὡρμήθημεν πρᾶξιν, διά τε τὸ τοῦ πράγματος εὔλογον καὶ δεδοκιμασμένον τῇ ἐκκλησίᾳ καὶ ἅμα, ἵνα καὶ λαὸς θεοφιλὴς οὐκ ὀλίγος, ὁ τῆς ἁγιωτάτης δηλαδὴ μητροπόλεως Κορίνθου, ποιμένος εὐμοιρῇ τοῦ προσήκοντος, ἐφ' ἱκανοῖς ἤδη τοῖς χρόνοις ἐν στερήσει τυγχάνων ἀρχιερατικῆς ἐπιστασίας καὶ ἐπισκέψεως καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, ὡς τῆς αὐτῆς ἐκκλησίας βίᾳ τῇ τῶν Λατίνων κατατυραννουμένης, περὶ ὧν καὶ οὐ μικρά τις, οὐδὲ ἡ τυχοῦσα φροντὶς ἦν τῇ ἡμῶν μετριότητι, πολλάκις καὶ διαφόρως ἱκεσίαν πρὸς αὐτὴν ἔγγραφον περὶ τούτου ποιησαμένων. ἔνθεν τοι καὶ κοινῇ διασκέψει καὶ γνώμῃ τῆς περὶ αὐτὴν ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων .....

κατεπράξατο μετατεθῆναι εἰς τὴν τοιαύτην ἁγιωτάτην τῆς Κορίνθου μητρόπολιν τὸν ἱερώτατον ἀρχιεπίσκοπον Κῶ, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν ἡμῶν καὶ συλλειτουργόν, σχολάζοντα ἤδη τῆς λαχούσης αὐτὸν, ἅτε δὴ καὶ αὐτῆς κατὰ τὸν ὅμοιον τρόπον τυραννουμένης ὑπὸ Λατίνων, ὃς δὴ καὶ ὀφείλει μεταλαχεῖν καὶ τοῦ θρόνου ταύτης καὶ τοῦ ὀνόματος καὶ τῆς ἀνηκούσης τοῖς τῆς ἐκκλησίας ταύτης ἀρχιερεῦσι τιμῆς ἔν τε στάσεσι καὶ καθέδραις ἐν ταῖς κοιναῖς συνελεύσεσι, ἐπιλαβέσθαι τε καὶ πάντων τῶν ὑπ' αὐτὴν κτημάτων καὶ πραγμάτων, καὶ ἁπλῶς εἰπεῖν, τῶν ὁθενδήποτε διαφερόντων τῇ ἐκκλησίᾳ ταύτῃ δικαίων, ἀναγνώστας τε σφραγίζειν ἐκ τῶν ἐν αὐτῇ καὶ ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν καὶ πάντα ἁπλῶς διαπράττεσθαι, ὅσα τοῖς γνησίοις ἀρχιερεῦσιν ἐν ταῖς λαχούσαις αὐτοὺς ἐφεῖται ποιεῖν, μετέχων καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὀφειλόντων καὶ τῶν αὐτῆς κληρικῶν καὶ τῶν ἄλλων ἁπάντων, ἱερωμένων, μοναχῶν τε καὶ λαϊκῶν πείθεσθαι τούτῳ καὶ πειθαρχεῖν, ὅσα καὶ οἰκείῳ ποιμένι καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ καὶ μεσίτῃ καὶ διαλλακτῇ τὰ πρὸς τὸν θεὸν καὶ δέχεσθαι προθύμως καὶ ἑτοίμως ἀποπληροῦν πάνθ', ὅσα μέλλει λέγειν καὶ παραινεῖν καὶ εἰσηγεῖσθαι

αὐτοῖς ψυχωφελῆ καὶ σωτήρια. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ πρᾶξις γενομένη ἐπιδέδοται εἰς ἀσφάλειαν μηνὶ ἀπριλλίῳ ἰνδ. ια' †.

CVI. (6851—1343) aprili ind. XI.

Synodus absolvit metropolitam Pyrgii accusatum a metropolita Ephesi.

† Περὶ τῆς ἁγιωτάτης μητροπόλεως τοῦ Πυργίου, ὅτιπερ εἰς μητρόπολιν αὖτη προεβιβάσθη καὶ ἐτιμήθη πάλαι ποτὲ ἀπὸ ἐπισκοπῆς, καὶ ὡς τὴν αὐτὴν πάλιν εἴληχε κατάστασιν καὶ τιμὴν διὰ σεπτοῦ προστάγματος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐφ ᾧ καὶ πρᾶξις προέβη ἡμετέρα τε καὶ συνοδικὴ, ἔφθημεν δηλώσαντες. ὁ μέντοι ἱερώτατος μητροπολίτης τῆς αὐτῆς ἐκκλησίας, εἰς ἐπίσκοπον ἔτι τελῶν ὑπὸ τὴν ἁγιωτάτην δηλονότι μητρόπολιν τῆς Ἐφέσου, καὶ καθαίρεσιν καταψηφισθεὶς ὑπὸ τοῦ Ἐφέσου, εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θεῖαν σύνοδον ἀναδραμὼν καὶ ἀνενέγκας τὰ περὶ τούτου, ἐδεῖτο συνοδικῆς τυχεῖν κρίσεώς τε καὶ διαγνώσεως, ἰσχυριζόμενος ἀδικεῖν. φθάσαντος τοίνυν γράψαι τηνικαῦτα τοῦ Ἐφέσου περὶ αὐτοῦ καὶ δηλῶσαι κατὰ μέρος, ἐφ' οἷς, ὡς ἔλεγεν, ἄλοὺς αἰτιάμασι κατεψηφίσθη, ἰσχυρῶς ἦν ἀπολογούμενος ὁ Πυργίου ἐφ' ἑνὶ τούτων ἑκάστῳ, καὶ διεβεβαιοῦτο, μηδενὶ μηδόλως τῶν κατ' αὐτοῦ γραφομένων ἐνέχεσθαι, ἔλεγε δὲ ἅμα καὶ ὡς ἐκρίθη ἐπὶ τούτοις παρ' αὐτοῦ, καὶ ἀνώτερος ἀναφανείς, ἠναγκάσθη ἔπειτα, ὥστε παραιτήσασθαι, ἀλλὰ καὶ οὕτω συγχωρήσεως εὐθὺς ἔτυχε τῆς παρ' αὐτοῦ, καὶ συνελειτούργησεν αὐτῷ, ἐκ προτροπῆς τε τῆς αὐτοῦ καὶ χειροτονίας τινῶν πεποίηκεν, ὅτε καὶ γράμμασιν ἡμεῖς πρὸς τὸν Ἐφέσου χρησάμενοι συνοδικῶς, ἐδηλώσαμεν ἢ συγγνῶναι τούτῳ, εἴς τι συγγνωστὸν ἁλισκομένῳ, ἢ ἐάσαι μένειν ἀνενόχλητον, ἕως οὗ, δόντος τοῦ καιροῦ ὑποστρέψαι καὶ καταλαβεῖν αὐτὸν ἐνταῦθα, ἐπιστῇ καὶ οὗτος. ἀμέλει καὶ ἀμφοτέρων ἐπιστάντων τῇ συνόδῳ, ἐξετάσει τὰ τοῦ πράγματος συνοδικῇ δίδοται ἐξ ὑπαρχῆς, καὶ ἐπειδὴ τοῖς αὐτοῖς καὶ πάλιν ἐχρῆτο κατὰ τούτου αἰτιάμασιν ὁ Ἐφέσου, προσεπιφέρων δὲ καὶ προσανατιθεὶς ἦν τούτῳ καὶ φόνου καὶ ἐπιορκίας ἔγκλημα· ὁ Πυργίου τὰ μὲν ἄλλα καὶ πάλιν ἀπολογησάμενος ἀπεσκευάσατο αἰτιάματα, ὡς μηδὲ τὸν Ἐφέσου ἀντιλέγειν ἔχειν, περὶ δέ γε τοῦ φόνου καὶ τῆς ἐπιορκίας νεωστὶ καὶ πρώτως ἄρτι κινηθῆναι κατ' αὐτοῦ ταῦτα

διετείνετο, μηδέν τι δὲ καὶ ἐπὶ τούτοις ἔλεγε συνειδέναι ἑαυτῷ, ὅθεν καὶ ἀνηρτήθη τὰ περὶ τούτου διὰ τὸ ἀνεξέλεγκτα καὶ ἀναπόδεικτα παντάπασιν εἶναι, καὶ ἀμφότερα τὰ ἐγκλήματα ταῦτα τοπικῆς διὰ τοῦτο δεῖσθαι ἐξετάσεως. συνθεμένου εἰς τοῦτο καὶ τοῦ Ἐφέσου, τὸ ἀπ' ἐκείνου μέντοι μὴ θελήσαντος αὐτοῦ καταλαβεῖν εἰς τὴν σύνοδον, καίπερ διαφόρως διαμηνυθέντος, ἐμαρτυρήθη μὲν καὶ παρὰ τῶν ἐνταῦθα κληρικῶν τῆς τοῦ Πυργίου καὶ παρὰ κοσμικῶν τινων, συκοφαντίαν εἶναι καὶ ψεῦδος προφανὲς τὰ τοιαῦτα ἐγκλήματα· ἀκριβεστέραν δὲ ὅμως ἡμεῖς τῷ πράγματι διδόντες ἐξέτασιν, ἐγράψαμεν συνοδικῶς τῷ ἱερωτάτῳ μητροπολίτῃ Λαοδικείας καὶ ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ ἡμῶν καὶ συλλειτουργῷ, ἐπιτρέψαντες τούτῳ καὶ ἀναθέμενοι τὴν περὶ τῶν τοιούτων δύο κεφαλαίων ἐξέτασιν, ὃς δὴ καὶ ἐξετάσας τοπικῶς, ὡς ἐπετράπη, καὶ τὸ γράμμα τῆς ἐξετάσεως πεπομφὼς εἰς τὴν σύνοδον, συνεξαπέστειλε καὶ γράμματα διάφορα τοῦ Ἐφέσου, ἃ δὴ καὶ συνοδικῶς ἀναγνωσθέντα, τὰ μὲν πολλὴν ἐμφαίνοντα εὕρηται τὴν κατὰ τοῦ Πυργίου καταφοράν, δύο δέ τινα, τὸ μὲν καθαίρεσιν κατεψηρίζετο τοῦ Πυργίου μετὰ τὴν συνοδικὴν ἐξέτασιν, συμψήφους τε καὶ ἡμᾶς δι' αὐτοῦ λαβεῖν ἔλεγεν ὁ Ἐφέσου, μηδ' ὅλως ἀληθεύων, τὸ δὲ ἠξίου τὸν Ἀμὴρ Ἀμήρπεκιν, ἐφ' ᾧ οἷα δὴ καθηρημένον καὶ ἀνίερον τὸν Πυργίου ἀποπέμψεται, ἐν ᾧ καὶ καλὸν υἱὸν αὐτοῦ τοῦτον ἔλεγε καὶ ἑαυτὸν αὐτοῦ πατέρα, παπάδας τε αὐτοῦ τοὺς τοῦ Πυργίου πρεσβυτέρους, οὐδὲν δέον, παραφυλάττεσθαι γὰρ εἰκὸς τὰ τοιαῦτα ἐπὶ προσώποις τοιούτοις τοὺς ἀρχιερατικὸν ἀξίωμα περικειμένους καὶ μὴ τοῖς αὐτοῖς ὁμοίως χρῆσθαι σχετικοῖς ὀνόμασι περί τε τοὺς πιστοὺς, τούς ἐθνικούς τε καὶ ἀπίστους, δεῖ γὰρ εἶναί τινα πάντως καὶ ἐν ταῖς κλήσεσι τὴν διαστέλλουσαν διαφοράν, ὥσπερ καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασι. τὸ γράμμα δὲ τῆς γενομένης τοπικῆς ἐξετάσεως ἀναφανῆναι ἐδήλου μετὰ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξέτασιν, εἰς οὐδὲν ἀληθὲς εἰρημένα καὶ ἀμφότερα τὰ τοιαῦτα ἐγκλήματα, τόν τε φόνον, τήν τε ἐπιορκίαν, ὡς τοῦ μὲν προσώπου, ὅπερ ὡς ὑπ' αἰτίῳ δῆθεν τῷ Πυργίου ὀμόσαντι ἐκρεμάσθη καὶ ἐδάρη ἔλεγον, καὶ τὸν τρόπον τοῦτον ἀπέλιπε τὸ ζῆν, μήτε κρεμασθέντος, μήτε μὴν δαρέντος, πλὴν τοῦ δεθῆναι μόνον ἐκ ποδῶν, φυσικῇ δὲ νόσῳ ἕκτοτε περιπεσόντος καὶ μεθ' ἱκανὸν θανόντος, ἀλλ' οὐδὲ αὐθόρμητον εἰς τὸν ὅρκον ἔλεγε γενέσθαι τὸν Πυργίου, ἐπιθέσει δὲ

πολλῇ καὶ βίᾳ τοῦ Ἀμὴρ Ἀμήρπεκιν, ἀπὸ ζητήσεως τοῦ τοιούτου προσώπου, καὶ διὰ τὸ κινδυνεύειν μὴ θελήσαντος ὀμόσαι εἰκοσιπέντε πρόσωπα, εὐορκήσαντος δὲ καὶ ἀκινδύνων καὶ αὐτῶν περισωθέντων. ἔνθεν τοι καὶ ἐπειδὴ πολυτρόπως καὶ ἀριδήλως ἀποδέδεικται ὁ Πυργίου εἰς οὐδὲν τῶν τοιούτων αἰτιαμάτων ἁλισκόμενος, ἀθφοῦσα τοῦτον συνοδικῶς ἡ μετριότης ἡμῶν κοινῇ διασκέψει καὶ γνώμῃ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Σάρδεων, τοῦ Σίδης, τοῦ Ἀμασείας, τοῦ Πισιδίας, τοῦ Κορίνθου, τοῦ Δυρραχίου, τοῦ Μαδύτων, τοῦ Ἀμάστριδος, τοῦ Μηθύμνης, τοῦ Ἄπρω, τοῦ Βάρνης, τοῦ Γάνου, τοῦ Βιτζίνης, τοῦ Ζιχνῶν, τοῦ Χίου, τοῦ Δράμας, τοῦ Τενέδου, τοῦ Καλλιουπόλεως καὶ τοῦ ὑποψηφίου Μονεμβασίας, παρακελεύεται μετιέναι αὐτὸν τὰ τῆς οἰκείας ἀρχιερωσύνης, ἐν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ ἱερουργοῦντα καὶ ποιμαίνειν καὶ διεξάγειν τὸ λαχὸν αὐτὸν λογικὸν ποίμνιον τοῦ Χριστοῦ, φησὶ γὰρ καὶ ὁ θειότατος πατὴρ ἡμῶν ὁ μέγας Βασίλειος ἔν τινι τῶν αὐτοῦ κανόνων, τῷ περὶ τῶν πρεσβυτέρων, οἵτινες ἐκ τῶν ἀπίστων ἀνάγκην ὑποστάντες ὤμοσαν, μηκέτι ἱερουργεῖν, μετά τινα· „ἔστιν οὖν δεκτὸς ὁ ἀνὴρ ἐκεῖνος μαρτυρούμενος παρὰ τῆς εὐλαβείας σου μεταμέλεσθαι ἐπὶ τῇ εὐκολίᾳ τοῦ ὅρκου, ὃν ἐπὶ τοῦ ἀπίστου ἀνδρὸς ἐξωμόσατο, βαστάσαι τὴν ἐνόχλησιν τοῦ μικροῦ κινδύνου ἐκείνου μὴ δυνηθείς". ὅθεν οὐδὲ τῷ Πυργίου προκριματισμός ἐστι τις δικαίως, ἐξ ἀνάγκης ὀμόσαντι καὶ εὐορκήσαντι, εἰ γὰρ ἐκεῖνοι τὴν ἱερωσύνην τρόπον τὸν εἰρημένον ἀποβαλλόμενοι ἀναλαβεῖν αὐτὴν καὶ ἱερουργεῖν συνεχωρήθησαν, πλὴν τῆς δημοσίας συνελεύσεως, πολλῇ τῇ τοῦ δικαίου περιουσίᾳ ἀνέγκλητος οὗτος τηρηθήσεται ἐξ ἀνάγκης ὁμοίας τοῦ ὅρκου προχωρήσαντος, ἀκινδύνων τε καὶ τῶν ἄλλων περισωθέντων καὶ αὐτοῦ τοῦ τὴν αἰτίαν δόντος. ὀφείλει μέντοι τοῦ λοιποῦ καὶ τοῖς ὑπὸ τὴν καθ' ἡμᾶς ἁγιωτάτην τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἱερωτάτοις ἀρχιερεῦσιν ἐναριθμεῖσθαι, ἔτι τε καὶ οἱ μετ' αὐτὸν τῇ τοῦ Πυργίου ἐπικηρυχθησόμενοι, ὡς καὶ τῆς τοιαύτης ἐκκλησίας τῷ τῆς μητροπόλεως καὶ πάλιν τιμηθείσης ὀνόματι, καθὼς εἴρηται. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ πρᾶξις γέγονε καὶ ἐπεδόθη δι' ἀσφάλειαν, μηνὶ ἀπριλλίῳ, ἰνδ. ια' †.

CVII. (6853—1344) novembri ind. XIII.

Joannes XIV. notam facit monachis Montis Sancti decisionem synodi in causa Barlaam et Palamae.

† Τιμιώτατοι ἐν μοναχοῖς, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μητριότητος· χάρις ὑμῖν εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ. περὶ τοῦ Παλαμᾶ ἐγράψατε καὶ ἐδηλώσατε, ὅσα ἐδηλώσατε, ἀφ' ὧν ἀγνοεῖν ἔτι δοκεῖτε καὶ περὶ τῶν πεπραγμένων συνοδικῶς, καὶ ὅπως παρηκολούθησε τὰ κατ' αὐτόν· ἵν' οὖν μὴ διὰ τοῦτο ἀκοὰς δεχόμενοι ματαίας ἐκφέρησθε τοῦ προσήκοντος, δηλῶσαι δεῖν ἔγνωμεν ὑμῖν ὡς ἐν βραχεῖ τὴν ὑπόθεσιν. ὁ Παλαμᾶς καὶ ὁ Βαρλαὰμ εἶχον ὡς εἶχον κατ' ἀλλήλων, καὶ ἵνα μὴ μακρολογῶμεν, κατήντησαν ἐνταῦθα, ὁ μὲν πρότερον ὁ Βαρλαὰμ, εἶτα ἀπὸ ἐγκλήσεως αὐτοῦ καὶ ὁ Παλαμᾶς, καὶ συνόδου συγκροτηθείσης παρουσίᾳ καὶ τοῦ ἀοιδίμου καὶ μακαρίτου βασιλέως καὶ τῆς συγκλήτου, προετράπη ὁ Βαρλαὰμ εἰπεῖν, εἴ τι εἰπεῖν ἔχει καὶ ἀποδεῖξαι κατὰ τοῦ Παλαμᾶ, ὁ δὲ ὥσπερεὶ τοῦ προκειμένου λήθην παθὼν, δογματικὰς προέτεινεν ἀπορίας, καὶ λύσεις ἐπὶ τούτοις ἐπεζήτει, ἡμῶν δὲ προτρεπόντων λέγειν αὐτὸν, περὶ ὧν ἐνεκλήτευσεν, ἐνιστάμενος ἦν, τῶν ἀποριῶν ἀπρὶξ ἐξεχόμενος. ἀνεγνώσθησαν οὖν εἰς ἐπήκοον διὰ ταῦτα ἀπὸ τῶν ἱερῶν καὶ θείων κανόνων οὗτοι· „οὐ χρὴ λαϊκὸν δημοσίᾳ λόγον κινεῖν ἢ διδάσκειν, ἀξίωμα διδασκαλικὸν ἐντεῦθεν περιποιούμενον, ἀλλ' εἴκειν τῇ παρὰ τοῦ κυρίου παραδοθείσῃ τάξει, καὶ τὸ οὖς τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λόγου λαβοῦσι διανοίγειν καὶ τὰ θεῖα παρ' αὐτῶν ἐκδιδάσκεσθαι, ἐν γὰρ τῇ μιᾷ ἐκκλησίᾳ διάφορα μέλη πεποίηκεν ὁ θεὸς, κατὰ τὴν τοῦ ἀποστόλου φωνὴν, ἣν ὁ θεολόγος ἑρμηνεύων Γρηγόριος σαφῶς τὴν ἐν τούτοις τάξιν παρίστησι λέγων· ταύτην αἰδώμεθα τὴν τάξιν, ἀδελφοὶ, ταύτην φυλάττωμεν, ὁ μὲν ἔστω τις ἀκοὴ, ὁ δὲ γλῶσσα, ὁ δὲ χεὶρ, ὁ δὲ ἄλλο τι, ὁ μὲν διδασκέτω, ὁ δὲ μανθανέτω, καὶ ὁ μανθάνων ἐν εὐπειθείᾳ καὶ ὁ χορηγῶν ἐν ἱλαρότητι, καὶ ὁ ὑπουργῶν ἐν προθυμίᾳ, μὴ πάντες γλῶσσα, τὸ ἑτοιμότερον, μὴ πάντες ἀπόστολοι, μὴ πάντες προφῆται, μὴ πάντες διερμηνεύωμεν.“ καὶ μετά τινα· „τί σεαυτὸν ποιμένα ποιεῖς, πρόβατον ὤν; τί γίνῃ κεφαλὴ, ποὺς τυγχάνων; τί στρατηγεῖν ἐπιχειρεῖς, τεταγμένος ἐν στρατιώταις; καὶ ἑτέρωθι ἡ σοφία διακελεύεται, μὴ ἴσθι ταχὺς ἐν λόγοις, μὴ συμπαρεκτείνου, πένης

ὢν, πλουσίῳ, μηδὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος, εἰ δέ τις ἄλῳ τὸν παρόντα παρασαλεύων κανόνα, ἐπὶ ἡμέρας ἀφοριζέσθω τεσσαράκοντα." κανὼν ἕτερος ιθ' τῆς ἐν Χαλκεδόνι· „δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας ἐν πάσῃ μὲν ἡμέρᾳ, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λόγους, ἐκ τῆς θείας γραφῆς ἀναλεγομένους τὰ τῆς ἀληθείας νοήματά τε καὶ ῥήματα, καὶ μὴ παραβαίνοντας τοὺς ἤδη τεθέντας ὅρους ἢ τὴν ἐκ τῶν θεοφόρων πατέρων παράδοσιν, ἀλλὰ καὶ, εἰ γραφικὸς ἀνακινηθείη λόγος, μὴ ἄλλως τοῦτον ἑρμηνευέτωσαν ἢ ὡς ἂν οἱ τῆς ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι διὰ τῶν οἰκείων γραμμάτων παρέθεντο, καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμείτωσαν ἢ λόγους οἰκείους συντάττοντες, ἔστιν ὅτε ἀπόρως ἔχοντες, πρὸς τοῦτο ἀποπίπτοιεν τοῦ προσήκοντος. διὰ γὰρ τῆς τῶν προειρημένων πατέρων διδασκαλίας οἱ λαοὶ ἐν γνώσει γινόμενοι τῶν τε σπουδαίων καὶ αἱρετῶν καὶ τῶν ἀσυμφόρων καὶ ἀποβλήτων, τὸν βίον μεταρυθμίζουσι πρὸς τὸ βέλτιον, καὶ τῷ τῆς ἀγνοίας οὐχ ἁλίσκονται πάθει, ἀλλὰ προσέχοντες τῇ διδασκαλίᾳ ἑαυτοὺς πρὸς τὸ μὴ κακῶς παθεῖν παραθήγουσι, καὶ φόβῳ τῶν ἐπηρτημένων τιμωριῶν τὴν σωτηρίαν αὐτοῖς ἐξεργάζονται". τούτων ἀναγνωσθέντων ἀπετρέψαμεν κατ' αὐτοὺς καὶ ἡμεῖς, καὶ οὐδὲν παρεχωρήσαμεν λέγειν ἢ κινεῖν αὐτόν τι περὶ δογμάτων. μηδ' οὕτω δὲ αὐτοῦ πειθομένου πρὸς τὸ προκείμενον ἐλθεῖν, καὶ περὶ ὧν ἡ ἐξέτασις, προεκομίσθησαν ἐπὶ τοῦ μέσου, ἃς ὁ Βαρλαὰμ φθάσας ἐποιήσατο ἀναφορὰς κατὰ τοῦ Παλαμᾶ, καὶ ἀνεγνώσθησαν ἀκουόντων πάντων, ὁμοίως παρήχθησαν καὶ ἀνεγνώσθησαν καὶ ἀπὸ τῶν συγγραμμάτων αὐτοῦ ἐκεῖνα, ἐν οἷς ἔλεγε καὶ περὶ τοῦ ἀπροσίτου φωτὸς τῆς μεταμορφώσεως τοῦ δεσπότου σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν τῆς τοῦ φωτὸς τούτου θέας ἠξιωμένων προκρίτων μαθητῶν αὐτοῦ καὶ ἀποστόλων, λέξεσιν αὐταῖς τάδε· „τὸ ἐν Θαβωρίῳ λάμψαν φῶς οὐκ ἀπρόσιτον ἦν, οὐδὲ κατὰ ἀλήθειαν ὑπῆρχε φῶς θεότητος, οὐδὲ ἀγγέλων ὅλως ἱερώτερον ἢ θειότερον, ἀλλὰ καὶ χεῖρον καὶ κατώτερον καὶ αὐτῆς τῆς ἡμετέρας νοήσεως, πάντα γὰρ τά τε νοήματα καὶ τὰ νοούμενα σεμνότερά ἐστι τοῦ φωτὸς ἐκείνου, ὡς τῇ ὄψει διὰ τοῦ ἀέρος προσπίπτοντος καὶ αἰσθητικῇ δυνάμει ὑποπίπτοντος, καὶ αἰσθητὰ μόνα δεικνύντος τοῖς ὁρῶσιν, ὑλικοῦ τε ὄντος καὶ ἐσχηματισμένου καὶ ἐν τόπῳ καὶ ἐν χρόνῳ φαινομένου καὶ τὸν ἀέρα χρωματίζοντος καὶ νῦν μὲν συνισταμένου τε καὶ φαινομέ-

νου, νῦν δὲ διαλυομένου καὶ εἰς τὸ μὴ εἶναι χωροῦντος, ἅτε φαντα-
στοῦ, μεριστοῦ τε καὶ πεπερασμένου, διὸ καὶ ὁρώμενον ἦν ὑπὸ τῶν
στέρησιν πασχόντων τῶν νοερῶν ἐνεργειῶν, μᾶλλον δὲ μηδέπω ταύτας
ὅλως κτησαμένων καὶ ἔτι ἀκαθάρτων ὄντων καὶ ἀτελῶν, καὶ ἐπ' αὐτῆς
ἐκείνης τῆς ἐπὶ τοῦ ὄρους θέας, ὡς μηδέπω ἀξιωθέντων τῆς τῶν
θεοειδῶν νοήσεως, ἀναγόμεθα δὲ ἀπὸ τοῦ τοιούτου φωτὸς ἐπὶ νοή-
ματα καὶ θεωρήματα, ἃ κρείττω ἐστὶν ἀσυγκρίτως τοῦ φωτὸς ἐκεί-
νου. τοιγαροῦν οἱ λέγοντες αὐτὸ ὑπὲρ νοῦν καὶ ἀληθινὸν καὶ ἀπρόσι-
τον καὶ τὰ τοιαῦτα, πεπλανημένοι εἰσὶ καθάπαξ, καὶ οὐδὲν τῶν φαι-
νομένων καλῶν ὑψηλότερον εἰδότες, ἀσεβεῖς δὲ διὰ τοῦτο, καὶ ὀλε-
θριώτατα δόγματα εἰς τὴν ἐκκλησίαν εἰσάγοντες." ἔλεγέ τε ὁμοίως
καὶ περὶ τῆς εὐχῆς τῆς, κύριε Ἰησοῦ Χριστὲ, υἱὲ τοῦ θεοῦ, ἐλέησόν με
καὶ περὶ αὐτῆς ἐπ' αὐτῶν τῶν λέξεων οὑτωσίν· „ἐγὼ πολλῶν ὄντων, ἅ
τις ἂν ἔχοι δικαίως ἐγκαλεῖν τῷ τῆς τοιαύτης διδασκαλίας ὑφηγητῇ,
οὐδενὸς ἧττον ἡγοῦμαι καὶ τοῦτο, ὅτι τὰ τῶν χριστιανῶν ἐπιχειρῶν
διὰ τῶν εἰσπνοῶν ἀνατρέπειν μυστήρια, συκοφαντεῖ καὶ τοὺς πατέρας,
ὡς, ἅπερ νῦν αὐτὸς ἐκδιδάσκει, ταὐτὰ κἀκείνους φρονήσαντας πρότε-
ρον. ἐμβρότητε καὶ μιαρὲ, τίς πώποτε ἐκείνων νῆψιν καὶ φυλακὴν
καρδίας καὶ προσοχὴν, τοιαύτην τερατείαν, ἣν σὺ παραδίδως, ὠνόμα-
σεν; φασὶ δὲ τοῦτον νενομοθετηκέναι τοῖς μύσταις, εὐχῇ χρῆσθαι διὰ
παντὸς οὕτως ἐχούσῃ· κύριε Ἰησοῦ Χριστὲ, υἱὲ τοῦ θεοῦ, ἐλέησόν με.
κἀκ τούτου οὖν ἔστι συνιδεῖν, ὁποῖος ἦν ὁ τῶν εἰσπνοῶν εὑρετὴς, τὸ
μὲν γὰρ· πάτερ ἡμῶν, ᾧ διαφερόντως οἱ Βογόμιλοι χρῶνται, οὐ νο-
μοθετεῖ, ᾤετο γὰρ οὕτω κατάδηλος ἔσεσθαι, οἷς δ' ὅμως ταύτῃ τῇ
μικρᾷ εὐχῇ μόνῃ διὰ βίου προσανέχειν ὑποτίθεται, τούτοις τάς γε
ἄλλας ἁπάσας εὐχὰς βαττολογίας καταλιμπάνει νομίζεσθαι, οἷς δ'
αὖθις πάντων χριστιανῶν ἐν ταύτῃ τῇ εὐχῇ τὸν κύριον ἡμῶν Ἰησοῦν
Χριστὸν καὶ θεὸν ἡμῶν καλούντων, οὗτος τὸ θεὸς ἡμῶν εἰς τὸ υἱὲ
θεοῦ μετείληφε, τούτοις τὸ πᾶν τῆς ἑαυτοῦ κακοδοξίας ἡμῖν ἐξεκά-
λυφε. τῷ γὰρ τῶν Βογομίλων ἀκολούθως δόγματι μεταβάλλει καὶ
οὗτος ἐν τῇ εἰρημένῃ εὐχῇ τὸ ὁ θεὸς ἡμῶν εἰς τὸ υἱὲ θεοῦ, ἐπεὶ
ἄλλην γε αἰτίαν, δι' ἣν τὴν τοιαύτην πεποίηκε μεταβολὴν, οὐκ ἂν εἰ-
πεῖν τις ἔχοι". ἐκρίθη τοίνυν καὶ ἀμφότερα ταῦτα, ἤγουν καὶ τὸ περὶ
τοῦ ἀπροσίτου φωτὸς τῆς μεταμορφώσεως καὶ τὸ περὶ τῆς εὐχῆς, βλα-
σφήμως καὶ κακοδόξως εἰρῆσθαι παρ' αὐτοῦ, ἀπελεγχθέντα διαφόροις

καὶ γραφικαῖς ῥήσεσι τῶν θεοφόρων πατέρων, ἀναγνωσθεισῶν καὶ αὐτῶν ἐν ἐπηκόῳ, κἀντεῦθεν κατεψηφίσθη παρ' ἡμῶν κοινῇ καὶ συνοδικῇ ψήφῳ, καὶ οὐδὲ εἰς κατηγορίαν ὅλως ἐκρίθη δεκτός· φησὶ γὰρ καὶ ὁ τῆς ἐν Χαλκεδόνι τέταρτος κανὼν μετά τινα, τοὺς ὑπὸ κατηγορίαν προλαβοῦσαν ὄντας μὴ πρότερον εἶναι δεκτοὺς εἰς ἐπισκόπων κατηγορίαν ἢ ἑτέρων κληρικῶν, πρὶν ἂν ἀθῴους ἑαυτοὺς τῶν ἐπαχθέντων αὐτοῖς ἀποδείξωσιν ἐγκλημάτων. πλατύτερον δὲ τὰ περὶ τούτου διέξεισιν ὁ τηνικαῦτα ἐκτεθεὶς ἐκκλησιαστικὸς τόμος, δι' οὗ καὶ ἐπιτίμιον ἀφορισμοῦ ἐπανετεινάμεθα καὶ ἀπηγορεύσαμεν δι' αὐτοῦ καὶ ἀπετρέψαμεν, ὥστε μηδένα ἐπ' ἀδείας λόγον ὅλως κινεῖν ὑποθέσεων τοιούτων καὶ νόθα παρεισάγειν εἰς τὴν ἐκκλησίαν θεοῦ δόγματα ἢ καὶ δογματίζειν τολμᾶν, παρηγέσαμεν δὲ, ὡς εἰκὸς, καὶ τῷ Παλαμᾷ, ὥστε μηδέν τι περὶ τοιούτων ἢ γράφειν ἢ λέγειν, ἵνα μὴ θόρυβον ἐμποιῇ τῇ ἐκκλησίᾳ, μαθόντες δὲ ἔπειτα, ὡς καὶ πάλιν τοῖς αὐτοῖς ἐπιχειρεῖ, καὶ ὡς ἕνια τῶν τοῦ ἐκτεθέντος τόμου παρερμηνεύει παρὰ τὴν παράδοσιν καὶ κοινὴν ἔννοιαν τῶν δογμάτων τῆς ἐκκλησίας Χριστοῦ, διεμηνυσάμεθα αὐτῷ πρὸς ἡμᾶς ἐπιστῆναι, ἐπὶ τῷ μαθεῖν, εἰ ταῖς ἀληθείαις οὕτως ἔχει. ὁ δὲ, οὐκ οἴδαμεν ὅπως πλὴν εἰ μὴ ἑαυτοῦ προκατεγνωκὼς ἦν, οὔτε ἦλθεν ὡς ἡμᾶς, καὶ ἀπέδρα εἰς τὴν Ἡράκλειαν, καὶ πάλιν ἀνηγγέλη ἡμῖν, τοῖς αὐτοῖς αὐτὸν κἀκεῖσε χρῆσθαι. ἐνεχθεὶς οὖν ἐκεῖθεν ἀπητήθη καὶ τοὺς λόγους ἐμφανίσαι, οὓς ἐξέθετο καταφρονήσας τοῦ ἀφορισμοῦ, καὶ ὁμολογίαν δοῦναι. πεποίηκε δὲ οὐδέτερον, ἀλλὰ καὶ τῶν προτέρων εἴχετο, καὶ γράφων οὐκ ἔλεγε, καὶ ἵνα τέλος ταῦτα λάβῃ πρτὲ, δέον ἐκρίθη καὶ τῇ κρατίστῃ καὶ ἁγίᾳ μου δεσποίνῃ καὶ τοῖς φιλευσεβέσι καὶ φιλοθέοις ἄρχουσι, κρατηθῆναι τοῦτον καὶ κωλυθῆναι ἐντεῦθεν τοῦ μὴ τοῖς πολλοῖς ἀναμίγνυσθαι, ἕως ἂν πληροφορίαν δῷ καὶ ἀπόδειξιν ἐναργῆ, ὡς ὀρθὸν ἔχει τὸ φρόνημα, καὶ ὑποταγῇ, καὶ οὐκέτι παρακούσῃ τῆς ἐκκλησίας, ὑποτιθεμένης αὐτῷ τὰ σωτήρια. καλῶς δὲ ποιήσετε καὶ ὑμεῖς, εἰ γράψαντες αὐτῷ παραινετικῶς διεγείρητε πρὸς τοῦτο, ἐπειδὴ γὰρ ἐλαλήθησαν μὲν πρότερον περὶ αὐτοῦ, ὅσα καὶ ἐλαλήθησαν, μήπω δὲ τούτων ἐξετασθέντων, οὔτε τοῦ λέγειν, οὔτε τοῦ γράφειν ἐπαύσατο καὶ μετὰ τὴν ἐπιτίμησιν, μικρὰ τοῦ ἀφορισμοῦ φροντίσας, ἐφωράθη δὲ ἔπειτα καί τινα τοῦ τόμου παρερμηνεύων καὶ λέγων καὶ γράφων παρὰ τὰς θεσπισθείσας, ὡς εἴρηται, τῶν ἁγίων παραδόσεις τε καὶ φωνάς.

πῶς ἔχει λόγον ἀσφαλείας καὶ πληροφορίας χωρὶς δεχθῆναι παρὰ τῆς ἐκκλησίας; δεινὸν γὰρ καὶ δεινοῦ πέρα μάλισται, εἰ αἰτιώτατος ἄλλοις παραχωρηθείη γενέσθαι ψυχικοῦ κινδύνου, ὅπερ καὶ ὑμεῖς καὶ πᾶς τις ἄλλος εὖ φρονῶν οὐκ ἄλλως ἐρεῖ. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ πάντων ὑμῶν, μηνὶ νοεμβρίῳ ἰνδ. ιγ' †.

. . . . . .

. . . . . .

. . . . . .

CVIII. (6853—1345) aprili ind. XIII.

Synodus episcopum Sozopoleos nominat metropolitam Pisidiae.

† Ἡ ἁγιωτάτη μητρόπολις τῆς Πισιδίας ἐπὶ πολλοῖς ἐστιν ἤδη τοῖς χρόνοις ἀρχιερατικῆς ἀμοιροῦσα ποιμανσίας καὶ ἐπισκέψεως, ἅτε δὴ καὶ τοῦ λαχόντος αὐτὴν ἱερωτάτου ἀρχιερέως ἐκείνου κωλυθέντος ὑπὸ τῆς ἐπισυμβάσης ἐθνικῆς ἐπικρατείας προσμεῖναι ταύτῃ δὴ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ· μεταλλάξαντος μέντοι τὴν ζωὴν, ἀνήνεγκαν καὶ ἐζήτησαν οἱ τῆς ἐκκλησίας ταύτης ἀρχιερέως τυχεῖν γνησίου, πολλάκις τοῦτο ζητήσαντες, καὶ περιόντος ἐκείνου, τοῦ καιροῦ δὲ μὴ διδόντος διὰ τὴν ἐπικρατοῦσαν ἐν τῷ τόπῳ ἐθνικὴν βίαν ἀρχιερέα γνήσιον ἀπὸ τόπου ἑτέρου ἐγκαταστῆναι τῇ ἐκκλησίᾳ ταύτῃ, ἐκχωρηθέντι γὰρ καὶ τῷ Σίδης τὰ κατ' αὐτὴν, οὐδὲ τούτῳ ἐγένετο καταλαβεῖν καὶ ἐπιστῆναι ἐκεῖσε, δεῖν ᾠήθημεν διὰ τὰς τοιαύτας αἰτίας, ἵνα μὴ ἐπὶ πλέον ὁ ὑπ' αὐτὴν χριστιανικὸς λαὸς ἀρχιερατικῆς στερῆται ποιμανσίας καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, θεραπεῦσαι τρόπον ἕτερον τὰ περὶ τούτου, καὶ δὴ γνώμῃ κοινῇ τῆς περὶ ἡμᾶς ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἀδριανουπόλεως, τοῦ Φιλαδελφείας, τοῦ Διδυμοτείχου, τοῦ Μαδύτων, τοῦ Φιλίππων, τοῦ Ἀμάστριδος, τοῦ Ζηκχίας, τοῦ Μηθύμνης, τοῦ Ῥωσίου, τοῦ Μηδείας καὶ τοῦ Τενέδου, δίκαιον ἐκρίναμεν μετατεθῆναι εἰς τὴν αὐτὴν ἁγιωτάτην μητρόπολιν Πισιδίας τὸν ὑπ' αὐτὴν θεοφιλέστατον ἐπίσκοπον Σωζοπόλεως, πραχθέντος τούτου καὶ οἰκονομηθέντος καὶ ἐπὶ πολλοῖς ἑτέροις παρὰ τῶν πρὸ ἡμῶν. ἐπιλήψεται τοιγαροῦν οὗτος τῆς αὐτῆς ἁγιωτάτης μητροπόλεως, καὶ μεθέξει τῶν ἐν αὐτῇ, εἰς μητροπολίτην τε καὶ ὑπέρτιμον τετιμημένος ἔσται, καὶ τῆς αὐτῆς ἀπολαύσει τιμῆς παρὰ τοῦ ὑπ' αὐτὸν ποιμνίου, ἧς καὶ οἱ γνήσιοι ταύτης ἀρχιερεῖς, καὶ πάντα ἁπλῶς ἐπ' αὐτῇ δια-

πράξεται, ὅσα ἐφεῖται κανονικῶς, διὰ φροντίδος δὲ παντοίας .... ἥσεται καὶ ἐπιμελείας τὴν ψυχικὴν ὠφέλειαν τοῦ ὑπ' αὐτὴν κλήρου καὶ τοῦ λαοῦ, εὐπειθεῖν τούτῳ καὶ αὐτῶν ὀφειλόντων καὶ πειθαρχεῖν ὡς οἰκείῳ ποιμένι καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ καὶ μεσίτῃ καὶ διαλλακτῇ τὰ πρὸς τὸν θεόν. ἐπὶ τούτῳ γὰρ ἐγένετο καὶ ἐπεδόθη πρὸς αὐτὸν καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ πρᾶξις εἰς ἀσφάλειαν, μηνὶ ἀπριλλίῳ ἰνδ. ιγ' †.

CIX. (6855—1347) februario ind. XV.

Libellus synodalis confirmans condemnationem monachorum Barlaam et Acindyni.

† Συνοδικὸς τόμος ἐπικυρῶν τὸν ἐπ' ἐλέγχῳ καὶ καταδίκῃ τῶν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δογμάτων πρότερον τόμον, καὶ σὺν Ἀκινδύνῳ πάλιν .....

† Ὄντως οὐδεὶς οὕτως ἀρχιτέκτων οὐδενὸς τῶν ποικίλων ὡς ποριστὴς καὶ προστάτης παντοδαπῆς δυσσεβείας ὁ ἀντικείμενος, πάλαι μὲν γὰρ οὗτος, τοῦ θεοῦ διιστὰς τὸ ἀνθρώπειον φῦλον, πληθὺν θεῶν φρονεῖν καὶ σέβειν ἀνέπειθεν, ὡς ἑνὸς θεοῦ μὴ δυναμένου σώζειν τὸ οὐράνιον καὶ ἐπίγειον καὶ παντοδαπὸν ζῶον τοῦτο, τὸν ἄνθρωπον· ἐπεὶ δ' ἐξηλέγχθη τὰ τῆς ἀπάτης, μόνου πάντων ἀναπεφηνότος Χριστοῦ θεοῦ παντοδυνάμου καὶ παντοκράτορος, ὃς οὐρανόθεν ἐνδημήσας τῇ γῇ, καὶ καταβὰς αὖθις ἀπὸ ταύτης εἰς ᾅδου, κἀκεῖθεν παλινδρομήσας καὶ εἰς οὐρανοὺς μετὰ τοῦ ἀνθρωπίνου προσλήμματος ἀναλύσας, πάντα, ὅσα ἐθέλησεν, ἐν πᾶσιν ἐποίησεν, ἑτέραν ὁ καθηγεμὼν τῆς ἀπάτης ἐτράπετο, καὶ ἀπωθεῖσθαι μὲν ὑποκρίνεται τὴν πολύθεον πλάνην, συνωθεῖν δὲ πλάττεται πάντας εἰς ἕνα θεὸν, ταῖς ἑκάστοτε τῶν κακοδόξων φωναῖς, ἀλλ' ὡς τοῦ ἑνὸς ὄντως ἀποστήσοι θεοῦ, πείθειν γὰρ ἐγχειρεῖ ταῖς τῶν αἱρετικῶν σοφιστείαις, μὴ τρισυπόστατον εἶναι τοῦτον καὶ παντοδύναμον. τί διὰ τούτων κατασκευάζειν ἐθέλων; πολυθεΐαν ἅμα καὶ ἀθεΐαν, οὐ γὰρ πατρὸς ὁ υἱὸς οὐκ ἀληθὴς θεὸς, ὃ τῆς Ἀρείου μανίας τὸ κράτιστον, πῶς θεὸς ἀληθὴς ὁ πατὴρ; πῶς δ' ἄκτιστος ἀληθῶς ὁ γεννήσας κτιστόν; πῶς δ' εἷς ἔσται θεὸς ἐκ κτιστοῦ καὶ ἀκτίστου, τῶν πλεῖστον ἀλλήλων ἀφεστηκότων; πῶς δ' αὖθις ἔσται πατὴρ ὁ αὐτὸς ἑκάτερος ὤν; ὃ πάλιν ὑπῆρχε τῆς Σα-

βελλίου παραφορᾶς, ὑφ' ἑκατέρου γὰρ ἑκάτερον χωρήσει πρὸς τὸ μὴ ὄν, οὐκοῦν ἐξηλέγχθη κἂν τούτοις ὁ τῆς πλάνης προστάτης, ἐν τρισὶ προσώποις ἀκτίστοις, ὑποστατικῶς διαφέρουσιν, ἕνα θεὸν κηρυξάντων τῶν ἁγίων πατέρων καὶ σοφῶς ἀποσκευασαμένων ἐντεῦθεν καὶ τὴν σύγχυσιν καὶ τὴν σύνθεσιν. ἀλλὰ κἂν τούτοις οὕτως ἐξελεγχθεὶς, οὐκ ἠρεμεῖν εἰς τέλος ἔγνωκεν ὁ πρὸς ἀπάτην ἀμηχάνως εὐμήχανος, οὐδ' ἐκστῆναι τῆς πρὸς ἀθεΐαν ἅμα καὶ πολυθεΐαν φερούσης τοὺς αὐτῷ πειθομένους ὑπέμεινεν, ἀλλὰ τῆς προτέρας ἐκείνης ἀπάτης μέρος μὲν ἀποστέρξαι πανούργως, ὡς λανθάνειν τοὺς πολλοὺς δύναιτο, μέρος δ' ἀπολαβὼν, ὡς δι' ἐκείνου μηδὲν ἧττον πρὸς τὸ βάραθρόν ἐστιν, οὓς ἐπισπᾷτο, πάλιν ὑποτίθεται λέγειν τοὺς ὑπηρετουμένους τῇ πλάνῃ, θεὸν μὲν ἕνα δῆθεν καὶ τοῦτον τρισυπόστατον σέβειν, οὐ μὴν ὡς μιᾶς οὔσης τῶν τριῶν φύσεως, θελήσεως, δυνάμεως, ἐνεργείας, βασιλείας, σοφίας, ἀγαθότητος, ἀπειρίας, ἁπλότητος καὶ πάντων ὡς εἰπεῖν τῶν τῆς θεότητος αὐχημάτων, ἀλλ' ὡς τούτων ἁπασῶν ἓν οὐσῶν, οὐσίας μόνης, κτιστῶν δὲ τῶν παρὰ ταύτην ἁπάντων, εἰ γὰρ ἄκτιστός ἐστι, φασὶ, καὶ ἡ θεία θέλησις καὶ δύναμις καὶ ἐνέργεια, οὐδὲν τῆς ἀκτίστου οὐσίας διενηνόχασιν, εἰ δὲ διενηνόχασιν αὗται ἐκείνης ὁπωσοῦν, μία ἄκτιστος θεότης ἡ τούτων ὡς αἰτία τούτων ὑπερκειμένη οὐσία τοῦ θεοῦ, αἱ δ' ἐξ ἐκείνης αὗται κἀκείνης ὁπωσοῦν διαφέρουσαι τοῖς τοῦ θεοῦ κτίσμασίν εἰσιν ἐναρίθμιοι. ταῦτ' ἄρα καὶ τὴν λαμπρότητα τῆς θείας φύσεως, τὸ τοῦ μέλλοντος αἰῶνος φῶς, οὗ καὶ τὸ προοίμιον ἐν Θαβὼρ τοῖς ὀφθαλμοῖς ἑωράκασιν οἱ μαθηταὶ, νῦν μὲν οὐσίαν θείαν λέγουσι τὰ Μασσαλιανῶν ἄντικρυς νοσοῦντες, νῦν δὲ εἰς κτίσμα κατασπῶσιν, ὡς οὐκ οὐσίαν θείαν, ἀλλ' ἐνέργειάν τε καὶ ἔλλαμψιν ὑπάρχον. τί διὰ τούτων κατασκευάζοντες καὶ τοὺς πειθομένους ἐνάγοντες φρονεῖν; ἀθεΐαν ἅμα καὶ πολυθεΐαν, τὰ ἐκ διαμέτρου κακὰ, καὶ τὴν κακίαν ὁμότιμα, τὴν μὲν ἐκ τοῦ κατατέμνειν εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν θεότητα, τὴν δὲ ἀθεΐαν οὐκ ἐντεῦθεν μόνον εἰσαγοντες, ἧς γὰρ οὐσίας ἡ δύναμις καὶ ἡ ἐνέργεια καὶ ἡ θέλησις καὶ ἡ ἔλλαμψις κτιστὴ, πῶς αὕτη ἄκτιστος; ἀλλὰ καὶ ἀπὸ τοῦ τὴν διαφορὰν ἀνελεῖν τῆς θείας οὐσίας πρὸς τὴν θεῖαν ἐνέργειαν, ἑκατέρα γὰρ οὕτως ὑφ' ἑκατέρας κατὰ πᾶσαν ἀνάγκην ἐξωθουμένη, χωρήσει πρὸς τὸ μὴ ὄν, καὶ δι' ἀλλήλων ἀμφότεραι, καὶ οὕτω συμβήσεται, μηδεμίαν εἶναι θεότητα ἄκτιστον. τούτου δὴ τοῦ νεήλυδος Ἀρειανισμοῦ τε καὶ Σαβελ-

λιανισμοῦ καὶ τῆς ἀθέου ταύτης καὶ πολυθέου συστολῆς τε καὶ κατατομῆς τῆς θεότητος ἀρχηγὸς καὶ προστάτης ὑπῆρξε πρῶτος ὁ Καλαβρὸς Βαρλαὰμ, ὑποκρινόμενος δὲ τῷ ἑνιαίῳ συνηγορεῖν τῆς θεότητος, πολλοὺς ὑπηγάγετο καὶ τῶν ὡς ἀληθῶς ἕνα σεβόντων θεὸν ἐν μιᾷ καὶ ὄντως ἀκτίστῳ θεότητι καὶ γλώττῃ καὶ γράμμασι κατατρέχων, ὡς ἄκτιστον εἶναι φρονούντων μετὰ τῆς ὑπὲρ πᾶσαν ἔκφανσιν οὐσίας καὶ τὴν τοῖς ἀξίοις ἐπιφαινομένην θείαν ἔλλαμψιν δύο θεότητας ἀκτίστους πρεσβεύειν ὑπερκειμένην καὶ ὑφειμένην, δυσσεβῶς κατηγόρει, κτιστὴν αὐτὸς καὶ ὄντως ὑφειμένην, ὡς κτιστὴν καὶ ὡρωμένην τοῖς κεχαριτωμένοις, θεϊκῶς ἀποφαινόμενος εἶναι, τὴν θεῖαν καὶ θεοποιὸν ἐνέργειαν καὶ χάριν καὶ ἔλλαμψιν, μάλιστα πάντων ἐν τούτοις καταφερόμενος, ὡς καὶ ὁ τόμος διαλαμβάνει τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Γρηγορίου τοῦ Παλαμᾶ, ὡς καὶ λόγοις καὶ γράμμασι τὴν αὐτοῦ τοιαύτην δυσσέβειαν ἀνατρέποντος. μετακαλεῖται τοίνυν πόρρωθεν οὗτος, συγκροτεῖται σύλλογος ἀρίστων, χεῖται πᾶσα ἡ πόλις αὐτεπάγγελτος πρὸς τὴν ἀκρόασιν. βασιλέως τοίνυν ἐκείνου τοῦ ἀοιδίμου καὶ μακαρίτου καὶ τοῦ πατριάρχου προκαθημένων, ἱεραρχῶν τε καὶ τῶν ἐν τέλει καὶ τῶν καθολικῶν κριτῶν, τῆς τε συγκλήτου καὶ τῶν τοῦ κλήρου λογάδων παρακαθημένων αὐτοῖς καὶ τῶν ἄλλων ἁπάντων περιεστώτων, ἐξηλέγχθη ὁ Βαρλαὰμ παρὰ τοῦ εἰρημένου ἱερομονάχου κῦρ Γρηγορίου τοῦ Παλαμᾶ, παρὼν παρόντος, τἀναντία τοῖς ἱεροῖς τῶν πατέρων λόγοις καὶ τῇ κοινῇ τῶν Χριστιανῶν εὐσεβείᾳ καὶ δοξάζων καὶ λέγων καὶ συγγραφόμενος, ἐν οἷς τοῦ τε Παλαμᾶ καὶ τῶν σὺν αὐτῷ μοναχῶν κατηγόρει, καθάπερ ἐπὶ λέξεως ὁ προβὰς ἐπὶ τούτοις ἱερὸς τόμος διαλαμβάνει. καταψηφισθεὶς οὖν ὁ Βαρλαὰμ συνοδικῶς ἐπὶ τούτοις μετάνοιαν ἐπηγγείλατο, τὴν δ' ὑστεραίαν ᾤχετο φεύγων ἀδήλως, τὴν ἀδοὺ κυνῆν, ὅ φασιν, ὑποδὺς, οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ βασιλεὺς ἐκεῖνος, ὁ παντὸς μᾶλλον ἐπὶ τῆς συνόδου παρρησιασάμενος καὶ κυρώσας τὸ εὐσεβὲς, ἀπολείπει τὸν βίον, κἀντεῦθεν οἱ τῆς τοῦ Βαρλαὰμ αἱρέσεως μαθηταὶ, καὶ μάλιστα πάντων κατ' ἐκεῖνον ὑπ' ἐκείνου τὴν πονηρὰν πεπλασμένος πλάσιν Ἀκίνδυνος θορυβεῖν αὖθις ἄρχονται, κλέπτουσι τοὺς πολλοὺς πάλιν, ὡς μὲν τὴν Βαρλααμίτιδα πλάνην ἐπεκδικοῦντες, ἀναθέματι πυκνῷ καθυποβάλλοντες ἐκεῖνον καὶ μηδενὸς ἀναγκάζοντος. μανθάνει ταῦτα πάλιν ὁ ἱερὸς Παλαμᾶς, ἐξελέγχει τὸν Ἀκίνδυνον, οὐκ ὀλίγων ἀκροωμένων πολλάκις, ὡς

καὶ μηδὲν αὐτὸν ἀντιλέγειν ἔχοντα, οἰκειοχείρῳ γράμματι μαρτυρῆσαι τῷ Παλαμᾶ τὴν διὰ πάντων, ὧν λέγει τε καὶ γράφει, πρὸς τοὺς ἁγίους ἀκριβῆ συμφωνίαν, ὃ καὶ πάρεστι τοῖς βουλομένοις ὁρᾶν, ἀθετεῖ μετ' ὀλίγον καὶ τὴν αὐτόχειρα ταύτην ἑαυτοῦ γραφὴν καὶ ὑπογραφὴν, καὶ πάλιν θορυβῶν περιήει, καὶ πάλιν σύνοδος ἱερὰ τῆς προτέρας ἐκείνης κατ' οὐδὲν μείων, τοῦ μὲν μακαρίτου βασιλέως αὐτῆς ἀπόντος, ἐπεὶ καὶ τῶν ἀνθρώπων ἀπῆν, ἀντ' ἐκείνου δὲ παρόντος καὶ προλάμποντος τῇ συνόδῳ καὶ γενναίως ἅμα καὶ θαυμασίως τὰς Ἀκινδύνου παρακεκινδυνευμένας ἐξελέγχοντος πλάνας, τοῦ καὶ ζῶντος βασιλέως, κατὰ τὸ γεγραμμένον εἰπεῖν, εἰσάγοντος καὶ ἐξάγοντος τὸν Ἰσραὴλ καὶ τὰ Ῥωμαίων μεγαλοφυῶς διέποντος πράγματα, νῦν δὲ θεοῦ χάριτι καὶ τὴν βασιλικὴν ἀξίαν ἐπ' εὐτυχίᾳ Ῥωμαίων περικειμένου καὶ συμβασιλεύοντος τῷ υἱῷ τοῦ τρισμακαρίτου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, πάλιν οὖν ἀνάρρησις περιφανεστάτη καὶ ἐπ' αὐτῆς τῆς συνόδου τῆς τοῦ Παλαμᾶ καὶ τῶν αὐτῷ συναδόντων ἀσφαλοῦς εὐσεβείας τοῦ πρὸς αὐτοὺς ἀντιλέγοντος Ἀκινδύνου τελέως καταδίκη καθυποβληθέντος ὡς δυσσεβοῦς καὶ τῷ Βαρλαὰμ σαφῶς ὁμοφρονοῦντος δειχθέντος κἀντεῦθεν οὐ παρὰ τῆς δευτέρας ταύτης μόνης συνόδου καταψηφισθέντος, ἀλλὰ καὶ παρὰ τῆς προτέρας ἐκείνης, καθάπερ γὰρ ἡ καταψηφισαμένη τοῦ Ἀρείου σεπτοτάτη σύνοδος καὶ τοὺς ὕστερον ἀναφανέντας ὁμολόγους ἐκείνῳ συγκαταδικάζει πάντας, οὕτω καὶ ἡ τὸν Βαρλαὰμ καταδικάσασα ψῆφος τοὺς τὰ Βαρλαὰμ ὁτεδήποτε φρονοῦντάς τε καὶ φρονήσοντας καταδικάζει. μετὰ δὴ καὶ τὴν Ἀκινδύνου τοῦ Βαρλααμίτου πεφηνότος συνοδικὴν καταδίκην ὁ συνοδικὸς συνεγράφη τε καὶ ὑπεγράφη τόμος, συνεπτυγμένως μὲν, πάντα δ' ὅμως διαλαμβάνων, καὶ τὴν τοῦ Παλαμᾶ καὶ τῶν μοναχῶν εὐσέβειαν ὡς ἀσφαλῆ τε καὶ ὄντως κοινὴν τῶν χριστιανῶν εὐσέβειαν ἀνακηρύττων καὶ τοὺς ἐκ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου φενακιζομένους ἀπαλλάττων τῆς πλάνης, μεθ' φρικώδεις ἀραὶ καὶ δειναὶ ῥήξεις καὶ πέρα δεινῶν αὐτόν τε τὸν Βαρλαὰμ, εἰ μὴ μετάμελον λάβοι, τῆς ἱερᾶς ἐκκλησίας ἀποκηρύττουσαί τε καὶ ἀπελαύνουσαι καὶ τοῦ Χριστοῦ σώματος ἀποτέμνουσαι καὶ διιστῶσαι παντὸς τοῦ χριστωνύμου πληρώματος, πρὸς δὲ καὶ πάντας τοὺς ἀποτολμῶντας ἢ τολμήσοντας τῆς τοῦ Παλαμᾶ καὶ τῶν αὐτῷ συναδόντων μοναχῶν εὐσεβείας, ὡς ὁ Βαρλαὰμ, κατατρέχειν. ἀλλὰ μετὰ τὴν καταγραφὴν καὶ ὑπογραφὴν τοῦ ὑπὲρ τῆς

κοινῆς εὐσεβείας ἱεροῦ τούτου τόμου, ὃν καὶ ὁ τότε πατριάρχης πρὸ τῶν ἄλλων χερσὶν οἰκείαις ὑποσημηνάμενος διετέλεσεν, οὔπω δύο μῆνες ὅλοι παρῆλθον, καὶ στάσις καὶ σύγχυσις, φεῦ, ἡ πασῶν χαλεπωτάτη καταλαμβάνει τὴν Ῥωμαίων ἀρχὴν, ὑπὸ βασκάνου καὶ πονηρᾶς καὶ φυλάρχου γνώμης τῶν τῆς συγκλήτου τινὸς ἐπιβεβουλευκότων καὶ δεινὰς πλασαμένων συκοφαντίας κατὰ τοῦ κοινῇ πάντων Ῥωμαίων ψήφῳ καὶ βασιλικῇ πρὸ τῶν ἄλλων γνώμῃ, καὶ πρότερον καὶ μετὰ τὴν ἐκείνου μετάστασιν τὴν κοινὴν τῶν ῥωμαϊκῶν πραγμάτων ἐπιμέλειαν καὶ προστασίαν, ἅμα δὲ καὶ τὴν φυλακὴν τῶν τοῦ βασιλέως παίδων ἐπιτετραμμένου, ἅτε γνησιωτάτου καὶ ὁμοφύχου καὶ πιστοτάτου φίλου διὰ πλείστων καὶ καιρῶν καὶ πραγμάτων ἀναφανέντος, ὡς πάντες ἴσασιν. ὁ ἰσόψυχος ἀδελφός τε καὶ φίλος οὗτος, ἐξάρχοντος τῆς παγγενοῦς ταύτης λύμης καὶ ταραχῆς, καὶ τὴν τῆς θεοστεφοῦς βασιλίδος πρὸς ταῦτα κλέπτοντος καὶ παρεξάγοντος γνώμην τοῦ μάλιστα πάντων τὰ τοιαῦτα καταστέλλειν ἀφείλοντος πατριάρχου, δυσχεραίνει δικαίως ἐπὶ τούτοις ὁ ἱερὸς Παλαμᾶς, καὶ τῆς κατὰ τοῦ διὰ πάντων ἀρίστου παραλογωτάτης οὕτω συκοφαντίας οὐκ ἀνασχόμενος, ἅμα δὲ καὶ τὴν κοινὴν ἐντεῦθεν τοῦ Ῥωμαίων γένους πανωλεθρίαν συνετῶς προορώμενος, ἀπᾴδον ἡγεῖται μὴ, τό γε εἰς αὐτὸν ἥκον, ὅση δύναμις, ἀναχαιτίσαι παρρησιασάμενος τὰ τοιαῦτα δεινὰ, καὶ ἅπαξ τοίνυν καὶ δὶς καὶ πολλάκις καὶ ἰδίᾳ καὶ πολλῶν παρόντων καὶ μόνος καὶ μετ' εὐλαβῶν ἑτέρων, νῦν μὲν ὑπὲρ τοῦ παραλογώτατα συκοφαντουμένου, νῦν δ' ὑπὲρ τοῦ χριστωνύμου γένους τὰ εἰκότα διαλεξάμενος, ὡς εἶδε τὸν πατριάρχην καὶ κατ' αὐτοῦ χωρήσαντα καὶ πρὸς αὐτὸν ἄγαν ἀπεχθῶς διακείμενον, ἅμα δὲ καὶ πλέον ἔχων ἀνύειν οὐδὲν, ἀναχωρήσας τῆς πόλεως ἐπὶ τὰ πέριξ διέτριβεν· ὁ δὲ πατριάρχης μηδὲν ἕτερον ἔχων κατ' αὐτοῦ πρᾶξαι, τῷ Ἀκινδύνῳ μαινομένῳ μηδὲν ἧττον ἢ πρότερον κατὰ τῆς αὐτοῦ τε τοῦ Παλαμᾶ καὶ τῶν ἄλλων μοναχῶν, μᾶλλον δὲ τῆς κοινῆς εὐσεβείας ὁμιλῶν ἐῶρᾶτο γνησίως καὶ παρρησίας οὐ μετρίας μεταδιδούς, εἶτα καὶ συνδιημερεύων καὶ συνδιανυκτερεύων καὶ συνηγορῶν τούτῳ καὶ συμπνέων αὐτῷ κατὰ πάντα καὶ μετ' αὐτοῦ καὶ δι' αὐτοῦ κατατρέχων ἀκράτως καὶ λόγοις καὶ γράμμασι τῶν πρὸ μικροῦ δικαιωθέντων ἐκείνων, μετ' οὐ πολὺ δὲ καὶ διώκτης μὲν τοῦ Παλαμᾶ καὶ τῶν σὺν αὐτῷ μοναχῶν, μᾶλλον δὲ τῆς κοινῆς χριστιανῶν εὐσεβείας φανερὸς γίνεται βεβαιωτής

δὲ καὶ προστάτης Ἀκινδύνου καὶ τῶν Ἀκινδύνου σαφὴς, ἐλάνθανε δὲ τήν τε θεοσεβεστάτην ἡμῶν κυρίαν καὶ δέσποιναν κυρὰν Ἄνναν τὴν Παλαιολογίναν καὶ ἡμᾶς αὐτοὺς ἐπὶ προφάσει τῶν ἀνωτέρω προειρημένων ὑποκρινόμενος κατατρέχειν τοῦ Παλαμᾶ. καὶ τίς τοδντεῦθεν ἱκανῶς ἐξαρκέσει παραστῆσαι λόγος τὰς ἐπὶ πολλοὺς ἐνιαυτοὺς κατ' αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ μοναχῶν τυρευθείσας πολυτρόπους ἐπηρείας ἐνταῦθά τε καὶ κατὰ τὰς πόρρω πόλεις καὶ μάλιστα τὴν Θεσσαλονίκην; ἐν ᾗ καὶ πρότερον ἔφθη φωραθέντα τὰ τῆς τοιαύτης δυσσεβείας αὐτῶν, ἐλάνθανε δ' ὅμως, ὡς ἔφημεν, τὰ τοιαῦτα κατ' αὐτῶν πράττων, μέχρις ὅτου, νομίσας ἤδη πανταχόθεν τὸ ἐνδόσιμον ἔχειν, ἐπεχείρησεν ἱερέα, κἀντεῦθεν καὶ πρόεδρον ἐκκλησίας καταστῆσαι τὸν τοῦ Βαρλαὰμ μύστην καὶ διάδοχον καὶ ὀπαδὸν Ἀκίνδυνον. ὡς οὖν ἤδη τοῖς ἱεροῖς διακόνοις ἐγκαταλέγειν ἕτοιμος ἦν τὸν καὶ τὸ σέβας ἀνίερον, συνεῖσα καὶ πρὸ τοῦ γενέσθαι τὴν ἄθεσμον ταύτην Ἀκινδύνου χειροτονίαν ἡ προρρηθεῖσα θεοσεβεστάτη βασιλὶς, πέμψασα παραινεῖ τῷ ἱεράρχῃ, καὶ τῆς ἀνιέρου ταύτης πράξεως ἀπάγειν λόγῳ καὶ πρὸς τὸ εἰκὸς ἐπανάγειν πειρᾶται τῶν θείων ἐκτραπόμενον νόμων, ὡς δ' ἐκεῖνος τὸν ἔξω τῆς εὐσεβείας Ἀκίνδυνον εἴσω τοῦ βήματος τῆς ἐκκλησίας φέρων ὤθησε βίᾳ, καὶ τοῖς ἱεροῖς διακόνοις τὸν βέβηλον ἐγκατέμιξε παρὰ πάντα θεσμὸν, καὶ ὁ θόρυβος εὐθὺς παρὰ τῶν εὐσεβούντων ἤρθη πολὺς, χρῆται καὶ αὖτη λυσιτελῶς καὶ δικαίως τῇ ἐξουσίᾳ, καὶ τὸν ἐν ἱερατείᾳ γενόμενον Ἀκίνδυνον ἐξωθεῖ τῆς ἱερᾶς ἐκκλησίας, καὶ πολυειδέσιν αὐτόν τε καὶ τοὺς αὐτοῦ σπουδαστὰς περιβαλοῦσα ταῖς ἀτιμίαις, εἶθ', ὡς πάντολμον καὶ ἀλλόκοτον καὶ κατὰ τῆς ἱερωσύνης μᾶλλον ἢ πρὸς ἱερωσύνην χωρήσαντα, πληγῶν καὶ δεσμῶν καὶ καθειργμῶν δικαιοῖ, κἂν ἐκεῖνος τηνικαῦτα διέδρα, καθάπερ καὶ νῦν, χηραμοὺς ὑπογείους καὶ σήραγγας ὑποδὺς, ἡ δὲ τοῦ τυραννοῦντος τῆς εὐσεβείας ἐντεῦθεν ἀμβλύναι καὶ μετασκευάσαι νομίσασα τὴν ὁρμὴν πατριάρχου, ἀνασχέσθαι τούτου μακροθύμως διέγνω καὶ μὴ περαιτέρῳ προενεγκεῖν τηνικαῦτα τὸν ἔλεγχον. ἀλλ' ἐκεῖνος χείρων μᾶλλον ἑαυτοῦ γίνεται, καὶ γράμμα, μᾶλλον δὲ γράμματα συντίθησι κατὰ τοῦ Παλαμᾶ καὶ τῶν μοναχῶν, μᾶλλον δὲ τῆς εὐσεβείας καὶ τῆς ἐκκλησίας αὐτῆς καὶ εἰς ἀνασκευὴν τοῦ συνοδικοῦ τόμου καὶ τῶν ὑπὲρ εὐσεβείας συνοδικῶν διαγνώσεών τε καὶ ἀποφάσεων· τοὺς δὲ κατὰ τῆς εὐσεβείας πάλιν αὐτοῦ πρὸς τοὺς ἐντυγχάνοντας λόγους καὶ τὰ διὰ

πράξεως ἐκτελούμενα κατ' αὐτήν τε τὴν μεγαλόπολιν καὶ τὰς πόρρω ταύτης ἀπῳκισμένας τίς διαλήψεται λόγος; ἐλάνθανε δὲ καὶ τούτων τὰ πλείω ἡμᾶς αὐτούς τε, καθάπερ εἴρηται ..... ὡς δ' ἡ κατὰ Θεσσαλονίκην ἐκκλησία χρείαν εἶχε προέδρου, ὁ δὲ τὴν δυσσέβειαν Ἀκίνδυνον ἄλλον ὑποψήφιον ἐποιήσατο· μαθοῦσα τοῦτο πάλιν ἡ τῆς εὐσεβείας, εἴπερ τις, προστάτης καὶ θεοσεβεστάτη βασιλὶς, πάλιν ὀνειδίζει τὸν πατριάρχην, καὶ παραινεῖ τῶν τοιούτων ἀποσχέσθαι τελέως, ὡς δυσσεβῶν συνοδικῶς ἀναπεφηνότων .....

.....

.....

.....*)

ἀλλὰ καὶ διὰ τὸ ἀθετῆσαι τὰς ὑπὲρ εὐσεβείας συνοδικὰς διαγνώσεις καὶ ἀποφάσεις καὶ χωρῆσαι μὲν κατὰ τῆς εὐσεβείας τῶν τότε διαιωθέντων, ὡς συνηγόρων τῆς κατ' αὐτὴν ἀληθείας, ὁμοφρονῆσαι δὲ τοῖς μαθηταῖς καὶ διαδόχοις τῆς τοῦ Βαρλαὰμ ἐκείνου κακοδοξίας, καὶ γυμνῇ τῇ κεφαλῇ γράφειν τε καὶ λέγειν, χειροτονεῖν τε καὶ ψηφίζεσθαι καὶ τὴν πρὸς τοὺς φρονοῦντας τὰ τοῦ Βαρλαὰμ ὁμοφροσύνην ἐπιδείκνυσθαι φανερῶς κατάκριτον εἶναι καὶ μὴ ἔχειν αὐτὸν μοῖραν μετὰ τῶν εὐσεβῶν ἀπεφήναντο. ἡ μέντοι θεοστεφὴς καὶ κρατίστη βασιλὶς μετὰ τὸ καὶ τὰ τοιαῦτα τῶν ἱερωτάτων τούτων ἀρχιερέων δέξασθαι πολλάκις ἡμᾶς συγκαλέσασα καὶ μετὰ τῆς συγκλήτου καὶ πολλῶν ἐλλογίμων τὰ περὶ τῶν θείων συνδιασκεψαμένη δογμάτων καὶ καταλαβοῦσα τὸν τὰς συνοδικὰς διαγνώσεις ὑπὲρ εὐσεβείας ἐμπεριέχοντα τόμον, ἐγγράφως καὶ ἀγράφως ὑπὸ τοῦ πατριαρχεύοντος ἀνατρεπόμενον, οὐκέτι καθεκτῶς εἶχεν, ἀλλ' ἐνθέου πλησθεῖσα ζήλου τὴν κατὰ τῶν ἀθετούντων τὸν τόμον ἐκδίκησιν ἐπεζήτει καὶ τὴν αὐτοῦ τε καὶ τῆς κατ' αὐτὸν εὐσεβείας βεβαίωσιν· συγκαλεῖ τοίνυν ἡμᾶς ἐν τῷ θεοφρουρήτῳ παλατίῳ, ὁλόκληρον ὄντας σύνοδον, πρὸς δὲ καὶ τὸν τοῦ Ἁγίου Ὄρους σεβασμιώτατον Πρῶτον μετὰ τῶν σὺν αὐτῷ γερόντων καὶ πολλοὺς τῶν κατὰ τὴν μεγαλόπολιν ταύτην ἐλλογίμους καὶ εὐλαβεῖς μοναχούς, καὶ προκαθίσασα μετὰ τοῦ ἐρασμιωτάτου υἱοῦ αὐτῆς, τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου, ἔτι δὲ μετὰ καὶ τῆς συγκλήτου πάσης καὶ τῶν τοῦ

---

*) Undecim lineae in codice erasae, una exscissa.

κλήρου λογάδων, ἀρχιμανδριτῶν τε καὶ ἡγουμένων οὐκ ὀλίγων, καὶ τῶν ἐκκρίτων τῆς πολιτείας, πρῶτον μὲν εἰς ἐπήκοον πάντων ἀναγνωσθῆναι τὸν συνοδικὸν τόμον διακελεύεται, εἶτα προτίθεται τὸ προρρηθὲν τοῦ πατριάρχου βιβλίον, ὅπερ αὐτὸς, ὡς εὐσεβῶς ἔχον, δι' ἀρχιερέων καὶ ἐκκλησιαστικῶν αὖθις προσώπων πρὸς τὴν κρατίστην ἡμῶν κυρίαν καὶ δέσποιναν ἔπεμψεν, ἐν ᾧ βιβλίῳ ἐν ὑποκρίσει καὶ προφάσει τοῦ ἐξηγεῖσθαι τὸν τόμον παρεξήγησιν αὐτοῦ καὶ ἀνατροπὴν καὶ κατάλυσιν παντελῆ συνεγράψατο, τὰ μὲν αὐτοῦ καὶ ταῦτα τὰ καιριώτατα τῆς ὑποθέσεως ἐκ τοῦ παρήκοντος γεγράφθαι λέγων, τὰ δὲ καὶ τελέως ἀναίδην ἀνασκευάζων, ἐν οἷς καὶ εἰς τὰς ἀϊδίους καὶ θείας τοῦ θεοῦ ἐνεργείας δῆλός ἐστι βλασφημῶν, ὄχλον θεοτήτων ταύτας ἀποκαλῶν καὶ πολυθέους εἶναι λέγων τοὺς ἀκτίστους εἶναι ταύτας διαβεβαιουμένους καὶ τιμῶντας ἔστιν ἃς τούτων τῇ τῆς θεότητος προσηγορίᾳ, ὥσπερ ἂν εἴ τις καὶ τὰ ἑπτὰ πνεύματα, δηλονότι τὰς ἑπτὰ τοῦ πνεύματος ἐνεργείας ὄχλον πνευμάτων δυσσεβῶς προσηγόρευεν. ἀλλὰ καὶ κατὰ τῶν ἐπ' εὐσεβείᾳ δεδικαιωμένων καὶ παρ' ἐκείνου τοῦ ἱεροῦ τόμου ἀνακηρυττομένων τε καὶ μαρτυρουμένων, τοῦ Παλαμᾶ δηλονότι . . . . . μοσύνης καταδικασθῆναι λέγων τὸν Βαρλαὰμ καὶ κινεῖν πᾶσι προτρεπόμενος καὶ κατηγορεῖν, ἃ κἀκεῖνος κατὰ τῶν μοναχῶν ἐκίνησε, τούτων κατηγορῶν, μηδὲ τὴν τελευταίαν ἀπόφασιν τοῦ τόμου δυσωπηθείς, φανερῶς τοῦ τῶν ὀρθοδόξων πληρώματος ἀποτέμνουσαν, εἴ τις τι τῶν ὑπὸ τοῦ Βαρλαὰμ λαληθέντων ἢ συγγραφέντων αὖθις ἐπὶ κατηγορίᾳ τούτων λέγει τε καὶ κινεῖ, ἀλλ' ὑποβάλλων, φεῦ, ἑαυτὸν καὶ τοὺς αὐτῷ πειθομένους οὕτω τοῖς συνοδικοῖς καὶ οἰκείοις ἀφορισμοῖς τε καὶ ἀναθέμασι. ἐν τούτῳ τῷ οἰκείῳ αὐτοῦ βιβλίῳ καὶ ἕτερα συγγράμματα εὕρηται, κἂν τῇ συνόδῳ προτέθειται, συγγραφέντα παρὰ τῶν ὁμοφρόνων αὐτῷ καὶ σπουδαστῶν τῆς αἱρέσεως, οὓς αὐτὸς πατέρας πνευματικοὺς καὶ προστάτας ψυχῶν καὶ διδασκάλους προεχειρίσατο τοῦ λαοῦ πάντως ὡς συμφώνους αὐτῷ, δι' ὧν συγγραμμάτων πᾶσαν σχεδὸν εὐσέβειαν καὶ πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους, ἐπὶ προφάσει τοῦ γράφειν κατὰ τοῦ Παλαμᾶ καὶ τῶν ὁμοφρόνων αὐτῷ πάντων, ἀποκηρύττει καὶ ἀναθεματίζει καὶ ἀποβάλλεται, γράφων ἐπὶ λέξεως οὕτω· „τοῖς ἀποτολμῶσι καὶ λέγουσι τὴν δόξαν τῆς θεότητος τοῦ Χριστοῦ ἑτέραν εἶναι παρὰ τὴν οὐσίαν τοῦ θεοῦ ἀνάθεμα, καὶ πάλιν,

τοῖς ἀποτολμῶσι καὶ λέγουσι φῶς ἄκτιστον ἕτερον παρὰ τὴν οὐσίαν τοῦ θεοῦ ἀνάθεμα, καὶ πάλιν, τοῖς λέγουσι τὴν θείαν χάριν ἄκτιστον μὲν εἶναι, ἑτέραν δὲ παρὰ τὴν οὐσίαν τοῦ θεοῦ ἀνάθεμα, καὶ πάλιν, τοῖς λέγουσι θεότητα ἄκτιστον σωματικοῖς ὀφθαλμοῖς ληπτὴν ἀνάθεμα, καὶ πάλιν, μωροὶ καὶ τυφλοὶ οἱ διὰ τὴν μεταμόρφωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποτολμῶντες καὶ λέγοντες ἄκτιστον φῶς σωματικοῖς ὀφθαλμοῖς ὁρατόν". ἆρ' οὖν ὁ ταῦτα στέργων καὶ παρ' ἑαυτῷ, ὡς εὐσεβῆ κατέχων, καὶ τοῖς τὰ τοιαῦτα γράφουσι μὴ κοινωνῶν ἁπλῶς μόνον, ἀλλὰ καὶ συλλειτουργῶν καὶ πατέρας πνευματικοὺς καὶ διδασκάλους τούτους προχειριζόμενος, μόνον οὗτος τὸν Παλαμᾶν ἀποκηρύττει καὶ ἀποβάλλεται ἢ τοὺς ἀπ' αἰῶνος ἁγίους; αὐτούς τε τοὺς ἐπὶ τῶν ἱερῶν ἐκείνων συνόδων συνειλεγμένους καὶ μάλιστα τὸν συνοδικόν τε καὶ ἁγιορειτικὸν τόμον καὶ αὐτοὺς τοὺς συμφήφους φανερῶς ὄντας τῷ Παλαμᾷ κατ' εὐσέβειαν βασιλέας, καὶ ἁπαξαπλῶς τοὺς εὐσεβεῖς ἅπαντας. ἐν τῷ τοιούτῳ τούτου βιβλίῳ καὶ συγγράμματα τοῦ Ἀκινδύνου ἐστὶν, ἐν οἷς καὶ τὴν ἐν Θαβὼρ ἑωραμένην τοῖς ἀποστόλοις θείαν καὶ ἀπόρρητον φωτοφάνειαν οὐ μόνον κτιστὴν εἶναι φησὶν, ἀλλὰ καὶ τῶν ἀγγέλων κατωτέραν, ὡς καὶ ὁ Βαρλαὰμ ἔλεγεν, ὃ δῆλον ἐποίησε, καὶ δι' ὧν ὑπὲρ ἑαυτοῦ δῆθεν ἔγραφε πρὸς τὴν εἰρημένην ἡμῶν κυρίαν καὶ δέσποιναν, ὡς ὁρατὴν γενομένην ταύτην τὴν θεοφάνειαν, ἀτιμοτέραν ὑποδεικνὺς ἀσωμάτου πάσης οὐσίας καὶ αὐτῶν τῶν ἀνθρωπίνων ψυχῶν. ὁ δὲ τῆς ἐκκλησίας λαχὼν προΐστασθαι, φεῦ, οὐ τὰ τοιαῦτα μόνον αὐτοῦ συγγράμματά τε καὶ δογματα, ἀλλὰ καὶ δι' αὐτοχείρων αὐτοῦ τοῦ Ἀκινδύνου συγγραμμάτων κατέχων παρ' ἑαυτῷ τὰς δυσσεβείας αὐτοῦ, εἰς διάκονον τοῦτον ἐχειροτόνησε, καὶ τοὺς μὲν παραδεχομένους αὐτὸν, ὡς καλῶς αὐτὰ δογματίζοντα, ἀφώρισέ τε καὶ ἀπεκήρυξε, τίνα δὴ ταῦτα; ἵν' ἐξ ὀλίγων καὶ ἀπὸ τούτων ἀναφανῇ τὸ ἀσεβὲς καὶ ἄσυστατον τῶν Ἀκινδύνου καὶ τοῦ συμφωνοῦντος ἐκείνῳ πατριάρχου δογμάτων. οὐ δυνάμεθα, φησὶ, τὴν φυσικὴν τοῦ θεοῦ ἐνέργειαν ἄλλο τι φρονῆσαι τῆς οὐσίας αὐτοῦ καὶ τῆς φύσεως, ἀλλ' οὐδὲ τῆς θείας οὐσίας ταύτης διαφέρον ὁπωσοῦν φῶς ἄκτιστον καὶ τῷ θεῷ συναΐδιον ἢ δόξαν ἢ χάριν ἢ ἔλλαμψιν, καὶ πάλιν, οὐδὲν, ὅπερ εἰς ὅρασιν ἔρχεται καθ' ἑαυτὸ σωματικῶν ὀφθαλμῶν ὁπωσδήποτε, ἄκτιστόν ἐστι, κἂν Μωσῆς, κἂν Παῦλος, ὁ εἰς τρίτον οὐρανὸν ἀνελθὼν, κἂν ἄγγελος ἢ ὁ τῆς θεωρίας ἁπτόμενος,

καὶ πάλιν, πῶς ἡ κτιστὴ φύσις ἄκτιστον ἐνέργειαν ὄψεται σωματικοῖς ὀφθαλμοῖς, κἂν ἰσάγγελος ᾖ τις, κἂν ἄγγελος, καὶ πάλιν, εἴ τις τὸ ἐν Θαβωρίῳ λάμψαν ὑπέρλαμπρον φῶς διὰ τὸ εἰρῆσθαι θεότητα παραδειχθεῖσαν τῷ θεολόγῳ καὶ Ἰωάννῃ τῷ θείῳ Δαμασκηνῷ ἄκτιστον καὶ ἀίδιον, διὰ ταῦτα θεὸν ὑπερούσιον αὐτὸ καλεῖ, ἕτερον δὲ τῆς θείας οὐσίας, οὐκ ἀσφαλῶς αὐτὸν ὑπολαμβάνω θεολογεῖν, καὶ γὰρ φῶς ἄκτιστον μὲν καὶ ἀίδιον καὶ προαιώνιον εἴρηται, ἕτερον δὲ παρὰ τὴν οὐσίαν τοῦ θεοῦ οὐκ εἴρηται, οὐκοῦν οὐδὲ ἐγὼ τοῦτο λέγω, ἀλλ' ὁ διὰ τούτων τὸ αὐτὸ φῶς καὶ οὐσίαν τοῦ θεοῦ καὶ κτίσμα λέγων εἶναι, δυσσεβῶς, μᾶλλον δὲ ἀσεβῶς καὶ ἀθέως· ἀκούσατε, τί φησιν αὖθις; ἐγὼ κακίζω καὶ τὸ ἄκτιστον καὶ τὸ κτιστὸν τῆς θεουργοῦ σοφίας καὶ χάριτος, οὔτε γὰρ ἡμῖν ἐνταῦθα τὴν ἀντίφασιν προσκυνητέον, ὥστ' εἰ θάτερον ὑπὸ ἀνάθεμα, καὶ τὸ ἕτερον οὐδὲν ἧττον. ἐν τούτοις τοῖς αὐτοχείροις αὐτοῦ γράμμασι καὶ τὰ περὶ τὸν θεὸν οὐσιωδῶς θεωρούμενα, τὴν ἀγαθότητα, τὴν ζωὴν, τὴν ἀθανασίαν, τὴν ἀτρεψίαν καὶ ὅσα παραπλήσια τούτοις, ἅπερ ὁ θεῖος Μάξιμος θεολογῶν φησιν ὡς οὐκ ἦν, ὅτε οὐκ ἦσαν, ὡς ἄναρχα καὶ ἀίδια, ταῦτα ὁ Ἀκίνδυνος κτίσματα εἶναι διατείνεται, ὡσαύτως καὶ τὰ παρὰ τῷ Ἡσαΐᾳ ἑπτὰ πνεύματα, περὶ ὧν φησιν ὁ θεολόγος Γρηγόριος· τὰς ἐνεργείας τοῦ πνεύματος πνεύματα φίλον τῷ Ἡσαΐᾳ καλεῖν, κτιστὰ εἶναι διισχυρίζεται, καὶ ὅσα δὴ ὁ Δαμασκηνὸς θεῖος Ἰωάννης τὸ ἐν τῇ μεταμορφώσει τοῦ σωτῆρος θειότατον ἐξυμνῶν συνεγράψατο φῶς, ὡς ἐγκωμιαστὴν τοῦτον ταῦτα συγγράφασθαί φησιν, ἀλλ' οὐ κατὰ ἀληθινὴν θεολογίαν, διὸ δοκιμώτερον, φησὶν, εἶναι τὸ ὁμολογεῖν ἀγνοεῖν ταῦτα καὶ μὴ δέχεσθαι, ἵνα μὴ ἐκ τούτων εἰς διθεΐαν περιπέσωμεν, ἀναγκασθέντες δύο πρεσβεύειν θεοὺς καὶ θεότητας, διθεΐαν σαφῶς κατὰ τὸν Βαρλαὰμ ἀποκαλῶν τὸ μὴ μόνον τὴν πᾶσι παντάπασιν ἀόρατον οὐσίαν τοῦ θεοῦ, ἀλλὰ καὶ τὴν ἐπιφαινομένην καὶ χορηγουμένην τοῖς ἁγίοις θείαν ἔλλαμψιν καὶ χάριν καὶ ἐνέργειαν λέγειν θεότητα ἄκτιστον, διὰ ταῦτα τοίνυν τὰ οὕτω δυσσεβῆ καὶ ἀλλόκοτα τοῦ Βαρλααμίτου Ἀκινδύνου καὶ τῶν οἷος αὐτὸς γράμματά τε καὶ δόγματα, ἅπερ ἐξηλέγχθη, φρονῶν καὶ στέργων, καὶ πολυτρόπως ἔργοις τε καὶ λόγοις καὶ γράμμασι . . . . . .

. . . . . καὶ ἀκριβῆ καὶ προσήκουσαν τὴν περὶ τούτων σκέψιν τε καὶ ἐξέτασιν ποιησάμενοι καὶ συμφήφους ἔχοντες τὴν ἔνθεον καὶ νουνεχῆ

ζῆλον ὑπὲρ τῆς εὐσεβείας ἐνδειξαμένην θεοστεφῆ βασιλίδα μετὰ τοῦ ἐρασμιωτάτου υἱοῦ αὐτῆς, τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κυροῦ Ἰωάννου τοῦ Παλαιολόγου, ἔτι τε καὶ τὴν σύγκλητον πᾶσαν μετὰ τῶν τῆς πολιτείας ἐκκρίτων, ἀλλὰ δὴ καὶ τοὺς συνειλεγμένους ἑτέρους πάντας, ἐκκλησιαστικούς τε λογάδας καὶ τῶν εὐλαβεστάτων ἀρχιμανδριτῶν καὶ ἡγουμένων καὶ μοναχῶν καὶ λογίων ἀνδρῶν οὐκ ὀλίγους .....

.....

..... ἐκκηρύκτους ἐγγράφως καὶ ἀποτετμημένους τῆς τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ἅτε δυσσεβεῖς συνοδικῶς ἀναπεφηνότας, Ἀκίνδυνον καὶ τοὺς κατ' αὐτὸν εἰς κοινωνίαν, οὐ μεταμελουμένους, μᾶλλον δὲ καὶ προστιθέντας τῇ δυσσεβείᾳ πρασέμενον, τοὺς δ' ὑπεραγωνισαμένους τῆς κατ' εὐσέβειαν ἀληθείας καὶ συνοδικῶς ἐπὶ ταύτῃ δικαιωθέντας, τὸν εἰρημένον δηλονότι κῦρ Γρηγόριον τὸν Παλαμᾶν καὶ τοὺς οἷος αὐτὸς παραλόγως τε καὶ ἀθέσμως ἀποβαλλόμενον .....

..... εἰ δὲ μὴ μεταμεληθείη, καὶ τὰ πονηρὰ ταῦτα καὶ δυσσεβῆ καὶ ἀλλόκοτα δόγματα καὶ τοὺς τούτοις ἐμμένοντας γνησίως ἀποβάλλοιτο δι' οἰκείου λιβέλλου κατὰ τὴν πάλαι ἐπικρατοῦσαν ἐπὶ τοῖς τοιούτοις ἐκκλησιαστικὴν παράδοσιν, καὶ ἀναθέματι τοῦτον καθυποβάλλομεν, ὡς καὶ ὁ πρότερος συνοδικὸς διαλαμβάνει τόμος, ἀποκόπτων τελέως παντὸς τοῦ χριστιανικοῦ καὶ ὀρθοδόξου πληρώματος οὐ μόνον τὸν Βαρλαὰμ, ἀλλὰ καὶ εἴ τις ἕτερος φανείη τι τῶν ὑπ' αὐτοῦ κατὰ τῶν μοναχῶν ῥηθέντων τούτων αὖθις κατηγορῶν ἢ ὅλως αὐτῶν ἐν τοῖς τοιούτοις καθαπτόμενος, αὐτὴν γὰρ ἐκείνην τὴν τοῦ τόμου καταδίκην ἐφ' ἑαυτὸν ἐπεσπάσατο, ἀκυροῦμεν δὲ καὶ ἀπρόσδεκτα πᾶσι τελέως ἀποφαινόμεθα τὰ παρ' αὐτοῦ τε καὶ παντὸς ἑτέρου κατὰ τοῦ Παλαμᾶ καὶ τῶν ὁμοφρονούντων αὐτῷ συντεθέντα οἱαδήποτε γράμματα, ὡς πάσης ὄντα διαβολῆς καὶ δυσσεβείας ἀνάμεστα καὶ κατὰ τῶν ἱερῶν θεολόγων καὶ τῆς εὐσεβείας καὶ τῆς ἐκκλησίας αὐτῆς μᾶλλον ἢ τούτων ἐκκείμενα, Ἀκίνδυνον δὲ, ὡς κατὰ τῆς εὐσεβείας οὕτω μανέντα, καίτοι πρότερον συνοδικῶς, ὡς εἴρηται, καταδικασθέντα καὶ ὡς ἔρματον ἁρπάσαντα τὴν ἐμφύλιον στάσιν καὶ ἀναίδην τῇ τοῦ καιροῦ χαλεπωτάτῃ συγχύσει καὶ μοχθηρίᾳ καὶ τῇ τοῦ χριστωνύμου γένους λύμῃ

καταχρησάμενον καὶ μετὰ τὸν Βαρλαὰμ ἐκεῖνον κατ' ἐκεῖνον, προφάσει τοῦ κατὰ τοῦ Παλαμᾶ χωρεῖν κατὰ τῶν ἀπ' αἰῶνος ἁγίων κεχωρηκότα, καὶ τὴν τοῦ Χριστοῦ συνταράξαντα δεινῶς ἐκκλησίαν, ταῖς αὐταῖς φρικώδεσι καταδίκαις ὑπάγομεν καὶ πάσης ἱερατικῆς λειτουργίας ἀπηλλοτριωμένον ἔχομεν, ἔτι τε καὶ ἀποκήρυκτον αὐτὸν εἶναι ἀποφαινόμεθα καὶ ἀποτετμημένον τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, εἰ μὴ μεταμεληθείη, καὶ τοῦ ὀρθοδόξου τῶν χριστιανῶν συστήματος· τοὺς δ' ὑπὸ τούτων συναρπαγέντας τε καὶ παρασυρέντας καὶ μὴ τῶν ἐξάρχων τῆς αἱρέσεως ὄντας, ἀμεταμελήτους μὲν μένοντας, τοῖς ὁμοίοις καθυποβάλλομεν, μεταμεληθέντας δὲ γνησίως καὶ ἀναθεματίζοντας τήν τε τοιαύτην κακοδοξίαν καὶ τοὺς ἐμμένοντας ταύτῃ μὴ μόνον εἰς κοινωνίαν τὴν κατ' εὐσέβειαν, ἀλλὰ καὶ εἰς ἱερωσύνην ἀσμενέστατα προσιέμεθα, μηδαμῶς τούτους ὑποβιβάζοντες, κατὰ τὴν ἐπὶ τοῖς τοιούτοις διάγνωσιν καὶ ἀπόφασιν τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου, διοριζομένης „ὅτι τοὺς μὲν πρωτάρχους καὶ προϊσταμένους καὶ τῆς δυσσεβείας ἐκδικητὰς οὐδὲ μεταμελομένους ὅλως εἰς ἱερωσύνην παραδεχόμεθα, τοὺς δὲ βιασθέντας ἢ συναρπαγέντας τε καὶ παρασυρέντας, μεταμελομένους ἀληθῶς καὶ γνησίως, εἰς ἱερωσύνην κατὰ τὸν οἰκεῖον ἕκαστον προσδεχόμεθα βαθμόν.“ ἀλλὰ καὶ εἴ τις ἕτερος τῶν ἁπάντων τὰ αὐτά ποτε φωραθείη ἢ φρονῶν ἢ λέγων ἢ συγγραφόμενος κατὰ τοῦ εἰρημένου τιμιωτάτου ἱερομονάχου κυροῦ Γρηγορίου τοῦ Παλαμᾶ καὶ τῶν σὺν αὐτῷ μοναχῶν, μᾶλλον δὲ κατὰ τῶν ἱερῶν θεολόγων καὶ τῆς ἐκκλησίας αὐτῆς, τὰ αὐτὰ καὶ κατ' αὐτοῦ ψηφιζόμεθα, καὶ τῇ αὐτῇ καταδίκῃ καθυποβάλλομεν, εἴτε τῶν ἱερωμένων εἴη τις, εἴτε τῶν λαϊκῶν. αὐτὸν δὲ τοῦτον τὸν πολλάκις ῥηθέντα τιμιώτατον ἱερομόναχον κῦρ Γρηγόριον τὸν Παλαμᾶν καὶ τοὺς αὐτῷ συνάδοντας μοναχοὺς μηδὲν ἀπᾴδον τῶν θείων λογίων γράφοντάς τε καὶ φρονοῦντας μετ' ἐξετάσεως καταλαβόντας ἀκριβῶς, μᾶλλον δὲ τῶν θείων λογίων καὶ τῆς κοινῆς ἡμῶν εὐσεβείας καὶ παραδόσεως πᾶσι τρόποις, ὡς προσῆκεν, ὑπερμαχοῦντας, οὐκ ἀνωτέρους μόνον παντάπασι τῶν κατ' αὐτῶν, μᾶλλον δὲ τῶν κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας ἐρεσχελιῶν, ὡς καὶ ὁ πρώην τόμος συνοδικὸς, ἔχομεν, ἀλλὰ καὶ ἀσφαλεστάτους τῆς ἐκκλησίας καὶ τῆς εὐσεβείας προμάχους καὶ προαγωνιστὰς καὶ βοηθοὺς ταύτης ἀποφαινόμεθα, οὕτω γὰρ καὶ ὁ ἐπὶ ταῖς συνόδοις ἐκείναις προβὰς τόμος

ἕξει, καθάπερ οὖν ἔχει, τὸ ἀσφαλές τε καὶ βέβαιον. ταῦτα οὕτω συνοδικῶς ἡμῖν μετὰ τῆς ἐκ θεοῦ βασιλείας ἐξετασθέντα καὶ διαγνωσθέντα καὶ κυρωθέντα τὸ ἀσφαλὲς ἐν πᾶσι καὶ βέβαιον ἕξει, σύμφωνα πάντως ὄντα τῇ τε ἀληθείᾳ καὶ τοῖς θείοις πατράσι πᾶσι καὶ ταῖς προγεγενημέναις τούτου χάριν ἱεραῖς καὶ θείαις συνόδοις καὶ τῷ ἐπ' αὐταῖς συνοδικῷ τόμῳ, ἀλλὰ δὴ καὶ ταῖς προρρηθείσαις ψήφοις καὶ ἀποφάσεσι τῶν τε τῆς βασιλίδος ταύτης τῶν πόλεων ἐντὸς πρότερον σχολαζόντων καθ' ἑαυτοὺς ἱερωτάτων ἀρχιερέων καὶ τῶν ἐκτὸς, τὰ ὅμοια συνοδικῶς ἐγγράφως ἀποφηναμένων, καὶ ἡ ἔνθεσμος διὰ πάντων καὶ κανονικὴ αὕτη ψῆφος καὶ ἀπόφασις ἀκίνητος εἰς αἰῶνα Χριστοῦ χάριτι τὸν σύμπαντα διατηρηθήσεται, γραφεῖσα καὶ ὑπογραφεῖσα ἀρτίως, μηνὶ φεβρουαρίῳ ἰνδ. ιε'.

† Εἶχε καὶ ὑπογραφὰς τῶν ἱερωτάτων ἀρχιερέων ταύτας †.

† Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλησπόντου, Ἀθανάσιος †.

† Ὁ ταπεινὸς μητροπολίτης Φιλαδελφείας καὶ ὑπέρτιμος, Μακάριος †.

† Ὁ ταπεινὸς μητροπολίτης πάσης Ἀλανίας καὶ Σωτηριουπόλεως καὶ ὑπέρτιμος, Λαυρέντιος †.

Reliqua desunt, folia duo e codice exscissa.

IV.

† Μηνὶ μαΐῳ, ἑπτακαιδεκάτῃ ἡμέρᾳ, πέμπτῃ, ἰνδ. ιε΄. προεβλήθη ὁ παναγιώτατος ἡμῶν δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης, κῦρ Ἰσίδωρος, καὶ ἤρξαντο καταστρωννύεσθαι ἐν τῷ παρόντι κωδικίῳ αἱ συνοδικαὶ πράξεις καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων ἔγγραφα σημειώματα †.

Ἀρχὴ ῥηθεῖσα παρὰ τοῦ αὐτοῦ παναγιωτάτου πατριάρχου κατὰ τὸ ἐπικρατῆσαν ἐκκλησιαστικὸν ἔθος ὑπὲρ τῶν εὐσεβεστάτων βασιλέων ἡμῶν ἐπὶ παρουσίᾳ αὐτῶν, ἔτι δὲ καὶ τῆς συγκλήτου καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ λοιπῶν τῶν συνειλεγμένων ἐπὶ τῇ προβλήσει τοῦ ἁγιωτάτου Ἱεροσολύμων κυροῦ Λαζάρου.

CX. (6855—1347) augusto ind. XV.

Isidorus metropolitae Philadelphiae committit iura patriarchalia curanda in dioecesi Smyrnensi.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος αὐτῆς ἐπιτρέπει καὶ ἀνατίθησι τῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας καὶ ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ αὐτῆς καὶ συλλειτουργῷ, ὥστε διοικεῖν τὰ δίκαια τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, ἔτι δὲ καὶ τὰ περὶ τὸν τοιοῦτον τόπον καὶ τὰ περὶ ἀμφοτέρας τὰς Φωκαίας εὑρισκόμενα πατριαρχικὰ ἐξαρχικὰ δίκαια· ὀφείλουσι τοίνυν καὶ οἱ κληρικοὶ καὶ οἱ ἐν τῷ τοιούτῳ τόπῳ εὑρισκόμενοι πρεσβύτεροι, μοναχοὶ καὶ λαϊκοὶ ὑπείκειν καὶ πειθαρχεῖν τούτῳ, ἐφ' οἷς μέλλει πρὸς αὐτοὺς λυσιτελὲς, ἀποδιδόναι τε καὶ τὸ ἀνῆκον κανονικὸν καὶ εἴ τι ἄλλο συνηθὲς ἐστι καὶ τεταγμένον ἀποδίδοσθαι παρ' αὐτῶν τῷ μέρει τῆς ἐκκλησίας, ἐκχωροῦμεν δὲ τῷ αὐτῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας ἱερουργεῖν ἐν αὐταῖς δὴ ταῖς Φωκαίαις καὶ ἀναγνώστας σφραγίζειν καὶ ὑποδιακόνους καὶ διακόνους καὶ ἱερεῖς χειροτονεῖν ἀπὸ τῶν ὑπ' αὐτὰς, φροντίζειν καὶ ἐπιμελεῖσθαι ὀφείλων, ὡς τὸ εἰκὸς, τῆς ψυχικῆς αὐτῶν ὠφελείας· ἐπὶ τούτῳ γὰρ ἐγένετο τῷ αὐτῷ ἱερω-

τάτῳ ἀρχιερεῖ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος εἰς ἀσφάλειαν μηνὶ αὐγούστῳ ἰνδ. ιε' †.

CXI. (6855—1347) augusto ind. XV.

Isidorus decernit, ut ecclesia Chariupoleos iterum subiiciatur metropoli Heracleae.

† Ἐπεὶ ἀπελύθη σεπτὸν πρόσταγμα τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἵνα εὑρίσκηται καὶ αὖθις ἡ ἁγιωτάτη ἐπισκοπὴ Χαριουπόλεως ὑπὸ τὸν ἁγιώτατον μητροπολίτην Ἡρακλείας, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Θράκης καὶ Μακεδονίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν καὶ συλλειτουργὸν τῆς ἡμῶν μετριότητος, πράττειν καὶ ἐπ' αὐτῇ, ὅσα καὶ ἐπὶ ταῖς λοιπαῖς ἁγιωτάταις ἐπισκοπαῖς τῆς κατ' αὐτὸν ἐκκλησίας, ἀκολούθως τῷ αὐτῷ σεπτῷ προστάγματι παρακελεύεται καὶ ἡ μετρίοτης ἡμῶν ὑπὸ τὴν αὐτὴν ἱερωτάτην μητρόπολιν Ἡρακλείας τελεῖν καὶ αὖθις τὴν τοιαύτην ἁγιωτάτην ἐπισκοπὴν Χαριουπόλεως καὶ ἐξὸν εἶναι τῷ αὐτῷ ἱερωτάτῳ ἀρχιερεῖ Ἡρακλείας ἐπίσκοπον ἐπ' αὐτῇ χειροτονῆσαι κατὰ τὸ προσὸν ἄνωθεν αὐτῷ εἰς τοῦτο δίκαιον· τῆς γὰρ περὶ τούτου χάριν ἀσφαλείας ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος. μηνὶ αὐγούστῳ ἰνδ. ιε' †

CXII. (6855—1347) augusto ind. XV.

Isidorus metropolitae Sebasteae committit iura patriarchalia curanda in eius dioecesi.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος αὐτῆς ἐπιτρέπει καὶ ἀνατίθησι τῷ ἱερωτάτῳ μητροπολίτῃ Σεβαστείας καὶ ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ αὐτῆς καὶ συλλειτουργῷ, διοικεῖν καὶ τὰ ἐντὸς τῆς ἐνορίας τῆς κατ' αὐτὸν ἁγιωτάτης μητροπόλεως τῆς Σεβαστείας εὑρισκόμενα πατριαρχικὰ ἐξαρχικὰ δίκαια, ἤγουν τὸ χωρίον τὰ Κόμαδα καὶ τὸ ἕτερον χωρίον τὴν Δόκειαν καὶ τὰ ἕτερα, ὅσα εὑρίσκονται πατριαρχικά, ὅστις καὶ ὀφείλει ἐπιμελεῖσθαι τῆς ψυχικῆς ὠφελείας τῶν ἐν αὐτοῖς εὑρισκομένων ἱερωμένων, μοναχῶν τε καὶ λαϊκῶν καὶ διδάσκειν καὶ νουθετεῖν αὐτούς, ὥστε ἀναστρέφεσθαι καὶ πολιτεύεσθαι, ὡς ἁρμόζει χριστιανοῖς, ὀφειλόντων καὶ τῶν ἐποίκων τῶν τε εἰρημένων πατριαρχικῶν χωρίων καὶ τῶν ἄλλων ἀπονέμειν πρὸς τὸν αὐτὸν ἱερώτατον ἀρχιερέα τιμὴν τὴν πρέπουσαν καὶ ὑποταγὴν καὶ ὑπακοὴν καὶ εὐπείθειαν καὶ πειθαρχεῖν, ἐφ' οἷς μέλλει λέ-

γειν πρὸς αὐτοὺς λυσιτελέσιν, ἀποδιδόναι τε πρὸς αὐτὸν καὶ τὸ τεταγμένον κανονικὸν καὶ εἴ τι ἄλλο σύνηθες ἔχουσιν ἀποδιδόναι τῷ μέρει τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας. ἐπὶ τούτῳ γὰρ ἐπιδέδοται πρὸς αὐτὸν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος εἰς ἀσφάλειαν. μηνὶ αὐγούστῳ ἰνδ. ιε' †.

CXIII. (6855—1347) augusto ind. XV.

Isidorus confirmat mandatum imperatoris quibusdam ecclesiasticis conferentis ius ornari crucibus.

† Ἐπειδὴ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ τῆς εἰς τὸ ἔνθεον αὐτοῦ κράτος καθαρᾶς εὐνοίας ἀμοιβόμενος τοὺς ἐντιμοτάτους καὶ πρώτους τῶν ἐκκλησιαστικῶν ἀρχόντων τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης, τὸν οἰκονόμον, τὸν σακελλάριον, τον σκευοφύλακα, τὸν χαρτοφύλακα, τὸν σακελλίου καὶ τὸν πρωτέκδικον, διωρίσατο φορεῖν ἐπάνω τῶν σκιαδίων αὐτῶν σταυρούς, ἐδέησε δὲ ἐπὶ τῷ ἀπολυθέντι ἐπὶ τούτῳ σεπτῷ προστάγματι γράμμα προβῆναι ἡμέτερον, ἀκολούθως καὶ ἡ μετριότης ἡμῶν πράττουσα τῇ βασιλικῇ ταύτῃ φιλοτιμίᾳ καὶ τιμῇ τὸ παρὸν αὐτῆς ἀπολύει γράμμα, δι' οὗ καὶ παρακελεύεται κρατεῖν καὶ ἐνεργεῖσθαι τοῦτο κατὰ διαδοχὴν τὸν ἑξῆς ἅπαντα καὶ διηνεκῆ χρόνον εἰς τοὺς εἰρημένους ἐκκλησιαστικοὺς ἄρχοντας, καθὼς τὸ σεπτὸν διορίζεται πρόσταγμα. ἐπὶ τούτῳ γὰρ ἐγένετο καὶ ἀπελύθη καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος εἰς ἀσφάλειαν. μηνὶ αὐγούστῳ ἰνδ. ιε' †.

CXIV. (6855—1347) augusto ind. XV.

Synodus statuit metropoles Alaniae et Soteropoleos iterum esse uniendas.

† Ὁ ἱερώτατος μητροπολίτης Ἀλανίας καὶ ὑπέρτιμος, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἀνήνεγκεν εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον, ὡς ἡ ἁγιωτάτη μητρόπολις Σωτηροπόλεως ἐξ ἀμνημονεύτων σχεδὸν τῶν χρόνων ἡνώθη διὰ πράξεως συνοδικῆς καὶ σεπτοῦ χρυσοβούλλου καὶ ἐγένετο σῶμα ἓν μετὰ τῆς ἁγιωτάτης μητροπόλεως Ἀλανίας δι' αἰτίας, ἃς διαλαμβάνουσι τὰ δηλωθέντα δικαιώματα, ὥστε εἶναι ταύτην εἰς καθέδραν ἐς ἀεὶ τοῦ κατὰ καιροὺς ἀρχιερέως τῶν Ἀλανῶν, ἐπειδὴ οὐδὲ ἔχει τινὰ ἰδίαν ἀρχιερατικὴν καθέδραν ἡ τοιαύτη μητρόπολις, ἅτε δὴ τοῦ ἔθ-

νους ὄντος νομαδικοῦ, καὶ διετηρήθη καὶ διέμεινεν ἡ πρᾶξις· ἔκτοτε καὶ εἰς δεῦρο ἀπαραποίητος· πρὸ ὀλίγου δὲ οὐκ οἶδ' ὅπως ἐψηφίσθη καὶ ἐχειροτονήθη ἐπὶ τῇ τοιαύτῃ ἐκκλησίᾳ Σωτηροπόλεως γνήσιος ἀρχιερεὺς παρὰ τοῦ πατριαρχεύσαντος πρὸ ἡμῶν, διελόντος τὸν τρόπον τοῦτον καὶ διαχωρήσαντος ταύτην ἀπὸ τῆς Ἀλανῶν, ὡς ἐντεῦθεν ἐξακολουθεῖν ἐξ ἀνάγκης ἐκεῖνο, ἵνα δηλονότι μηδὲ ἀρχιερέως εὐμοιρήσῃ τὸ ἔθνος, μὴ ἔχοντός τί οἰκεῖον κατάντημα, ὃ κἀκεῖνοι προειδότες ἐπὶ τὸ τοιοῦτον ἔργον ἦλθον, καὶ ἄμφω συνῆψαν εἰς ἕν. ταῦτα ὁ τῆς τῶν Ἀλανῶν ἀνενέγκας ἐζήτησε τὸ ποιητέον ἐπ' αὐτῷ γενέσθαι διαγνώσει συνοδικῇ, προτείνας ἐπὶ τοῦ μέσου καὶ τὰ εἰρημένα παλαιγενῆ δικαιώματα, τὴν συνοδικὴν δηλαδὴ πρᾶξιν καὶ τὸ χρυσόβουλλον. προέτρεψε τοίνυν ἡ μετριότης ἡμῶν, καὶ ἀνεγνώσθησαν ταῦτα ἐν ἐπηκόῳ, καὶ διελάμβανε συνῳδὰ τοῖς παρ' αὐτοῦ ῥηθεῖσιν. ἡ μέντοι συνοδικὴ πρᾶξις καὶ δεσμὸν ἄλυτον τὸν ἀπὸ τῆς παναγίας καὶ ζωαρχικῆς τριάδος ἐπιτιθεῖσα ἦν τοῖς ὑπὸ τὸν ὑψηλὸν τοῦτον ἀναβησομένοις θρόνον, συντηρῆσαι βέβαια τὰ οἰκονομηθέντα καὶ μηδέν τι τούτων παρακινῆσαι ἢ ἀλλοιῶσαι ἢ διασαλεῦσαι τὸ σύνολον, ἀλλὰ μᾶλλον ἐπισχύειν καὶ ἐπιρρωνύειν κατὰ τὸν τῆς ἀδελφικῆς ἀγάπης ἀδιάρρηκτον σύνδεσμον, εἰδόσιν, ὡς ἐν ᾧ ταῦτα κρατύνουσιν, ἰσχυρότερα ποιοῦσι τὰ ἑαυτῶν. ἔνθεν τοι καὶ συνδιασκεφαμένη τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι . . . . . .

. . . . . ,

ἔκρινεν, ὡς οὐ καλῶς οὐδὲ δικαίως ἐγένετο, ὅσον δὴ καὶ ἐγένετο, τὸ χειροτονηθῆναι δηλαδὴ ἐπὶ τῇ τῆς Σωτηροπόλεως ἀρχιερέα γνήσιον καὶ ἀθετηθῆναι τὸν τρόπον τοῦτον τὴν καλῶς γενομένην οἰκονομίαν ἐπ' ἀμφοτέραις ταύταις ταῖς ἐκκλησίαις τοῦ συμφέροντος ἕνεκα τοῦ τοσούτου ἔθνους τῶν Ἀλανῶν, ἐχρῆν γάρ, εἰ μή τι ἄλλο, τὸν τοιοῦτον ὑποτρέσαι δεσμὸν καὶ ἀπαρεγχείρητα ἐᾶσαι μένειν πάντη καὶ ἀπαράτρωτα τὰ τῆς εἰρημένης οἰκονομίας. διὸ δὴ καὶ αὖθις ἄμφω αὗται αἱ μητροπόλεις, ἡ τῆς τῶν Ἀλανῶν καὶ ἡ τῆς Σωτηροπόλεως, εἰς ἓν συναφθήσονται σῶμα, καὶ τὴν ἕνωσιν ἀδιάσπαστον καὶ ἀδιάρρηκτον παντελῶς ἕξουσιν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους κατὰ τὴν περίληψιν τῆς τότε συνοδικῆς πράξεως καὶ τοῦ σεπτοῦ χρυσοβούλλου, χρεὼν γὰρ καὶ πάντα μὲν ἁπλῶς, ὅσα τοῖς πρὸ ἡμῶν καλῶς ᾠκονόμηται, τὸ ἀπαρεγχείρητον ἔχειν. πολλῷ δὲ μᾶλλον τοῦθ', ὅπερ ὑπὲρ ὠφελείας ψυχι-

κῆς ἔθνους τοσούτου τὴν οἰκονομίαν εἴληχεν· ὅπως ἂν ἔλοιτο ποιμάναι τις παραμυθίας ταύτης χωρὶς, τῆς ἀρχιερατικῆς δηλαδὴ καθέδρας, συνιδεῖν οὐκ ἔχομεν, ὅθεν ὁ τῆς Ἀλανίας καὶ Σωτηροπόλεως πάλιν κληθήσεται, καὶ δύο κατὰ ταὐτὸ τὰς ἐπωνυμίας ἕξει, ὡς ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματος, καθὰ καὶ τὰ περὶ τούτου ἐν τῇ παλαιγενεῖ συνοδικῇ πράξει διαλαμβάνεται. τούτου γὰρ χάριν καὶ τῷ νῦν ἱερωτάτῳ μητροπολίτῃ Ἀλανίας καὶ Σωτηροπόλεως καὶ ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ πρᾶξις ἐπιδέδοται εἰς ἀσφάλειαν. μηνὶ αὐγούστῳ ἰνδ. ιε' †.

CXV. (6855—1347) augusto ind. XV.

Synodus metropolitae Traianupoleos confert episcopatum Mosynopoleos.

† Ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Τραϊανουπόλεως καὶ ὑπέρτιμος, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἐν στερήσει καθέστηκεν οἰκείου καθίσματος διὰ τὸ καὶ τὴν λαχοῦσαν αὐτὸν ἔργον βαρβαρικῆς ἐφόδου γενέσθαι, παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν, ἀνήνεγκε δὲ καὶ ἐζήτησεν ἐπιτραπῆναι καὶ ἀνατεθῆναι αὐτῷ εἰς καθέδραν τὴν ὑπὸ τὴν λαχοῦσαν αὐτὸν ἁγιωτάτην τῆς Μοσυνοπόλεως ἐπισκοπήν, ἀμοιροῦσαν ἀρχιερέως γνησίου, ἥτις καὶ αὐτὴ πρὸ ὀλίγου τῷ τῆς Ξανθείας ἐπιτέτραπται, χηρευούσης ἔτι τῆς Τραϊανουπολέως, διασκέψει δοῦσα κοινῇ συνοδικῇ τὰ τοῦ πράγματος ἡ μετριότης ἡμῶν πέπραχε μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Θεσσαλονίκης, τοῦ Κυζίκου, τοῦ Προύσης, τοῦ Μιτυλήνης, τοῦ Αἴνου καὶ τοῦ Γαρέλλης, εἰς κατάντημα καὶ κάθισμα τοῦ Τραϊανουπόλεως εἶναι τὴν αὐτὴν ἁγιωτάτην ἐπισκοπὴν τῆς Μοσυνοπόλεως, ἕως ἂν θεοῦ δόντος εἰς ἑαυτὴν ἐπανέλθῃ ἡ κατ' αὐτὸν ἁγιωτάτη μητρόπολις, πολλῷ γὰρ δίκαιόν ἐστι θεραπευθῆναι τούτῳ τὴν στέρησιν ἀπὸ τῶν οἰκείων ἢ τοῦτον μὲν ἔχειν, ὡς ἔχει, τῶν δὲ αὐτῷ μᾶλλον προσηκόντων ἑτέρους ἀπολαύειν, διὸ καὶ ἐπιλήψεται, ὡς εἴρηται, τῆς αὐτῆς ἁγιωτάτης ἐπισκοπῆς, καὶ ἱερουργήσει ἐν αὐτῇ, καὶ πάντα, ὅσα καὶ ὁ γνήσιος ταύτης ἀρχιερεὺς, ἐπ' αὐτῇ διαπράξεται, ἀπέχεσθαι ὀφείλων τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ἐπὶ τούτῳ γὰρ ἐπιδίδοται αὐτῷ καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ πρᾶξις. μηνὶ αὐγούστῳ ἰνδ. ιε' †.

CXVI. (6856—1347) septembri ind. I.

Synodus confert metropolitae Cyzici episcopatum Ganni per adiunctionem.

† Ἡ μετριότης ἡμῶν πρόνοιαν, ὡς εἰκὸς, ποιουμένη τοῦ ἱερωτάτου μητροπολίτου Κυζίκου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλησπόντου, ἀγαπητοῦ κατὰ κύριον ἀδελφοῦ αὐτῆς καὶ συλλειτουργοῦ, ἀνδρὸς ἐν δυνάμει λόγου καὶ πνεύματος διαπρέποντος, τὰ μάλιστά τε ἡμῖν συμβαλλομένου ἐν ταῖς ἀνακυπτούσαις ἐκκλησιαστικαῖς ὑποθέσεσιν, ὡς οὐδενὸς ἧττον ἐν τοῖς τοιούτοις καὶ πείρας καὶ δυνάμεως ἔχοντος, γήρᾳ τε καὶ ἐνδείᾳ τῶν χρειωδῶν προσταλαιπωροῦντος, κατεπράξατο γνώμῃ κοινῇ τῆς περὶ ἡμᾶς ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Φιλαδελφείας, τοῦ Θεσσαλονίκης, τοῦ Σεβαστείας, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Τραϊανουπόλεως, τοῦ Αἴνου, τοῦ Γαρέλλης καὶ τοῦ Καλλιουπόλεως, ἐπιλαβέσθαι αὐτὸν ἐπιδόσεως λόγῳ τῆς ἁγιωτάτης μητροπόλεως Γάννου μετὰ τῶν διαφερόντων αὐτῇ κτημάτων καὶ πραγμάτων καὶ λοιπῶν δικαίων. ἐπιλήψεται τοίνυν αὐτῆς, καὶ πάντων ἁπλῶς μεθέξει τῶν ἐν αὐτῇ πλὴν τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἀναγνώστας τε σφραγίσει ἀπὸ τῶν ὑπ' αὐτὴν καὶ ὑποδιακόνους ἐξ αὐτῶν καὶ διακόνους καὶ ἱερεῖς χειροτονήσει, καὶ πάντα ἐπ αὐτῇ διαπράξεται, ὅσα καὶ ὁ γνήσιος ταύτης ἀρχιερεὺς, ὀφειλόντων καὶ τῶν κληρικῶν καὶ τῶν ἄλλων ἁπάντων ἱερωμένων, μοναχῶν καὶ λαϊκῶν, τὸ προσῆκον αὐτῷ σέβας καὶ τὴν τιμὴν ἀποδιδόναι καὶ πείθεσθαι καὶ πειθαρχεῖν, ἐφ' οἷς μέλλει λέγειν πρὸς αὐτοὺς λυσιτελέσιν. ἐπὶ τούτῳ γὰρ ἐγένετο καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ πρᾶξις, καὶ ἐπεδόθη εἰς ἀσφάλειαν. μηνὶ σεπτεβρίῳ ἰνδ. α' †.

† Ἡ πρᾶξις αὕτη ἐγένετο μηνὶ αὐγούστῳ, εὑρισκομένων καὶ τῶν ἀρχιερέων ἐνταῦθα, ἐπὶ τῇ Βρύσει, εἶτα καθαιρεθέντος τοῦ Γάννου μετετέθη καὶ ἡ πρᾶξις †.

CXVII. (6856—1347) septembri ind. I.

Imperator Ioannes Cantacuzenus metropolitae Kioviae notum facit, constitutiones prioris patriarchae spectantes ecclesiam Russiae esse rescissas.

† Ἱερώτατε μητροπολῖτα Κυγέβου, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Ῥωσίας, οἱ ἀποσταλέντες παρὰ τῆς ἱερότητός σου κατέλαβον εἰς προσ-

κύνησιν τῆς βασιλείας μου, καὶ προσεκύνησαν τὴν πρὸς αὐτὴν γραφήν σου, ἀφ' ἧς καὶ ἐγνώρισεν ἡ βασιλεία μου, ὅσον ἔγραφες καὶ ἀνέφερες. εἰς τοῦτο γοῦν, ὅσον ἐγένετο εἰς σὲ, καὶ ἀπεκόπησαν πρὸ ὀλίγου αἱ ἐπισκοπαί σου, οὐδὲν ἦν ἄλλο τὸ αἴτιον, εἰ μὴ ἡ τῶν πραγμάτων σύγχυσις καὶ ἀνωμαλία, ἣν ἔμελλες γνωρίσειν καὶ σὺ, ἐν ταύτῃ γὰρ πολλῶν καὶ ἄλλων ἀτοπημάτων γεγόνοτων καὶ καινοτομιῶν καὶ δι' ἄλλα μὲν αἴτια, τὸ μεῖζον δὲ διὰ τὴν κακογνωμίαν τοῦ χρηματίσαντος πατριάρχου Κωνσταντινουπόλεως, ἐγένετο καὶ εἰς ὑμᾶς τοιαύτη καινοτομία· ἐπεὶ δὲ ἀρτίως εὐδόκησε τὸ μέγα ἔλεος τοῦ θεοῦ, καὶ ἦλθον τὰ πράγματα εἰς εἰρηνικὴν καὶ τελείαν κατάστασιν, καὶ ἐξεβλήθη μὲν καὶ καθῃρέθη αὐτὸς οὗτος ὁ χρηματίσας πατριάρχης Κωνσταντινουπόλεως, ὡς παρὰ κανόνας πράττων, διέκρινε δὲ ἡ βασιλεία μου μετὰ ψήφου τῆς θείας καὶ ἱερᾶς συνόδου, καὶ γέγονε καὶ ἀποκατέστη οἰκουμενικὸς πατριάρχης ὁ κριθεὶς ἄξιος καὶ ἁρμόδιος εἰς τοῦτο διὰ τὸ περιὸν αὐτῷ τῆς ἀρετῆς καὶ πνευματικῆς καὶ θεαρέστου πολιτείας καὶ τῆς τῶν τρόπων χρηστότητος, ἀνετράπησαν, ὅσα τοιαῦτα ἐγένοντο παρ' αὐτοῦ τοῦ χρηματίσαντος πατριάρχου ἄτοπα καὶ ἔξω τῶν θείων καὶ ἱερῶν κανόνων, ἀποκατέστησαν δὲ καὶ αὖθις εἰς τὴν πρότερον τάξιν τε καὶ κατάστασιν. ἐπειδὴ ἀνέφερεν ἡ ἱερότης σου εἰς τὴν βασιλείαν μου περὶ τῆς γεγονυίας καὶ εἰς σὲ τοιαύτης καινοτομίας, καὶ ἐζήτεις ἀποκαταστῆναι ὡς καὶ τὸ πρότερον, ἑτοίμως ἡ βασιλεία μου προσδεξαμένη τὸ περὶ τούτου διωρίσατο καὶ ἀπελύθη χρυσόβουλλον αὐτῆς, διοριζόμενον εἶναι καὶ εὑρίσκεσθαι καὶ εἰς τὸ ἑξῆς τὰς ἁγιωτάτας ἐπισκοπὰς τῆς Μικρᾶς Ῥωσίας, τήν τε Γάλλιτζαν καὶ τὰς λοιπὰς, ὑπὸ τὴν σὴν τοιαύτην ἁγιωτάτην μητρόπολιν, πρὸς αὐτὸν δὲ τὸν Γαλλίτζης διωρίσατο ἡ βασιλεία μου καταλαβεῖν ἐνταῦθα ἐπὶ τῷ ἐξετασθῆναι τὰ κατ' αὐτοῦ λεγόμενα ἐγκλήματα, ἅπερ καὶ πρότερον κατ' αὐτοῦ ἐκίνησας καὶ νῦν αὖθις κινεῖς· διὰ τοῦτο δηλοποιεῖ πρὸς τὴν ἱερότητά σου ἡ βασιλεία μου, ὡς ἂν, εἴπερ ἔχεις εὔκολον καὶ οὐδὲν φαίνεταί σοι ἐμποδὼν, οὔτε τὸ μῆκος τῆς ὁδοῦ καὶ ὁ ἐντεῦθεν ὑφορώμενος κίνδυνος, οὔτε διά τινα ἴσως ἀσθένειαν, καταλάβῃς ἐνταῦθα, καὶ προηγουμένως μὲν ἴδῃς καὶ τὴν βασιλείαν μου εἰς ἀποδοχὴν ἔχουσαν αὐτῆς τὸ περὶ τούτου, γένηται δὲ καὶ ἡ τοιαύτη ἐξέτασις τῶν τοῦ Γαλλίτζης κατηγορημάτων, παρούσης καὶ τῆς ἱερότητός σου, καὶ ἐντεῦθεν γένηται εἰς αὐτὸν,

ὅσον ἂν φανῇ ἁρμόδιον καὶ προσῆκον κανονικῶς, ἐπειδὴ οὕτως διέγνω γενέσθαι καὶ ὁ παναγιώτατός μου δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, μετὰ τῆς περὶ αὐτὸν θείας καὶ ἱερᾶς συνόδου, εἴς τε τὸ ἀποκαταστῆναι καὶ αὖθις τὰς εἰρημένας ἁγιωτάτας ἐπισκοπὰς ὑπὸ τὴν σὴν ἁγιωτάτην μητρόπολιν καὶ εἰς τὸ προσκληθῆναι τὸν αὐτὸν Γαλλίτζης ἀποδοθῆναι λόγον, ὑπὲρ ὧν ἐγκαλεῖται. εἰ δ' οὐκ ἔχεις εὔκολον καταλαβεῖν ἐνταῦθα, ὡς εἴρηται, ἀποσταλήτωσαν ἄνθρωποι μετὰ γραφῆς σου, οὓς ἂν διακρίνῃς, εἰς αὐτὸν τὸν παναγιώτατόν μου δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, καὶ τὴν περὶ αὐτὸν θείαν καὶ ἱερὰν σύνοδον, δηλοποιούσης περὶ τῶν τοιούτων κατηγορημάτων αὐτοῦ, πλὴν ἐχέτωσαν περὶ τούτων καὶ οἱ μέλλοντες ἀποσταλῆναι περὶ σοῦ εἴδησιν ἀκριβῆ, καὶ μέλλει γενέσθαι εἰς αὐτὸν, ὅσον ἂν φανῇ ἔννομον καὶ κανονικόν. ἡ βασιλεία μου γοῦν ἀκριβῶς οἶδεν, ὁποίαν ἀγάπην καὶ πνευματικὴν διάθεσιν ἔχει ἡ ἱερότης σου περὶ αὐτὴν, καὶ ὅπως ὑπερεύχῃ ταύτης διὰ παντὸς, καὶ ὅτε ἔχεις εὔκολον, καὶ γράφεις καὶ ἀναφέρεις εἰς τὴν βασιλείαν μου, περὶ ὧν βούλει, μετὰ τῆς αὐτῆς πνευματικῆς διαθέσεως καὶ πληροφορίας, πρᾶγμα μέλλεις ποιεῖν εἰς ἀποδοχὴν πολλὴν καὶ εὐαρέστησιν τῆς βασιλείας μου, ἐπειδὴ καὶ ἡ βασιλεία μου τὴν αὐτὴν εὐμένειαν καὶ διάθεσιν ἔχει εἰς τὴν ἱεροτητά σου, ὁποίαν καὶ πρότερον, μᾶλλον δὲ καὶ περισσοτέραν †.

† Εἶχε τὸ· μηνὶ σεπτεβρίῳ ἰνδικτιῶνος α' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

CXVIII. (6856—1347) septembri ind. I.

Imperator Ioannes Cantacuzenus decernit, ut tota Russia iterum subiiciatur metropoli Kioviae.

† Εὐγενέστατε μέγα ῥῆξ πάσης Ῥωσίας καὶ περιπόθητε ἀνεψιὲ τῆς βασιλείας μου, κῦρ Συμεών· ἡ βασιλεία μου ἀπὸ τοῦ ἐλέους τοῦ θεοῦ ὑγιῶς ἔχει καὶ καλῶς, ἄν ποτε ἵνα ὑγιαίνῃς καὶ σὺ, ἀνεψιέ μου. ἀπὸ τῆς γραφῆς σου ἐγνώρισεν ἡ βασιλεία μου, ὅσον ἔγραφες καὶ ἐδηλοποίεις εἰς αὐτήν. ἡ βασιλεία γοῦν τῶν Ῥωμαίων, ἀλλὰ δὴ καὶ ἡ ἁγιωτάτη τοῦ θεοῦ μεγάλη ἐκκλησία ἕνι, ὡς ἔγραφες καὶ σὺ, πηγὴ πάσης εὐσεβείας καὶ διδάσκαλος νομοθεσίας τε καὶ ἁγιασμοῦ. διὸ δὲ ἔφθασε καὶ ἐγένετο παραχωρήσει θεοῦ ἡ προβλίγου ἐπισυμβᾶσα συγ-

χυσις εἰς τὰ πράγματα, ἣν ἐμέλλετε γνωρίσειν καὶ ὑμεῖς, καὶ ἐγέ-
νοντο καὶ ἄλλαι πολλαὶ καινοτομίαι καὶ καταλύσεις πραγμάτων καὶ
δι' ἄλλας μὲν αἰτίας, τὸ πλέον δὲ διὰ τὴν κακογνωμίαν τοῦ χρημα-
τίσαντος πατριάρχου Κωνσταντινουπόλεως, οὐδὲν ἕτερον σπουδάσαντος
ἢ τὸ τὰς οἰκείας ὀρέξεις πληροῦν, ἐγένετο καὶ αὕτη ἡ καινοτομία εἰς
ὑμᾶς, καὶ προεβιβάσθη ὁ Γαλλίτζης εἰς μητροπολίτην, ἀρτίως δὲ, ἐπεὶ
εὐδόκησεν ὁ θεὸς, καὶ ἐγένετο κατάστασις εἰς τὰ πράγματα, καὶ κατ-
ελύθη μὲν καὶ ἀνετράπη πᾶν, ὅσον ἐγένετο παράλογον κατὰ τὸν
τοιοῦτον καιρὸν τῆς συγχύσεως, γέγονε δὲ καὶ ἀποκατέστη ἕκαστον
τῶν πραγμάτων εἰς τὴν προσήκουσαν καὶ ὀφειλομένην κατάστασιν,
ἐξεβλήθη ἐντεῦθεν καὶ αὐτὸς οὗτος ὁ χρηματίσας πατριάρχης Κων-
σταντινουπόλεως διὰ τὰς αὐτοῦ παραλογίας καὶ ἅπερ ἕτερα εἰργάσατο
ἔξω τῶν θείων καὶ ἱερῶν κανόνων, καὶ καθῃρέθη, καὶ νυνὶ ἰδοὺ ἐξε-
λέξατο ἡ βασιλεία μου μετὰ ψήφου καὶ δοκιμασίας τῆς θείας καὶ
ἱερᾶς συνόδου, καὶ γέγονεν εἰς τὸν θρόνον τῆς θεοφυλάκτου, θεοδο-
ξάστου καὶ θεομεγαλύντου Κωνσταντινουπόλεως οἰκουμενικὸς πατριάρ-
χης ὁ κριθεὶς ἄξιος καὶ ἁρμόδιος εἰς τὸν τοιοῦτον θρόνον τοῦ πα-
τριαρχείου, δι' ἥνπερ κέκτηται πολιτείαν θεάρεστον καὶ εἰς ὠφέλειαν
πολλῶν ψυχῶν συντείνουσαν, καὶ ἐπεὶ ἐζητήσατε καὶ ὑμεῖς, ὡς ἂν
ἀποκαταστῶσι καὶ αὖθις αἱ ἁγιώταται ἐπισκοπαὶ τῆς Μικρᾶς Ῥωσίας,
ἥτε δηλονότι Γαλλίτζης καὶ αἱ λοιπαὶ, ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν
Κυγέβου, ὡς καὶ τὸ πρότερον, διέκρινεν ἡ βασιλεία μου καὶ αὐτὸς
οὗτος ὁ παναγιώτατός μου δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης μετὰ
τῆς περὶ αὐτὸν θείας καὶ ἱερᾶς συνόδου, καὶ ἐτάχθη πάλιν ὑποκεῖ-
σθαι τὰς τοιαύτας ἁγιωτάτας ἐπισκοπὰς εἰς τὴν ῥηθεῖσαν ἁγιωτάτην
μητρόπολιν Κυγέβου καὶ ὑφ' ἕνα μητροπολίτην τὴν πᾶσαν Ῥωσίαν,
τήν τε Μεγάλην καὶ τὴν Μικρὰν, ποιμαίνεσθαι, καθὼς μέλλεις γνωρί-
σειν ἀπό τε τοῦ χρυσοβούλλου τῆς βασιλείας μου καὶ ἀπὸ τῆς τιμίας
πατριαρχικῆς καὶ συνοδικῆς διαγνώσεως, καὶ ἀπὸ τοῦ νῦν μέλλει εὑ-
ρίσκεσθαι καὶ ἡ Γάλλιτζα ἐπισκοπὴ τῆς τοιαύτης ἁγιωτάτης μητρο-
πόλεως Κυγέβου, ὡς καὶ τὸ πρότερον, αὐτὸς δὲ ὁ Γαλλίτζης ὡρίσθη
καὶ παρὰ τῆς βασιλείας μου, διεμηνύθη δὲ καὶ παρὰ τῆς θείας καὶ
ἱερᾶς συνόδου καταλαβεῖν ἐνταῦθα, καὶ οὕτως μέλλει εὑρίσκεσθαι τὸ
πρᾶγμα αὐτόθι ἀσύγχυτον, σὺν ἀντιλήψει θεοῦ. ἀπέστειλέ σοι ἡ βασι-
λεία μου ἐγκόλπιον σταυρὸν μετὰ τιμίου καὶ ἁγίου ξύλου, ὡς ἂν ἔχῃς

τοῦτο φυλακτήριον ψυχῆς ὁμοῦ τε καὶ σώματος, ἔχει δὲ ὁ τοιοῦτος τίμιος καὶ ζωοποιὸς σταυρὸς καὶ λείψανα ἁγίων μαρτύρων δ', τοῦ τε ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου, τοῦ ἁγίου Προκοπίου, τοῦ ἁγίου Κηρύκου καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Καλοκοιμήτου †.

† Εἶχε δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τὸ· μηνὶ σεπτεβρίῳ ἰνδ. α' †.

CXIX. (6856—1347) septembri ind. I.

Imperator Ioannes Cantacuzenus notum facit Demetrio Ljubart, principi Vladimiriae, episcopum Galitzae iterum subiectum esse metropolitae Kioviae.

† Εὐγενέστατε ῥὴξ Βολοδιμήρου καὶ ἀνεψιὲ τῆς βασιλείας μου, κῦρ Δημήτριε Λούμπορτε. οἶδας, ὅτι αὐτόθι ἔθιμον ἦν καὶ νενομισμένον, ἀφ' ὅτου τὸ ἔθνος τῶν Ῥώσων ἐδέξατο τὴν θεογνωσίαν καὶ τῷ ἁγίῳ βαπτίσματι ἐφωτίσθη, ἵνα εὑρίσκηται εἰς πᾶσαν τὴν Ῥωσίαν, τήν τε Μεγάλην καὶ τὴν Μικράν, εἷς μητροπολίτης, ὁ Κυγέβου, καὶ χειροτονῇ ἐπισκόπους εἰς ὅλας τὰς ἁγιωτάτας ἐπισκοπάς, καὶ ἐὰν ἐπεχείρησάν τινές ποτε, ἵνα καταλύσωσι τὴν τοιαύτην κατάστασιν, ἀλλ' οὐκ ἴσχυσαν εἰς τέλος ἀγαγεῖν τὴν ἑαυτῶν σπουδήν, ἅμα γὰρ ἐγένετο ἡ κατάλυσις, καὶ ἅμα πάλιν κατέστη εἰς τὴν προτέραν κατάστασιν καὶ συνήθειαν, καθὼς γινώσκετε καὶ ὑμεῖς· ἐλθὼν δὲ πρὸ ὀλίγου ἐνταῦθα ὁ ἀρχιερεὺς Γαλλίτζης, καίτοι γε λαλουμένων κατ' αὐτοῦ αἰτιαμάτων, δι' ἅπερ ὤφειλεν ἀποδοῦναι λόγον εἰς τὸν ἱερώτατον μητροπολίτην Κυγέβου, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Ῥωσίας, κῦρ Θεόγνωστον, ὅμως σύνδρομον εὑρὼν τὸν γεγονότα ἐνταῦθα καιρὸν τῆς συγχύσεως καὶ ὑπελθὼν τὸν χρηματίσαντα πατριάρχην Κωνσταντινουπόλεως, ὅστις διὰ κακογνωμίας ἐφάνη καὶ ἄλλα πολλὰ τοιαῦτα ποιήσας παράλογα καὶ ἔξω τῶν θείων καὶ ἱερῶν κανόνων, σὺν αὐτῷ δὲ καὶ τοὺς τὴν βασιλείαν καὶ τὰ κοινὰ πράγματα κακῶς καὶ ἐπισφαλῶς διοικοῦντας, οἵτινες καὶ τῆς τοιαύτης συγχύσεως ἐγένοντο αἴτιοι διὰ τὸ μὴ τὸ κοινῇ συμφέρον ζητεῖν, ἀλλὰ μόνον τὸ τὰς οἰκείας ὀρέξεις πληροῦν, προεβιβάσθη ἀπὸ ἐπισκόπου εἰς μητροπολίτην, λαβὼν καὶ τὰς αὐτόθι εἰς τὴν Μικρὰν Ῥωσίαν εὑρισκομένας ἑτέρας ἁγιωτάτας ἐπισκοπὰς ἔχειν ὑφ' ἑαυτόν. νῦν γοῦν, ἐπεὶ εὐδόκησεν ὁ θεὸς, καὶ ἀποκατέστησαν καὶ αὖθις τὰ πράγματα εἰς τελείαν κατάστασιν, καὶ οὗτος μὲν ὁ χρηματίσας πατριάρχης Κωνσταντινουπόλεως ἐξεβλήθη διὰ τὰς τοιαύ-

τας αὐτοῦ παραλογίας καὶ διὰ τὸ παρὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας πολιτευθῆναι, ἐγένετο δὲ καὶ ἀποκατέστη ψήφῳ συνοδικῇ οἰκουμενικὸς πατριάρχης ὁ κριθεὶς εἰς τοῦτο ἄξιος καὶ ἁρμόδιος διὰ τὴν ἀρετὴν καὶ κατὰ θεὸν πολιτείαν αὐτοῦ, ἀνετράπησαν μὲν καὶ ἄλλα πολλά, ὅσα τοιαῦτα εἰργάσατο οὗτος δὴ ὁ χρηματίσας πατριάρχης Κωνσταντινουπόλεως ἔξω τῶν θείων καὶ ἱερῶν κανόνων, ἐτάχθη δὲ καὶ αὖθις ὁρισμῷ τῆς βασιλείας μου καὶ συνοδικῇ διαγνώσει, ὑποκεῖσθαι καὶ αὖθις τὰς αὐτόθι ἁγιωτάτας ἐπισκοπὰς, τήν τε Γάλλιτζαν καὶ τὰς λοιπὰς, ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν Κυγέβου, ὡς καὶ τὸ πρότερον, αὐτὸς δὲ ὁ ἀρχιερεὺς Γαλλίτζης καταλαβεῖν ἐνταῦθα καὶ γενέσθαι εἰς αὐτὸν μετὰ ἐξετάσεως, ὅσον ἂν φανῇ ἁρμόδιον καὶ κανονικόν. διὰ τοῦτο δηλοποιεῖ πρός σε τὰ περὶ τούτου ἡ βασιλεία μου, ἵνα συνδράμῃς καὶ ἐπιμεληθῇς εἰς τὴν ἀπεκβολὴν τοῦ τοιούτου ἀρχιερέως τοῦ Γαλλίτζης, ὥστε καταλαβεῖν αὐτὸν ἐνταῦθα, τὸν δὲ ἱερώτατον μητροπολίτην Κυγέβου, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Ῥωσίας, δέξησθε ἀπὸ τοῦ νῦν ὡς γνήσιον καὶ ἔννομον μητροπολίτην, ποιεῖν εἰς ταύτας δὴ τὰς ἁγιωτάτας ἐπισκοπὰς καὶ εἰς τοὺς κατ' αὐτὰς θεοφιλεστάτους ἐπισκόπους, ὅσον ἔνι καὶ κανονικὸν, καὶ καθὼς ἐποίει καὶ πρότερον. ἐπεὶ οὖν ὑμεῖς διὰ τὸν χριστιανισμὸν, ὃν ἔχετε, καὶ τὴν εἰς θεὸν εὐσέβειαν, εὑρίσκεσθε καὶ εἰς τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν εὐπειθεῖς καὶ ὑποτακτικοὶ, καὶ διὰ τοῦτο ἐστέρξατε, τοῦτο ἰδόντες, τὰ πρότερον γεγονότα ἐκκλησιαστικὰ γράμματα τὰ δηλοποιοῦντα εὑρίσκεσθαι τὸν ἀρχιερέα Γαλλίτζης μητροπολίτην, νῦν ἰδοὺ πάλιν δηλοποιούσης αὐτῆς τῆς τοῦ θεοῦ ἁγίας ἐκκλησίας, διοριζομένης δὲ καὶ τῆς βασιλείας μου, εὑρίσκεσθαι καὶ αὖθις τὸ πρᾶγμα, ὡς καὶ τὸ πρότερον, δέξασθε τοῦτο καὶ ὑμεῖς ἀσμένως, καθὼς ἔνι δέον καὶ ὀφειλόμενον καὶ εἰς ψυχικὴν ὑμῶν ὠφέλειαν ἀφορῶν. διὰ τοῦτο καὶ ἃς γέγραπται, καθὼς δηλοποιεῖ πρὸς ὑμᾶς ἡ βασιλεία μου †.

† Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς θείας χειρὸς τὸ· μηνὶ σεπτεμβρίῳ ἰνδ. α' †.

CXX. (6856—1347) septembri ind. I.

Synodus confirmat chrysobullum imperatoris, quo iterum tota Russia uni subiicitur metropolitae Kioviae.

† Ἡδύ τι καὶ ναυσιπόροις γαληνιῶν πέλαγος καὶ ἐπιπνέων ζέφυρος ἐξουρίας, ἡδὺ αὖ ὁμοίως κἀν τοῖς πολιτικοῖς πράγμασιν εὐνομία, εἰρήνη τε καὶ ὁμόνοια· ὡς γὰρ τοῖς οὕτω ναυτιλλομένοις χειμῶνος δηλαδὴ καὶ ζάλης καὶ τρικυμίας χωρὶς οὐκ ἐν ἀμφιβόλοις ἡ σωτηρία, καὶ τὸ σκάφος εὐχερῶς εἰς λιμένα κατάγεται, οὕτω δὴ καὶ τοῖς ἐν εὐνομίᾳ ζῶσί τε καὶ πολιτευομένοις, σωτήριος γὰρ αὐτοῖς ὁ βίος, ὅσῳ καὶ ἀπείρατος τῶν τῆς συγχύσεως χαλεπῶν· σύγχυσις γὰρ τὸ μέγιστον τῶν ἐν βίῳ δεινῶν, ἐπειδὴ καὶ φύσις αὐτῇ, ἄνω τε καὶ κάτω πάντα ποιεῖν καὶ ἀναμὶξ θεῖά τε ὁμοῦ συγκυκᾶν καὶ ἀνθρώπινα πράγματα, καὶ τοῦτο ἴδῃ τις ἂν κἀν τοῖς ἤδη ῥηθησομένοις· τὸ γὰρ ἔθνος τῶν Ῥώσων, χρόνος ἤδη μακρὸς, εἰς τετρακοσίους ἐγγὺς ἐξήκων, ἕνα μητροπολίτην γνωρίζον, τὸν κατὰ καιροὺς τὴν Κυγέβου λαχόντα μητρόπολιν, βαθείας ἀπολαῦον ἦν τῆς μετ' ἀλλήλων εἰρήνης, εἴ τι που καὶ τοῦ δέοντος ἐκτραπείη, οἷα φιλεῖ γίγνεσθαι, ἐπαν-ι αγόμενον ὑπ' αὐτοῦ καὶ διορθούμενον εὐχερῶς. ὁ μέντοι παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν ἐπισυμβὰς πρὸ ὀλίγου καιρὸς τῆς συγχύσεως καὶ τὴν τοιαύτην τοῦ ἔθνους κατάστασιν ἀνέτρεφε κα συνέχεε, καὶ μικροῦ δεῖν διὰ μάχας σφισὶ καὶ πολέμους ἐμφυλίους κεκίνηκε· καὶ ὁ μὲν τοιοῦτος καιρὸς τοιαῦτα οἰκεῖα πάντως ἑαυτῷ ποιῶν, ὁ ἐκ θεοῦ δὲ τὸ βασιλεύειν κλῆρον λαχὼν δίκαιον ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης, ἐν οἷς ἅπαντας τοὺς πρὸ αὐτοῦ σχεδὸν ὑπερήλασε βασιλέας, κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, γνωρισθέντος τοῦ πράγματος τῷ ἐνθέῳ κράτει τῆς αὐτοῦ βασιλείας ἐξ ἡμῶν τε αὐτῶν καὶ τῆς περὶ ἡμᾶς ἱερᾶς καὶ θείας συνόδου καὶ ἅμα, ἐξ ὧν ἔλεγε καὶ ἐδεῖτο τὰ ἐκεῖθεν καταπεμφθέντα γράμματα τοῦ τε ἱερωτάτου μητροπολίτου Κυγέβου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος, τοῦ τε εὐγενεστάτου ῥηγὸς πάσης Ῥωσίας καὶ περιποθήτου ἀνεψιοῦ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κῦρ Συμεών, καὶ τῶν ἄλλων ῥηγῶν, ἃ καὶ συνοδικῶς ἡμῖν εἰς ἐπήκοον ἀνεγνώσθησαν, εὐδόκησε σεπτὸν ἀπολυθῆναι χρυ-

σύβουλλον, ἐπ' αὐτῶν ἔχον τῶν λέξεων οὑτωσί· „ἐπεὶ αἱ κατὰ τὸν τόπον τῆς Μικρᾶς Ῥωσίας τὸν ἐπικεκλημένον Βολούνιον εὑρισκόμεναι ἁγιώταται ἐπισκοπαί, ἥ τε Γάλλιτζα, τὸ Βολοδίμηρον, τὸ Χόλμιν, τὸ Περεμίσθλιν, τὸ Λουτζικὸν καὶ τὸ Τούροβον, ὑπέκειντο, ἀφ' ὅτου τὸ τῶν Ῥώσων ἔθνος Χριστοῦ χάριτι τὴν θεογνωσίαν ἐδέξαντο, εἰς τὴν ἁγιωτάτην μητρόπολιν Κυγέβου, ἣν διέπει ἀρτίως ὁ κατ' αὐτὴν ἱερώτατος μητροπολίτης, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ῥωσίας, κῦρ Θεόγνωστος, ὡς καὶ αἱ τῆς Μεγάλης Ῥωσίας ἁγιώταται ἐπισκοπαί, κατὰ τὸν πρὸ ὀλίγου δὲ γεγονότα καιρὸν τῆς συγχύσεως, σύνδρομον τὸν τοιοῦτον εὑρόντες καιρὸν οἵ τε τὰ τῆς βασιλείας πράγματα διοικοῦντες, ἀλλὰ δὴ καὶ ὁ τῆς ἐκκλησίας παρὰ τὸ εἰκὸς προϊστάμενος, μηδὲν ἕτερον σπουδάζοντες ἢ τὸ τὰς οἰκείας ὀρέξεις πληροῦν, καὶ διὰ ταύτας τὴν τῶν κοινῶν καὶ ἐκκλησιαστικῶν πραγμάτων κατάστασιν εἰς ἀταξίαν μετασκευάσαντες καὶ πάντα σχεδὸν ἀνατρέψαντες καὶ συγχέαντες καὶ ταῖς τῶν χριστιανῶν ψυχαῖς τε καὶ σώμασι πᾶσαν καὶ παντοίαν βλάβην προξενήσαντες καὶ ζημίαν καὶ καινοτομίαν κἀν τούτῳ ποιούμενοι, ἀπέσπασαν ἀπὸ ταύτης δὴ τῆς ἁγιωτάτης μητροπόλεως Κυγέβου τὰς ῥηθείσας τῆς Μικρᾶς Ῥωσίας ἐπισκοπὰς καὶ ὑπὸ τὸν ἀρχιερέα Γαλλίτζης ὑποκεῖσθαι, προβιβάσαντες αὐτὸν ἀπὸ ἐπισκόπου εἰς μητροπολίτην, ὃ δὴ καὶ γέγονε μὲν εἰς κατάλυσιν τῶν ἐκ παλαιοῦ νενομισμένων ἐθίμων εἰς τὴν τοιαύτην χώραν τῆς πάσης Ῥωσίας, ἔδοξε δὲ βαρὺ καὶ ἐπαχθὲς καὶ εἰς τοὺς ἐν αὐτῇ πάντας χριστιανούς, μὴ ἀνασχομένους ὑπὸ δυσὶ μητροπολίταις ποιμαίνεσθαι, ἀλλὰ βουλομένους ἀσάλευτον καὶ ἀμετακίνητον μένειν τὴν, ἣν εἶχον ἐκ παλαιοῦ συνήθειαν, ὡς δεδήλωται, καὶ πάντα τρόπον κινοῦντας εἰς τὴν τῆς τοιαύτης καινοτομίας κατάλυσιν, καθὼς καὶ ἐν ἄλλοις καιροῖς ἐπεχειρήθη μὲν ἡ τοιαύτη καινοτομία γένεσθαι, κατελύθη δὲ καὶ ἀνετράπη ἅμα τῷ γεγονέναι, μὴ ἀνασχομένων, ὡς εἴρηται, τῶν ἐκεῖσε χριστιανῶν τὸ τοιοῦτον αὐτῶν ἔθος ἀθετηθῆναι. ἀνηνέχθη δὲ τὰ περὶ τούτου ἀρτίως εἰς τὴν βασιλείαν μου παρὰ τοῦ εὐγενεστάτου μεγάλου ῥηγὸς Ῥωσίας καὶ περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μοῦ, κῦρ Συμεών, καὶ ἐζητήθη μετὰ παρακλήσεως αὐτοῦ τε καὶ τῶν ἄλλων ἐκεῖσε ῥηγῶν, ὥστε ἀποκαταστῆναι καὶ αὖθις διὰ χρυσοβούλλου τῆς βασιλείας μου τὰς τοιαύτας ἐπισκοπὰς ὑπὸ τὴν ῥηθεῖσαν ἁγιωτάτην μητρόπολιν Κυγέβου, ὡς καὶ τὸ

πρότερον. ἡ βασιλεία μου τὴν τοιαύτην αὐτοῦ ζήτησιν δικαίαν καὶ εὔλογον κρίνασα διά τε τὸ ῥηθὲν καὶ ἄνωθεν μέχρι νῦν κρατῆσαν ἐκκλησιαστικὸν ἔθος, ἔτι δὲ καὶ διὰ τὸ περιὸν τῆς ἀρετῆς τε καὶ θεαρέστου πολιτείας αὐτοῦ δὴ τοῦ διαληφθέντος ἱερωτάτου μητροπολίτου Κυγέβου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ῥωσίας, τὸν παρόντα χρυσόβουλλον λόγον ἀπολύουσα εὐδοκεῖ καὶ προστάσσει καὶ διορίζεται ὑποκεῖσθαι καὶ αὖθις τῇ ῥηθείσῃ ἁγιωτάτῃ μητροπόλει Κυγέβου τὰς κατὰ τὴν εἰρημένην Μικρὰν Ῥωσίαν ἁγιωτάτας ἐπισκοτὰς, τήν τε Γάλλιτζαν, τὸ Βολοδίμηρον, τὸ Χόλμιν, τὸ Περεμίσθλιν, τὸ Λουτζικὸν καὶ τὸ Τούροβόν, αἵτινες παρὰ τὸ εἰκὸς τῷ Γαλλίτζης ἐδόθησαν, ὡς δεδήλωται, κατὰ τὸν ῥηθέντα καιρὸν τῆς συγχύσεως, καὶ τὸν ἐν αὐτῇ τῇ ἁγιωτάτῃ μητροπόλει Κυγέβου ἀρχιερατικῶς διαπρέποντα ποιεῖν ἐν αὐταῖς, ὅσα καὶ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες τοὺς μητροπολίτας ἐν ταῖς ὑπ' αὐτοὺς ἐπισκοπαῖς ποιεῖν ἐγκελεύονται, καὶ ὅσα δὴ καὶ πρότερον ἐν αὐταῖς οἱ προγεγονότες μητροπολῖται καὶ αὐτὸς οὗτος ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης Κυγέβου ἐτέλει, χειροτονῶν καὶ ἐγκαθιστῶν ἐν αὐταῖς ἐπισκόπους καὶ τὰ κατ' αὐτοὺς ἀνακρίνων καὶ ἐξετάζων ἐπί τισιν ἐκκλησιαστικοῖς, εἰ δέοι, ζητήμασι καὶ τἆλλα ποιῶν, ὅσα τοῖς θείοις καὶ ἱεροῖς κανόσι νενόμισται, ὀφειλόντων καὶ τῶν κατὰ τὰς τοιαύτας ἁγιωτάτας ἐπισκοπὰς θεοφιλεστάτων ἐπισκόπων ἔχειν εἰς αὐτὸν δὴ τὸν ἱερώτατον μητροπολίτην Κυγέβου, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Ῥωσίας, κῦρ Θεόγνωστον, καὶ τοὺς μετ' αὐτὸν κατὰ καιροὺς ἐν αὐτῇ ἀρχιερατικῶς διαπρέποντας τὴν προσήκουσαν εὐπείθειαν, ὅσα καὶ εἰς πρῶτον ἀρχιερέα τούτων, καὶ ὑπακούειν αὐτῷ, ἐφ' οἷς ἂν ἔχοι λέγειν καὶ εἰσηγεῖσθαι αὐτοῖς, ἀφορῶσιν εἰς καταρτισμὸν τῶν ἐκεῖσε χριστιανῶν καὶ εἰς ἑτέραν ἐκκλησιαστικὴν καὶ κανονικὴν πολιτείαν καὶ κατάστασιν, ὅθεν καὶ τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου ὑποκείσονται μὲν καὶ εἰς τὸ ἑξῆς αὗται δὴ αἱ ῥηθεῖσαι ἁγιώταται ἐπισκοπαὶ τῆς Μικρᾶς Ῥωσίας τῇ διαληφθείσῃ ἁγιωτάτῃ μητροπόλει Κυγέβου καὶ τῷ ταύτην ἀρχιερατικῶς διέποντι κατὰ τὸ παρὸν ἱερωτάτῳ μητροπολίτῃ, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ῥωσίας, κῦρ Θεογνώστῳ, καὶ ὑπ' αὐτοῦ τὰ κατ' αὐτὰς ἐκκλησιαστικὰ ζητήματα, ὡς ἀνωτέρω δεδήλωται, ἀνακριθήσονταί τε καὶ ἐξετασθήσονται, καὶ τῆς προσηκούσης διορθώσεως ἐπιτεύξονται, καὶ τὰ ἐν αὐταῖς ὀφειλόμενα πάντα καὶ νενομισμένα τε-

λεῖσθαι διαπραχθήσονται, μετ' αὐτὸν δὲ καὶ τοῖς κατὰ καιροὺς ἐν αὐτῇ ἀρχιερατικῶς διαπρέφουσι, καὶ ἡ τοιαύτη κατάστασις ἐς ἀεὶ διατηρηθήσεται, ὡς καὶ ἦν ἐξ ἔθους ἐκ παλαιοῦ, καθάπερ δεδήλωται, τὰς κατ' αὐτοὺς ἁγιωτάτας ἐπισκοπὰς ὑφ' ἕνα μητροπολίτην εὑρίσκεσθαι. ἐπὶ τούτῳ γὰρ καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐγένετο καὶ ἐπεχορηγήθη τῷ μέρει τῆς ῥηθείσης ἁγιωτάτης μητροπόλεως Κυγέβου εἰς τὴν περὶ τούτου ἀσφάλειαν, ἀπολυθεὶς κατὰ μῆνα αὔγουστον τῆς νῦν τρεχούσης πεντεκαιδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ πέμπτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπισημήνατο κράτος."

Ἀκολούθως τοιγαροῦν, ὡς ἐχρῆν, καὶ ἡ μετριότης ἡμῶν γνώμῃ κοινῇ τῆς περὶ ἡμᾶς ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Θεσσαλονίκης, τοῦ Κυζίκου, τοῦ Φιλαδελφείας, τοῦ Σεβαστείας, τοῦ Ποντοηρακλείας, τοῦ Προύσης, τοῦ Μιτυλήνης, τοῦ Αἴνου, τοῦ Σουγδαίας, τοῦ Γοτθίας, τοῦ Βιζύης, τοῦ Καλλιουπόλεως καὶ τοῦ Γαρέλλης, πέπραχεν ἐπανασωθῆναι καὶ ἐπανελθεῖν τῇ ἁγιωτάτῃ μητροπόλει Κυγέβου τὰς εἰρημένας ταύτης ἐπισκοπάς, τὴν Γάλλιτζαν, τὸ Βολοδίμηρον, τὸ Χόλμιν, τὸ Περεμίσθλιν, τὸ Λουτζικὸν καὶ τὸ Τούροβον, καὶ ὑποκεῖσθαι αὐτῇ, ὡς τὸ πρότερον, εἰς τὸν ἑξῆς ἅπαντα καὶ διηνεκῆ χρόνον καὶ τοὺς ἐν αὐταῖς εὑρισκομένους θεοφιλεστάτους ἐπισκόπους, μητροπολίτην καὶ πρῶτον ἑαυτῶν εἶναι τὸν Κυγέβου καὶ εὐπειθεῖν αὐτῷ, ὡς τὸ ἀπ' ἀρχῆς· ἀκηκοέναμεν γὰρ καὶ τὴν ἐν τῷ πρὸ ὀλίγου καιρῷ τῆς συγχύσεως γενομένην παρὰ τοῦ πρὸ ἡμῶν πατριαρχεύσαντος συνοδικὴν ἐπὶ τῇ τῆς Γαλλίτζης πρᾶξιν, καὶ λύομεν καὶ συγχωροῦμεν συνοδικῶς καὶ τὸν ἐκφωνηθέντα τῷ τότε ἐκκλησιαστικὸν δεσμὸν κατὰ τῶν μὴ πειθομένων τῷ Γαλλίτζης ἐπισκόπων καὶ τῶν ἄλλων, ὡς παραλόγως γεγονότα, διὸ δὴ καὶ ἔσονται τῇ τῆς Κυγέβου καὶ αὖθις ὑποκείμεναι αἱ ἠριθμημέναι αὗται ἁγιώταται ἐπισκοπαί, καὶ ἡ κατάστασις αὕτη, ὡς ἀρχαία καὶ δικαία καὶ πολὺ τὸ εὔλογον ἔχουσα καὶ ἐπὶ συμφέροντι ἔθνους τοσούτου, τῆς μετ' ἀλλήλων δηλονότι εἰρηνικῆς αὐτῶν ὁμονοίας ἕνεκα γεγονυῖα, τὸ ἀπαραποίητον καὶ παρὰ τῶν μεθ' ἡμᾶς ἁγιωτάτων πατριαρχῶν λήψεται, καὶ ὁ νῦν τε ἱερώτατος μητροπολίτης Κυγέβου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, καὶ οἱ μετ' αὐτὸν τῆς αὐτῆς ἐκκλησίας

ἱερώτατοι ἀρχιερεῖς διαπράξονται ἐπ' αὐταῖς ἀπροκριματίστως, ὅσα αὐτοῖς ἐφεῖται κανονικῶς. ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ πρᾶξις ἐγένετο καὶ ἐπεδόθη τῷ μέρει τῆς διαληφθείσης ἁγιωτάτης μητροπόλεως Κυγέβου εἰς διαιωνίζουσαν τὴν ἀσφάλειαν. μηνὶ σεπτεμβρίῳ ἰνδ. πρώτης †.

CXXI. (6856—1347) septembri ind. I.

Isidorus metropolitam Galitzae in ius vocat.

† Ἱερώτατε μητροπολῖτα Γαλλίτζης καὶ ὑπέρτιμε, ἀγαπητὲ κατὰ κύριον ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. ἀπὸ τοῦ ἀπολυθέντος ἀρτίως σεπτοῦ χρυσοβούλλου τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ ἀπὸ τῆς ἡμετέρας καὶ συνοδικῆς πράξεως γνωρίσειν μέλλει καὶ ἡ ἱερότης σου, ὅσον ἐγένετο καὶ ἀποκατέστη καὶ περὶ τῶν ἐπισκοπῶν τῆς Μικρᾶς Ῥωσίας, ταχθέντος ὑποκεῖσθαι πάλιν αὐτὰς ὡς τὸ πρότερον τῇ ἁγιωτάτῃ μητροπόλει Κυγέβου, περὶ δὲ τῆς ἱερότητός σου ἴσθι, ὡς ἐλαλήθησαν, ὅσα δῆτα καὶ ἐλαλήθησαν αἰτιάματα, συνοδικῆς ἐξετάσεως δεόμενα, καὶ παρεγγυώμεθα, ὡς ἂν ἐπιστῇς καὶ καταλάβῃς εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον, ὡς ἂν συνοδικῶς ἐξετασθέντων τῶν τοιούτων αἰτιαμάτων γένηται καὶ ἀποκα(τα)στῇ, ὅσον ἂν διαγνωσθῇ κανονικῶς δίκαιον. ἐλθὲ οὖν ἀπαραιτήτως, μηδὲν ὑπερθέμενος. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Μηνὶ σεπτεβρίῳ ἰνδ. α' †.

CXXII. Sine anno.

Metropolitae Monembasiae Iacobi Kukunari epistola ad patriarcham scripta.

† Τοῦ μητροπολίτου Μονεμβασίας Ἰακώβου τοῦ Κουκουνάρη εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην τὸν οἰκουμενικὸν πατριάρχην †.

† Παναγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ πατριάρχα. εἰ καὶ τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται, ἀλλ' οὖν οὐκ ἀπὸ τοῦ προσήκοντος πράττειν δοκῶ μοι, εἰ φαινοίμην καὶ αὐτὸς ὑπερεντυγχάνων θεῷ ὑπὲρ τοῦ καὶ σωματικῶς ἐρρῶσθαι τὴν σὴν ἁγιότητα· οὐκοῦν εἴης μοι, παναγιώτατε δέσποτα, καὶ σωματικῶς ὑγιαίνων εἰς πολλῶν ὠφέλειαν καὶ ἡμῶν αὐτῶν ἀγαλλίασιν· πολλῶν μὲν οὖν ἐστι

καὶ μεγάλων τὸν ἄριστον ἐπαινεῖν αὐτοκράτορα, οὐχ ἥκιστα δ' ἐν οἷς τῶν μὲν προτέρων ἐκείνων ἀπομνημονεύσας ἐφάνη, εἰρήνην δ' ἐξ ἴσου πᾶσιν ἔνειμε δαψιλῆ· ἀλλὰ τὰ μὲν ἄλλ' ἐκείνοις λέγειν χρεών, οἷς φροντὶς τῶν ἔργων τὰ κάλλιστα λόγοις ἐγκωμίων ἐπαίρειν, ἐμὲ δ' ἄγασθαι τῶν ἄλλων οὐχ ἧττον τοῦ σοφοῦ βασιλέως τὴν σύνεσιν, οἷς προστάτην ἄριστον τῆς μητρὸς τῶν ἐκκλησιῶν τὴν σὴν ἀναδέδειχεν ἁγιότητα, ἣν ἄνωθεν μὲν ἡ τοῦ παναγίου πνεύματος χάρις ἐτήρει, ἐκεῖν' ἀνήνυτα καθάπαξ δεικνύσα, ἃ πρόσθεν περὶ ταύτης ἐψήφιζον ἄνθρωποι, ἡ δ' ἐν χειρὶ κυρίου καρδία τοῦ βασιλέως, ἃ τῷ παναγίῳ περὶ ταύτης ἐδόκει πνεύματι, νῦν καλῶς ἔγνω καὶ ἧ προσῆκε, κεκάθικεν· οὐκοῦν τὸν μὲν ἄριστον αὐτοκράτορα ἐπαινοῦμεν τῆς εὐβουλίας, καὶ χάριτας ὅτι πλείστας τῷ ἐνθέῳ τούτου κράτει περὶ ταύτης ὁμολογοῦμεν, ταύτῃ δὲ τῆς μεγίστης τιμῆς συνηδόμεθα, συμφθεγγόμενοί τε καὶ ἀπόντες καὶ συμφωνοῦντες τοῖς ἱεροῖς ἀνδράσι, τοῖς σεπτοῖς μου δεσπόταις καὶ ἀδελφοῖς, οἷς περὶ ταύτης τῷ καλῷ γέγονε συμφθέγξασθαι βασιλεῖ· ἃ γὰρ περὶ ταύτης αὐτῷ, ταῦτα καὶ τούτοις ἡ τοῦ παναγίου πνεύματος ἐνέπνευσε χάρις, οὐδὲ γὰρ ἐνῆν, οὐκ ἐνῆν διαφωνεῖν τοὺς τοῦ πνεύματος, περὶ ὧν ἐδόκει τῷ πνεύματι, οὐχ ὑπὸ τὸν μόδιον κρύπτεσθαι τὸν λύχνον ἐδόκει τῷ πνεύματι, τοῦτο λελάληκε μὲν ἐν τῇ τοῦ βασιλέως καρδίᾳ, ἐνέπνευσε δὲ τοῖς αὐτοῦ· ἔδει δ' ἐπὶ τῆς λυχνίας τεθῆναι, καὶ τέθειται, ὥστε τὰς ἁπάντων καταφωτίζειν ψυχάς. οὐκοῦν εἷς πάντας καταφωτίζων, παναγιώτατε δέσποτα, λόγοις εὐσεβείας καὶ δικαιοσύνης, πᾶσαν μὲν φαύλην ἔριν τῆς τοῦ θεοῦ ἐκκλησίας ἀποδιώκων, εἰλικρινῆ δ' ἀντεισάγων εἰρήνην καὶ ἁγιασμόν, ὧν χορηγός ἐστι θεὸς, διὰ τοῦ αὐτοῦ ἐγκελευόμενος ἁγίου μαθητοῦ καὶ ἀποστόλου· „εἰρήνην διώκετε καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψετε τὸν θεόν“ †.

CXXIII. (6856—1348) maio ind. I.

Synodus dirimit controversiam.

† Τῆς κατὰ πρῶτον γάμον γυναικὸς τοῦ πρωτοκυνηγοῦ τοῦ Ἀλύατου ἐκείνου, τῆς θυγατρὸς τοῦ ἄρχοντος κῦρ Νικηφόρου, ἐπὶ παισὶ τὸν βίον ἀπολιπούσης, εἶτα καὶ τῶν παίδων τελευτησάντων, οἱ ἐκείνης αὐτάδελφοι (φθάσαντες γὰρ οἱ γονεῖς καὶ αὐτοὶ τὸ χρεὼν ἐλειτούργησαν) δι' ὄχλου περὶ τῶν τῆς προικὸς πραγμάτων ἐγένοντο τῷ οἰκείῳ

γαμβρῷ τῷ δηλωθέντι πρωτοκυνηγῷ, καὶ ἀνελάβοντο μὲν, ὅσα δῆτα καὶ ἀνελάβοντο, ἐπέκεινα δηλονότι καὶ τῆς τοῦ τρίτου ποσότητος· ἐξ ἀνθρώπων δὲ καὶ τούτων δὴ τῶν αὐταδέλφων ἐκείνης γενομένων, οἱ παῖδες αὐτῶν κεκινήκασι καὶ ἀρτίως τὴν ὑπόθεσιν ἐπὶ τῆς καθ' ἡμᾶς ἱερᾶς καὶ θείας συνόδου, γράμμα προτείναντες πατριαρχικὸν τοῦ κῦρ Ἀθανασίου, δικαιοῦντος ἀναλαβεῖν τοὺς αὐτῶν γονεῖς τὰ δίμοιρα τῆς προικὸς καὶ ἱκανοποιηθῆναι ζητοῦντες τὴν τούτων ποσότητα, ἐπειδὴ οὐδὲν ἔφθασαν ἀναλαβεῖν καὶ ἱκανοποιηθῆναι ταῦτα ἐκεῖνοι. τὸ μέρος μέντοι τοῦ πρωτοκυνηγοῦ καὶ αὐτὸ τῷ δικαστηρίῳ παρὸν καὶ τῶν εἰρημένων ἀκοῦον, γράμμα καὶ αὐτὸ προέτεινε συνοδικῆς κρίσεώς τε καὶ διαγνώσεως τοῦ πατριαρχεύσαντος πρὸ ἡμῶν, διαγορεῦον μηδέν τι δίκαιον ἔχειν τοὺς αὐταδέλφους λαβεῖν τι ἀπὸ τῶν τοιούτων προικιμαίων πραγμάτων, οὔτε ἀπὸ τῆς ἀκριβείας τῶν φιλευσεβῶν νόμων, οὔτε ἀπὸ τῆς νεαρᾶς, ὡς τῶν μὲν τὸν περιλειφθέντα τῶν γονέων δικαιούντων ἐπὶ τῇ κληρονομίᾳ αὐτῶν, ὅτε μετὰ θάνατον τοῦ πατρὸς ἢ τῆς μητρὸς καὶ οἱ ἐξ αὐτῶν παῖδες τελευτήσουσι, τῆς νεαρᾶς δὲ τὰ τρίτα μόνα πρὸς μόνους παραπεμπούσης τοὺς γονεῖς τοῦ ἀποιχομένου παιδὸς, ἡνίκα καὶ οἱ ἔγγονοι τελευτήσουσι τὸν βίον. προέτεινε δὲ καὶ ἑτέραν ἔγγραφον δικαίωσιν τῶν καθολικῶν κριτῶν, καταψηφιζομένην μὲν τοῦ προγεγονότος τοῖς τοῦ Ἄρχοντος γράμματος τῆς φυγοδικίας, δικαιοῦσαν δὲ τὸ μέρος τοῦ προτοκυνηγοῦ εἰς πάντα τε τὰ προικῷα αὐτοῦ πράγματα καὶ εἰς τὸ ἀποδοθῆναι αὐτῷ τὰ ἀφαιρεθέντα παρὰ τῶν Ἀρχόντων ἐκ τῶν κτημάτων τοῦ πρωτοκυνηγοῦ εἰσοδήματα. πρὸς τούτοις δὲ προεκόμισε καὶ ἀποδείξεις τῶν ἐπιτρόπων τῶν γυναικαδέλφων τοῦ πρωτοκυνηγοῦ, καὶ ἀνεφάνη ἐντεῦθεν, ὡς ἀνελάβοντο καὶ ἱκανοποιήθησαν τὰ τρίτα τῆς ἀμφιμάχου προικὸς, ὅτε τὸ τῆς φυγοδικίας γράμμα τῶν καθολικῶν κριτῶν ἐγένετο πρὸς αὐτούς. τούτων οὕτω παρ' ἀμφοτέρων λαληθέντων καὶ τῶν πατριαρχικῶν γραμμάτων διαφωνούντων πρὸς ἄλληλα, τοῦ μὲν ἑνὸς τοὺς τοῦ Ἄρχοντος τὰ δίμοιρα δικαιοῦντος, θατέρου δὲ μηδ' ὁτιοῦν λαβεῖν αὐτοὺς παραχωροῦντος, μέσην ἡ μετριότης ἡμῶν χωρήσασα, ἐπείπερ εὗρεν ἀπὸ τῶν ἐμφανισθεισῶν ἀποδείξεων παρὰ τοῦ μέρους τοῦ πρωτοκυνηγοῦ, ὡς ἀνελάβοντο οἱ τοῦ Ἄρχοντος καὶ τοῦ τρίτου ἐπέκεινα, ἐδικαίωσε μὲν αὐτοὺς εἰς τὴν τοιαύτην τρίτην μερίδα, διέγνω δὲ ἀνενόχλητον ἐξ αὐτῶν παντάπασιν ὀφείλειν μένειν τοῦ λοιποῦ καὶ τὸ τοῦ πρωτοκυνηγοῦ μέρος καὶ εἰς τὸ δίμοιρον

διὰ τὰς εἰρημένας ἄλλας αἰτίας καὶ ὅτι παρ' ἐκείνου γέγονεν ἡ ἔξοδος τῆς κηδείας καὶ τῶν μνημοσύνων τῆς γυναικὸς καὶ τῶν παιδίων· κἂν μὲν ἐφησυχάσωσιν οἱ τοῦ Ἄρχοντος, εὖ ἂν ἔχοι, εἰδ' οὖν, ἀντιστρέφουσι τῷ μέρει τοῦ πρωτοκυνηγοῦ καὶ ὅσα φθάσαντες ἀφείλοντο ὕστερον ἐκ τῶν κτημάτων καὶ οἰκημάτων αὐτοῦ, ἡνίκα τὸ τῆς φυγοδικίας γράμμα τῶν καθολικῶν κριτῶν γέγονε κατ' αὐτοῦ δὴ τοῦ πρωτοκυνηγοῦ, καθὼς ἐδικαιώθη ἀπολαβεῖν ταῦτα τὸ μέρος τοῦ πρωτοκυνηγοῦ παρὰ τῶν Ἀρχόντων ἔν τε τῇ συνοδικῇ καὶ σεκρετικῇ διαγνώσει, ἔνθεν τοι καὶ ἔξει ἐπ' ἀδείας τὸ μέρος τοῦ πρωτοκυνηγοῦ ἐπί τε τοῖς προσοῦσιν αὐτῷ οἰκήμασιν ἐντὸς τῆς θεοφυλάκτου, θεοδοξάστου καὶ θεομεγαλύντου Κωνσταντινουπόλεως καὶ τοῖς ἄλλοις ἅπασι διαπράττεσθαι πᾶν, ὅσον ἐστὶν αὐτῷ κατὰ βούλησιν, καὶ τῷ βουλομένῳ συνάλλαγμα ποιήσασθαι ἐπὶ τοῖς τοιούτοις, εἴτε κατὰ λόγον πράσεως, εἴτε καθ' ἕτερον δή τινα τρόπον, ἐξέσται ἀκωλύτως ποιεῖν αὐτό, μηδενὸς τῶν τοῦ μέρους τῶν Ἀρχόντων ὀφείλοντος ἐμποδὼν γενέσθαι αὐτῷ τούτου ἕνεκα. ἐπὶ τούτῳ γὰρ ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος, καὶ ἐπεδόθη τῷ μέρει τοῦ πρωτοκυνηγοῦ εἰς ἀσφάλειαν. μηνὶ ματῳ ἰνδ. α' †.

CXXIV. (6857—1348) septembri ind. II.

Synodus metropolitam Antiquarum Patrarum transfert in metropolim Monembasiae.

. . . . . .

. . . . . ἤδη πρὸς τὴν λαχοῦσαν αὐτὸν ἀπιέναι ἐκώλυσεν ὁ θεὸς, τῇ μητροπόλει Μονεμβασίας τοῦτον τηρῶν, οἱονεὶ μεγάλῃ νηὶ μέγαν κυβερνήτην εἴποι τις ἄν. διὰ τοῦτο καὶ ἡ μετριότης ἡμῶν, θείᾳ καὶ κανονικῇ πειθομένη κρίσει καὶ πολλαῖς ὁμοίαις πράξεσιν ἑπομένη, τὸ εὔλογον ἐχούσαις μεθ' ἑαυτῶν, καὶ κοινῇ δοκιμασίᾳ καὶ ψήφῳ τοῦ περὶ ἡμᾶς ἱεροῦ χοροῦ τῶν ἱερωτάτων ἱεραρχῶν καὶ ὑπερτίμων, τοῦ Θεσσαλονίκης, τοῦ Κυζίκου, τοῦ Ποντοηρακλείας, τοῦ Πηγῶν καὶ τοῦ Βιτζίνης, καὶ γνώμῃ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μετατεθῆναι τῶν σπουδαιοτάτων ἐνόμισε τὸν ἱερώτατον μητροπολίτην Παλαιῶν Πατρῶν, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Ἀχαΐας, εἰς τὴν ἁγιωτάτην Μονεμβασίας μητρόπολιν, ταύτῃ τοι καὶ μετατεθεὶς, παρακλήσεως οὐ μετρίας βιασαμένης αὐτὸν, μεθέξει μὲν, ὥσπερ τῆς ἐπωνυ-

μίας καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, οὕτω δὴ κ᾽ ν ταῖς ἱεραῖς συνόδοις τῆς γιγνομένης τιμῆς, ἔν τε στάσεσι καὶ καθέδραις, χρείας δὲ ἐνστάσης εἰς ἔργα χωρεῖν ἱεράρχῃ πρέποντα, διαπράξεται πάντα, ὡς ἤδη γνήσιος ἀρχιερεὺς τῆς τοιαύτης μητροπόλεως Μονεμβασίας, μηδεμίας αἰτίας τὴν προθυμίαν περικοπτούσης· οἱ δὲ κατὰ τὴν ἁγιωτάτην ταύτην Μονεμβασίας μητρόπολιν, οἵ τε εἰς κλῆρον αὐτῇ τελοῦντες, καὶ ὅσοι τῆς πολιτείας, οὐ μὴν ἀλλὰ καὶ τῆς ἐπαρχίας, οὕτω μέλλουσιν αὐτῷ προσέχειν, ἐφ᾽ οἷς ἂν κατὰ θεσμοὺς ἐκκλησιαστικοὺς ἔχοι λέγειν αὐτοῖς, ὡς ὑπὸ θεοῦ προστάτῃ τούτοις καταπεμφθέντι, μεμνημένοι μεθ᾽ ἱερᾶς εὐλαβείας τῆς ἁγιωτάτης φωνῆς· „ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ". ἐπὶ τούτῳ γὰρ καὶ ἡ παροῦσα ἡμετέρα καὶ συνοδικὴ πρᾶξις γεγονυῖα ἐπεδόθη τῷδε τῷ ἱερωτάτῳ μητροπολίτῃ Μονεμβασίας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Πελοποννήσου, ἀγαπητῷ κατὰ κύριον ἡμῶν ἀδελφῷ καὶ συλλειτουργῷ, εἰς ἀσφάλειαν. μηνὶ σεπτεμβρίῳ ἰνδ. δευτέρας †.

† Εἶχε καὶ δι᾽ ὑπογραφῆς· Ἰσίδωρος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

CXXV. Sine anno.

Isidorus concedit, ut mutua dentur trecenta hyperpyra, quae ecclesiae Sophiae fuerant relicta.

† Ἐπεὶ ὁ ἐν μοναχοῖς.... ὁ Κομπᾶς ἐκεῖνος μέλλων τελευτᾶν κατέλιπεν ἐνδιαθήκως ἐπὶ ἀνακτίσει τοῦ παμμεγίστου θειοτάτου ναοῦ τῆς τοῦ θεοῦ λόγου Σοφίας ὑπέρπυρα τριακόσια, προσδιορισάμενος πρὸς τὸν ἐπὶ θυγατρὶ γαμβρὸν αὐτοῦ, ... τὸν Ἀντιοχείτην διδόναι ταῦτα τῆς τοῦ θεοῦ ἐκκλησίας ἀνακτιζομένης, ἀρτίως δὲ χρήσεως ἀναγκαίας καὶ κοινωφελοῦς κατεπειγούσης, ἐδέησε δοθῆναι κατὰ λόγον δάνους τὰ τοιαῦτα τριακόσια ὑπέρπυρα εἰς τὸ θεοφρούρητον βεστιάριον, ἐφ᾽ ᾧ πάλιν μετὰ τῆς τοῦ θεοῦ βοηθείας ἀποδοθῆναι ταῦτα τῆς τοιαύτης ἀνακτίσεως ἕνεκεν, ἡ μετριότης ἡμῶν τὴν χρῆσιν ταύτην λυσιτελεστάτην τῷ παντὶ κρίνασα μάλιστα, ἐξ ἧς, συναιρομένου θεοῦ, μέλλουσι καὶ τὰ τῆς ἐκκλησίας καὶ τὰ τῆς βασιλείας καὶ τῆς πολιτείας συνίστασθαι πράγματα, ἑτοίμως πρὸς τὴν τοιαύτην κοινωφελῆ χρείαν ἐπένευσεν, ὥστε δανειακῶς δοθῆναι ταῦτα δὴ τὰ τριακόσια ὑπέρπυρα

εἰς τὸ θεοφρούρητον βεστιάριον κατὰ τὸν ἀναγεγραμμένον τρόπον, ἐπεὶ δύο εὐδοκίᾳ θεοῦ ἀποβήσονται τὰ καλὰ, ὅ τε γὰρ δηλωθεὶς μοναχὸς.....Κομπᾶς τὴν ἀντιμισθίαν, ὡς προέθετο, θεόθεν ἀπολήψεται, τούτων αὖθις ἀποδοθέντων καὶ τοῦ θειοτάτου ναοῦ ἀνακτιζομένου, καὶ τοῖς κοινοῖς πράγμασιν ὠφέλεια μεγίστη γενήσεται, ἐξ ἧς αὐτός τε ὁ παμμέγιστος ναὸς καὶ ἅπαν τὸ τῶν χριστιανῶν πλήρωμα μέλλουσι καλῶς περισώζεσθαι. δεῆσαν μέντοι τῷ διαληφθέντι Ἀντιοχείτῃ γενέσθαι τούτου χάριν γράμμα τῆς ἡμῶν μετριότητος εἰς πληροφορίαν τοῦ τὴν μισθαποδοσίαν τὸν δηλωθέντα Κομπᾶν ἀπολήψεσθαι παρὰ τοῦ θεοῦ ἐν τῷ καιρῷ τῆς μελλούσης ἀνταποδόσεως, ἤδη τὸ παρὸν ἀπολύεται πρὸς αὐτὸν διὰ τὴν περὶ τούτου ἀσφάλειαν, ὥστε καὶ πλείονα τὸν μισθὸν ἔχειν αὐτὸν διὰ τὴν κοινωφελῆ ταύτην χρῆσιν †.

CXXVI. (6857—1348) octobri-decembri ind. II.

Synodus dirimit tres controversias.

I. † Ἐφίστανται τῷ καθ' ἡμᾶς ἱερῷ συνοδικῷ διακαστηρίῳ οἱ τοῦ Στρογγύλου ἐκείνου υἱοὶ, ὅ τε οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι πρωτοιερακάριος κῦρ Θεόδωρος ὁ Στρογγύλος καὶ οἱ αὐτάδελφοι αὐτοῦ, ὅ τε Στέφανος καὶ ὁ Μανουὴλ, καὶ κινοῦσιν ὑπόθεσιν, ὡς τὴν αὐταδέλφην αὐτῶν, Μαρίαν, ἀνδρὶ κατὰ πρῶτον συνοικέσιον συζεύξας ὁ πατὴρ συνεφώνησε μετὰ τῶν ἄλλων προικὸς χάριν αὐτῇ καὶ τὸ ἥμισυ τοῦ εἰς τὸ χωρίον τῆς Τρακάδος διακειμένου ἀμπελίου, ἔτι δὲ καὶ τὰ ὅλα οἰκήματα, τὰ ἐνταῦθα κατὰ τὴν θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν διακείμενα, ταύτην δ' ἀποβαλοῦσαν θανάτῳ τὸν πρότερον ἄνδρα καὶ χηρεύουσαν καὶ ἄπαιδα εὑρισκομένην καὶ τὰ ἴδια κεκτημένην πράγματα, ἠθέλησεν ἀγαγέσθαι ὁ Καλομίσειδος, οὗ δὴ καὶ ἀναβαλλομένου ἔπειτα νομίμως αὐτῇ συναφθῆναι διὰ τὸ καὶ πλείονα προσαπαιτεῖν πράγματα, οὗτοι τῷ πρὸς ἐκείνην ἀδελφικῷ φίλτρῳ κινούμενοι, κἀντεῦθεν ἀνάγκῃ συνελαθέντες δεδώκασι πρὸς ἐκείνην τὰς ἀνηκούσας αὐτοῖς μερίδας γονικόθεν, ἀπὸ τῆς ἐκεῖ γῆς τῶν τριακοσίων μοδίων, ἔτι δὲ καὶ τοῦ ἀμπελίου, ἀλλὰ δὴ καὶ τὸ, ὅπερ εἶχον ἐνταῦθα ὁσπήτιον τὸ πλησίον τῆς Κυλίστρας λεγόμενον, πλὴν ἐπὶ καταστάσει, ἵνα μετὰ τὴν ἀποβίωσιν ἐκείνης, μὴ παιδοποιησάσης, ἀπολάβωσι μὲν καὶ τὰς οἰκείας μερίδας,

κληρονομήσωσι δὲ καὶ τῶν ἰδίων ἐκείνης, ὡς ἔλεγον, ἀναδεξάμενοι καὶ τὴν τῆς ψυχῆς ἐκείνης φροντίδα, κἀντεῦθεν ἀνεκαλέσαντο ταύτας, τῆς ἀδελφῆς τὸν βίον ἀπολιπούσης, κατὰ τὴν ῥηθεῖσαν κατάστασιν, ἣν ἔθεντο μετ' ἐκείνης, ἐμφανίσαντες καὶ γράμμα, ὅπερ οὐδεμίαν εἶχεν ἰσχὺν ἀπό τινος παραστάσεως μαρτύρων· παρὼν δὲ καὶ ὁ δηλωθεὶς Καλομίσειδος, προέτεινε γράμμα διαθηκῶν τῆς γυναικὸς, ταβελλίωνι πεπιστωμένον καὶ μάρτυσι, δι' οὗ καταλειφθῆναι ἰσχυρίζετο πρὸς αὐτὸν τήν τε ἡμίσειαν μερίδα τῶν εἰρημένων οἰκημάτων, τὸ εἰς τὸ τοιοῦτον χωρίον ἥμισυ ἀμπέλιον, πρὸς δὲ καὶ ἀπὸ τῆς ἐκεῖ γῆς μοδίων ἑκατόν. τούτων δὲ τῶν Στροττύλων εἰς παραγραφὴν χωρούντων αὐτοῦ, δι' ἣν προεβάλοντο κατάστασιν μετὰ τῆς ἀδελφῆς περιούσης, δεῖν ἔκρινεν ἡ μετριότης ἡμῶν, ὡς τοῦ προκομισθέντος τοιούτου γράμματος ὄντος ἀπαραδέκτου, διὰ τὸ μὴ τὸ πιστὸν ἔχειν ἀπὸ εὐλόγου καὶ νομίμου τινὸς παραστάσεως, προσκληθῆναι τοὺς ἐμφερομένους τῇ διαθήκῃ μάρτυρας εἰς τὴν τῆς ἀληθείας παράστασιν, οἳ δὴ καὶ παρουσίᾳ τῶν μερῶν ἀμφοτέρων μετὰ βάρους ἐπιτιμίου ἐρωτηθέντες, ὡς μετ' ἀληθείας ἀνακαλύψαι πᾶν, ὅπερ οἴδασιν εἰς ἀκρίβειαν αὐτήκοοι γενόμενοι ἀπὸ τοῦ στόματος ἐκείνης, τὰ τελευταῖα πνεούσης, ἐξησφαλίσαντο ὑπὸ τῷ τοιούτῳ βάρει τοῦ ἐπιτιμίου, ὡς ἀκηκόασι τῆς φωνῆς ἐκείνης ἐν ταῖς τελευταίαις ἀναπνοαῖς, καταλειφάσης ταῖς ἀληθείαις τῷ τοιούτῳ Καλομισείδῳ τήν τε ἡμίσειαν μερίδα τῶν οἰκημάτων καὶ τόδε τὸ ἥμισυ ἀμπέλιον, πρὸς δὲ καὶ γῆν ἀπὸ τῆς ῥηθείσης τῶν τριακοσίων μοδίων ἑξήκοντα μόνον μοδίων, τὰ δὲ ἐπίλοιπα ἔχωσιν οἱ τοιοῦτοι αὐτάδελφοι αὐτῆς· ἥτις ἐξησφαλισμένη τῶν τοιούτων μαρτύρων ὁμολογία ἐκρίθη ὡς ἄγραφος διαθήκη. τῆς γοῦν ἀληθείας οὕτως ἀναφανείσης ἐστέρχθη τὰ περὶ τούτου καὶ παρὰ τῶν μερῶν ἀμφοτέρων. ἔπειτα οἱ Στροττύλοι ἑτέραν τραπόμενοι, ἐζήτουν λαβεῖν τὰ, ἅπερ ἔλεγον ἐξ ἀδιαθέτου καθευρεθῆναι τῇ ἀδελφῇ, καὶ προέτειναν λεπτομερὲς κατάστιχον ὡς ἐξ ἐκείνης, διαλαμβάνον, ὅτι δέδωκεν ἀπὸ τῶν προικῴων ταύτης πραγμάτων πρὸς τὴν δηλωθεῖσαν ἀνδραδέλφην αὐτῆς ὑπέρπυρα ἑβδομήκοντα δύο ὑπὲρ ἐξωνήσεως τῆς ἀνηκούσης μερίδος ἐκείνης ἀπὸ τοῦ ὁσπητίου, ἀλλὰ δὴ καὶ ἀπολυπτικὴν ἔγγραφον ἀπόδειξιν, ὡς ἀπὸ τῆς τοιαύτης ἀνδραδέλφης τῆς Καλομισειδήνης, ἔχουσαν ἐμφερομένους καὶ μάρτυρας, ὅτι κατεβάλετο ἥδε τοιουτοτρόπως τὰ ἑβδομήκοντα δύο ὑπέρπυρα πρὸς τὴν τοιαύτην ἀνδραδέλφην, ὡς

εἴρηται. ἐξετάσεως δὲ κατὰ τὸ εἰκὸς καὶ περὶ τούτου γενομένης, ἀνεφάνη, ὅτι ὁ μὲν Ὀφικιάνος ἦν ὁ πλασάμενος τὸ γραμμάτιον ἀπὸ ἀξιώσεως τοῦ Καλομισείδου, καθὰ καὶ αὐτὸς ἀριδήλως διωμολόγησεν, ἐπιτιμίου βάρος δεξάμενος συνοδικῶς παρὰ τῆς ἡμῶν μετριότητος, ἦσαν δὲ ἐγγεγραμμένοι τούτῳ ὡς μάρτυρες οἱ οἰκεῖοι τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ὅ τε Μοναστηριώτης καὶ ὁ ἐπὶ θυγατρὶ γαμβρὸς αὐτοῦ, ὁ Σεβαστειάνος, οἰκονομίᾳ χρησαμένου τοῦ Καλομισείδου, ἵν' ἔχῃ ταῦτα προτείνειν δεῆσαν ἐπὶ δικαιώσει αὐτοῦ, ποτὲ μὲν, ὡς δῆθεν προικῴου ὄντος τοῦ ὁσπητίου τῆς γυναικὸς, ποτὲ δὲ, ὡς ἰδιοκτήτου αὐτοῦ εἰς ὄνομα καὶ πρόσωπον τούτου, καὶ τοῦ πρατηρίου προβάντος· ἐπεὶ δὲ ὅ τε Μοναστηριώτης καὶ ὁ Σεβαστειάνος ὑπὸ τῆς ἀνατεθειμένης αὐτοῖς βασιλικῆς ὑπηρεσίας κατεπειγόμενοι, προσκληθέντες οὐκ ἐδυνήθησαν ἀφικέσθαι εἰς τὴν ἡμῶν μετριότητα καὶ αὐτοπροσώπως ἐρωτηθῆναι, ἐξησφαλίσαντο καὶ διεβεβαιώσαντο διὰ γράμματος, ὑπογραφαῖς ἰδίαις σεσημασμένου, ὡς, εἰ καὶ ἐμφέρονται τῷ γράμματι ὡς μάρτυρες, ἀλλ' οὖν οὐδεμίαν εἴδησιν ἔχουσι περὶ τούτου, ὅθεν καὶ ὡς τῶν τοιούτων γραμμάτων πεφαλσευμένων ὄντων καὶ ὠβελισμένων, τὴν ἀπὸ τούτων ἐξ ἀδιαθέτου ζήτησιν ἀπωσάμεθα, καθάπερ ἐχρῆν. διὰ ταῦτα δὴ καὶ διέγνωσται τῇ ἡμῶν μετριότητι συνοδικῶς, ἐπιλαβέσθαι μὲν τοὺς διαληφθέντας Στρογγύλους τῆς ὅλης γονικῆς γῆς τῶν τριακοσίων μοδίων μετὰ καὶ τῆς ἀπὸ ταύτης διαπραθείσης καὶ οὔσης ὑποτελοῦς, καθὼς ἂν στερχθῇ τὰ τῆς πράξεως κατὰ λόγον δίκαιον παρ' αὐτῶν καὶ κατὰ τὰς περιλήψεις τῶν προσόντων τούτοις ἐγγράφων ἀπογραφικῶν δικαιωμάτων καὶ τῶν ἐπ' αὐτοῖς ἀπολυθέντων σεπτῶν προσταγμάτων, ὀφειλόντων καὶ τούτων δὴ τῶν δικαιωμάτων ἀντιστραφῆναι πρὸς αὐτοὺς παρὰ τοῦ Καλομισείδου, ἐπειδὴ τὰ ἴσα τούτων, ὑπογραφῇ πιστωθέντα τοῦ ἱερωτάτου μητροπολίτου Κυζίκου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλησπόντου, ἐδόθησαν πρὸς αὐτὸν, τούτους δὲ τοὺς Στρογγύλους ἐνέχεσθαι ἀπροφασίστως ἀποδοθῆναι πρὸς αὐτὸν τὴν καταλειφθεῖσαν, ὡς δεδήλωται, γῆν τῶν ἑξήκοντα μοδίων κατά τε ποιότητα καὶ ποσότητα, καθὼς δηλονότι μέλλουσι καὶ οὗτοι λήψεσθαι ἀναλόγως ἀπὸ τῆς ὁλότητος τῆς τοιαύτης γῆς τὰς διαφερούσας μερίδας αὐτοῖς διὰ γεωμετρικῆς ἐξισώσεως, τὸ τοῦ ἀμπελίου ἥμισυ καὶ τὴν τῶν οἰκημάτων ἡμίσειαν μερίδα. ἐπὶ τούτῳ γὰρ ἀπολέλυται καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος ἐν δυσὶν ἀντιγραφαῖς ἴσαις

ἑκατέρῳ μέρει ἐπιδοθὲν διὰ τὴν εἰς τὸ ἑξῆς ἀσφάλειαν καὶ ἀνενοχλησίαν αὐτῶν.

† Εἶχε καὶ δι' ὑπογραφῆς· μηνὶ ὀκτωβρίῳ ἰνδ. β' †.

II. † Ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι μέγας διερμηνευτὴς, κῦρ Νικόλος ὁ Σιγηρὸς, εἰς τὸ καθ' ἡμᾶς ἱερὸν συνοδικὸν δικαστήριον παραγενόμενος ὡς ἀπὸ τῆς πενθερᾶς αὐτοῦ τῆς Ξανθοπουλίνης, κεκίνηκεν ὑπόθεσιν, ὅτι δὴ ἡ τοιαύτη πενθερὰ τούτου ἀπέτεκε θυγατέρα τὴν Σιδηριώτισσαν Εἰρήνην, αὕτη δὲ θυγατέρα Μαρίαν, ἐφ' ᾗ ἔσχε γαμβρὸν ἤδη ἡ Σιδηριώτισσα τὸν Ἀντιοχείτην Δημήτριον ἐπὶ προικῴοις πράγμασι ποσότητος ὑπερπύρων χιλίων, εἶτα διά τινα ζημίαν ἐπελθοῦσαν τῷ ἀνδρὶ αὐτῆς εἰς τὸν Καφᾶν, γέγονεν ὕφεσις τῆς προικὸς, ἀποκαταστάσης εἰς ποσότητα ὑπερπύρων ὀκτακοσίων, καταδεξαμένου ταύτην τοῦδε τοῦ Ἀντιοχείτου καὶ ἀπολητικὴν πεποιηκότος ἀπόδειξιν. καὶ τῆς Σιδηριωτίσσης τὸν βίον ἀπολιπούσης μετ' ὀλίγον καὶ ἡ θυγάτηρ αὐτῆς ἡ Ἀντιοχείτισσα ἄπαις καὶ ἀδιάθετος τὴν ζωὴν ἐξεμέτρησεν· ἀσθενείᾳ δ' ἔπειτα καὶ τοῦ Ἀντιοχείτου περιπεσόντος, οἱ τῆς Ξανθοπουλίνης υἱοὶ, ὅ τε ὀρφανοτρόφος ἐκεῖνος κῦρ Ἀλέξιος καὶ ὁ στρατοπεδάρχης κῦρ Δημήτριος, ἀπῄτουν ἀπὸ τούτου τὴν προῖκα, μηδεμίαν μηδόλως εἴδησιν ἐχούσης τῆς μητρὸς ἐκείνων, δηλαδὴ τῆς Ξανθοπουλίνης, ᾗ καὶ τὰ τῆς κληρονομίας ἀνῆκε· τοῦ δὲ Ἀντιοχείτου, μὴ εὐπόρως ἔχειν προβαλλομένου, εἰάθησαν τὰ τριάκοσια ἀπὸ τῆς τῶν ὀκτακοσίων ὑπερπύρων ποσότητος παρὰ τῶν τῆς Ξανθοπουλίνης τοιούτων υἱῶν, γεγονότος καὶ γράμματος αὐτῶν παρὰ τὴν τῆς μητρὸς εἴδησιν, νόσῳ παλαιούσης, ἐπὶ τῷ μὴ ἀπαιτεῖν αὐτοὺς τὸν Ἀντιοχείτην πλείονα τῶν πεντακοσίων· ἔφθασε δὲ καὶ ὁ Ἀντιοχείτης ἐκμετρήσας τὸν βίον. ἡ μέντοι Ξανθοπουλίνα τοῦ νοσήματος ἀπαλλαγεῖσα, ἀνέθετο πρὸς τοὺς τοιούτους υἱοὺς ἀναλαβέσθαι τὴν προῖκα τῆς ἐγγόνης αὐτῆς, οἳ δὴ καὶ ἀνάγκῃ συνελαθέντες, ἀνεκάλυψαν πρὸς αὐτὴν τὴν, ἣν μὴ γινωσκούσης αὐτῆς πεποιήκασι πρᾶξιν, ἡ δὲ οὐκ ἤνεγκεν ὅλως· ἐπεὶ δ' ὡς ἐν τοσούτῳ καὶ ὁ ὀρφανοτρόφος τὸ χρεὼν ἐλειτούργησεν, ὁ λοιπὸς αὐτῆς υἱὸς, ὁ στρατοπεδάρχης, ἔγκλησιν ἐποιεῖτο ἐπὶ τῆς καθ' ἡμᾶς ἱερᾶς καὶ θείας συνόδου, ἀνακαλούμενος τὰ προικῷα τῆς ἀνεψιᾶς πράγματα καὶ διισχυριζόμενος τὴν

μητέρα χαλεπαίνειν αὐτῷ πλεῖστα καὶ δυσχεραίνειν τῆς τοιαύτης ἕνεκα πράξεως. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ στρατοπεδάρχης ἀπολείπει τὸν βίον, ἡ Ξανθοπουλίνα δὲ μόνη ἀπολειφθεῖσα, δι' ἐντολέως τοῦ τιμιωτάτου ἐν..... κῦρ Μαρκιανοῦ, συνοδικῶς τὸ οἰκεῖον ἀπαιτεῖ δίκαιον κατὰ τῆς μητρὸς τοῦ Ἀντιοχείτου τῆς Συριάνης, διεγκλητεύουσα, ἅτε δὴ ἀναλαβομένης τὴν ἀπὸ τῆς ἐγγόνης τῆσδε τῆς Ξανθοπουλίνης διαφέρουσαν προῖκα, ἥτις καὶ λέγουσα εἶναι τοῦ γένους τῶν Γεννουιτῶν καὶ τὸν οἰκεῖον φόρον ζητοῦσα, ἔπειτα ἠθέλησεν ἀνθ' ἑαυτῆς ἐντολέα ποιήσασθαι.....

..... οὗτος δὲ ὁ πρωτοπαπᾶς, συνήθως ἔχων καὶ εἰς ἀμφότερα τὰ μέρη, ἐπεχείρησε μέσος εἰσελθεῖν καὶ τὴν ἀμφισβήτησιν διαλύσασθαι. οὕτω δὲ τοῦ καιροῦ παρατρέχοντος καὶ τῆς Ξανθοπουλίνης μὴ ἐχούσης τὸν πρὸς τοὺς Γεννουίτας μέλλοντα ὑπεραπολογεῖσθαι ταύτης, ἐπῆλθε καὶ ἡ ἀπὸ τοῦ Γαλατᾶ σύγχυσις. ἤδη δ' ἐπανιόντος τοῦ δηλωθέντος μεγάλου διερμηνευτοῦ ἀπὸ τῆς ἀνατεθειμένης τούτῳ πρεσβείας καὶ τοῦ πράγματος μὴ διδόντος κινηθῆναι τὰ τῆς ὑποθέσεως, ὡς ἡ τοῦ Ἀντιοχείτου μήτηρ ἐζήτει, συνοδικῶς οὗτος τὴν κρίσιν ἀνεκαλέσατο, τὴν παρὰ τῶν γυναικαδέλφων ὕφεσιν τῶν τριακοσίων ὑπερπύρων ἀπὸ τῆς προικὸς, ὡς μὴ εἰδυίας τῆς πενθερᾶς, παρ' οὐδὲν λογιζόμενος. παρόντες δὲ ὅ τε ἐπ' ἀδελφῇ γαμβρὸς τοῦ Ἀντιοχείτου καὶ ὁ αὐτάδελφος αὐτοῦ, οἱ Μερκούριοι, διετείνοντο μὴ ἀληθῶς ἔχειν, ὅτι παρὰ γνώμην τῆς Ξανθοπουλίνης τὰ τῆς ῥηθείσης ὑφέσεως γέγονεν, ἀλλ' εἰδήσει αὐτῆς καὶ συγκαταθέσει, κἀντεῦθεν ἐζήτουν παραγενέσθαι καὶ τοὺς ἐμφερομένους καὶ ὑπογεγραμμένους μάρτυρας τῷ γράμματι ταύτης δὴ τῆς ὑφέσεως, δηλαδὴ τὸν ἀπὸ τοῦ κλήρου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας εὐλαβῆ ἀναγνώστην καὶ ταβουλλάριον, τὸν Βασιλικόν, ἔτι δὲ καὶ τὸν κουροπαλάτην, οἵτινες καὶ προσκληθέντες καὶ μετὰ βάρους ἐπιτιμίου ἐρωτηθέντες, διωμολόγησαν, ὡς ἡ Ξανθοπουλίνα οὔτε παρῆν, οὔτε γινώσκομεν, ἐὰν εἶχέ τινα εἴδησιν περὶ τούτου. τοιαύτης οὖν γενομένης τῆς τῶν μαρτύρων κατησφαλισμένης ὁμολογίας οἱ Μερκούριοι καὶ ἡ Συριάνα καὶ τὴν Ξανθοπουλίναν αὐτοπροσώπως παραγενέσθαι καὶ ἐρωτηθῆναι τούτου χάριν ᾐτήσαντο, ἥτις καὶ αὐτὴ ἐπιστᾶσα καὶ βάρος ἐπιτιμίου δεξαμένη διεβεβαιώσατο, ὡς ὑπ' ἀσθενείας κατακειμένη οὔτε παρῆν τῆς παρὰ τῶν υἱῶν ἐγγράφως ὑφέσεως

γινομένης, οὔτε μὴν ὅλως ἠπίστατο ταύτης χάριν. ἐπεὶ δὲ οἱ Μερκούριοι καὶ αὐτὴ ἡ τοῦ Ἀντιοχείτου μήτηρ ἔλεγον ἔχειν τὴν Ξανθοπουλίναν τινὰ τῶν προικιμαίων πραγμάτων καὶ παρυποκρύπτειν, ἐκφωνηθέντος ἐπ' αὐτῇ ὁμοίως ἐπιτιμίου, ἐξησφαλίσατο μηδὲν ἕτερον ἔχειν ἀπὸ τούτων ἀλλ' ἢ μόνα τὰ συνήθως λεγόμενα κατασειστά, ἅτινα ἐδόθησαν μὲν παρ' αὐτῆς πρὸς τὴν θυγατέρα, τὴν Σιδηριώτισσαν, αὖθις δὲ παρ' ἐκείνης πρὸς τὴν ἐγγόνην εὑρεθέντα καιρῷ τῆς τελευτῆς τοῦ ὀρφανοτρόφου, τιμήματος ὄντα ὑπερπύρων εἰκοσιπέντε, ἐξετέλεσαν δὲ οἱ υἱοὶ αὐτῆς, εἰληφότες αὐτά, τὴν κηδείαν, αὕτη δὲ μνημόσυνα ὑπὲρ ψυχικῆς σωτηρίας ἐκείνης. εἶτα ἡ Συριάνα διετείνετο, δεχθῆναι παρὰ τῶν υἱῶν τῆς Ξανθοπουλίνης ἐγγράφως κατὰ τὸν καιρὸν τῆς γενομένης ὑφέσεως εἰς τὸ ποσὸν τῶν πεντακοσίων καὶ τὴν παρὰ τοῦ Ἀντιοχείτου ἐπιγενομένην βελτίωσιν ἐπὶ τοῖς προικῴοις οἰκήμασιν, ἀντεπῆγε δὲ ἡ Ξανθοπουλίνα, μὴ ἐνέχεσθαι ἀπολογεῖσθαι, ὡς μηδόλως ἐπισταμένη, ἐφ' οἷς προβάλλονται συμβιβασθῆναι τοὺς υἱοὺς αὐτῆς μετὰ τοῦ Ἀντιοχείτου. ἐπὶ τούτοις εἶπεν ἡ Συριάνα, ὡς τοῦ υἱοῦ τοῦδε τοῦ Ἀντιοχείτου ἐν τῷ ὁσπητίῳ εὑρισκομένου τῆς πενθερᾶς καὶ ἐν τῷ τελευτᾶν διαθήκην ἐκτιθεμένου, παροῦσα καὶ ἡ Ξανθοπουλίνα οὐδεμίαν ἀπαίτησιν περὶ προικὸς ἐποιήσατο· ἀντέλεγε δὲ πάλιν ἡ Ξανθοπουλίνα, μὴ ἀληθείας ἐξέχεσθαι τὴν τοιαύτην πρόφασιν τῆς Συριάνης, διεβεβαιουμένη, ὡς ὅτε κατὰ μοναχοὺς αὐτὸν ἀποκείραντες ἤδη τὰ λοίσθια πνέοντα οἱ ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ ἐν πατριάρχαις ἁγιωτάτου κυροῦ Ἀθανασίου ἀσκούμενοι μοναχοὶ καὶ λαβόντες ἐκεῖνον ἀπήρχοντο ἐπὶ τῷ ἐνσοριάσαι τὸν ἐκείνου νεκρόν, τότε καὶ αὐτὴ οἴκτου τε λαβοῦσα καὶ τῷ πρὸς ἐκεῖνον φίλτρῳ κινηθεῖσα, ὡς ὕστατον ὀφομένη, εἶδεν ἐκεῖνον ἐπὶ βραχύ, συγχώρησιν, ὡς ἔθος χριστιανοῖς, αἰτησαμένη καὶ ἀντιδοῦσα, κἀντεῦθεν μηδὲ περὶ διαθήκης ἔχειν εἰδέναι, εἰδέ τε κατ' ἐπιδρομήν, ὡς οὐ μόνον κατέσχε καὶ ἀπῆρε τὰ προσόντα ἐκείνῳ πράγματα, ἀλλὰ καὶ τό, ὅπερ ἐκέκτητο μικρὸν σενδούκιον, ἐν τῷ ὁσπητίῳ τῆς πενθερᾶς αὐτοῦ τῆς Σιδηριωτίσσης, ἐν ᾧ ἀσθενῶν ἀπεκείρατο, ὡς εἴρηται, ὃ δὴ περιέκλειεν, εἴ τι καὶ εἶχεν, ἀνελάβετο δι' ἑαυτῆς, καὶ μετεκόμισεν εἰς τὸ ἴδιον ὁσπήτιον, κἀντεῦθεν ἐζήτει τὸ τῆς Ξανθοπουλίνης μέρος ἱκανοποιηθῆναι τὴν προῖκα, τῆς δ' ἐξαρνουμένης μηδὲν ἔχειν, προεκόμισεν ὁ δηλωθεὶς μέγας διερμηνευτὴς διὰ καταστίχου λελογισμένου, ὅσα τε ἀπὸ τῶν προικῴων εἰ-

δῶν. εἰσιν εὑρισκόμενα ἐν τῷ τῆς Συριάνης ὀσπητίῳ, καὶ ὅσαπερ κατέσχεν αὕτη ἴδια τοῦ υἱοῦ, ἡ δὲ τὰ μὲν ἔχειν διωμολόγει, τὰ δὲ ἀντὶ λεγάτων ἐνδιαθήκως καταλειφθῆναι ἰσχυρίζετο, πρὸς οὓς ἐκεῖνος ἐβούλετο, περὶ δὲ τῶν λοιπῶν μηδεμίαν εἴδησιν ἔχειν. ἀλλ' ὁ μέγας διερμηνευτὴς καὶ ἑτέραν κινῶν ἀγωγὴν προσέθετο, ὡς ἡ αὐταδέλφη τοῦ τοιούτου Ἀντιοχείτου, ἡ Πελαγίνα, ἔχουσα προῖκα ὑπερπύρων χιλίων προετελεύτησεν ἄπαις καὶ ἀδιάθετος, καὶ τῶν πραγμάτων ἀντιστραφέντων διέφερε τῷ Ἀντιοχείτῃ ὡς ἀδελφῷ τὸ ἀπὸ τῆς κληρονομίας ἐπιβάλλον, προετελεύτησαν δὲ ὡσαύτως καὶ οἱ ἄρρενες δύο ἀδελφοί, ἔχοντες ἀνὰ ὑπερπύρων πεντακοσίων, ἅτινα καὶ αὐτὰ ἔσχεν ἡ μήτηρ, ἔπειτα προετελεύτησεν ἀδιάθετος καὶ ἡ ἄζυξ αὐταδέλφη ἐκείνου, ἔχουσα κἀκείνη ποσότητα ὑπερπύρων χιλίων, τὸν ὅμοιον δὲ τρόπον προτελευτήσασα καὶ ἡ ἑτέρα αὐταδέλφη ἐκείνου δὴ τοῦ Ἀντιοχείτου, ἡ τοῦ Μερκουρίου δηλονότι γυνή, κατέλιπεν ἐκείνῳ λεγάτον, ὅσον ἐν τῇ διαθήκῃ περιλαμβάνεται, καὶ ἀπαιτεῖ διὰ ταῦτα ὁ δηλωθεὶς μέγας διερμηνευτὴς μετὰ τῶν λοιπῶν δικαίων ἐκ τῆς ἀδελφικῆς ταύτης νομίμου κληρονομίας καὶ τοῦτο δὴ τὸ λεγάτον. τούτων οὕτω παρ' ἑκατέρου μέρους λεχθέντων καὶ πλείστης ἀφιμαχίας μεταξὺ αὐτῶν γενομένης διέγνωσται τῇ ἡμῶν μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Θεσσαλονίκης, τῷ Κυζίκου, τῷ Μονεμβασίας, τῷ Ποντοηρακλείας καὶ τῷ Πηγῶν, ἵνα ἡ περὶ τῶν δηλωθέντων υἱῶν τῆς Ξανθοπουλίνης γεγονυῖα ἔγγραφος ὄφεσις τῆς προικὸς εἴη ἀνατετραμμένη καὶ καταλελυμένη, ἐπεὶ μὴ ἐγίνωσκε κατὰ τὸν ἀναγεγραμμένον τρόπον ἥδε ἡ Ξανθοπουλίνα περὶ τούτου, ἡ καὶ ἀπὸ τῶν φιλευσεβῶν νόμων δεδικαιωμένη ἐπὶ τῇ τῆς ἐγγόνης κληρονομίᾳ, στέργεται δὲ, ὡς ταύτης ἀναιρουμένης, καὶ ἡ ἀρχῆθεν ποσότης τῶν τῆς προικὸς ὑπερπύρων ω' καὶ ὅσα μὲν ἀναφανῶσι περὶ τῇ Συριάνῃ ἀπὸ τῶν φαινομένων εἰδῶν τῆς προικὸς, καθὼς καὶ αὐτὴ συνοδικῶς τινα ἀπὸ τούτων διωμολόγησεν, ὀφείλουσα μετ' ἀσφαλείας τῆς προσηκούσης ἀνακαλύψαι καὶ ὅσα ἕτερά εἰσι παρ' αὐτῇ τοιαῦτα, δεχθῶσιν εἰς τὴν τοιαύτην ποσότητα, ἀλλὰ δὴ καὶ τὰ μετ' ἀληθείας ἀναφανησόμενα ἴδια τοῦ Ἀντιοχείτου, ἔτι τε καὶ ἡ ἐπιγεγονυῖα παρ' ἐκείνου βελτίωσις ἐπὶ τοῖς οἰκήμασιν, ὡς δεδήλωται, καὶ τὰ ἀπὸ τῶν διαφερόντων ἐκείνῳ ἀδελφικῶν κληρονομικῶν δικαίων καὶ τὰ τῆς ἀδελφῆς καὶ τῶν ἀρρένων δύο ἀδελφῶν τῶν ἀζύγων, ἐπειδὴ κατὰ τὴν τῶν αὐ-

τῶν θείων νόμων διαταγὴν καὶ ἡ τῆς ὑπεξουσιότητος δύναμις λύεται ἀμάχως τῇ τοῦ πατρὸς τελευτῇ, κἂν μὲν ἐξαρκέσωσι ταῦτα εἰς τελείαν ἱκανοποίησιν τῆς προικὸς, εὖ ἂν καὶ καλῶς ἔχοι, εἰ δ' ἴσως ἀναφανῇ καὶ λοιπάς τις, ἐπεὶ ἐκινήθη συνοδικῶς, ὅτι ἐνδιαθήκως ἐκεῖνα ἐλεγάτευσε, εἰς οὓς ἐκείνῳ πρὸς βουλήσεως, ἀπό τε τῶν τοιούτων τῆς προικὸς εἰδῶν καὶ ἀπὸ τῶν ἰδίων, ὀφείλει πρότερον ἱκανωθῆναι ἀπὸ τῶν λεγάτων ἐξ ὁλοκλήρου ἡ τῆς προικὸς μετ' ἀληθείας λοιπὰς καὶ εἰθ' οὕτω τοὺς λεγαταρίους λαμβάνειν, εἰ γὰρ καὶ οὐδέν τι τῶν λεγατευθέντων διὰ τὴν τοιαύτην λοιπάδα περιττεύσει, οὐδὲν οὐδόλως οἱ λεγατάριοι λήψονται, χρέος γάρ ἐστιν ἀπαραίτητον ἡ προτιμήσις τῆς προικός. ἐπὶ τούτῳ γὰρ ἀπολέλυται εἰς ἀσφάλειαν καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε τὸ· μηνὶ νοεμβρίῳ ἰνδ. β' †.

III. † Ἡ ἀπὸ τῆς θεοσώστου πόλεως Θεσσαλονίκης τιμιωτάτη ἐν μοναχαῖς κυρὰ Ἐλαιοδῶρα ἡ Σαραντηνὴ ἡ Τζυμυπίνισσα ἐκίνησεν ἐπὶ τῆς ἡμῶν μετριότητος, ὡς ἡ αὐταδέλφη αὐτῆς, δούκαινα κυρὰ Ἄννα Σαραντηνὴ ἡ Ἰντανίνα, συνεζύγη ἀνδρὶ κατὰ νόμους εἰς πρῶτον συνοικέσιον .... ἀφ' οὗ καὶ τρία παιδία γεγέννηκε, τὰ μὲν δύο ἄρρενα, τὸ δὲ ἕτερον θῆλυ· ἐκείνου δὲ τὸν βίον ἀπολίποντος ἦν αὕτη χηρεύουσα ἐπὶ χρόνους. εἶτα ἐπένευσεν εἰς δεύτερον συνοικέσιον τῷ Δευλιτζηνῷ συζευχθῆναι, οἷα δὲ μήτηρ ἡ τοιαύτη Τζυμυπίνισσα διατιθεμένη ὑπὲρ ἐκείνης συνεκρότησεν ἀπὸ τῶν ἰδίων καὶ εἰς τὸ ποσὸν τῆς προικὸς, δέδωκε δὲ καὶ ἐξώπροικα ἀνήκοντα ἐκείνῃ διατετιμημένα ὑπερπύρων λιτρῶν δύο. παὶ τῆσδε τῆς Σαραντηνῆς ἐπὶ καιρὸν τῷ Δευλιτζηνῷ συνοικησάσης καὶ ἄπαιδος τὴν ζωὴν ἐκμετρησάσης κατέσχεν οὗτος τήν τε προῖκα καὶ τὰ ἐξώπροικα, ἀλλὰ δὴ καὶ τὴν ἀνήκουσαν ἐκείνῃ βιωτικὴν ὕλην διά τε χαλκωμάτων καὶ ἑτέρων διαφόρων εἰδῶν, καὶ ἔστιν χρώμενος δυναστείᾳ πρὸς τὴν τούτων ἀπόδοσιν, καὶ ταῦτα τῶν ἀπὸ τοῦ πρώτου γάμου παίδων ἐκείνης ἐνδεῶς καὶ ἀπόρως ἐχόντων, οὗ χάριν καὶ ἐδέησε τῇ δηλωθείσῃ μοναχῇ Τζυμυπινίσσῃ διαγνώσεως τῆς ἡμῶν μετριότητος. οὕτως οὖν ἐχούσης τῆς ὑποθέσεως διέγνωσται συνοδικῶς τῇ ἡμῶν μετριότητι, ἀποδοθῆναι μὲν τοῖς τοιούτοις παισὶ πάντα τὰ διαφέροντα προικῷα τῆς μητρὸς πράγματα,

ὡσαύτως καὶ τὰ διατετιμημένα ἐξώπροικα τῶν εἰρημένων δύο λιτρῶν, ἔτι τε καὶ τὴν διαφέρουσαν τῇ μητρὶ πᾶσαν βιωτικὴν ὕλην, ἥτις διεκομίσθη εἰς τὸ ὁσπήτιον τοῦ αὐτοῦ Δευλιτζηνοῦ, καὶ εὑρίσκεται ἐκεῖ, ὡς ἡ Τζυμυπί(νισσα) διισχυρίζεται. εἰ μὲν οὖν ἔφθασεν ἐκείνη καὶ ἐξέθετο διαθήκην ἐχόμενα τῆς τῶν φιλευσεβῶν νόμων διαταγῆς, λέγομεν, ἵνα ἔχῃ τὸ στέργον· εἰ δ' οὖν, λάβῃ τὴν προσήκουσαν διόρθωσιν κατ' αὐτοὺς δὴ τοὺς νόμους, περὶ μέντοι τῶν εἰσοδημάτων τῶν ἀπὸ τῶν κτημάτων τῆς Σαραντηνῆς, ὧν εὗρε ὁ Δευλιτζηνὸς ἀποκειμένων ἐν τῷ ὁσπητίῳ ἐκείνης, διεγνώσθη, ἵνα, ὅσα μὲν ἀπὸ τούτων ἔφθασαν καὶ ἐκαινοτομήθησαν, ἐν τῷ τοιούτῳ ὁσπητίῳ συνόντων καὶ τῶν ῥηθέντων παίδων, ὥσιν ἀκαταζήτητα, ὅσα δὲ ἐναπέμειναν, ἀλλὰ δὴ καὶ ὅσος πόρος κατεβλήθη ἐξ αὐτῶν εἰς γεωργίαν, ἀντιστραφῶσι τοῖς παισὶν, ὡς μόνης τῆς γεωργίας διαφερούσης τῷ Δευλιτζηνῷ διὰ τὰ βάρη τοῦ γάμου. ταῦτα μὲν οὕτω διεκρίθη κατὰ τὴν τῆς Τζυμυπινίσσης ἀναφοράν. εἰ δὲ μὴ οὕτως ἔχει, ὀφείλει γενέσθαι τοπικῶς καὶ ἀκριβὴς ἐξέτασις περὶ τῶν τοιούτων, καὶ ἀποκαταστῆναι τὸ μετ' ἀληθείας ἀναφανησόμενον δίκαιον. εἰς μὲν τὴν περὶ τούτου ἀσφάλειαν καὶ τὸ παρὸν συνοδικὸν ψήφισμα τῆς ἡμῶν μετριότητος ἐξενήνεκται †.

† Εἶχε τὸ· μηνὶ δεκεμβρίῳ ἰνδ. β' †.

CXXVII. (6857—1348) decembri ind. II.

Isidorus monet metropolitam Bizyes, ut se suspicione liberet.

† Ἱερώτατε μητροπολῖτα Βιζύης, ὑπέρτιμε, ἀγαπητὲ κατὰ κύριον ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. οἶδεν ἡ ἱερότης σου τὴν ἀπὸ τῆς ἡμῶν μετριότητος ὑπὲρ αὐτῆς πνευματικὴν στοργὴν καὶ διάθεσιν, καὶ ὅπως βούλεται καὶ ἀποδέχεται τὴν σὴν σύστασιν καὶ ὠφέλειαν. ἔγραψε μὲν οὖν καὶ ἐδηλοποίησεν αὐτῇ πρὸ ὀλίγου μετὰ τοῦ τιμιωτάτου καθηγουμένου τῆς σεβασμίας μονῆς τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου καὶ μετὰ τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ Νικολάου τοῦ Μονεμβασιώτου, καὶ ἔδειξας δι' αὐτῶν, ὅτι στέργεις καὶ ἐμμένεις, εἰς ὅσον ἔταξας ἐπὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος· ἀρτίως δὲ ἀνηνέχθη τῇ ἡμῶν μετριότητι, ὅτι λέγονται παρὰ σοῦ τινα ἐναντία καὶ ἀνένδεκτα, καθὼς οἱ ἀνενεγκόντες ἰσχυρῶς καὶ βεβαίως ἀνήνεγκαν, καὶ ἐν θαύματι μὲν ἐποιήσατο τὰ

περὶ τούτου ἡ μετριότης ἡμῶν, οὐ μὴν δὲ καὶ τελέως παρεδέξατο διὰ τοῦτο καὶ παραδηλοῖ τῇ ἱερότητί σου ἡ μετριότης ἡμῶν, ἵνα ἐκτελέσῃς τὴν θείαν μυσταγωγίαν διὰ λειτουργίας ἐν τῇ σῇ ἐκκλησίᾳ, καὶ λύσῃς πᾶσαν ὑποψίαν· εἰ δ' ἴσως προβάλλῃ τὸν καιρὸν χειμέριον, ἐπιτρέπει σοι ἡ μετριότης ἡμῶν, ἵνα χρήσῃ τῷ προσήκοντι σκεπάσματι ἐπὶ τῆς κεφαλῆς. ἵνα οὖν λύσῃς τὴν τοιαύτην ὑποψίαν, παραδηλοῖ τῇ ἱερότητί σοῦ ἡ μετριότης ἡμῶν, ἵνα ἱερουργήσῃς ἔμπροσθεν τοῦ ἀποσταλέντος ἐπὶ τούτῳ ἐντιμοτάτου ἐπὶ τοῦ σεκρέτου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, τοῦ Περδίκη· εἰ δ' οὖν, κατάλαβε εἰς τὴν καθ' ἡμᾶς θείαν καὶ ἱερὰν σύνοδον, ἵνα γένηται, ὅσον ἂν δόξειεν ἐντεῦθεν κατὰ τὴν κανονικὴν παρατήρησιν †.

† Εἶχε τὸ· μηνὶ δεκεμβρίῳ ἰνδ. β' †.

CXXVIII. (6857—1348) decembri ind. II.

Isidorus Georgium Perdicam mittit ad metropolitam Bizyes.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος ἐπιτρέπει καὶ ἀνατίθησί σοι, τῷ ἐντιμοτάτῳ ἐπὶ τοῦ σεκρέτου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, κῦρ Γεωργίῳ τῷ Περδίκῃ, ἵνα, εἰ μὲν, καθὼς ἔγραψε καὶ παρεδήλωσεν ἡ μετριότης ἡμῶν πρὸς τὸν ἱερώτατον μητροπολίτην Βιζύης, ὑπέρτιμον, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν αὐτῆς καὶ συλλειτουργὸν, ἐκτελέσει ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ ἔμπροσθέν σου τὴν θείαν λειτουργίαν, καὶ τὸν τρόπον τοῦτον λύσει πᾶσαν τὴν περὶ αὐτοῦ ὑποψίαν, εὖ ἂν καὶ καλῶς ἔχοι· εἰ δ' οὖν, ἐπεὶ μέλλει οὗτος ἐλεύσεσθαι εἰς τὴν καθ' ἡμᾶς θείαν καὶ ἱερὰν σύνοδον ἐπὶ τῷ γενέσθαι τὴν ἐν τοῖς τοιούτοις ὡρισμένην κανονικὴν παρατήρησιν, κρατήσῃς πάντα, ὅσα εὑρίσκονται τῆς ἐκκλησίας, καὶ καταγράψῃς ταῦτα ἐν λεπτομερεῖ καὶ λελογισμένῳ καταστίχῳ ἐπὶ τῷ φυλάττεσθαι ἀκέραια καὶ ἀκαινοτόμητα, καὶ ἐπιφερόμενος καὶ τὸ τοιοῦτον κατάστιχον ἔλθῃς ἐνταῦθα ὁμοῦ μετὰ τοῦ αὐτοῦ Βιζύης, καὶ ποίησον ἀμεταθέτως, καθὼς σοι παρακελεύεται ἡ μετριότης ἡμῶν †.

† Εἶχε τὸ· μηνὶ δεκεμβρίῳ ἰνδ. β' †.

CXXIX. Sine anno.

Isidorus tollit excommunicationes pronunciatas ab Ioanne Calecta.

† Τοῦ αὐτοῦ παναγιωτάτου πατριάρχου συγχώρησις ἔγγραφος τοῦ κατὰ τὸν καιρὸν τῆς συγχύσεως ἐκφωνηθέντος ἀφορισμοῦ παρὰ τοῦ χρηματίσαντος πατριάρχου τοῦ Καλέκα †.

† Ἀγαθὸς ὁ θεὸς καὶ ἀγαθοῦ παντὸς χορηγὸς καὶ πάσης εἰρήνης καὶ τάξεως καὶ ὁμονοίας ἀρχή, καὶ δεῖ τοὺς αὐτοῦ θεράποντας πρὸς αὐτὸν ἀφορῶντας ἀεὶ καὶ τῆς κοινῆς εἰρήνης καὶ καταστάσεως ἐπιμελομένους πολλῇ διηνεκῶς χρῆσθαι τῇ προσοχῇ καὶ φροντίδι καὶ φυλακῇ, μάλιστα μὲν μηδόλως ἐᾶν τὰ τοῦ πονηροῦ σκάνδαλα ἐμπίπτειν εἰς τὴν κληρονομίαν αὐτοῦ καὶ πολλὴν ταῖς ἀνθρωπίναις ψυχαῖς τὴν σύγχυσιν ἐνεργάζεσθαι καὶ διαφθοράν, ἐμπεσόντα δὲ ὅμως κακοβουλίᾳ τοῦ πονηροῦ σπουδῇ πάσῃ διαλύειν καὶ ἀνακαθαίρειν καὶ ἐκ μέσου ταῦτα ποιεῖν καὶ τῆς ἐντεῦθεν βλάβης τὰς τῶν ὑποδεξαμένων ἀπαλλάττειν ψυχάς, τὴν πολλὴν τοῦ θεοῦ ἀγαθότητα καὶ φιλανθρωπίαν μιμουμένους· τούτῳ καὶ ἡμεῖς τῷ θείῳ θελήματι πειθαρχοῦντες, ἐπεὶ διὰ τὰς ἁμαρτίας ἡμῶν παραχωρήσαντος τοῦ θεοῦ φθόνῳ τοῦ κοινοῦ πολεμίου σκάνδαλά τε εἰς τὴν βασιλείαν συνέβησαν οὐκ ὀλίγα, καὶ στάσις ἐμφύλιος γέγονεν ἐν ἡμῖν, κἀντεῦθεν ἄλλα τε μυρία καὶ παντοδαπὰ παρηκολούθησε δεινά, καὶ δῆτα καὶ ἀφορισμοὶ διάφοροι προέβησαν ἐπὶ τούτοις, τῇ οἰκείᾳ δὲ πάλιν φιλανθρωπίᾳ χρησάμενος ὁ εἰρηνάρχης θεὸς ἐπεσκέψατο τὴν κληρονομίαν αὐτοῦ, καὶ διέλυσε μὲν τοὺς ἐμφυλίους ἐκείνους πολέμους, ἤνωσε δὲ τὰ διεστῶτα, καὶ εἰρήνην τῇ τε ἐκκλησίᾳ καὶ τῇ βασιλείᾳ νῦν ἐπεβράβευσε, χαριστηρίους καὶ ἡμεῖς ἐπὶ τούτοις ὕμνους προσάγοντες καὶ δόξαν ἀναπέμποντες τῷ ἐν ὑψίστοις θεῷ διὰ τὴν ἐπὶ γῆς ἀρτίως ὑπ' αὐτοῦ βραβευθεῖσαν εἰρήνην, φιλανθρώπως ταύτην ἐν ἡμῖν εὐδοκήσαντος τῇ διαλύσει τῶν τοιούτων σκανδάλων καὶ τῆς ἐμφυλίου στάσεως ταύτης, συνδιαλύοντες καὶ ἡμεῖς τούς τε ἐπὶ τούτοις ὁπωσδήποτε προβάντας ἀφορισμούς, τάς τε ἐπιορικίας κατὰ τὴν ὑπὸ τοῦ κυρίου δεδομένην ἡμῖν πνευματικὴν ἐξουσίαν, εἰπόντος· „ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται, καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα καὶ ἐν

τῷ οὐρανῷ, καὶ ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ ἐν τῷ οὐρανῷ". συγχωροῦμεν συνοδικῶς καὶ ἀφέσεως παντελοῦς ἀξιοῦμεν, ὅσα προγεγόνασιν ἐπὶ βλάβῃ τῆς ψυχῆς διά τε τῶν ἐπιορκιῶν καὶ ἀφορισμῶν, καὶ δεσμοῦ παντὸς ἀπολύομεν ἅπαντας, ὅσοι τε ἔτι τοῖς ζῶσι συγκαταλέγονται καὶ ὅσοι τετελευτήκασιν, ὡς μηδένα τῶν ἁπάντων τῶν ἐντεῦθεν ὅλως ἐνέχεσθαι κατακρίματι, ἀλλ' εἶναι καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι πάντας ἀνωτέρους τούτων, εἴτε ἐγγράφως, εἴτε ἀγράφως γεγόνασι, καὶ μηδενὶ μηδόλως ἐμποδὼν πρὸς τὴν σωτηρίαν γενέσθαι, ἀλλὰ πάντας ἀκαταισχύντους παραστῆναι τῷ φοβερῷ, εὐδιαλλάκτῳ καὶ φιλανθρώπῳ κριτῇ καὶ τῶν παρ' αὐτῷ ἀπολαῦσαι ἀφθάρτων καὶ ἀκηράτων καὶ αἰωνίων ἀγαθῶν. ναί, θεὲ πατέρων καὶ κύριε τοῦ ἐλέους, ἐπικάμφθητι συνήθως καὶ φιλανθρώπως, καὶ παράσχου δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου λύσιν τῶν ζητουμένων, καὶ δὸς παντελῆ λύτρωσίν τε καὶ ἄφεσιν τοῖς καθ' οἱονδήτινα τρόπον περιπεσοῦσιν ἐκείνοις καὶ περιοῦσι καὶ τελευτήσασι, βαθεῖαν καὶ τοῦ λοιποῦ τὴν σὴν εἰρήνην καὶ παντοδαπῶν ἀγαθῶν ἄφθονον χορηγίαν τῇ τε ἐκκλησίᾳ καὶ τῇ βασιλείᾳ καὶ παντὶ τῷ λαῷ σου δωρούμενος πρεσβείαις τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν ἀύλων καὶ ἀσωμάτων λειτουργῶν, τοῦ τιμίου καὶ ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων πανευφήμων ἀποστόλων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν καὶ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων ἁγίων σοί, τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

CXXX. (6858—1350) februario ind. III.

Isidori testamentum.

† Διαθήκη τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κῦρ Ἰσιδώρου.

† Βούλομαι, εἰ συμβαίη μοι ἀποθανεῖν, πολυημέρῳ ἤδη κατεργασθέντι νοσήματι, μικρόν τι μνημεῖον τοῦ καιροῦ κατεπείγοντος ἀφεῖναι τῷ βίῳ περὶ τῶν ἐμαυτοῦ καὶ βραχύ τι διαχαράξαι γράμμα, τὴν ἐμὴν, περὶ ὧν ἐρῶ, διασαφοῦν βούλησιν. ἐμοὶ τοίνυν Θεσσαλονίκη πατρὶς καὶ τροφὸς, ἐν ταύτῃ καὶ λόγους μετέσχον καὶ τοῖς βουλομένοις μετέδωκα, καὶ πολλοί μοι τοῦ βίου καὶ τῆς διαγωγῆς ἐκείνης

μάρτυρες, ὅπως ὑπὸ θεῷ βλέποντι τὸν τῆς συνειδήσεως ἐκφεύγειν ἔλεγχον ἐπειρώμην, ἀεὶ ἐμαυτῷ τε τὸν τοῦ θεοῦ φόβον προστησάμενος φύλακα, καὶ πᾶσιν, οἷς οἰκείως εἶχον, τὰ τοῦ θεοῦ διαμαρτυρόμενος κρίματα, καὶ πείθων ἐμαυτόν τε κἀκείνους, θεὸν ἔφορον εἶναι τῶν τε πεπραγμένων, τῶν τε μελετωμένων καὶ κριτὴν ἀδέκαστον, βασιλείαν μὲν οὐρανῶν τοῖς εὖ καὶ καλῶς πολιτευσαμένοις ἑτοιμασάμενον, τοῖς δ' ἐναντίως τὴν ἑαυτοῦ ἀλλοτρίωσιν ἀπειλήσαντα. τούτοις τοῖς λόγοις τὸν ἐμαυτοῦ βίον παράδειγμα προτιθεὶς πολλοὺς τῶν τοῦ διαβόλου παγίδων ἐξεῖλον τῇ χάριτι τοῦ Χριστοῦ, καὶ πολλοὶ τὴν εἰς οὐρανὸν φέρουσαν ἔδραμον ἀμεταστρεπτί, καὶ ταῦτα νέοι καὶ πολλῷ πλούτῳ καὶ δόξῃ περίβλεπτοι. ἐπεὶ δὲ εἰς μοναχοὺς ἐτέλεσα, τὸν ἐλαφρότατον τοῦ κυρίου βαστάξας ζυγόν, ἀπῆρα μὲν τῆς Θεσσαλονίκης, τὸ δὲ διδασκαλεῖον τῶν μοναχῶν, τὸ τῆς ἀρετῆς ἐργαστήριον, τὸν ἁγιώτατον Ἄθω καταλαμβάνω, τῇ τοῦ θανάτου μελέτῃ ἐκδοὺς ἐμαυτὸν, καὶ ἴσασι τὴν ἐμὴν πολιτείαν οἱ οὐρανομήκεις ἐκεῖνοι, παρ' οἷς ἐφοίτησα καὶ τὰ μοναχῶν ἐτελέσθην, ὡς οὐδ' ἑνὸς τῶν ἐπὶ γῆς ἀγαθῶν ἐπεθύμησα, οὐ δόξης ἔρως τὴν ἐμὴν ψυχὴν εἶλεν, οὐ χρημάτων ἐπιθυμία, ἀλλὰ πτωχεία μὲν ἐμοὶ διηνεκὴς ἐπιμέλεια καὶ πλοῦτος τὸ μηδὲν ἔχειν, τῆξις δὲ σαρκὸς ἡ σπουδὴ καὶ τὸ πρὸς θεὸν νεύειν δι' ἡσυχίας ὁ βίος ἅπας ἐμοί. ἀλλ' ὅπερ εἶπον, εἶχε μὲν ἐμὲ τὸ Ἅγιον Ὄρος, ἄφνω δὲ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ πόλεμος ἐρράγη βαρύτατος· ἴσασι πάντες τὴν ἀθεωτάτην τοῦ Καλαβροῦ Βαρλαὰμ αἵρεσιν, ἣν ἐκεῖνος μὲν ἐγέννησεν, Ἀκίνδυνος δὲ ἐθρέψατο, κατὰ τοῦ ζῶντος θεοῦ δεινότατα καὶ βουλευσάμενος καὶ διαπραξάμενος· καλεῖται δὴ ὁ ἱερώτατος Θεσσαλονίκης παρὰ τοῦ τότε πατριαρχεύοντος τὴν μεγάλην πόλιν ταύτην καταλαβεῖν καὶ τῷ Βαρλαὰμ προσβαλεῖν καὶ εἰς λόγους ἐλθεῖν ἐκείνῳ, περὶ ὧν καινοτομῶν ἦν καὶ κατὰ τῆς ἀληθείας μαινόμενος, τῷ δὴ τοιούτῳ ἱερωτάτῳ Θεσσαλονίκης προμάχῳ τῆς εὐσεβείας καταστάντι παρὰ θεοῦ σύμμαχον καὶ αὐτὸς ἐμαυτὸν παρέσχον καὶ κοινῇ μετ' αὐτοῦ τε καὶ τῆς συνοδίας τῶν ἐμῶν ἀδελφῶν τῶν τε τῆς ὁδοιπορίας καμάτων ἠνεσχόμεθα καὶ κατὰ τὴν πόλιν γενόμενοι τόν τε ἀγῶνα τῆς δίκης διηγωνίσμεθα καὶ τὴν νικῶσαν ἐλάβομεν, θεοῦ ταύτην βραβεύοντος ἄνωθεν καὶ βασιλέων δυοῖν καὶ τοῦ τότε πατριαρχοῦντος καὶ παντὸς τοῦ ἱεροῦ ἐκείνου πληρώματος. τῆς δὲ Μονεμβασίας γνησίου ποιμένος ἐστερημένης αἱ μὲν ψῆφοι τῆς ἱερᾶς

συνόδου βλέπουσιν εἰς ἐμὲ, ἐγὼ δὲ ἀναβαλλόμενος ἦν τὸ πρᾶγμα, τέλος εἶξα τῇ θείᾳ ψήφῳ, καὶ ὑποψήφιος κατέστην Μονεμβασίας, πρὸς τὴν χειροτονίαν ἀφορῶν ἤδη· τοῦ δὲ θειοτάτου βασιλέως ἐξ ἀνθρώπων γεγονότος καὶ πρὸς τὸν ἀληθῆ βασιλέα μεταβεβηκότος Χριστὸν, ὁ τῆς ἐμφυλίου ταραχῆς ἀναρριπίζεται πόλεμος, καὶ διώκεται μὲν ὁ καὶ πρὸ τῆς πορφύρας καὶ τῶν στεφάνων καὶ τῆς ἀναρρήσεως τῇ σοφίᾳ καὶ συνέσει καὶ πραότητι καὶ ἀνδρείᾳ μόνος ἀξιώτατος βασιλεὺς . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . ἐμὲ δὲ τοῦ τε θρόνου . . . . . .

καὶ τῆς ἱερωσύνης ἐκβάλλει τό γε εἰς αὐτὸν ἦκον . . . . . .

. . . . . ἐπεὶ δὲ ὁ ποιῶν τὰ πάντα καὶ μετασκευάζων θεὸς εὐμενὴς καὶ πρὸς ἡμᾶς εἶδε, καὶ διέλυσε μὲν τὸ τῆς συγχύσεως νέφος, ἀνεισήγαγε δὲ τὴν τῆς εἰρήνης αἰθρίαν, τῆς μὲν καλῆς καὶ μεγάλης πόλεως ταύτης ἐγκρατὴς ὁ θειότατος γίνεται βασιλεὺς, παρρησιάζεται δὲ ἡ εὐσέβεια, καθαρώτερον καὶ πρότερον ὑπολάμπουσα, καὶ τῶν μὲν ἱερῶν θρόνων ὁ καινοτόμος πατριάρχης τελέως ἐκβάλλεται, ὁ καὶ πρότερον παρὰ τῶν οἰκείων ὑπασπιστῶν καὶ συμμάχων ἐκβεβλημένος, ζητεῖται δὲ ὁ τὸν οἰκουμενικὸν τοῦτον θρόνον κοσμήσων, καὶ παρακληθεὶς αὐτὸς ὑπήκουσα, οὐ πρότερον ἐπιθυμήσας, οὐ παρακλήτους πείσας, οὐκ ἀρχόντων δεηθεὶς, οὐ βασιλέα, οὐκ ἀρχιερέας κολακεύσας, οὐδὲν, οὐ μέγα, οὐ μικρὸν περὶ τούτου πραγματευσάμενος, εἶδεν ὁ πάντα εἰδώς. ἀλλ' οὐδ' ἂν τὴν ἀρχὴν πρὸς τὸν ἀγῶνα κατέβην, τό τε τοῦ θρόνου μέγεθος εὖ εἰδὼς καὶ τὸ ἐνδεὲς ἐμαυτοῦ καὶ ἅμα οὐκ ἀγνοῶν, ὡς πόρρῳ τῆς ἐξ ἀρχῆς προθυμίας ἡ τοιαύτη διακονία καὶ πρὸς ἡσυχίαν ὁ πατριαρχικὸς θρόνος ἐργῶδες καὶ ἥκιστα ψυχῇ πρὸς θεὸν δι' ἡσυχίαν νευούσῃ συμβαίνων, ἀλλὰ τὸν μέγαν τοῦτον καὶ πνευματικὸν εἰσῆλθον ἀγῶνα τῇ μητρὶ τοῦ κυρίου πειθόμενος, μυστικῶς ἐπιστάσῃ καὶ πρὸς τὸν θρόνον ἀλειφάσῃ τὸν ὑψηλὸν καὶ μὴ ἂν ἄλλως ἔχειν τὸ πρᾶγμα διισχυρισαμένῃ. χρόνου δὲ μηνῶν παρερρυηκότων ἓξ μετὰ τὴν μυστικὴν θέαν ἐκείνην πειθόμενον ἐμαυτὸν παρέσχον, οἷς ὁ θειότατος βασιλεὺς καὶ ἡ τῶν ἱεραρχῶν ὁμήγυρις ἐψηφίσατο. καὶ ὑποδὺς τὸν ἀγῶνα τῆς ἱερᾶς ταύτης οἰκονομίας οὐ πρὸς χρημάτων συλλογὴν εἶδον, οὐ τρυφῇ ἐξέδωκα ἐμαυτὸν, οὐ πρὸς τὸ μέγεθος ἀπι-

δὼν τοῦ θρόνου ὑπερηφάνοις ὀφθαλμοῖς πρὸς τοὺς ἄλλους ἑώρων, οὐκ ἐκαπήλευσα τὴν ἱερωσύνην, οὐχ ὑπερεῖδον ἀδικουμένων, οὐ διέλιπον καὶ βασιλέα φιλάνθρωπον ὄντα πρὸς τὸ φιλανθρωπότερον ἐκκαλούμενος καὶ πάσας ὑποδεικνὺς τὰς πρὸς σωτηρίαν ὁδοὺς, τοῖς τὰ Ἀκινδύνου ἐσχάτως νοσοῦσι διετέλουν ἀεὶ πολεμῶν, καὶ ὑπ' ἐκείνων βαλλόμενος φανερῶς τε καὶ ἀφανῶς, οἰκονομίᾳ δὲ ὑπὲρ ἐκείνων κατὰ καιρὸν χρώμενος καὶ τὸ καλὸν τῆς μετανοίας προτείνων φάρμακον ὕβρεσιν ὑπ' αὐτῶν ἐπλυνόμην, ὡς ἐν βραχεῖ φάναι, τὸν ὀλίγον τῆς οἰκονομίας ταύτης καιρὸν ἱδρώτων καὶ πόνων, οὐ ῥᾳστώνης ἐποιησάμην. ἐπεὶ δὲ γεγόνασι τῇ ἁγιωτάτῃ τοῦ θεοῦ ἐκκλησίᾳ καὶ διάφοροι τόμοι ἐπ' ἀναιρέσει μὲν τῆς ἀθεωτάτης τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου αἱρέσεως, τὰ δὲ τῆς ὑγιοῦς κρατύνοντες πίστεως, βούλομαι καὶ περὶ τούτων ὡς ἔχω γνώμης διὰ βραχέων εἰπεῖν· τὸν ἐκτεθέντα συνοδικὸν τόμον κατὰ τῶν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δογμάτων κατὰ πρώτην καὶ δευτέραν κρίσιν, ὧν ἡ μὲν ἔξαρχον εἶχε τὸν ἀοίδιμον ἐν βασιλεῦσι καὶ μακαρίτην κῦρ Ἀνδρόνικον τὸν Παλαιολόγον, τῆς δευτέρας ἐξῆρχεν ὁ νυνὶ τὴν βασιλείαν Ῥωμαίων κοσμῶν, παρόντος καὶ τοῦ τότε πατριαρχοῦντος καὶ τῆς ἄλλης συνόδου, τοῦτον τὸν τόμον τίθεμαι, καὶ βέβαιον καὶ ἀρραγῆ εἶναι διακελεύομαι, καὶ κατὰ τῶν μὴ, ὡς ἐκεῖνος ἔχει, φρονούντων τὴν ἐπιτιμίαν τὴν ἐν ἐκείνῳ τῷ τόμῳ διειλημμένην ἐπανατείνομαι, τὸν ἕτερον τόμον γεγονότα καὶ τοῦτον συνοδικῇ διαγνώσει ψηφιζομένης καὶ τῆς εὐσεβεστάτης δεσποίνης κυρᾶς Ἄννης τῆς Παλαιολογίνης ..... ἐπ' ἀναιρέσει δὲ τῶν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δογμάτων .....

.....

καὶ τοῦτον βέβαιον εἶναι ἡγούμενος καὶ ῥῆξιν μηδεμίαν ὑποστῆναι καὶ τοῖς ἐναντιουμένοις ἐκείνῳ τὴν τοῦ θεοῦ ἀγανάκτησιν ἐπισείω. εἶδεν ὁ λογισμοὺς καὶ καρδίας ἐτάζων θεὸς, ὡς πολλάκις ὑπὲρ τῶν καθαιρεθέντων ἀρχιερέων ἐπ' ἐμοῦ καὶ δάκρυον συμπαθείας ἀφῆκα, καὶ τὴν ψυχὴν οὐ μετρίως ἤλγησα ὑπὸ τῆς ἐκείνων διὰ τέλους ἐνστάσεως, καὶ τοῦ θείου δικαίου ἀναγκασθεὶς τῇ καθαιρέσει τῶν τοιούτων ἐπιψηφίσασθαι ἅπαξ προελόμενος μηδενὶ πικρίας αἴτιος καταστῆναι, ὅτι μὴ πᾶσα ἀνάγκη καὶ ὅτι τὴν ἐκείνων μετάνοιαν ἐκδεχόμενος ἡμέραν ἐξ ἡμέρας διετέλουν ἀναβαλλόμενος, πολλὰ καὶ δεινὰ καὶ παρὰ τῶν οἰκειοτάτων ἀκούσας, ὡς ὑπερτιθέμενος τὴν καθαίρεσιν· ἐπεὶ δὲ καιρὸς

ὥσπερ ἐστὶν τοῦ ῥάψαι κατὰ τὸν Σολομῶντα, οὕτω δὴ καὶ τοῦ σχίσαι, καὶ τόμος ἐξετέθη τῇ θείᾳ συνόδῳ τῆς ἱερωσύνης ἐκείνους ἀπορρηγνὺς, ὡς δὴ καὶ αὐτὸς συνεῖπον, ὑπογραφαῖς οἰκείαις τοῦτον ἀσφαλισάμενος, καὶ πάλιν διὰ τοῦ παρόντος λόγου τὸ βέβαιον ἐκείνῳ χαρίζομαι· κανὼν ἐποιήθη μοι, ὕμνον ἔχων τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος καὶ ἅμα ἀπορραπίζων καὶ τὴν τοῦ θεοῦ ἀρτίως ἐκκλησίαν αἵρεσιν θορυβοῦσαν, τοῖς ἐκεῖ γεγραμμένοις ἐμμένω, καὶ κατὰ τῶν ἐπιβουλευόντων τῷ γράμματι τοὺς τῆς ἐκκλησίας θεολόγους συμμάχους καλῶ, οὓς καὶ περιέστησα κύκλῳ τῶν ἱερωτάτων μελῶν. τὴν προσθήκην, ἥτις προσετέθη τῇ ἱερωτάτῃ τῶν ἀρχιερέων ὁμολογίᾳ, (τοῦτο δὲ ἔθος τῇ ἐκκλησίᾳ ἐστὶν ἄνωθεν εἰς ἡμᾶς κατιὸν κατὰ τῶν ἀναφυομένων τῇ ἐκκλησίᾳ σκανδάλων), ἥτις οὐδὲ προσθήκη δικαίως ἂν καλοῖτο, ἀλλ' ἀνάπτυξις καὶ διασάφησις τῶν ἀνωτέρω γεγραμμένων, ταύτην τὸ ἀρραγὲς καὶ ἀμεταποίητον ἔχειν βούλομαι, οὐ μικρὰ καὶ αὐτὴν δυναμένην εἰς τὸν ὑπὲρ τῆς ἀληθείας ἀγῶνα· πᾶσι τοῖς τὸν Χριστὸν ὀρθοδόξως προσκυνοῦσι βραχεῖαν ταύτην ὑποθήκην διαχαράττω, φεύγειν πάσῃ σπουδῇ τὴν ἀθεωτάτην Βαρλαὰμ καὶ Ἀκινδύνου καινοτομίαν καὶ τὴν τὰ ἐκείνων φρονούντων κοινωνίαν, δαιμόνων κοινωνίας μηδὲν διαφέρειν νομίζειν, πολλῶν μὲν κακῶν αἰτίων γενομένων τῇ τοῦ θεοῦ ἐκκλησίᾳ καὶ πολλοῖς ἀτόποις περιπιπτόντων, μάλιστα δὲ τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον γυμνῇ τῇ κεφαλῇ ἀθετούντων καὶ μηδὲν εἶναι ταύτην ποιούντων, τό γε ἐπ' αὐτοῖς ἦκον. τοῖς κρατίστοις μου καὶ ἁγίοις αὐτοκράτορσι εὔχομαι παρὰ θεοῦ πάντα ἀγαθὰ, τὸ μὲν σκάφος τῆς παρούσης βασιλείας μετὰ τοῦ θεοῦ κυβερνᾶν, ὥστε ἄγειν μὲν τοὺς ἄλλους, ἄγεσθαι δὲ αὐτοὺς ὑπὸ τοῦ θεοῦ, κατὰ δὲ τῶν ἐπιφυομένων αὐτοῖς ἐχθρῶν τὴν κραταιὰν καὶ ὑψηλὴν τοῦ θεοῦ χεῖρα δάκρυσι πολλοῖς ἐκκαλοῦμαι, ὅτι τὴν τοῦ Χριστοῦ κληρονομίαν διὰ σπουδῆς ποιοῦνται εἰς ᾅδου πέταυρον ἀγαγεῖν, καὶ παρακαλῶ καὶ προτρέπω καὶ τούτους καὶ τοὺς τούτων παῖδας ζῆλον ὑπὲρ τῆς εὐσεβείας τρέφειν νεανικὸν καὶ βασιλικαῖς ψυχαῖς πρέποντα, ὡς ἔστιν οὐ λόγον σῶζον, τοῖς μὲν ἄλλοις τοὺς πάντας νικᾶν ἀξιοῦν, ἐν δὲ τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσι, ἢ κοσμεῖ τούτους πολλῷ πλέον τοῦ διαδήματος, ἡττωμένους ἑνίων δοκεῖν, τῷ δὲ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι τῷ Καντακουζηνῷ ἰδίως τάδε διαχαράττω τὰ γράμματα· ἴστω δή, σαφῶς ἴστω, ὡς οὐδενὶ τῶν ἀγαθῶν ἄμοιρον ἀφῆκεν αὐτὸν ὁ θεὸς,

ὅσα βασιλέα τέλειον κοσμεῖν οἶδεν, φρονήσει τε γὰρ αὐτὸν ὑπὲρ τοὺς ἀνθρώπους τοὺς ἐπὶ τῆς ἡμετέρας κατεκόσμησε γενεᾶς, καὶ συνέσεως καὶ ἐμπειρίας καὶ τῆς ἄλλης στρατιωτικῆς ἐπιστήμης ταμεῖον τὴν ἑαυτοῦ ψυχὴν ἔδειξεν, δογμάτων θείων κριτὴν καὶ ἀγωνιστὴν αὐτὸν ἀπειργάσατο, πολλοῖς δεινοῖς ὁμιλήσαντι καὶ παρὰ πολλῶν ἐπιβουλευθέντι τέλος χεῖρα ὀρέγει κειμένῳ τούτῳ, καὶ βασιλέα χριστιανῶν ἀναδείκνυσι παραδόξως. τούτων πάντων τῶν πλεονεκτημάτων ἀπαιτηθήσεται τοὺς καρποὺς ἐν τῇ κοινῇ τοῦ γένους ὁμολογίᾳ παρὰ τοῦ βασιλεύσαντος αὐτὸν θεοῦ. διαναστήτω τοίνυν ὑπὲρ τῆς εὐσεβείας, διαθερμανθήτω τὴν ψυχήν, εἰπάτω καὶ αὐτός· „ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.“ ὁ αὐτὸς ἔστω καὶ τὸν ὑπὲρ εὐσεβείας ἐπέχων λόγον, ὁ αὐτὸς διαναστήτω καὶ πρὸς τὴν ἐκδίκησιν, εἰς μνήμην ἐλθέτω τοῦ βασιλεύσαντος αὐτὸν Ἰησοῦ, ἐκεῖνός τε γὰρ τῆς τῶν ἀνθρώπων σωτηρίας γενόμενος αὐτουργός, ὁ αὐτὸς καὶ ἀντικρινόμενος ἦν τῷ διαβόλῳ καὶ δικαιοκρισίᾳ τοῦτον καταβαλών, ὁ αὐτὸς καὶ τὴν αὐτοῦ τυραννίδα διέλυσε, τῇ θεϊκῇ δυνάμει χρησάμενος, καὶ οὗτος τὸν Χριστὸν μιμησάμενος, ὅσον ἐφικτόν, καὶ ὑπὲρ τῆς ἀληθείας ἀγωνιζέσθω, καὶ νικάτω νίκην εὐσεβείας ἀγωνιστῇ πρέπουσαν, καὶ βασιλικῶς ταύτην τῇ ἐκκλησίᾳ θεοῦ βραβευέτω, τοὺς λύκους ἀποδιώκων καὶ τὴν βασιλείαν κοσμῶν τῷ ὑπερευσεβείας ζήλῳ, καὶ τούτοις διὰ τέλους ἐμμένων, βασιλείας ἀλλάξεται βασιλείαν τῆς ἐπικήρου μηδέποτε λυομένην. ἐγγυῶμαι τοῦτο σαφῶς, τούτου δέομαι ὑπὲρ τῶν πτωχῶν τῶν κληρικῶν, ἵνα ἅπερ ὑπέρπυρα προευεργέτησεν αὐτοὺς χάριν ῥόγας αὐτῶν, διὰ θείου προστάγματος ταῦτα παρὰ τοῦ δημοσίου δοθῶσιν ἀνυστερήτως· οἶδε γὰρ ἡ κραταιὰ καὶ ἁγία βασιλεία αὐτοῦ, ὡς πένητες τὸ παράπαν εἰσί, καὶ ὡς ἐκδουλεύουσι διηνεκῶς τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ ὡς οἱ πλείους τούτων ἀνθρωπίνως πρὸς οὐδὲν ἄλλο βλέπουσιν ἢ πρὸς τὸ τεταγμένον κατ' ἔτος αὐτοῖς, καὶ ὅτι καὶ τὰ ἐμαυτοῦ μνημόσυνα ἀπὸ τῶν ὑπερπύρων τούτων ἐτάχθησαν τελεσθῆναι. οἶδεν ἡ κραταιὰ καὶ ἁγία βασιλεία αὐτοῦ τὴν τῆς ἐκκλησίας στενοχωρίαν, καὶ ὡς οὐδὲ τῶν ἀναγκαίων αὐτῶν ἦμεν ἐν εὐπορίᾳ ἀεὶ διά τε τὸ γεγυμνωμένην καθάπαξ τὴν ἐκκλησίαν εὑρεῖν καὶ διὰ τὸ τὰς ἐρχομένας προσόδους μικρὰς καὶ εὐτελεῖς εἶναι καὶ πάσας σχεδὸν εἰς τὰς τῶν πενήτων εἰσέρχεσθαι χεῖρας, διὰ τοῦτο καὶ οἱ εὑρισκόμενοι μετ' ἐμοῦ ἀδελφοί τε μοναχοὶ καὶ οἱ κοσμικοὶ ταλαιπώρως διετέλουν

βιοῦντες· τούτους ἀφίημι τῇ προνοίᾳ τοῦ θεοῦ καὶ τοῦ εὐσεβοῦς βασιλέως, ἵνα καὶ ὑπὲρ αὐτῶν ἀξίως τῆς ἑαυτοῦ ψυχῆς διανοηθῇ, τὴν μητέρα καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς πτωχοὺς ὄντας καὶ πρὸς θεὸν βλέποντας θεῷ τε καὶ τῇ θείᾳ βασιλικῇ ψυχῇ παρατίθεμαι· οἶδα γὰρ τὴν αὐτοῦ συμπάθειαν, καὶ ὡς ὑπὲρ αὐτῶν φροντιεῖ, παρὰ θεοῦ τεταγμένος πατὴρ πτωχῶν καὶ εἶναι καὶ λέγεσθαι. πᾶσι χριστιανοῖς τὴν ἐν θεῷ συγχώρησιν, ὥσπερ τινὰ κλῆρον ἀφίημι καὶ ἁμαρτιῶν ἄφεσιν, καὶ βασιλείας οὐρανῶν ἐπεύχομαι μέθεξιν. τὸν εὑρεθέντα σῖτον ὀλίγον καὶ οἶνον ὀλίγον ἐν τῷ πατριαρχείῳ διαμερισθῆναι βούλομαι εἰς τρεῖς μερίδας ἐπίσης, ὧν τὴν μὲν μίαν οἱ κληρικοὶ λαβέτωσαν ἐπίσης, τὴν δευτέραν αἱ πτωχαὶ αἱ καλογραῖαι, τὴν δὲ λοιπὴν οἱ μετ' ἐμοῦ μοναχοὶ ἀδελφοὶ καὶ κοσμικοὶ ἐχέτωσαν. ὡσαύτως καὶ τὰ ἱμάτιά μου ἀφίημι καὶ ταῦτα τοῖς μετ' ἐμοῦ ἀδελφοῖς, ἀλλὰ δὴ καὶ τὴν πενιχράν μου στρωμνήν. ἐπεὶ δὲ διὰ τὴν τοῦ πατριαρχείου στενοχωρίαν καὶ τὴν πολυήμερον ταύτην νόσον καὶ χρεῶν περιεπέσομεν βάρει ἀναβιβαζομένων εἰς ὑπέρπυρα, ὅσα δῆτα καὶ ποσοῦνται, ἃ ὁ τιμιώτατος ἐν μοναχοῖς ἀγαπητὸς κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος κῦρ Θεοδώρητος κατὰ λεπτὸν οἶδε, ἀφίημι πρὸς τοὺς δανειστάς, τόν τε ἐντιμότατον κῦρ Ἀνδρέαν τὸν Ὀστιάριον τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ τὸν κῦρ Μανουὴλ τὸν Ζύμαρχον καὶ τὸν κῦρ Ξένον τὸν Ἀγαπητόν, ὃ ἀπῃωρημένοι εἶχον ἐγκόλπιον, καὶ βαρύτατον ἐπιτίμιον ἐπανατείνομαι κατὰ τῶν διενοχλησόντων αὐτοῖς, ἕως ἂν ἀποδοθῇ τούτοις τὸ χρέος ἢ παρὰ τοῦ δημοσίου, ἀφ' ὧν ὑπερπύρων δέδωκεν ὁ θειότατος βασιλεὺς τῇ ἐκκλησίᾳ, ἢ ἀπὸ τοῦ εἰσοδήματος τοῦ χωρίου τῆς ἐκκλησίας τοῦ Πασπαρᾶ, τὸν δὲ οἰκονόμον τοῦ τοιούτου χωρίου, τὸν μοναχὸν κῦρ Διονύσιον, βούλομαι ἀνενόχλητον αὐτὸν εἶναι παρὰ τῶν βουλομένων αὐτὸν ἀδικεῖν, καὶ εἴ τι δὲ εἰσκομίσαι ὀφείλων, οὐκ ἐδαπάνησε τοῦτο εἰς τὰς ἐξόδους τῶν ζευγαρίων, ἀλλ' ὑπελείφθη αὐτῷ, καὶ ταῦτα φέροντος τῇ κοινότητι τῶν μετ' ἐμοῦ ἀδελφῶν προκείσθωσαν, συναριθμουμένου καὶ αὐτοῦ. ἀρτοποιῷ τῷ Βαλσαμὼν ὀφείλονται ὑπέρπυρα τέσσαρα, καὶ γενέσθω κἀκείνῳ τὸ ἱκανόν, ἐξ ὧν καὶ τοῖς ἄλλοις διανεισταῖς. τοῖς ἐν Χριστῷ ἀδελφοῖς μου τοῖς πτωχοῖς ἀπόμοιρά τις γενέσθω σίτου καὶ οἴνου ἀπὸ τῶν τῆς μερίδος τῶν καλογραιῶν καὶ τῶν μετ' ἐμοῦ ἀδελφῶν. καὶ τοῦ τὴν ἐμὴν ταύτην ἔγγραφον βούλησιν τὸ βέβαιον ἔχειν καὶ ἀδιάβλητον τῇ

αὐτοχείρῳ ὑποσημανσίᾳ τῆς ἡμῶν μετριότητος ἐβεβαιώθη, ὀφείλοντος παντὸς ἐμμένειν τοῖς καταγεγραμμένοις καὶ τὸν τῆς εὐπειθείας μισθὸν ἐκδέχεσθαι παρὰ θεοῦ †.

† Ὑπογέγραπται δὲ ἡ τοιαύτη διαθήκη κατὰ μῆνα φευρουάριον τῆς ἐνισταμένης τρίτης ἰνδ. τοῦ ,ϛω' πεντηκοστοῦ ὀγδόου ἔτους †.

† Εἶχε καὶ τὸ πρωτότυπον διὰ τῆς ἁγίας ἐκείνου χειρὸς τὸ· μηνὶ φευρουαρίῳ ἰνδ. γ' †.

CXXXI. Sine anno.

Eusebius, electus metropolita Sugdaeae, fidem profitetur.

† Τὰ παρὰ τῶν ἁγίων ἀποστόλων κηρυχθέντα καὶ παρὰ τῶν ἑπτὰ ἁγίων οἰκουμενικῶν συνόδων κυρωθέντα στέργων ἐκ ψυχῆς προσκυνῶ, καὶ πνευματικῶς κατασπάζομαι, ἅτε τοῦ θείου καὶ ἱεροῦ εὐαγγελίου ἀκριβῶς ἐχόμενα, ἀλλὰ καὶ τῷ παναγιωτάτῳ μου δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ κυρῷ Ἰσιδώρῳ καὶ τῇ κατ' αὐτὸν θείᾳ καὶ ἱερᾷ συνόδῳ, ὡς καὶ αὐτοῖς ἀκριβέστατα ἐχομένοις τῆς παναμώμου ταύτης διδαχῆς, τῶν θείων δηλαδὴ καὶ ἱερῶν πατέρων, πείθομαι ὁλοψύχως καὶ συμφρονῶ καὶ ὁμοφρονῶ καὶ ὑποτάσσομαι κατὰ πάντα. Βαρλαὰμ δὲ καὶ Ἀκίνδυνον ..... τοὺς ὁμόφρονας καὶ ὑπαδοὺς τούτων κατὰ τὴν περίληψιν τῶν προβεβηκότων ἐπ' αὐτοῖς ἱερῶν τόμων ὡς κακοδόξους ἀποβάλλομαι καὶ, εἰ μὴ μεταμεληθεῖεν, καθυποβάλλω τῷ ἀναθέματι, ὡς μὴ συνεπομένους καὶ συμφρονοῦντας καὶ συνᾴδοντας τοῖς θείοις καὶ ἱεροῖς ἡμῶν πατράσι καὶ τῷ θειοτάτῳ μου δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, κῦρ Ἰσιδώρῳ, καὶ τῇ κατ' αὐτὸν θείᾳ καὶ ἱερᾷ συνόδῳ. ταῦτα διὰ βίου φυλάττειν καὶ τηρεῖν ἀκριβῶς διαβεβαιοῦμαι, καὶ μετὰ ταύτης τῆς πίστεως εὔχομαι παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ καὶ τυχεῖν τῆς παρ' αὐτοῦ σωτηρίας, τῇ αὐτοῦ δυνάμει καὶ χάριτι. ἃ καὶ πληροφορίας καὶ ἀκριβοῦς ἀσφαλείας ἕνεκεν οἰκειοχείροις σημειώσεσιν ὑπέγραψα †.

† Εἶχε καὶ ὑπογραφήν· Εὐσέβιος ἱερομόναχος καὶ ὑποψήφιος τῆς ἁγιωτάτης μητροπόλεως Σουγδαίας †.

V.

† Μηνὶ ἰουνίῳ δεκάτῃ, ἡμέρᾳ πέμπτῃ, ἰνδ. τρίτης, προεβλήθη ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης κὺρ Κάλλιστος, καὶ ἤρξαντο καταστρώννυσθαι ἐν τῷ παρόντι κωδικίῳ αἱ συνοδικαὶ πράξεις καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων ἔγγραφα σημειώματα †.

CXXXII. (6859—1350) septembri ind. IV.

Maximus Calopherus promittit, se obtemperaturum esse patriarchae.

† Ὑπόσχεσις κὺρ Μαξίμου τοῦ Καλοφέρου †.

† Ἐπεὶ ἐκ θεοῦ ὁδηγηθεὶς ὁ ἅγιός μου αὐθέντης καὶ βασιλεὺς διὰ τοῦ ἁγίου μου δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἀμνηστείαν ἐποιήσατο τοῦ γεγονότος διὰ πλῆθος ἁμαρτιῶν μου σφάλματος, καὶ εὐεργετεῖ με ἀπὸ τῆς ἐλεημοσύνης αὐτοῦ συμπάθειαν εἰς τὰ παρελθόντα, ὑπισχνοῦμαι ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἁγίων ἀγγέλων αὐτοῦ, ἵνα μηδὲν φωραθῶ ποτε φρονῶν ἢ ἐπεκδικῶν τὰ Ἀκινδύνου φανερῶς ἢ κεκρυμμένως, ἀλλὰ εὑρίσκωμαι κοινωνῶν ἐν πᾶσι τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἧς προστάτης ἀρτίως διὰ τῆς τοῦ θεοῦ χάριτος ὁ ἁγιώτατος αὐθέντης καὶ δεσπότης μου ὁ οἰκουμενικὸς πατριάρχης κὺρ Κάλλιστος, ἵνα μηδέποτε φωραθῶ τὰ Λατίνων ἐπεκδικῶν ἢ πρὸς ἐκείνους καταφεύγων σωτηρίας χάριν, ἵνα μηδέποτε βουληθῶ τὴν τῶν Ῥωμαίων χώραν καταλιπεῖν προφάσει κυβερνήσεως καὶ γῆν ἑτέραν ζητεῖν, ἥτις οὐχ ὑπόκειται τῇ τῶν Ῥωμαίων βασιλείᾳ, ἵνα μηδέποτε φανῶ τῇ ἐκ θεοῦ βασιλείᾳ πολεμῶν ἢ δόλους κατ' αὐτῆς ῥάπτων ἢ γλῶτταν βλάσφημον τρέφων· ἐὰν δὲ φωραθῶ μετὰ ἀκριβοῦς ἐρεύνης καὶ ἐξετάσεως ἢ ταῦτα ἢ τούτων τι τῶν προειρημένων ἐνεργῶν, μᾶλλον δὲ κακουργῶν, πρὸς τὸ τὰς ἀρὰς τῶν ἁγίων ἐπισπᾶσθαι πατέρων κατ' ἐμαυτοῦ, ἵνα κολάζωμαι κόλασιν ἐν τῷ δεσμωτηρίῳ μέχρι καὶ τελευτῆς, καὶ ἵνα ἀποστερῶμαι πάσης συγγνώμης καὶ μεσιτείας τῶν βουλομένων τι λέγειν ὑπὲρ ἐμοῦ φιλάνθρωπον †.

† Μηνὶ σεπτεμβρίῳ ἰνδ. δ' †.

† Ὁ ἐν μοναχοῖς ἐλάχιστος Μάξιμος †.

CXXXIII. (6859—1350) septembri ind. IV.

Synodus absolvit hieromonachum Niphonem.

† Ἄθφωσις τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Νίφωνος καθολικῶς ἁπάντων συμψηφισαμένων ἀρχιερέων †.

† Ὥσπερ ἐστὶν ὁρᾶν πολλάκις ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐπισκοτοῦσαν ὁμίχλην, εἶτα φαιδρότερον ἐπιλάμψαντος τοῦ ἡλίου διαλυομένην καθάπαξ τῷ μὴ δύνασθαι λαμπρότητα τὴν ἐκεῖθεν ὑπενεγκεῖν εἰς τέλος, οὕτω δὴ καὶ ψεῦδος ἐπισκιάζειν ἔστιν ὅτε δοκοῦν τῇ αἴγλῃ τῆς ἀληθείας εἰς τὸ μηκέτ' εἶναι χωρεῖ, καθὰ δὴ καὶ κατὰ φύσιν ἔχον ἐστίν, εἰλικρινῶς ἐπιλαμπούσης καὶ παρρησιαζομένης τῆς ἀληθείας, ὁποῖον δή τι συμβέβηκεν ἀτεχνῶς καὶ ἐπὶ τὸν τιμιώτατον ἐν ἱερομονάχοις, κῦρ Νίφωνα· πρό τινων γὰρ ἤδη χρόνων τινῶν τὸν σάλον καὶ μωρὸν ὑποκρινομένων ἑαλωκότων διαφόροις τε κακοδοξίαις καὶ δὴ καὶ τῇ τῶν Μασσαλιανῶν αἱρέσει, εὑρεθέντων καὶ ἐληλεγμένων κατὰ τὸ ἅγιον ὄρος τοῦ Ἄθω, διαναστάντες τινὲς ἀπὸ χαιρεκάκου γνώμης καὶ φθονερᾶς διαθέσεως, ἀποδήμου δηλονότι τηνικαῦτα εὑρισκομένου τοῦδε τοῦ κῦρ Νίφωνος, ἐκίνησαν, ὅτι δῆθεν ἠξίου τοὺς τοιούτους καὶ αὐτὸς ἔστιν ὅτε κυβερνήσεώς τινος, κἀντεῦθεν μέμφιν τινὰ καὶ διαβολὴν ἐπεχείρησαν συκοφαντικῶς τούτῳ προστρίψασθαι, ὅτε δὴ καὶ ἐπανελθόντος τοῦ τοιούτου κῦρ Νίφωνος ἐκεῖσε καὶ γνωρίσαντος τὰ τῆς τοιαύτης διαβολῆς καὶ αἰτησαμένου γενέσθαι ἐξέτασιν εἰς ἐπήκοον, συναθροισθέντες ὅ τε κατὰ τόπον ἱερώτατος ἀρχιερεὺς Ἐριττοῦ, ἀλλὰ δὴ καὶ οἱ τιμιώτατοι καθηγούμενοι τῶν ἐκεῖσε σεβασμίων μονῶν καὶ ἅπαντες σχεδὸν οἱ ἐκεῖσε κατ' ἀρετὴν διαπρέποντες καὶ ἐξετάσει ἀκριβεῖ δεδωκότες τὰ τοῦ πράγματος, εὗρον οὐδὲν ἄλλο τι προτεινόμενον παρὰ τῶν εἰρημένων, πλὴν ὅτι ἐκ διαλειμμάτων, ἡνίκα προσήρχοντο καὶ εἰς τὴν κατ' αὐτὸν σεβασμίαν μονὴν ἡγουμενεύοντα, ἐκυβέρνα αὐτοὺς ὡς προσαίτας παὶ ἐνδεεῖς, οὗ δὴ καὶ ὡς μὴ λογισθέντος, μηδὲ κριθέντος ὁπωσοῦν τῷ τότε ἀξίου ἐγκλήματος κατ' αὐτοῦ, ἅτε δὴ καὶ σχεδὸν ὑπὸ παντὸς τοῦ Ἁγίου Ὄρους ἐνεργουμένου, κυβερνήσεως τῶν τοιούτων ὁμοίως ἀξιουμένων, ἐξενήνεκται ἔγγραφος ἀπόφασις δικαιώσεως καὶ ἀθφώσεως ὑπὲρ αὐτοῦ δή,

τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Νίφωνος, ὑπογραφαῖς πεπιστωμένη τοῦ τε παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, τηνικαῦτα τὰ δίκαια φέροντος, τῆς ἱερᾶς ἀρχῆς καὶ διοικήσεως τοῦ πρωτάτου, τοῦ ἱερωτάτου μητροπολίτου Ἡρακλείας, προέδρου τῶν ὑπερτίμων, ἐξάρχου πάσης Θράκης καὶ Μακεδονίας, προηγουμένου ὄντος τῆς σεβασμίας καὶ ἱερᾶς Λαύρας, τοῦ ῥηθέντος ἱερωτάτου ἀρχιερέως Ἐρισσοῦ καὶ τῶν τιμιωτάτων καθηγουμένων, ἀλλὰ δὴ καὶ τῶν συνελθόντων ἑτέρων ἐναρέτων ἀνδρῶν, τοὺς μὲν συκοφάντας ἐκείνους τέλεον ἀποδιοπομπουμένη τε καὶ καταδικάζουσα, αὐτὸν δὲ τὸν κῦρ Νίφωνα δικαιοῦσα, ὡς εἴρηται. χρόνου δέ τινος παρῳχηκότος καὶ τοῦδε εἰς Πρῶτον ἐγκαταστάντος, πάλιν ὁ κατ' αὐτοῦ φθόνος ἀνάπτεται παρὰ τῶν μοναχῶν τῆς ἐκεῖ εὑρισκομένης τῶν Σέρβων μονῆς, ἡνίκα δὴ καὶ συνελθόντες ὅ τε ἱερώτατος μητροπολίτης Θεσσαλονίκης, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας, κατὰ τύχην παρατυχὼν ἐκεῖσε καὶ οἱ δηλωθέντες τιμιώτατοι καθηγούμενοι τῶν ἐκεῖσε σεβασμίων μονῶν, πρὸς δὲ καὶ ἅπαν, ὡς εἰπεῖν, τὸ τοῦ Ἁγίου Ὄρους ἔκκριτον καὶ προέχον κατ' ἀρετὴν, καὶ αὖθις τὰ τῆς ὑποθέσεως πολυπραγμονήσαντες καὶ ἐξετάσαντες καὶ μηδεμίαν αἰτίαν εὑρηκότες κατὰ τοῦ ῥηθέντος κῦρ Νίφωνος καὶ οὗτοι κατὰ τὸν ὅμοιον τρόπον αὐτὸν ἐδικαίωσαν. ἐπεὶ δ' ἐπεδήμησεν ἐνταῦθα καὶ αὐτὸς μετὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ συνῆν αὐτῷ ἐπ' ὀλίγον τινὰ καιρὸν, ἔδοξεν ἡμῖν συμβουλίας λόγῳ εἰσηγήσασθαι αὐτῷ δὴ τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ἔν τινι τῶν κατὰ τὴν θεοδόξαστον Κωνσταντινούπολιν σεβασμίων μονῶν εὑρίσκεσθαι τὸν τοιοῦτον κῦρ Νίφωνα καὶ μὴ εἰς δικαίῳ εἶναι αὐτοῦ. ἑτοίμως οὖν τὰ περὶ τούτου ἐδέχθη, ἐπεὶ μηδὲ ἦν ὅλως ἀποτεταγμένος ἐπὶ τούτῳ παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, κατὰ νοῦν γε μὴν εἰλημφὼς οὗτος δὴ ὁ κῦρ Νίφων, μή ποτε ἀφορμῆς ἐντεῦθεν δραξάμενοι, οἷς ἔργον ἄλλο τι πρὸ τῆς ἀληθείας ποιεῖσθαι, πειραθῶσιν ἀπὸ δυστρόπου γνώμης χωρῆσαι εἰς τὴν κατ' αὐτοῦ προτέραν διαβολὴν καὶ συκοφαντίαν, καὶ, ὡς εἰκὸς, τῆς ἑαυτοῦ ἀσφαλείας ἀντιποιούμενος ἐζήτησε γενέσθαι αὐτῷ τούτου ἕνεκα πρᾶξίν τινα συνοδικῶς παρ' ἡμῶν, οὗ δὴ χάριν καὶ κατὰ ταὐτὸ συνελθόντες διαφόρως καὶ συνεδριάσαντες τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, προσταγῇ τοῦ κρατίστου καὶ ἁγίου

ἡμῶν αὐθέντου καὶ βασιλέως, δεῖν ἐκρίναμεν τὰ κατὰ τὴν ὑπόθεσιν ἐξετάσαι τε καὶ συνδιασκέψασθαι, ἔνθεν τοι καὶ, καθάπερ ἐχρῆν, πολυπραγμονήσαντες καὶ διερευνησάμενοι, ἐπεὶ εὕρομεν ἀριδήλως ἀπὸ μαρτύρων τοῦ τε παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, τοῦ καὶ διὰ πλείστης θεμένου ἐπιμελείας καὶ ἀνιχνεύσαντος καὶ εὑρόντος τοὺς τὰς τοιαύτας κακοδοξίας νενοσηκότας καὶ ἐκ τοῦ μέσου ποιησαμένου, ὡς ἐπὶ τῶν ἔργων ἐστὶ καταφανὲς τοῖς ἐν τῷ Ἁγίῳ Ὄρει εὑρισκομένοις καὶ τοῖς λοιποῖς, τοῦ δηλωθέντος ἱερωτάτου μητροπολίτου Ἡρακλείας, τοῦ ἀπὸ τῆς σεβασμίας τοῦ Καλλέως μονῆς τιμιωτάτου ἐν ἱερομονάχοις, κῦρ Θεοδοσίου, τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις ἀπὸ τῆς σεβασμίας τοῦ Καρακάλλα μονῆς, κῦρ Ἰσαὰκ, τοῦ τιμιωτάτου προηγουμένου τῆς σεβασμίας τοῦ Βατοπεδίου μονῆς, ἱερομονάχου κῦρ Γρηγορίου, τοῦ ἀπὸ τῆς σεβασμίας καὶ ἱερᾶς Λαύρας τιμιωτάτου κῦρ Ἰωάννου τοῦ Ἡσυχαστοῦ, τοῦ ἀπὸ τῆς αὐτῆς τοῦ Βατοπεδίου τιμιωτάτου ἐν μοναχοῖς, κῦρ Ἀθανασίου, πρὸς δὲ καὶ τῶν οἰκείων τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐθέντῃ καὶ βασιλεῖ, τοῦ τε ἐπάρχου κῦρ Γεωργίου τοῦ Ἴσαρι, κῦρ Νικολάου τοῦ Καβάσιλα καὶ τοῦ κῦρ Μάρκου Ἀγγέλου τοῦ Βαρδαλῆ, οἳ δὴ παρῆσαν ἐπὶ τῆς γεγονυίας δευτέρας ἐξετάσεως, ὅτι οὐδεμία τις αἰτία εὑρηται τηνικαῦτα κατὰ τοῦδε τοῦ κῦρ Νίφωνος, κάντεῦθεν ἐδικαιώθη παντελῶς καὶ ἠθῳώθη κατὰ τὸν ἀναγεγραμμένον τρόπον. εἴχομεν ἂν κατὰ τὸν τοῦ δικαίου λόγον ἀρκεσθῆναι τούτοις ὑπὲρ τοῦ τοιούτου τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Νίφωνος καὶ μηδέν τι μηδαμῶς πλέον ἐπιζητῆσαι εἰς τὴν τῆς ἀληθείας ἀνεύρεσιν καὶ παράστασιν, πλείονος μέντοι ἕνεκεν ἀσφαλείας καὶ τοῦ περιαιρεθῆναι πᾶσαν ἁπλῶς πρόφασιν, ἐπεὶ διηγόρευται τοῖς θείοις καὶ ἱεροῖς κανόσιν ἐν τῷ ἐκτεθέντι ὅρῳ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Ἐφέσῳ οὕτω πρὸς λέξιν· „συνελθόντες ἐφ' ἡμῶν οἱ εὐλαβέστατοι καὶ θεοφιλέστατοι ἐπίσκοποι Οὐαλεριανὸς καὶ Ἀμφιλόχιος καὶ σκέψιν προθέντες κοινὴν περὶ τῶν λεγομένων ἐν ταῖς τῆς Παμφυλίας μέρεσι Μεσσαλιανιτῶν εἴτ' οὖν Εὐχιτῶν ἤγουν Ἐνθουσιαστῶν εἴτε ὁπωσοῦν ἡ μιαρωτάτη τῶν μνημονευθέντων αἵρεσις σαφηνισθείη, ἡμῶν δὲ διασκοπούντων προεκόμισεν ὁ εὐλαβέστατος καὶ θεοφιλέστατος ἐπίσκοπος Οὐαλέριανὸς χαρτίον συνοδικὸν περὶ τούτων αὐτῶν, συνταχθὲν ἐν τῇ μεγάλῃ Κωνσταντινουπόλει ἐπὶ τοῦ τῆς μεγάλης μνήμης Σισινίου, ὃ καὶ ἀναγνωσθὲν ἐπὶ πάντων, ἔδοξεν εὐ

πεποιῆσθαι καὶ ὀρθῶς ἔχειν, καὶ συνήρεσεν ἅπασιν ἡμῖν καὶ τοῖς θεοφιλεστάτοις ἐπισκόποις Οὐαλεριανῷ καὶ Ἀμφιλοχίῳ καὶ πᾶσι τοῖς τῶν Παμφύλων καὶ Λυκαόνων ἐπαρχιῶν εὐλαβεστάτοις ἐπισκόποις, τὰ ἐν τῷ συνοδικῷ χαρτίῳ τυπωθέντα κρατεῖν ἅπαντα καὶ κατὰ μηδένα τρόπον παραβαίνεσθαι αὐτά, βεβαίων ὄντων δηλαδὴ καὶ τῶν πεπραγμένων ἐν Ἀλεξανδρείᾳ, ὥστε τοὺς ὄντας κατὰ πᾶσαν ἐπαρχίαν τῶν Μεσσαλιανῶν ἤγουν Ἐνθουσιαστῶν αἱρέσεως ἢ καὶ ἐν ὑποψίαις τῆς τοιαύτης νόσου γεγενημένους, εἴτε κληρικοὶ εἶεν, εἴτε λαϊκοί, μεθοδεύεσθαι καὶ ἀναθεματίζοντας κατὰ τὰ ἐν τῷ μνημονευθέντι συνοδικῷ διηγορευμένα ἐγγράφῳ μένειν τοὺς μὲν κληρικοὺς ἐν τῷ κλήρῳ, τοὺς δὲ λαϊκοὺς ἐν τῇ κοινωνίᾳ τῆς ἐκκλησίας, ἀνανεύοντας δὲ πρὸς τοῦτο καὶ μὴ ἀναθεματίζοντας τοὺς μὲν πρεσβυτέρους καὶ διακόνους καὶ τοὺς ἕτερόν τινα βαθμὸν ἔχοντας ἐν ἐκκλησίᾳ ἐκκόπτειν καὶ κλήρου καὶ βαθμοῦ καὶ κοινωνίας, τοὺς δὲ λαϊκοὺς ἀναθεματίζεσθαι, ὀφειλομένως ἐξακολουθήσαντες τῇ τῶν αὐτῶν ἱερῶν καὶ θείων κανόνων διαταγῇ.“ διέγνωμεν δοῦναι αὐτὸν λίβελλόν τε καὶ ἐγγραφὴν τῆς κατ' αὐτὸν εὐσεβείας, ὄντινα καὶ δέδωκε, φέροντα οἰκειόχειρον αὐτοῦ προταγὴν καὶ ὑποταγήν, ἀναγνωσθέντα εἰς ἐπήκοον πάντων ἡμῶν καὶ στερχθέντα συνοδικῶς, ὡς εὐλαβῶς καὶ ὀρθοδόξως ἐκτεθειμένον παρ' αὐτοῦ, ὅθεν καὶ διὰ ταῦτα πάντα διέγνωμεν καὶ ἀπεφηνάμεθα κοινῇ συνοδικῇ ψήφῳ, ἀνώτερον εἶναι τὸν δηλωθέντα τιμιώτατον ἐν ἱερομονάχοις κῦρ Νίφωνα τῆς ἀναπλασθείσης καὶ κινηθείσης κατ' αὐτοῦ τοιαύτης συκοφαντίας καὶ διαβολῆς καὶ πολλῇ τῇ τοῦ δικαίου περιουσίᾳ ἠψωμένον, καὶ εὑρίσκεσθαι ἐν τῷ βαθμῷ τῆς ἱερωσύνης αὐτοῦ, καθὼς οἱ αὐτοὶ θεῖοι καὶ ἱεροὶ κανόνες καὶ ὁ δηλωθεὶς ὅρος τῆς ῥηθείσης οἰκουμενικῆς συνόδου διαγορεύουσιν, ὀφειλόντων τῶν βουλομένων ἀδιστάκτως παντάπασιν καὶ ἀναμφιβόλως ὡς ἱερεῖ θεοῦ τούτῳ δὴ τῷ τιμιωτάτῳ ἐν ἱερομονάχοις κῦρ Νίφωνι προσέρχεσθαι καὶ ἁγιάζεσθαι ὑπ' αὐτοῦ, ἅτε δὴ μηδενὸς ὄντος τοῦ προσισταμένου τε καὶ ἀπείργοντος, ὃν δὴ τρόπον μετὰ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξέτασιν καθαρῶς ἀνεφάνη καὶ ἀποδέδεικται. ταῦθ' οὕτω παρ' ἡμῶν διαγνωσθέντα καὶ ἀποφανθέντα τῷ παρόντι περιελήφθησαν γράμματι, ἐπιδοθέντι τῷ διαληφθέντι τιμιωτάτῳ ἐν ἱερομονάχοις κῦρ Νίφωνι εἰς παντελῆ ἀθῴωσιν αὐτοῦ καὶ ἀσφάλειαν. μηνὶ σεπτεβρίῳ ἰνδ. τετάρτης†.

† Εἶχε καὶ ὑπογραφάς † † Ὁ ταπεινὸς μη-

τροπολίτης Κυζίκου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλησπόντου, Ἀρσένιος †. † Ὁ ταπεινὸς μητροπολίτης Ποντοηρακλείας καὶ ὑπέρτιμος, Μεθόδιος †. † Ὁ Μελενίκου καὶ ὑπέρτιμος, ταπεινὸς Μητροφάνης †. † Ὁ μητροπολίτης Βερροίας καὶ ὑπέρτιμος, Διονύσιος †. † Ὁ ταπεινὸς μητροπολίτης Χριστουπόλεως, Μακάριος †. † Ὁ μητροπολίτης Ῥόδου καὶ ὑπέρτιμος, Ἰωάννης †. † Ὁ μητροπολίτης Διδυμοτείχου καὶ ὑπέρτιμος, Θεόληπτος †. † Ὁ ταπεινὸς μητροπολίτης Ἄπρω καὶ ὑπέρτιμος, Γαβριὴλ, καὶ τὸν τόπον ἐπέχων τῶν Εὐχαίτων †. † Ὁ ταπεινὸς μητροπολίτης Ἀμάστριδος καὶ ὑπέρτιμος, Καλλίνικος †.

† Ἔτι δὲ καὶ ὄπισθεν ἑτέρας ὑπογραφάς †·

† Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας, πρόεδρος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Θράκης καὶ Μακεδονίας, Φιλόθεος †.

† Ὁ Θεσσαλονίκης πιστούμενος, εἰ καὶ ὕστερον παρεγενόμην †.

Εἶτα τῆς παρούσης διαγνώσεως ἐξενεχθείσης ἐξητήθησαν παρ' ἡμῶν κατὰ τὸ εἰκὸς διὰ πλείονα τὴν ἀσφάλειαν καὶ ἔγγραφοι μαρτυρίαι τοῦ τε ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης, ὑπερτίμου καὶ ἐξάρχου πάσης Θετταλίας, πεποθημένου κατὰ πνεῦμα ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ, ἀλλὰ δὴ καὶ τοῦ τιμιωτάτου καθηγουμένου τῆς ἱερᾶς Λαύρας, ἱερομονάχου κῦρ Ἰακώβου τοῦ Τρικανᾶ, τῶν καὶ πρότερον ἐξετασάντων ἀκριβῶς τὰ τοῦ πράγματος, ὧν δὴ καὶ γενομένων καὶ κομισθεισῶν ἐνταῦθα νῦν, κἀντεῦθεν πάσης προφάσεως περιαιρεθείσης ἤδη ἐπιστώμεθα καὶ ἡμεῖς τὴν τοιαύτην διάγνωσιν καὶ ἡμετέραις ὑπογραφαῖς. μηνὶ ἰανουαρίῳ ἰνδ. δ'.

† Ὁ ταπεινὸς μητροπολίτης Φιλαδελφείας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λυδίας, Μακάριος †

† Ὁ ταπεινὸς μητροπολίτης Πηγῶν καὶ Παρίου καὶ ὑπέρτιμος, Γεώργιος †.

CXXXIV. Sine anno.

Patriarchae exhortatio ad populum, cum Amarantina quaedam, quae magicas exercuerat artes, vitam amplecteretur monasticam.

† Διδασκαλία, ὅτε ἡ τὰ μαγικὰ πρότερον ἐξησκημένη Ἀμαραντίνα παραινέσει καὶ εἰσηγήσει τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ πατριάρχου τὸ μοναχικὸν ὑπῆλθε σχῆμα †.

† Ἐν κυρίῳ γνησιώτατοι καὶ ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος. χάριν, εἰρήνην, ἔλεος, εὐθηνίαν τε τῶν ἀγαθῶν καὶ ψυχικὴν σωτηρίαν ἐπεύχεται ὑμῖν ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. οἴδατε, ἐν Χριστῷ τέκνα μου ἀγαπητά, ὅπως προσεκαλέσατο ἡμᾶς ὁ θεὸς ἀπορρήτοις λόγοις καὶ κρίμασιν αὐτοῦ εἰς τὸν πατριαρχικὸν θρόνον, οὔτε γοῦν ἐγινώσκομεν τὴν εἰς τοῦτο πρόσκλησιν, οὔτε τῆς πνευματικῆς ταύτης ἀρχῆς ἐπεθυμήσαμεν, οὔτε μὴν ἐσπουδάσαμεν οἴκοθεν, ἀλλ' οὐδὲ ταῖς ἀπὸ τῶν φίλων συνάρσεσιν ἐχρησάμεθα, ἢ ἐβουλήθημεν ἁρπάσαι τὴν δόξαν ταύτην καὶ τὸ ἀξίωμα, ὑπὸ θεῷ μάρτυρι· ἐπεὶ δὲ τὸ ἀντιβαίνειν εἰς τέλος τῇ θείᾳ βουλῇ οὐ λυσιτελὲς ἐκρίναμεν εἶναι, πάντα ποιοῦντος αὐτοῦ τοῦ θεοῦ καὶ μετασκευάζοντος, ὡς οὐδεὶς δύναται συνιέναι, αὐτῷ τὰ καθ' ἡμᾶς ἐπιτρέψαντες, τῷ τοὺς ἀδυνάτους ἐνισχύοντι καὶ τῷ φωτὶ τοῦ παναγίου πνεύματος τοὺς ἀμαθεῖς σοφίζοντι καὶ τοὺς ἀγραμμάτους διδάσκοντι, εἰ καὶ μηδέν τι τῶν εἰς τοῦτο φερόντων συνέγνωμεν ἑαυτοῖς, ὅμως δεδώκαμεν ἡμᾶς αὐτοὺς ὑπηρετῆσαι τῷ θείῳ τούτῳ βουλήματι, ἔνθεν τοι καὶ ὡς ἀπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν προστασίαν τῶν ὑμετέρων ψυχῶν ἀναδεξάμενοι καὶ κατὰ τὸν μέγαν ἀπόστολον χρέος ἀπαραίτητον ἔχοντες ἀγρυπνεῖν ὑπὲρ σωτηρίας τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες διὰ τοῦτο, καὶ νυκτὸς καὶ ἡμέρας ἀναγκαῖον κρίνομεν μετὰ τοῦ ὑπερεύχεσθαι καὶ γράφειν καὶ παραινεῖν καὶ εἰσηγεῖσθαι πρὸς ὑμᾶς τὰ θεοφιλῆ καὶ ψυχωφελῆ, ἐπεὶ καὶ τούτου χάριν ἐτάχθησαν οἱ ποιμένες, καθὼς ὁ κύριος ἐν τοῖς εὐαγγελίοις ἐδίδαξεν. ἰδοὺ τοίνυν προσέχειν τοῖς λεγομένοις παρακαλοῦμεν τὴν ὑμετέραν ἀγάπην, ἴσως γὰρ ἄν τι ἐντεῦθεν καὶ ὠφέλιμον λάβητε. ὁ πανοικτίρμων καὶ φιλάγαθος κύριος, ὁ ἀληθὴς θεὸς ἡμῶν ἀπὸ τῆς οἰκείας αὐτοῦ χρηστότητος τὸ ἀνθρώπινον γένος ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγα-

γὼν τῇ ἰδίᾳ εἰκόνι τοῦτο ἐτίμησε, καὶ τῆς τοῦ παραδείσου τρυφῆς καὶ ἀπολαύσεως κατηξίωσεν, ὁ δὲ ἀντικείμενος καὶ κοινὸς ἐχθρὸς καὶ πολέμιος, φθονήσας αὐτῷ τῆς μακαρίας καὶ καλῆς ἐκείνης διαγωγῆς τε καὶ καταστάσεως, οὐκ ἐπαύσατο πάντας μετερχόμενος καὶ μεταχειριζόμενος τρόπους, ὥστε ἀθλίως ἐκπεσεῖν τοῦτο τῶν ἀγαθῶν ἐκείνων, δι' ὧν ἐτιμήθη, καὶ εἰς μυρίας πλάνας καταπεσεῖν, ὅθεν καὶ διὰ τὴν γενομένην λήθην τῆς θείας ἐκείνης ἐντολῆς τῆς τῷ πρώτῳ ἀνθρώπῳ δοθείσης καὶ τὴν ἐπελθοῦσαν, φεῦ, παράβασιν θεὸς αὐτὸς ἀπὸ τῶν οἰκείων οἰκτιρμῶν κινηθεὶς κἀντεῦθεν τὸ οἰκεῖον πλάσμα γνησίως ἀνακαλούμενος ἐξ οὐρανοῦ κατέρχεται, καὶ ἄνθρωπος γίνεται, σαρκωθεὶς ἐκ τῆς πανυπεράγνου δεσποίνης ἡμῶν καὶ ἀειπαρθένου θεοτόκου, καὶ πάθη τὰ σωτήρια παθεῖν ὑπὲρ τῆς ἁπάντων καταδέχεται σωτηρίας, καὶ τὸ αἷμα τὸ πανάγιον ἐξέχεε, δι' οὗ καὶ τὴν τοῦ διαβόλου τελείως κατέλυσε τυραννίδα, καὶ ἀκρογωνιαῖος λίθος γενόμενος τῆς αὐτοῦ ἐκκλησίας ἄκρᾳ φιλανθρωπίᾳ καὶ ἀγαθότητι ἐν ἀσφαλεῖ θεμελίῳ ταύτην ἐπῳκοδόμησε, καὶ οἱ ἀπὸ τῆς τοῦ κυρίου χάριτος προβεβλημένοι κατὰ διαδοχὴν προμάχεσθαι τῆς ἀληθείας τὰς τοῦ πολεμίου καὶ βασκάνου ἐχθροῦ μηχανὰς καὶ ἐπιβουλὰς κακῶς ἀναφυομένας ἐκτέμνουσι τῇ μαχαίρᾳ τοῦ πνεύματος, καὶ εἰς τὸ μηδὲν ἀφανίζουσιν. ἐπεὶ τοίνυν αὐτὸς ὁ πονηρὸς καὶ κοινὸς τοῦ γένους ἡμῶν ἐπίβουλος καὶ πολέμιος καὶ ἐχθρὸς, ὡς εἴρηται, καὶ τῶν ζιζανίων σπορεὺς μὴ φέρων ὡς ἀνθρωποκτόνος τὴν ἧτταν, ἄλλοτε ἄλλοις κέχρηται δελεάσμασι καὶ ἐπιβουλαῖς, διαστρέφων τὸ χριστιανικὸν γένος, ὑπὲρ οὗ Χριστὸν τὸν ἀληθινὸν θεὸν . . . μεν καταδεξάμενον τὸν ὑπὲρ ἁπάντων σωτηριώδη θάνατον, καὶ ἐπὶ καιρῶν διαφόρων ὀργάνοις χρῆται πρὸς ἐνέργειαν τῆς κακίας αὐτοῦ καὶ πρὸ τοῦ νόμου καὶ μετὰ τὸν νόμον εἰς εἰδωλολατρείαν ὑπεσκέλισε τοὺς ἀνθρώπους, μετὰ δὲ τὴν ἔνθεον τοῦ κυρίου ἐνανθρώπησιν κατήνεγκεν αὐτοὺς εἰς αἱρέσεις καὶ κακοδοξίας καὶ σχίσματα καὶ καινοφωνίας καὶ πλάνας παντοίας ἐπὶ τῷ ἀποστῆσαι τοῦ πεποιηκότος θεοῦ. ἐπεὶ γοῦν εἶδεν ὁ ἀντικείμενος τὰς μηχανὰς αὐτοῦ καὶ κακουργίας ἐκείνας καταργηθείσας τῇ θείᾳ δυνάμει, νῦν πρὸς τὸ τελευταῖον καὶ μεῖζον κακὸν, τὰς γοητείας δηλονότι καὶ μαγίας καὶ ἐπῳδὰς, τὸ ταλαίπωρον γένος τῶν ἀνθρώπων ἐκκλῖναι ἀντιτεχνᾶται, καὶ τῆς νόσου ταύτης μεταδίδωσι τοῖς ἀκεραιοτέροις καὶ ἁπλουστέροις καὶ ἀφυλάκτως ἐξ ἀπροσεξίας βιοῦσι, καθὼς

πάντως ἐγνωρίσατε, ἐν κυρίῳ τέκνα μου ἀγαπητά, καὶ ὅπως ὑπέβαλεν ὁ ἐχθρὸς καὶ ταυτηνὶ τὴν γυναῖκα τὴν Ἀμαραντίναν μαγείαις πρότερον προσκειμένην καὶ ἀπὸ κοιλίας μαντικὰς φλυαρίας φθεγγομένην καὶ διαβολικὰς καὶ πάσης ἀσεβείας μεστὰς εἴς τε ἀθέτησιν τῆς ὀρθοδόξου καὶ εὐσεβοῦς τῶν χριστιανῶν πίστεως καὶ εἰς ἀπάτην καὶ πλάνην καὶ ψυχικὸν αὐτῶν ὄλεθρον, καὶ ὅπως ἀπὸ τῆς τοιαύτης πλάνης παρεσύρησαν, οἵτινες δὴ καὶ παρεσύρησαν, εἰς τὴν διαβολικὴν ταύτην ἀπάτην. ἦν οὖν ἡ τοιαύτη ἀσέβεια ἐπὶ χρόνοις ἱκανοῖς κρυπτομένη τε καὶ λανθάνουσα, προμηθευσαμένη δὲ ἡ μετριότης ἡμῶν, Χριστοῦ χάριτι, κατὰ τὸ εἰκὸς καὶ διὰ φροντίδος ποιησαμένη, ὥστε καταφανῆ καὶ φανερὰν γενέσθαι τὴν τοιαύτην συγκεκαλυμμένην πλάνην, μετὰ τῆς προσηκούσης πρότερον παραινέσεως ἐξήνεγκε καὶ βάρος ἐκκλησιαστικοῦ ἐπιτιμίου, καὶ ὁ τὴν σωτηρίαν ἁπάντων πραγματευόμενος κύριος καὶ τὰ ἐναντία διὰ τῶν ἐναντίων οἰκονομῶν οὐκ ἠνέσχετο, οὐδὲ παρεχώρησεν ἐπὶ πλέον συγκρύπτεσθαι καὶ λανθάνειν τὰ εἰρημένα τῆς Ἀμαραντίνης κακουργήματα, ἀλλὰ ταῖς ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀναξίων δούλων αὐτοῦ εὐχαῖς καὶ δεήσεσιν ἐπικαμφθείς, ὡς εὔσπλαχνος φύσει καὶ φιλοικτίρμων, εἰς μέσον παρεσκεύασε ταῦτα θριαμβευθῆναι καὶ ἀπελεγχθῆναι καὶ διὰ τῆσδε τῆς Ἀμαραντίνης ἀπὸ στόματος ἀνομολογησάσης ἐπὶ τῆς καθ' ἡμᾶς θείας καὶ ἱερᾶς συνόδου καὶ δι' ἑτέρων πολλῶν προσδραμόντων τῇ κοινῇ μητρὶ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, τῷ κοινῷ τῶν ψυχῶν ἰατρείῳ, καὶ ἐξομολόγησιν καθαρὰν ποιησαμένων καὶ πρὸς θεραπείαν καὶ ἐξιλασμὸν προσήκοντα λαβόντων καὶ τὰ φάρμακα. τοῦτο δὲ γέγονεν εὐδοκίᾳ θεοῦ, ὡς ἂν μὴ καθόλου τὸ τῶν χριστιανῶν ἀπόληται γένος, ἐνεργουμένων καὶ ἔτι τῶν τοιούτων θεομισῶν ἀσεβημάτων καὶ μιασμάτων, διὰ ταῦτα γὰρ ἐπῆλθον ἀπὸ τῆς θεηλάτου καὶ δικαίας ὀργῆς ἐξ ἀγανακτήσεως οἵ τε λιμοὶ καὶ λοιμοὶ ἐκεῖνοι καὶ οἱ τῆς γῆς ἀνατιναγμοὶ καὶ σεισμοί, ἐκ θεμελίων ταύτην σαλεύοντες, καὶ αἱ τῆς θαλάσσης φοβεραὶ ἐκδρομαὶ καὶ ἐπικλύσεις, βρυχωμένης ὥσπερ ἐν θυμῷ καὶ παρερχομένης τὰ ἑαυτῆς ὅρια, καὶ οἱ κατακλυσμοὶ καὶ οἱ ἐνσκήψαντες ἐμπρησμοὶ καὶ οἱ τοσοῦτοι ἐμφύλιοι πόλεμοι καὶ ἡ ἀπροσδόκητος ῥομφαία τοῦ θανατικοῦ καὶ ὁ φόνος τῶν ὁμοφύλων χριστιανῶν ἀδελφῶν καὶ γνησίων συγγενῶν ὑπ' ἀλλήλων, φεῦ, καθ' ἑκάστην φονευομένων, ἀγνοησάντων τοὺς ὅρους τῆς φύσεως, ὑπὸ τῆς τοῦ διαβόλου φρενοβλαβίας

καὶ ἡ παρὰ τῶν βαρβάρων καὶ ἀσεβῶν ἐχθρῶν καὶ ἀθέων ἐπελθοῦσα χαλεπὴ καὶ μεγάλη αἰχμαλωσία καὶ ὁ ἀφανισμὸς καὶ ἡ φθορὰ καὶ ἡ διασπορά, ἣν ὑπέστη καὶ ὑφίσταται ἀθλίως τὸ τῶν χριστιανῶν γένος, περὶ ὧν οὔτε ἀκούειν δυνατὸν, οὔτε λέγειν ἀδακρυτί. διὰ ταῦτα παρακαλῶ ὑμᾶς καὶ ἐκ μέσης τῆς ψυχῆς παρακαλῶ, τέκνα μου ἐν Χριστῷ ἀγαπητὰ, ἵνα ἐπιστρέψητε ἕκαστος ὑγιῶς καὶ γνησίως καὶ ἐξ ὅλης ψυχῆς καὶ διανοίας πρὸς θεὸν τὸν μόνον σώζειν δυνάμενον, καὶ ἔχητε πρὸ ὀφθαλμῶν τὸν φόβον αὐτοῦ, καὶ προσέχητε, πῶς περιπατεῖτε καὶ συντηρεῖτε καὶ φυλάσσετε ἑαυτοὺς ἀκλονήτους εἰς τὴν πατροπαράδοτον καθαρὰν καὶ ὀρθόδοξον εὐσέβειαν καὶ πίστιν ὑμῶν, καὶ ἀπέχησθε καθόλου ἀπὸ τῆς ἐπιμιξίας καὶ συμφιλιώσεως καὶ κοινωνίας τῶν τοιούτων ψυχοφθόρων καὶ λυμεώνων, καὶ ἔχητε καὶ τὴν μετ' ἀλλήλων ἐπαινετὴν εἰρήνην καὶ ἀγάπην, μεμνημένοι τοῦ μεγάλου ἀποστόλου Παύλου διδάσκοντος· „ἀδελφοὶ, εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψετε τὸν κύριον.“ καὶ κατὰ τὸν αὐτὸν μέγαν ἀπόστολον ἐπεκτείνησθε τοῖς ἔμπροσθεν καλοῖς ἔργοις καὶ κατορθώμασι, καὶ ἐνθυμῆσθε τὸ ἐπίκηρον καὶ βραχὺ τῆς παρούσης ζωῆς, τάς τε μελλούσας αἰωνίους τῶν ἀγαθῶν κληρουχίας τῶν καλῶς καὶ θεαρέστως ἐνταῦθα βεβιωκότων καὶ τὰς ἀτελευτήτους κολάσεις τῶν ἀμετανοήτως ἁμαρτανόντων, ἵνα διὰ τῆς καλῆς ὑμῶν ἀναστροφῆς καὶ πολιτείας καὶ ἐκπληρώσεως τῶν θείων ἐντολῶν δοξάζηται τὸ πανάγιον ὄνομα τοῦ θεοῦ, ἐδιδάχθητε δὲ καὶ ἐν τῇ τοῦ ἁγίου βαπτίσματος ἀποταγῇ τῶν σατανικῶν ἔργων καὶ τῇ τοῦ Χριστοῦ συνταγῇ τὰ ἀρέσκοντα τῷ θεῷ καὶ τὴν τῶν κακῶν ἀποφυγὴν καὶ ἀλλοτρίωσιν. φοβηθῶμεν τοίνυν, ἀγαπητοὶ, καὶ ἀποστήτω ἕκαστος ἀπὸ τῶν πονηριῶν ὑμῶν, καὶ μὴ καταδεχέσθω συναπάγεσθαι τοῖς τοῦ διαβόλου θεραπευταῖς, ἀλλὰ σπουδαζέτω τὴν ἑαυτοῦ ψυχὴν τῆς αἰωνίου κατακρίσεως περισώσασθαι, γέγραπται γὰρ, ὅτι πάντες παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος πρὸς ὃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε πονηρὸν, ἐπεὶ καὶ αἱ κατὰ τὸ θεῖον, ὡς εἴρηται, βάπτισμα συνθῆκαι καὶ συνταγαὶ μεγάλαι καὶ οἱ μάρτυρες αἰδοῦς ἱκανοὶ ἄγγελοι, καὶ γὰρ κατὰ τὸν καιρὸν ἐκεῖνον τὴν ὁμολογίαν ἐγγράφουσιν, ἣν καὶ ἀπαραιτήτως ἀπαιτηθησόμεθα ἐν τῇ φοβερᾷ παρουσίᾳ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ ἡμέρᾳ τῆς μελλούσης ἀνταποδόσεως. τίς οὖν οὐ τρέμει τὸ λο-

γοθέσιον ἐκεῖνο τὸ μέγα καὶ ἀδέκαστον, ὅτε παραστησόμεθα γυμνοὶ καὶ τετραχηλισμένοι ἐπὶ τοῦ φοβεροῦ καὶ ἀπαραλογίστου κριτηρίου ἐκείνου, λόγον ἀπαιτούμενοι τῶν πεπραγμένων; τί λέγεις, ἄνθρωπε; χθὲς ἀπετάξω τῷ σατανᾷ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, καὶ τῷ Χριστῷ συνετάξω, νῦν δὲ θεραπευτὴς ἐγένου τοῦ διαβόλου; οὐ φοβεῖ, οὐδὲ τρέμεις; πρὸς τίνα τὰς συνθήκας ἐποίησας; οὐκ ἤκουσας τὴν ἀπόφασιν τὴν· ἀποχωρεῖτε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀνομίας, καὶ ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ αὐτῶν οὐ σβέννυται, καὶ δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ ῥίψατε εἰς τὸ σκότος τὸ ἐξώτερον; τί ταῦτα περιφρονοῦμεν ὡς μὴ ἀκούοντες; τί τὸν καιρὸν τῆς μετανοίας ἀναβαλλόμεθα; ἵνα τί οὐ φροντίζομεν τῆς ἡμῶν σωτηρίας, ἕως καιρός; αὔριον ἥξει ἀπὸ τοῦ θανάτου τέλος, καὶ οὐκ ἔστιν ἐν τῷ ᾅδῃ μετάνοια, οὐδὲ ἐπιστροφὴ καὶ ἐξομολόγησις, ἀλλὰ κάθειρξις διηνεκὴς καὶ ἀνταπόδωσις τῶν ἑκάστου πλημμελημάτων· εἴ τι οὐκ ἐμοὶ πείθοισθε, τέκνα μου ἀγαπητὰ καὶ φίλοι καὶ ἀδελφοί, ἐπιστρέψατε καὶ ἐπίγνωτε διὰ τῆς μετανοίας καὶ ψυχικῆς κατανύξεως ἐν συντριβῇ καρδίας καὶ πνεύματι ταπεινώσεως τὸν κύριον, ἵν' οὕτω καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν κληρονόμοι γένοισθε, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπήσασιν αὐτὸν ἐκ ψυχῆς καὶ τὰς σωτηρίους αὐτοῦ φυλάξασιν ἐντολάς. καὶ ταῦτα μὲν οὕτως ἀπὸ τῆς τοῦ θεοῦ χάριτος· ἵνα δὲ ἐξ αὐτῶν τῶν ἔργων καὶ τῶν πράξεων λάβητε πληροφορίαν, ὅπως διὰ τῶν ἐναντίων τὰ ἐναντία οἰκονομεῖ ἡ ἄφατος ἀγαθότης τοῦ θεοῦ, καὶ δόξαν αὐτῷ καὶ εὐχαριστίαν ἀναπέμψητε πάντες, βλέπετε, ἰδού, καὶ τὴν δηλωθεῖσαν Ἀμαραντίναν γνησίως καὶ ὁλοψύχως μετανοήσασαν καὶ διὰ τῆς καλῆς ἐξομολογήσεως προσελθοῦσαν Χριστῷ καὶ τὸ μοναχικὸν σχῆμα μεταμφιασαμένην καὶ τὴν τοῦ Χριστοῦ μεγαλοφώνως ἀνακηρύττουσαν δύναμιν καὶ εὐαγγελιζομένην τὰ νικητήρια καὶ τὸν ἐχθρὸν στηλιτεύουσάν τε καὶ καταισχύνουσαν καὶ θριαμβεύουσαν καὶ καταργοῦσαν καὶ ἀναθέματι καθυποβάλλουσαν καὶ αὐτὸν δὴ τὸν διάβολον καὶ τὰ ἔργα τῆς πονηρίας αὐτοῦ καὶ τοὺς ὁπωσδήποτε μεταχειριζομένους καὶ ἐργαζομένους αὐτά, διὸ δὴ καὶ ὡς προθεμένη ἀσπασιώτατα διὰ πάσης αὐτῆς τῆς ζωῆς κατὰ τὸ μοναχικὸν ἐπάγγελμα πολιτεύεσθαι καὶ θεοφιλῶς καὶ θεαρέστως βιοῦν καὶ τὴν σωτηρίαν ἑαυτῆς πραγματεύεσθαι προσεδέχθη παρὰ θεοῦ τοῦ τὸ πλανώμενον ἐπιστρέφοντος καὶ τοὺς μετανοοῦντας προσδεχομένου καὶ μηδένα τῶν πρὸς

αὐτὸν ἐρχομένων ἔξω βάλλοντος· οὐδὲ γὰρ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, ἐπεὶ καὶ οὐδέ ἐστιν ἁμαρτία ἡ νικῶσα τὴν τοῦ θεοῦ φιλανθρωπίαν, φησὶ δὲ καὶ ὁ θεῖος φωστὴρ καὶ μέγας τῆς οἰκουμένης διδάσκαλος ὁ Χρυσόστομος, ὅτι „οὐδὲ πατὴρ φιλοστοργότητος οὕτως ἀγαπητικῶς ἐξέχεται τοῦ ἰδίου τέκνου, ὡς ὁ δημιουργὸς ἁπάντων καὶ πατὴρ, ὁ θεὸς ἡμῶν, τὴν τοῦ ἰδίου πλάσματος βούλεται σωτηρίαν.“ ταῦτα οὖν ὁρῶντες, ἀγαπητοὶ, δοξάσατε καὶ μεγαλύνατε τὰ τοῦ θεοῦ θαυμάσια τοῦ ἐπὶ τὸ συμφέρον τὰ πάντα μετασκευάζοντος, οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ καὶ θεῷ ἡμῶν Ἰησοῦ σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, οὗ καὶ ἡ χάρις διαφύλαξαι ὑμᾶς ἅπαντας ἀβλαβεῖς καὶ ψυχῇ καὶ σώματι καὶ ἀνωτέρους παντὸς ἀνιαροῦ συναντήματος πρεσβείαις τῆς πανυπεράγνου καὶ ὑπερευλογημένης δεσποίνης καὶ θεομήτορος καὶ ἱκεσίαις πάντων τῶν ἁγίων· ἀμήν †.

CXXXV. (6859—1350) decembri ind. IV.

Patriarcha nominat visitatores eisque clerum in disciplinam tradit.

† Περὶ τῶν ἀποταχθέντων ἐξάρχων εἰς τοὺς ἐν Κωνσταντινουπόλει ἱερεῖς δι' ἐνταλτηρίων δεσποτικῶν τιμίων γραμμάτων †.

I. † Τοὺς τὴν καθολικὴν τῶν ψυχῶν προσρασίαν καὶ ποιμανσίαν πεπιστευμένους παρὰ θεοῦ πρόσηκόν ἐστιν ἐπιμελεῖσθαι καὶ παντοίαν εἰσφέρειν σπουδὴν κἀκείνους ἐπιζητεῖν, ἐξ ὧν ἂν, ὡς ἀπό τινων ἀρχετύπων ἀκολούθως κατὰ μετάδοσιν, ὁ τῶν ἁγιασμάτων φωτισμὸς ἐπαινετῶς ἐκ τῶν ἔργων τοῖς χρῄζουσι περιγίνοιτο. καταστάσεως γὰρ ὢν ὁ θεὸς αἴτιος, καθά φησιν ὁ θεῖος ἀπόστολος, τὴν τάξιν κρατεῖν ἐπὶ πᾶσιν ἐθέσπισεν, ἥτις καὶ τὰ οὐράνια καὶ τὰ ἐπίγεια συνέχει· τούτου γὰρ καλῶς τηρουμένου καὶ ἡμεῖς συνεργοῖς ἑκασταχοῦ χρώμεθα, τὸ μέτρον ἑκάστου καὶ τὸν βαθμὸν, ἐν οἷσπερ αὐτὸν ἡ τοῦ θεοῦ χάρις ἐκάλεσε, δοκιμάζοντες, καὶ οὕτω τὸ καλὸν σῶμα τῆς ἐκκλησίας, ὑπὲρ ἧς ὁ Χριστὸς τὸ ἴδιον αἷμα ἐξέχεεν, (αὐτῆς γάρ ἐστι κεφαλὴ,) τῇ τούτου εὐδοκίᾳ εἰς μίαν ἁρμονίαν συνάγομεν. πρὸς τί δὴ ταῦτα ἡμῖν εἴρηται; ὡς ἡ τῆς ἱερωσύνης ἀξία καὶ τὸ θεῖον αὐτῆς σέμνωμα ὅπως

μὲν ὑπέρκειται πάσης τιμῆς, ὅπως δὲ καὶ ἀγγέλοις αὐτοῖς ἐστιν αἰδέσιμον, πάντες εἰσὶν εἰδότες οἱ τῶν θείων δηλαδὴ ναμάτων τῆς θεοπνεύστου γραφῆς μετ' ἐπιστήμης ἐμφορηθέντες, μόνοις γὰρ ἂν τοῖς τοῦ θεοῦ ἀγγέλοις ἐπάξιον ἦν τὸ τοιοῦτον ἀξίωμα, ὡς ἀληθῶς φέρον ἐκτύπωμα τοῦ Χριστοῦ, ἐπεὶ καὶ παρὰ τοῦ χριστωνύμου λαοῦ ὁ τὸ σχῆμα τοῦτο πεπιστευμένος καὶ ἀκραιφνὲς καὶ τέλειον συντηρῶν θεὸς ἄντικρυς νομίζεται, ἅτε ἱερουργὸς τῆς ἀναιμάκτου θυσίας καὶ τάξιν φωτιστικὴν ἐπέχων κατὰ τὸν μέγαν Διονύσιον τὸν θεοφάντορα, ὡς καὶ τοῖς λοιποῖς ἀναλόγως ἔχειν αὐτὴν ὑφηγεῖσθαι· ἐπεὶ δὲ τὸ παρ' ἀγγέλων ἡμᾶς τὰ τῆς ἱερουργίας ταύτης μυστήρια δέχεσθαι προσύλους ὄντας οὐ δυνατὸν ἦν, (μόλις γὰρ τὰ κατ' αἴσθησιν καὶ κατ' ὀφθαλμοὺς ὁρώμενα συνορᾶν ἔχομεν,) ὁ τῶν ἡμετέρων ἁπάντων μέγας προμηθεὺς καὶ οἰκονόμος, ὁ ἀφάτῳ συγκαταβάσει οὐρανόθεν κατελθεῖν εὐδοκήσας ἐπὶ τὴν ἀνθρωπίνην ἐσχατιὰν κύριος ὁ θεὸς ἡμῶν, πλούσιος ὢν ἐν ἐλέει καὶ οἰκτιρμοῖς, διὰ τῶν καθ' ἡμᾶς σάρκα ἐνδεδυμένων ἀνθρώπων συγγενικῇ διαθέσει ἐδωρήσατο τὰ τῆς ἱερουργίας ἐπὶ σωτηρίᾳ θεῖα μυστήρια ἐκτελεῖσθαι, οὐ μὴν σαρκικῶς ἢ χαμερπῶς τε καὶ ἀνθρωπίνως, ἀλλ' ὑψηλῶς, κατὰ τὴν τοῦ θεοπάτορος καὶ μεγάλου ἐν προφήταις καὶ βασιλεῦσι Δαυὶδ ῥῆσιν τό· „οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην," τοῦτ' ἔστι πᾶσαν ἀρετὴν μετ' ἀκριβείας καὶ ἀληθείας καὶ ἀγγελικῶς καὶ θείως καὶ ἡγνισμένως καὶ μετὰ καθαρότητος προσαρμοζούσης τοῖς τῷ θεῷ ἱερᾶσθαι λαχοῦσι καὶ δοχεῖα οὖσιν αὐτοῦ. ἔνθεν τοι καὶ τῆς κρείττονος τυχόντες οἱ ἱερεῖς τάξεως, καθ' ὃν εἴρηται τρόπον, ὀφείλουσιν πάντως κοσμεῖν ἑαυτοὺς καὶ τοῖς τῶν ἀρετῶν ἔργοις ἀπευθύνειν εἰς μίμησιν κατὰ τὸ ἐφικτὸν τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως καὶ καλοῦ ποιμένος, κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ τὰ ἴδια πρόβατα καλοῦντος κατ' ὄνομα ἀπὸ τῆς ζωῆς ταύτης ἐπὶ τὴν μέλλουσαν καὶ τοῖς δικαίοις ἀποκεκληρωμένην καὶ ἀκολουθεῖν κατ' ἴχνος τοῖς θείοις αὐτοῦ διδάγμασι καὶ ταῖς ἐντολαῖς, ἀλλὰ μὴ ταῖς οὐ καλαῖς βιωτικαῖς περιστάσεσι καὶ τοῖς γηίνοις τούτοις καὶ προσκαίροις προστετηκότες χραίνεσθαι, ἐντεῦθεν καὶ τὸν τῆς ψυχῆς ὀφθαλμὸν ἀμβλύνειν καὶ οὕτω βίον αἱρεῖσθαι ἀπάδοντα καὶ μὴ συμφωνοῦντα τῷ ἱερατικῷ σχήματι, ὡς τῇ αἰτίᾳ ταύτῃ συμβαίνειν, τὴν μὲν γλῶσσαν ἐπιρρεπῆ πρὸς τὸ ψεῦδος ἔχειν αὐτούς, φιλαργύρους δὲ φαίνεσθαι καὶ οἰνοπότας, πλεονεξίαις χαίροντας καὶ φιλοκερδεῖς ἀσχημό-

νως καὶ τὸ μέγα τῆς ἱερωσύνης ὕψος, φεῦ, κατασπῶντας εἰς ἐμπορίαν προδήλως κατεγνωσμένην, ὀλίγα τοῦ κατὰ ψυχὴν ἐντὸς ἀνθρώπου φροντίζοντας, τὸν δ' ἔξω καὶ σωματικὸν θεραπεύειν μόνον προθυμουμένους, ὡς γίνεσθαι τὸν ἱερέα ὡς τὸν λαὸν, μόλις γὰρ ἂν τῷ περιόντι τῶν καλῶν ἔργων δυνηθεῖεν οἱ ἱερεῖς ἕλκειν εἰς μίμησιν τοὺς εἰς αὐτοὺς βλέποντας· ἐὰν δὲ φαῦλον ἀρχέτυπον φαίνωνται, καταγινωσκόμενοι, πόσης ἂν εἴη τοῦτο τῆς κατακρίσεως ἄξιον; διὰ ταῦτα διασκεψαμένη ἡ μετριότης ἡμῶν ἀσφάλειαν τὴν πρέπουσαν ἐποιήσατο καὶ τῆς τῶν ἱερέων διορθώσεως, Χριστοῦ χάριτι, καὶ ἐξελέξατο ἀπὸ τῶν ἐν τῇ θεοδοξάστῳ Κωνσταντινουπόλει τοιούτων ἱερέων τοὺς μεμαρτυρημένους ἀντιποιεῖσθαι μάλιστα βίου θεοφιλοῦς καὶ κρείττονας καὶ εὐλαβεστέρους, καὶ κατέστησε καθ' ἑκάστην γειτονίαν εἰς ἐξάρχους τῶν λοιπῶν ἱερέων ἐπὶ τῷ κατὰ τὴν πρὸς αὐτοὺς ἀνάθεσιν μετὰ πάσης προσοχῆς καὶ συντηρήσεως ἐπιβλέπειν αὐτοὺς καὶ διδάσκειν καὶ παραινεῖν, ὅσα εἰς σύστασιν καὶ κόσμον ἀφορῶσιν αὐτῶν καὶ ἀσφάλειαν τῆς ἐκκλησιαστικῆς καταστάσεως, ὡς ἂν ἐντεῦθεν τὸ τίμιον καὶ αἰδέσιμον ἔχοντες οἴκοθεν τῆς πρεπούσης ἀξιῶνται εὐλαβείας καὶ παρὰ τοῦ κοινοῦ δημώδους λαοῦ, καὶ ἔχωσιν οὗτοι πρὸς αὐτοὺς τὸ σέβας προσερχόμενοι καὶ ζητοῦντες τὸν ἁγιασμὸν παρ' αὐτῶν μετ' αἰδοῦς τε καὶ εὐπειθείας, καὶ οὐδὲν καθυβρίζηται τὸ μέγα τοῦτο τῆς ἐκκλησίας κεφάλαιον διὰ πολιτείας φαύλης, ὡς εἴρηται· γινωσκέτωσαν γὰρ εἰς βεβαίαν καὶ ἀναμφίβολον πληροφορίαν, ὅτι, ὃς ἂν ἀπὸ τοῦ νῦν εὑρεθῇ τῶν ἱερατικῶς ἐξυπηρετούντων θεῷ ἀναστρεφόμενος μετὰ λαϊκῶν ἐν συμποσίοις ἢ ἀσυνέτως καὶ ἀφυλάκτως περιπατῶν ἢ μάχαις καὶ ταραχαῖς καὶ στάσεσι χαίρων ἢ ἐμπορίαν ποιούμενος κατεγνωσμένην καὶ ἀπείργουσαν τὸ ἱερατικὸν ἀξίωμα, ἢ ὁπωσδήποτε ἀπελεγχθείη διάγων παρὰ τὴν προσαρμόζουσαν ἱερατικὴν κατάστασιν καὶ ἀκρίβειαν, ἐκπεσεῖται αὐτίκα τῆς ἀξίας καὶ δόξης τοῦ σεμνώματος τοῦ ἱερατικοῦ, καὶ τοῦ χοροῦ τῶν ἱερέων ἀποτμηθήσεται, καὶ μακρὰν ἀπορριφήσεται, ὡς ἀνάξιος κατὰ τὴν κανονικὴν παρατήρησίν τε καὶ παρακέλευσιν †.

---

† Ὑπόσχεσις τῶν αὐτῶν †.

II. † Ἐπεὶ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, τῆς τῶν ἁπάντων σωτηρίας καὶ εὐταξίας κηδόμενος, ὡς ἀπὸ

θεοῦ καταπεμφθεὶς εἰς κοινὸν φωτισμὸν καὶ ἁγιασμὸν, τὰς ἀνωτέρω κατὰ μέρος εἰρημένας παρατηρήσεις καὶ διδασκαλίας παρηγγυήσατο, ὑπὸ τοῦ παναγίου πνεύματος κινούμενός τε καὶ ὁδηγούμενος, ἃς καὶ ὡς ἀπ' αὐτοῦ τοῦ θεοῦ ἐδεξάμεθα ὁλοψύχως, ὑπισχνούμεθα ἤδη ἐγγράφως, ἵνα φυλάττωμεν τὰς τοιαύτας διατάξεις καὶ ὑποτυπώσεις ἀπαραποιήτους τε καὶ ἀπαραθραύστους, καὶ συντηρώμεθα κατὰ πάντα ἐπὶ τῇ τούτων ἀσφαλείᾳ καὶ ἐκπληρώσει. ἐὰν δὲ, ὅπερ ἀπευχόμεθα, ἀπελεγχθῶμεν ἐπὶ παραβάσει καὶ ἀθετήσει αὐτῶν, καταδικαζώμεθα καὶ ἐκπίπτωμεν ἀσυμπαθῶς καὶ τῆς ἱερωσύνης ἡμῶν, καὶ εὐθυνώμεθα ὡς τὰς ἐκκλησιαστικὰς καὶ ἀποστολικὰς παραδόσεις περιφρονοῦντες. μηνὶ δεκεβρίῳ ἰνδ. δ' †.

† Περὶ τῶν ἐκλεγέντων πνευματικῶν διὰ τοιούτων δεσποτικῶν τιμίων ἐνταλτηρίων †.

III. † Ἡ τοῦ φιλαγάθου θεοῦ ἡμῶν περὶ τὸ ἡμέτερον γένος κηδεμονία σοφῶς τὰ πάντα διοικονομουμένη καὶ διευθύνουσα τὴν τῆς πνευματικῆς χάριτος ἐπιστήμην ἀρχῆθεν τοῖς τὴν ποιμαντικὴν καὶ διδασκαλικὴν ἀξίαν λαχοῦσιν ἱεράρχαις ἐπέτρεψεν, εἰς δοχεῖον τοῦ ἁγίου πνεύματος παρασκευάσασιν ἑαυτοὺς, ἀλλ' ἡ μέριμνα καὶ φροντὶς τῶν ἐκκλησιῶν καὶ ἡ μετὰ σπουδῆς ἐπεκδίκησις τῶν ἀδικουμένων καὶ αἱ τῶν χηρῶν καὶ ὀρφανῶν ἐποφειλόμεναι ἀντιλήψεις καὶ προστασίαι, προσέτι γε μὴν καὶ τὰ παρὰ τοῦ κοινοῦ ἐχθροῦ τῷ ἀνθρωπίνῳ γένει τῶν αἱρέσεων κύματα θαλάσσης δίκην ὑπ' ἀνέμων τραχυνομένης κατὰ τῆς ὀρθοδόξου πίστεως ἐγειρόμενά τε καὶ ἐπικλύζοντα στασιαστῶν καὶ χαιρεκάκων ἀνθρώπων ὑπὸ τοῦ πονηροῦ ἐνεργουμένων κατὰ διαφόρους καιρούς τε καὶ χρόνους ἐπανισταμένων ἀφρόνως οὐκ ἐφῆκε τούτοις βοηθεῖν κατὰ σκοπὸν καὶ θεραπεύειν ἐπιστημονικῶς τοὺς βέλει τῆς ἁμαρτίας πεπληγμένους, κἀντεῦθεν ποικίλοις καὶ διαφόροις τραύμασι καταστίκτους γεγενημένους καὶ πολλῶν τῶν φαρμάκων καὶ τῶν ἰάσεων δεομένους. διὰ τοῦτο τὸ τῆς πνευματικῆς ταύτης διακονίας λειτούργημα τὸ κατ' ἐκείνου καιροῦ τοῖς ἱερατικῶς θεῷ ἐξυπηρετουμένοις, κεκαθαρμένοις οὖσι καὶ ἀρετῆς καὶ βίου θεοφιλοῦς ἀντιποιουμένοις καὶ εὖ μάλα πεπειραμένοις ψυχῶν προΐστασθαι καὶ χειραγωγεῖν αὐτὰς πρὸς τὴν σωτηρίαν παρὰ τῶν τοιούτων προστατῶν καὶ πνευματοφόρων πατέρων

καὶ διδασκάλων ἀνετέθη, ὡς εἰκὸς, κατὰ μετάδοσιν θειοτέραν. ἣν οὖν τοῦθ' οὕτω καλῶς καὶ θεαρέστως προβαῖνόν τε καὶ γινόμενον, ἐπεὶ δὲ ταῖς κατὰ μικρὸν ἐπήρειαις τὰ τῆς θεοφιλοῦς ταύτης ἐσβέννυτο καταστάσεως, καὶ ὁ τοῦ κόσμου ἄρχων, ἅτε δὴ τῶν ζιζανίων σπορεύς, οὐκ ἐπαύετο χρώμενος ταῖς κακίσταις αὐτοῦ μεθοδείαις καὶ μηχαναῖς εἰς ἐξαπάτην καὶ ἐξουθενισμὸν καὶ ἀνδραποδισμὸν τῶν ψυχῶν, ἵνα μὴ κατακαυχήσηται ὁ ἐχθρὸς καὶ καθυβρίσῃ τὸν ἐπαινετὸν τοῦτον λιμένα τῆς σωτηρίας ἡμῶν, οἱ παρὰ τοῦ θείου πνεύματος τυπωθέντες καὶ ἐλλαμφθέντες τοιοῦτοι θεοφόροι πατέρες ἡμῶν καὶ διδάσκαλοι τῇ ἐνούσῃ τούτοις πνευματικῇ καὶ τελειοποιῷ σοφίᾳ καὶ χάριτι σοφῶς ἄγαν καὶ εὐαρμόστως ἀντιτεχνώμενοι συναιρομένου θεοῦ μετὰ δοκιμασίας τῆς προσηκούσης ἐκλέγονται καὶ ἀνατιθέασι τὸ τοῖς χριστιανοῖς περισπούδαστον καὶ κατὰ ψυχὴν λυσιτελέστατον ἔργον τοῦτο τοῖς τὸν μονήρη βίον ἐπαγγελλομένοις καὶ ἱερωσύνης ἀξιώματι κοσμηθεῖσι καὶ χάριτος θείας πεπληρωμένοις καὶ τῷ τοῦ παναγίου πνεύματος φωτισμῷ πεῖραν καὶ εἴδησιν ἀκριβῆ κεκτημένοις, ὥστε δὴ θεραπεῦσαι τοὺς ἰχῶρας καὶ τὰ ἕλκη καὶ καύσεσι καὶ τομαῖς χρῆσθαι εἰς τὰ σεσηπότα καὶ τοὺς ἀπεγνωκότας τῷ βάρει τῆς ἁμαρτίας ἀναλαμβάνειν τε καὶ κουφίζειν τῷ τῆς μετανοίας πτερῷ καὶ τὸν μὲν διεγείρειν ἐπὶ τὰ κρείττονα, τὸν δὲ νουθετεῖν, τὸν δὲ κατάρδειν ψυχωφελῶς ἀπὸ τοῦ θείου νάματος τῶν θεοπνεύστων γραφῶν, ἕτερον παρακαλεῖν, ἄλλον οἰκονομικῶς ἀναψύχειν καὶ ἁπλῶς τοῖς πᾶσι τὰ πάντα γίνεσθαι κατὰ τὸν μέγαν ἀπόστολον, ἵνα τοὺς πάντας κερδήσωσι καὶ θεῷ οἰκειώσωσι, τοῦ βάρους τῶν διανοιῶν μετ' ἐρεύνης ἀφικνούμενοι τῶν ἐξαγορευμένων καὶ τὰς ἐνεργείας διασκοπούμενοι καὶ κατάλληλα κατὰ τὴν τῶν προσώπων ποιότητα ἐπιτιθέντες τὰ φάρμακα, προσευχόμενοι μὲν διηνεκῶς καὶ ἀγρυπνοῦντες ὑπὲρ τῶν ἁμαρτανόντων καὶ πόρρω τοῦ θεοῦ ἑστηκότων, τοῦτο δὲ μόνον ἔχοντες τροφὴν, τὴν τῶν ἁμαρτωλῶν ἐπιστροφὴν καὶ μετάνοιαν. ἐπεὶ γοῦν τοιούτους ὁ λόγος ὑπεζωγράφησε τοὺς πνευματικοὺς ἰατροὺς καὶ μετ' ἐπιστήμης εἰδότας θεραπεύειν τοὺς μώλωπας τῶν ψυχῶν, ὥστε ἀνωτέρους μὲν εἶναι παθῶν, ὡς ἂν μὴ ὡς γάγγραινά τις ἢ λοιμώδης νόσος αἱ τῶν ἐξομολογουμένων πλημμελίαι αὐτοῖς ἐπεισπίπτωσι, ἀλλὰ καταδαπανῶνται ἀθρόον, μὴ ἐπὶ πολὺ παραμένειν δυνάμεναι καὶ προσκαρτερεῖν, καθάπερ φρύγανά τινα ἢ ἄκανθαι εἰς ἄδρὰν κάμινον καὶ μεγάλην πυρκαϊὰν εἰσφε-

ρόμενά τε καὶ ἐμβαλλόμενα· τῆς γὰρ τοῦ θεοῦ χάριτος φαιδρῶς ἐπάνω τῶν καρδιῶν αὐτῶν ἐπιπαλαζούσης, ἀμολύντους καὶ καθαρὰς ταύτας περιφρουρούσης, δοχεῖον οὖσας τοῦ πνεύματος, ἅπαν μίασμα προσβολῆς εὐκόλως καταναλίσκηται, πραεῖς δὲ καὶ ταπεινοὺς φαίνεσθαι καὶ παντὸς καλοῦ ὑπόδειγμα καὶ ἀρχέτυπον καὶ πᾶσαν εἰς τοῦτο εἰσφέροντας τὴν σπουδήν, ὡς μηδὲ τῶν ἁμαρτανόντων κατεπαίρεσθαί τε καὶ κατολιγωρεῖν, ἀλλὰ συμπαθῶς αὐτοῖς ἐπικάμπτεσθαι καὶ πρὸς κατάνυξιν μάλιστα φέρειν, καὶ ὡς οἰκεῖα μέλη καταψᾶν καὶ, ὅση δύναμις, θεραπεύειν· ὅθεν καὶ τὴν προσήκουσαν περὶ τούτου θεμένη φροντίδα ἡ μετριότης ἡμῶν καὶ διασκεψαμένη ὀφειλομένως κρατεῖν καὶ ἐνεργεῖσθαι τὴν πνευματικὴν ταύτην λυσιτέλειαν καὶ κατάστασιν καὶ ἁγιασμὸν τῶν ψυχῶν, ἐν τῇ θεοδοξάστῳ καὶ μεγαλοπόλει, τῇ εὐδαίμονι ταύτῃ Κωνσταντινουπόλει, ἐκλέξασθαι δεῖν ἔγνω τοὺς ἀπὸ τῶν ἐν αὐτῇ μαρτυρουμένους ἀξίως ἔχειν καὶ εἰς τὴν τοιαύτην διακονίαν καὶ μόνοις αὐτοῖς ἐπιτρέψαι τὴν πνευματικὴν ἐξομολόγησιν, εἰς οὓς ἐθάρρησεν ἡ μετριότης ἡμῶν, ἵνα τῇ συνεργίᾳ τοῦ ἁγίου πνεύματος φυλάττωσιν ἑαυτοὺς ἀφιλαργύρους καὶ μετὰ καθαρᾶς συνειδήσεως, πρὸ παντὸς σπεύδωσιν περὶ τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν, καὶ μήτε διὰ χρήματα, μήτε διὰ φιλίαν ἢ δόξαν ἀνθρώπων ἢ ἑτέραν τινὰ προσπάθειαν ἀθετῶσι καὶ παραβλέπωσι τὸν τῆς ἀληθείας λόγον, ἀλλ' ὥσι πᾶσιν ἀνθρώποις φῶς, διαλάμποντες ἐν τῷ σκότει τοῦ βίου τούτου, πάσης ἀρετῆς ἐργάται καὶ σπουδασταί, ἀκτήμονες μὲν, ὡς μηδὲν τὰ πάντα λογιζόμενοι, ἐλεήμονες δὲ, ἐν οἷς ἂν θεοφιλῶς οἱ φιλόχριστοι καὶ θεοφιλεῖς αὐθαιρέτως αὐτοῖς βουληθῶσι προσενεγκεῖν, ἔνθεν τοι καὶ εἴπερ οὗτοι τοιοῦτοι ἀναφανεῖεν ἐν πᾶσι τοῖς εἰρημένοις διαπρέποντες, μετὰ τὴν τοῦ σώματος ἐξέλευσιν καὶ τὴν εἰς οὐρανὸν μετάστασιν ἀξιωθήσονται καὶ τὰ ἱερὰ τούτων σώματα τῆς πρεπούσης ταφῆς καὶ κηδείας μετὰ θείων ὑμνῳδιῶν καὶ χοροστασίας εὐαγγελικῆς, καὶ συναρίθμιοι γενήσονται τοῖς ἁγίοις εἰς δόξαν θεοῦ καὶ τὴν τῶν λοιπῶν μίμησιν τῶν κατὰ θεὸν προθεμένων βιοῦν, ὅσοι δὲ, ὅπερ ἀπευχόμεθα, τὸν τοῦ θεοῦ φόβον παρ' οὐδὲν λογισάμενοι καὶ τὰς ἡμετέρας ταύτας παραινέσεις καὶ ἐντολὰς ἀθετήσαντες μετὰ τὴν σωματικὴν ταύτην ἀπόθεσιν ἀναδειχθῶσι φαῦλον ἀρχέτυπον, δοῦλοί τε τῶν παθῶν καὶ ὑπὸ τῆς κακίστης φιλαργυρίας, ἣν ὁ μέγας ἀπόστολος δευτέραν εἰδωλολατρείαν προσφῶς ὀνομάζει, ἀγόμενοι ὡς ἀνδράποδα, χρυσοῦ μᾶλλον ὄντες

δοῦλοι ἢ τοῦ Χριστοῦ, καταφρονήσαντες μὲν καὶ θεοῦ, περιφρονήσαντες δὲ καὶ τὴν ἡμῶν μετριότητα, ἀποτράπαιοι γενήσονται τῆς ἐκκλησίας θεοῦ, μήτε ταφῆς, μήτε κηδείας ἀξιωθέντες, οἷα δὴ τοῖς ἀλόγοις κτήνεσιν ὁμοιωθέντες, καὶ οὐ μόνον τὰς ἑαυτῶν ψυχὰς ἀπολέσαντες, ἀλλὰ καὶ ἑτέροις ὄλεθρον ψυχικὸν, φεῦ, προξενήσαντες, ὡς μὴ ὤφελον, μηδένα λόγον ποιησάμενοι τοῦ αἰῶνος ἐκείνου καὶ τῆς μελλούσης φοβερᾶς κρίσεως καὶ ἀνταποδόσεως, ἐὰν γὰρ τὸ ἅλας μωρανθῇ, ὡς ὁ κύριος ἐν τοῖς εὐαγγελίοις ὥρισεν, ἐν τίνι ἁλισθήσεται; †

CXXXVI. 6860—1351 octobri ind. V.

Callistus confirmat iura monasterii Muguliorum.

† Δικαίωσις τῶν μοναζουσῶν τῆς τῶν Μουγουλίων μονῆς †.

† Φθάνει ἡ ὑψηλοτάτη δέσποινα τῶν Μουγουλίων, ἡ περιπόθητος δηλονότι αὐταδέλφη τοῦ ἀοιδίμου καὶ μακαρίτου βασιλέως, τοῦ πάππου τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κυρὰ Μαρία ἡ Παλαιολογίνα ἐκείνη, ἐξωνησαμένη ἀπὸ τῆς κυρᾶς Μαρίας Δουκαίνης τῆς Ἀκροπολιτίσσης ἐκείνης, ἀλλὰ δὴ καὶ τοῦ ἐπὶ θυγατρὶ γαμβροῦ αὐτῆς κῦρ Δημητρίου τοῦ Κοντοστεφάνου ἐκείνου, ἔτι τε καὶ τῆς τοιαύτης θυγατρὸς αὐτῆς τὰ προσόντα τούτοις οἰκήματα μετὰ τῶν περικλειομένων αὐτοῖς ἑτέρων μικρῶν ὁσπητίων, ὅσα δῆτα καὶ ἦσαν, πρὸ πολλῶν ἤδη χρόνων περὶ τὴν τοποθεσίαν τοῦ Φανάρι διακείμενα, τὴν οὕτω πως τηνικαῦτα ἐπιλεγομένην, τὰ Παναγίου, μετὰ πάσης τῆς περιοχῆς καὶ νομῆς αὐτῶν, τῆς τε ἐκκλησίας καὶ τοῦ λουτροῦ, πρὸς δὲ τῶν περιβολίων καὶ ἀμπελώνων καὶ τῶν ἐκτὸς τοῦ περιόρου πάντων δικαίων, ἄνευ τῆς οἰκοθεσίας τοῦ οἰκειακοῦ ἐκείνων Ἰωάννου τοῦ Θωμᾶ, ἔγγιστα καὶ σύγκολλα εὑρισκομένης τοῦ περιορισμοῦ αὐτῶν, προβάντος καὶ παλαιγενοῦς ἐγγράφου πρατηρίου φέροντος καὶ τὰς διὰ σταυρικοῦ τύπου οἰκειοχείρους προταγὰς καὶ σιγνογραφίας αὐτῶν καὶ ταβελλίωνι πεπιστωμένου, ὥσπερ εἴθισται καὶ νενόμισται, ἐπὶ τιμήματι ὑπερπύρων εὐστάθμων τετρακισχιλίων, ἐφ' ᾧ κατὰ τὸν θεοφιλῆ σκοπὸν ἐκείνης δὴ τῆς ὑψηλοτάτης δεσποίνης τῶν Μουγουλίων μεταποιῆσαι ταῦτα καὶ ἱερὰν θεῷ μονὴν ἀναδείμασθαι καὶ λιμένα ψυχῶν κατὰ θεὸν προθεμένων βιοῦν, παρασκευάσαι τε καὶ συνστήσασθαι, ὃν δὴ τρόπον κατὰ μέρος διέξεισιν καὶ διαλαμβάνει τὸ προβὰν τοιοῦτον παλαιγενὲς

γράμμα τῆς πράσεως· τῆς γοῦν ἐξωνήσεως τὸν τρόπον τοῦτον γεγενημένης ἐκείνη κατὰ τὴν ἣν ἐνέστήσατο ἀρχῆθεν τοιαύτην φιλόθεον καὶ ἐπαινετὴν πρόθεσιν μετὰ καρδιακῆς σχέσεως καὶ θερμῆς προθυμίας, εὐθὺς εἰς τὸν πνευματικὸν καὶ ψυχωφελῆ τοῦτον ἀγῶνα ἐπαποδύεται καὶ ταῖς παρ' ἑαυτῆς ἐπιμελείαις καὶ κόποις καὶ πλείστοις δή τισιν ἀναλώμασι τὴν ῥηθεῖσαν μεταποίησιν ἐποιήσατο, καὶ πρὸ παντὸς ἥδρασε καὶ ἐστήριξε περιποιησαμένη τὸν ἐκεῖ θεῖον ναὸν τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Παναγιωτίσσης, κελλία τε ἐκ βάθρων ἀνέκτισεν, ὡς ὁρᾶται, καὶ οὕτω δὴ μοναστήριον συνεστήσατο καὶ καταγώγιον μοναχῶν ἀνατεθειμένων καὶ ἀφιερωμένων θεῷ ἐκ βρεφικῆς τῆς ἡλικίας, ἄλλην ἀλλαχόθεν συναγαγοῦσα χωρὶς οἱασδήτινος δόσεως, καθὼς ἐξελέξατο καὶ διέκρινε, τὸ πᾶν ἐπιτρέψασα καὶ παρασχομένη θεῷ, οὐ μὴν ἀλλὰ καὶ πόλλ' ἄττα ἱερὰ κειμήλια χρυσοῦ καὶ ἀργύρου πεποιημένα καὶ λοιπὰ πολύτιμα σκεύη καὶ βιβλία προσαφιέρωσεν, ἔτι δὲ καὶ κτηματικὰς ὑποστάσεις, μαγκιπεῖόν τε μετὰ μουτρίων δύο καὶ ἀμπέλια δύο ἐντὸς τῆς Θεοδοξάστου Κωνσταντινουπόλεως περὶ τὸν λεγόμενον Παλαιὸν Φόρον, ἐκκλησίαν καὶ ὁσπήτια ἐμφυτευτικὰ ἑξήκοντα καὶ ἕτερον μαγκιπεῖον ἐν αὐτῇ τῇ περιοχῇ τῶν ἀμπελίων μετὰ μουτρίων καὶ τοῦτο δύο, ἐξ ὧν περιήρχετο τῷ μοναστηρίῳ ἑκάστου ἔτους, ὡς διισχυρίζονται αἱ μοναχαί, ποσότης ὑπερπύρων τριακοσίων, ἐκέκτητο δὲ καὶ τὸ μοναστήριον καὶ περὶ τὸ Μαυροπόταμον χωράφια, τό τε τοῦ Χαντοήτζη καὶ τὸ λεγόμενον τῶν Ταταροπούλων μετὰ ζευγαρίων, ἀλλὰ δὴ καὶ περὶ τὴν Ῥαιδεστὸν ζευγηλατεῖον μετὰ ζευγαρίων δύο καὶ ἕτερα ἀμπέλια ἐκ προσενέξεως καὶ ὁσπήτια καὶ περὶ τὴν Μήδειαν καὶ ἀλλαχοῦ διάφορα, ὡς ἐν κεφαλαίῳ δὲ εἰπεῖν, διὰ τὸν εἰς Χριστὸν πόθον ἡ διαληφθεῖσα ὑψηλοτάτη δέσποινα τῶν Μουγουλίων πᾶσαν τὴν προσοῦσαν ἐκείνῃ περιουσίαν ἀπένειμε, πολυτελῆ καὶ μεγάλην τυγχάνουσαν. ἦν οὖν τὸ τοιοῦτον μοναστήριον εἰς δόξαν θεοῦ καὶ περιφανὲς ἐν ἅπασιν, μέχρις ἂν ἐκείνη περιῆν· ἐκείνης δὲ τὴν ζωὴν ἐκμετρησάσης κατελείφθη τοῦτο, καὶ ἦν εἶχεν ἐκείνη ὡς γνησίαν θυγατέρα, ἡ εὐγενεστάτη δηλαδὴ κυρὰ Θεοδώρα, ἡ ἐπονομαζομένη Ἀραχαντλοὺν, εἰς αὐτὸν δὴ ἐκεῖνον τὸν ἀοίδιμον βασιλέα· ἐπεὶ δὲ προσταγῇ καὶ ἀποδοχῇ βασιλικῇ ἠγάγετο αὐτὴν εἰς γυναῖκα ὁ περιπόθητος θεῖος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, πανυπερσέβαστος κῦρ Ἰσαάκιος Παλαιολόγος ὁ Ἀσάνης

ἐκεῖνος, ἔφθασε δὲ μετὰ παραδρομὴν χρόνων τινῶν καὶ ἥδε ἡ τοῦ τοιούτου πανυπερσεβάστου σύζυγος τὸν βίον ἀπολιποῦσα ἄπαις καὶ ἀδιάθετος, ὕστερον μετὰ τὸν ἐκείνης θάνατον ἀναφορὰν ποιησάμενος ὁ αὐτὸς πανυπερσέβαστος εἰς ἐκεῖνον τὸν ἀοίδιμον καὶ μακαρίτην βασιλέα, ἐφ' ᾧ προσκυρῶσαι ψυχικῆς ἕνεκα σωτηρίας καὶ ἀπὸ τῶν προικόθεν διαφερόντων τῇ δηλωθείσῃ προτέρᾳ συζύγῳ ἐκείνου καὶ ἐκ τῶν οἰκείων πραγμάτων εἰς τὸ μοναστήριον, κἀντεῦθεν ἐπὶ συστάσει ἐφορεύειν αὐτοῦ, ἐπορίσατο σεπτὸν ἐκείνου χρυσόβουλλον, ἐπιβραβεῦον τῷδε τῷ πανυπερσεβάστῳ τὴν αὐτὴν ἐφορείαν, σπεύδειν μέλλοντι ὑπὲρ τῆς βελτιώσεως καὶ ἐπὶ τὸ κρεῖττον αὐτοῦ προχωρήσεως καὶ αὐξήσεως, ἀλλ' εἰς τοὐναντίον ἅπαν προεχώρησε τὰ τοῦ πράγματος, οὐ μόνον γάρ, ὡς αἱ μοναχαὶ παριστῶσιν ἐξασφαλιζόμεναι, οὐ γέγονεν ἐκεῖθεν ὑπὲρ τοῦ μοναστηρίου σύστασις καὶ ὠφέλεια, ἀλλὰ καὶ μεγάλην ὁ διαληφθεὶς πανυπερσέβαστος ἐποιήσατο καινοτομίαν καὶ λύμην, τά τε γὰρ ἀμπέλια καὶ τὰ μαγκιπεῖα καὶ τὰ ἐμφυτευτικὰ ὁσπήτια ἐντὸς τῆς θεομεγαλύντου Κωνσταντινουπόλεως ἐξεχερσώθησαν καὶ ἠφανίσθησαν, καὶ τὰ ζευγηλατεῖα καὶ πρὸ τῆς τοῦ καιροῦ ἀνωμαλίας ἐξηρημώθησαν, ὡς μικροῦ κινδυνεύειν τὴν μονὴν εἰς τὸ μηδὲν καταντῆσαι ἐξ αἰτίας ἐκείνου, ἔφθασε δὲ καὶ ἀνελάβετο καὶ ὑπὲρ ἀδελφῶν τριακοντατριῶν ἐξωτερικῶν κοσμικῶν μετὰ καὶ μοναχικῶν τινων ὑπέρπυρα δισχίλια, καὶ τὸ μὲν τοσοῦτον βάρος ἐπίκειται τῷ μοναστηρίῳ διὰ τὴν ἀπὸ τούτων ἀνάγκην καὶ δόσιν, ἅπερ ἐκεῖνος προσέθηκεν, αἱ δὲ μοναχαὶ ἐντὸς τούτου εὑρισκόμεναι καὶ καθ' ἑκάστην καὶ νυκτὸς καὶ ἡμέρας κοπιῶσαι καὶ ἐπαγρυπνοῦσαι εἰς ὕμνον καὶ δοξολογίαν θεοῦ καὶ μνημόσυνον τῶν κρατίστων καὶ ἁγίων μου αὐτοκρατόρων, πλείστῃ ἐνδείᾳ καὶ στενότητι κατατήκονται, ὡς μηδὲ τῶν ἀναγκαίων αὐτῶν εὐπορεῖν· πλὴν καὶ εἰς τοὺς ζῶντας ἔτι τελῶν ὁ εἰρημένος πανυπερσέβαστος κατεχάλασε μὲν καὶ διάφορα ἀνώγεω οἰκήματα τοῦ μοναστηρίου, καὶ τὴν τούτων ὕλην εἰσῆξεν εἰς περιποίησιν τῶν ἑαυτοῦ οἰκημάτων, καθὼς διαλαμβάνει καὶ τὸ παρὰ τῶν μοναχῶν προτεινόμενον κατάστιχον λεπτομερές, ἐξέδοτο δὲ καὶ διὰ οἰκείων γραμμάτων πρὸς μὲν τὴν ἐκείνου θυγατέρα, τὴν περιπόθητον ἐξαδέλφην τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κυρὰν Εἰρήνην Ἀσανίναν τὴν Φιλανθρωπηνὴν τὸ αὐτὸ μοναστήριον, πρὸς δέ γε τὸν ταύτης αὐτάδελφον, τὸν περιπόθητον ἐξάδελφον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μέγαν

πριμμικήριον κῦρ Ἀνδρόνικον τὸν Ἀσάνην, τὰ ἐκ παλαιοῦ ἀνήκοντα καὶ ὑποκείμενα ὁσπήτια τῷ μοναστηρίῳ πλησιάζοντα τοῖς ἰδίοις οἰκήμασι· ἔνθεν τοι καὶ μὴ ἐνεγκοῦσαι τὰ περὶ τούτου αἱ μοναχαὶ ἀναδραμοῦσαι εἰς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα κωθικέτευσαν καὶ ἐζήτησαν μετὰ κρίσεως τὴν τοῦ μοναστηρίου προτέραν ἐλευθερίαν τε καὶ κατάστασιν, παρεπέμφθη τοιγαροῦν ἐκεῖθεν ἡ ὑπόθεσις ὡς ἀνακειμένη τῇ ἐκκλησίᾳ κατὰ τὴν τῶν ἱερῶν κανόνων παρακέλευσιν εἰς τὴν ἡμῶν μετριότητα, ὅθεν καὶ διεμηνύθη κατὰ τὸ εἰκὸς ἡ ῥηθεῖσα περιπόθητος ἐξαδέλφη τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἡ Φιλανθρωπηνὴ διὰ τοῦ ἐντιμοτάτου ῥαιφερενδαρίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, κῦρ Μανουὴλ τοῦ Σιλβέστρου, ἧς δὴ καὶ μηδὲν εἰπούσης, μηδὲ δειξάσης κατὰ τὸ πρῶτον, καὶ δευτέρῳ μηνύματι ἐχρησάμεθα διὰ τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος καὶ ὑπάτου τῶν φιλοσόφων, ἀγαπητῶν κατὰ πνεῦμα υἱῶν τῆς ἡμῶν μετριότητος, κἀντεῦθεν ἀντὶ πάσης ἀπολογίας ἐξαπέστειλε πρὸς τὴν ἡμῶν μετριότητα τὸ τοιοῦτον σεπτὸν χρυσόβουλλον, ὅπερ καὶ ἀναγνωσθὲν καὶ ἐξετάσει δοθὲν εὑρηται οὐχ ὡς προέβη τὴν ἀρχήν, ἀλλ' οὐχ, ὡς ἔδει, μεταποιηθὲν καὶ μὴ τῆς ἀληθείας ἐχόμενον, ἐν οἷς τὴν τοῦ μοναστηρίου παραπομπὴν καὶ καταδούλωσιν ἐποιεῖτο καὶ πρὸς τοὺς παῖδας τοῦ ῥηθέντος πανυπερσεβάστου καὶ καθεξῆς ὡσαύτως πρὸς τοὺς ἐξ ἐκείνων παῖδας καὶ διαδόχους. τῆς γοῦν ὑποθέσεως οὕτω παρακολουθήσης καὶ τοῦ τοιούτου σεπτοῦ χρυσοβούλλου μετὰ ἐξετάσεως ἀκριβοῦς ἀναφανέντος μεταπεποιημένου εἰς τὴν ῥηθεῖσαν παραπομπὴν καὶ καταδούλωσιν καὶ πρὸς τοὺς παῖδας τούτου δὴ τοῦ πανυπερσεβάστου καὶ πρὸς τοὺς ἐξ ἐκείνων ὁμοίως ἐφεξῆς κατὰ τὸν ἀναγεγραμμένον τρόπον, καὶ τοῦ παλαιγενοῦς πρατηρίου γράμματος ἀληθῆ παριστῶντος τὴν παρὰ τῆς δηλωθείσης ὑψηλοτάτης δεσποίνης τῶν Μουγουλίων γεγονυῖαν ἀρχῆθεν ἐξώνησιν καὶ μετὰ πλείστων ἀναλωμάτων ἐκείνης τοῦ μοναστηρίου ἀνίδρυσιν καὶ προσκύρωσιν τῶν ἀφιερωμένων καὶ προσκεκυρωμένων αὐτῷ, ὡς δεδήλωται, ἀποδεδειγμένης τε οὔσης καὶ τῆς τοσαύτης καινοτομίας καὶ λύμης καὶ κατατριβῆς τοῦ μοναστηρίου ἐκ τῆς κατὰ μέρος ῥηθείσης τοῦ πανυπερσεβάστου αἰτίας, ἡ μετριότης ἡμῶν ἅμα μὲν καὶ τοῦ φυσικοῦ κατακρίματος ἐκεῖνον ἀπαλλάττουσα, ἅμα δὲ καὶ τοῦ ἀκαταδουλώτου καὶ ἀβλαβοῦς ἀπὸ τῶν κοσμικῶν καθάπαξ τοῦ μοναστηρίου φροντίζουσα, καθάπερ

ὀφειλομένως ἔχει, καὶ τῆς λοιπῆς λυσιτελείας κατὰ ψυχὴν καὶ ὠφελείας κατὰ τὴν μοναχικὴν τάξιν τε καὶ κατάστασιν, εἶχε μὲν κατὰ τὸν τοῦ δικαίου λόγον ἀναζητῆσαι καὶ ἐπανασώσασθαι τῷδε τῷ μοναστηρίῳ τὴν ἣν ὑπέστη, ὡς εἴρηται, λύμην καὶ καινοτομίαν εἰς τὰ προσκεκυρωμένα αὐτῷ, παρῆκε δὲ λόγῳ συγκαταβάσεως καὶ μάλιστα ὡς τῆς τοῦ εἰρημένου πανυπερσεβάστου τελευτῆς προκαταλαβούσης· τὸ παρὸν μέντοι ἀπολύουσα γράμμα ἐν ἁγίῳ παρακελεύεται πνεύματι ἡ μετριότης ἡμῶν, ὡς ἂν εὑρίσκηται τὸ ἀπὸ τοῦδε τὸ διαληφθὲν μοναστήριον τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος τῆς Παναγιωτίσσης ἀκαταδούλωτον καὶ ἐλεύθερον παντελῶς τῆς ἐφορείας παντὸς τοῦ μέρους ἐκείνου δὴ τοῦ πανυπερσεβάστου, μηδεμίαν μηδαμῶς δικαίωσιν ἔχοντος ἀπὸ τοῦ σεπτοῦ χρυσοβούλλου ἀναφανέντος μεταπεποιημένου ἐν μέρει τρόπον ὃν εἴρηται, ἄλλως θ' ὅτι καὶ ὁ ἀοίδιμος καὶ μακαρίτης βασιλεὺς τὴν σύστασιν καὶ τὴν ἐπὶ τὸ βέλτιον πρόοδον καὶ ψυχωφελῆ συντήρησιν τοῦ μοναστηρίου ἀπὸ τῆς τοῦ εἰρημένου πανυπερσεβάστου ἐφορείας ἐθέσπισεν, οὐ μὴν τὴν τούτου ἐκτριβὴν καὶ εἰς τὸ μηκέτ' εἶναι ἐντεῦθεν κατάλυσιν· ἀνεπηρεάστου γὰρ ὄντος αὐτοῦ καὶ κατατριβῆς ἀνωτέρου, μέλλουσι πάντως καὶ αἱ μοναχαὶ ἀβλαβῶς καὶ ἀνεμποδίστως τὸν κατὰ θεὸν δρόμον αὐτῶν ἀνύειν καὶ τὴν ψυχικὴν σωτηρίαν ἑαυταῖς, ὡς ἐπηγγείλαντο, πραγματεύεσθαι. τὰ μέντοι διαφέροντα ἐκ παλαιοῦ τῷ μοναστηρίῳ ὁσπήτια οὐ καλῶς ἐκδοθέντα ἐγγράφως παρὰ τοῦ τοιούτου πανυπερσεβάστου πρὸς τὸν δηλωθέντα περιπόθητον ἐξάδελφον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μέγαν πριμμικήριον Παλαιολόγον τὸν Ἀσάνην, κῦρ Ἀνδρόνικον, τὸν ἐκείνου υἱόν, ὀφείλει ἐπανασωθῆναι καὶ προσεῖναι, ὡς τὸ πρότερον, τῷ μοναστηρίῳ ἀνενοχλήτως παντάπασι καὶ ἀδιασείστως, οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ εἴ τις ἕτερος, κἂν ὅστις ἄρα καὶ ᾖ, ἔφθασε καὶ ἀφείλετο ὁπωσδήποτέ τι τῶν ὑποκειμένων καὶ ἀνηκόντων αὐτῷ, χωρὶς δῆτα τῆς οἰκοθεσίας Ἰωάννου τοῦ Θωμᾶ, ὀφείλει κἀκεῖνος ἀπολῦσαι τοῦτο, τὰ γὰρ ἀφιερωμένα θεῷ ἀναφαίρετα καὶ ἀναπόσπαστα τὸν ἀεὶ χρόνον τυγχάνειν ὀφείλει, οἷς ἀφιέρωται, καὶ ὁ χεῖρα πλεονέκτην καὶ ἅρπαγα τούτοις ἐπιβάλλειν ἐπιχειρῶν ὡς ἱερόσυλος ἄντικρυς κρίνεται παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων. ἐπεὶ δὲ ἀνηνέχθη, ὡς τὸ τῆς Ἰατραίνης ἐκείνης ὁσπήτιον προσκεκυρωμένον καὶ ἀνατεθειμένον ὂν τῇ μονῇ ἔφθασε καὶ ἀπεσπάσθη καὶ τοῦτο παρὰ τοῦ μέρους τοῦ αὐτοῦ πανυπερ-

σεβάστου, ὀφείλει καὶ τοῦτο ἐπανασωθῆναι καὶ προσεῖναι αὐτῷ, καθὰ καὶ τὸ πρότερον, ἐπεὶ τοὺς παραβαίνοντας τοὺς τοιούτους θείους καὶ ἱεροὺς κανόνας, ὅπερ κατ' αὐτῶν ἐπιτίμιον ἐκφωνοῦσιν οὗτοι, καὶ ἡμεῖς ἀκολούθως τὸ αὐτὸ βάρος ἐπιτίθεμεν. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται ἐπὶ τῷ προσεῖναι τῇ διαληφθείσῃ σεβασμίᾳ μονῇ εἰς ἀνενοχλησίαν διηνεκῆ τε καὶ μόνιμον κατὰ μῆνα ὀκτώβριον τῆς ε' ἰνδ. τοῦ ,ς ωξ' ἔτους †.

† Εἶχε τὸ· Κάλλιστος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης, διὰ τῆς τιμίας καὶ θείας δεσποτικῆς πατριαρχικῆς χειρός †.

CXXXVII. (6860—1351) decembri ind. V.

Callistus confirmat praevendam Amarantinae datam ab imperatore.

† Ἐπεὶ ἡ ἐπονομαζομένη Ἀμαραντίνα ἔφθασε ἐξ ὑποβολῆς καὶ βασκανίας τοῦ κοινοῦ ἐχθροῦ καὶ προσέκειτο πρότερον ἀτοπήμασι καὶ ἔργοις ψυχοβλαβέσιν, ὕστερον δὲ εὐδοκίᾳ θεοῦ ἀπὸ παραινέσεως τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, τοῦ κοινοῦ τῶν ψυχῶν ἰατρείου, οὐ μόνον ἐβδελύξατο καὶ ἀπέστη καθόλου ἀπὸ τῶν τοιούτων ὀλεθρίων πράξεων, ἀλλὰ καὶ θερμὴν ἐκ τῶν ἔργων ἐνεδείξατο τὴν μετάνοιαν καὶ κατάνυξιν καὶ ὁλοψύχως πρὸς τὸ κρεῖττον ἐπιστροφήν, ὡς καὶ τὸ μοναχικὸν ἀσμένως μεταμφιάσασθαι σχῆμα καὶ ἀγαπῆσαι τὸν μονήρη βίον, εἰσελθοῦσαν ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ Περτζὲ καὶ ἐπιμελουμένην τῆς ψυχικῆς αὐτῆς σωτηρίας, ἀνενεχθὲν δὲ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι παρὰ τῆς ἡμῶν μετριότητος ἕνεκα προμηθείας τῆς ῥηθείσης Ἀμαραντίνης ἐπὶ τῷ ἀπερισπάστως τῆς κατὰ θεὸν ἀγωγῆς ταύτην ἀντιποιεῖσθαι, ἐπηυδόκησε τῇ πρὸς πάντα τὰ κάλλιστα προχείρῳ καὶ βασιλικῇ εὐποιίᾳ καὶ εὐμενείᾳ αὐτοῦ, οὐχ ἥκιστα δὲ, ἐν οἷς ἐστὶ τὸ σπουδαζόμενον σωτηρία ψυχῶν, καὶ εὐηργέτησε πρὸς τήνδε τὴν μοναχὴν Ἀμαραντίναν ὑπέρπυρα ἑκατὸν, ἅτινα καὶ ἐδόθησαν παρ' αὐτῆς πρὸς τὴν σεβασμίαν μονὴν τῶν Μαγγάνων, καὶ ἐτάχθη ἔχειν καὶ λαμβάνειν αὐτὴν ἐντεῦθεν ἀδελφάτον ἓν κατὰ τὸ πάντη ἀνελλιπὲς, καθὼς ἔχουσι δῆτα καὶ λαμβάνουσι καὶ οἱ ἐν τῇ ῥηθείσῃ μονῇ μοναχοὶ τὰ οἰκεῖα ἑαυτῶν ἀδελφάτα, προσευεργετήσας καὶ ἐπι-

βραβεύσας εἰς τοῦτο καὶ σεπτὸν πρόσταγμα. τὸ παρὸν ἀπολύουσα γράμμα καὶ ἡ μετριότης ἡμῶν, ἐν ἁγίῳ διακελεύεται πνεύματι, ὡς ἂν ἔχῃ καὶ λαμβάνῃ ἡ ῥηθεῖσα μοναχὴ Ἀμαραντίνα, ὡς δοῦσα τὰ τοιαῦτα ῥ' ὑπέρπυρα πρὸς τὴν σεβασμίαν τῶν Μαγγάνων μονήν, ὡς δεδήλωται, τὸ εἰρημένον ἀδελφάτον αὐτῆς ἀνελλιπῶς καὶ κατὰ τὸ ἀκέραιον καὶ ὁλόκληρον καὶ μετὰ τῆς συνήθους εὐλογίας, καὶ μηδενὸς στερῆται ἐξ αὐτοῦ, ὥσπερ καὶ οἱ διαληφθέντες μοναχοὶ ἔχουσι τὰ ἑαυτῶν ἀδελφάτα ἀνελλιπῶς, καθώς τε ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ διὰ τοῦ σεπτοῦ αὐτοῦ προστάγματος διορίζεται καὶ ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος πάρεγγυᾷ γράμματος, ὀφειλόντων καὶ τῶν κατὰ καιροὺς ἡγουμενικῶς προϊσταμένων ταύτης δὴ τῆς σεβασμίας μονῆς, δηλαδὴ τῶν ἐν αὐτῇ μοναχῶν, ἀποδιδόναι τῇ μοναχῇ Ἀμαραντίνῃ τὸ ἀδελφάτον ἀνεγκρατήτως καὶ ἀνυστερήτως καὶ χωρὶς οἱασδήτινος προφάσεως καὶ μετ' εὐλογίας τῆς συνήθους, ὡς εἴρηται, ἐπεὶ τούτου ἕνεκα βαρύτατον ἐπιτίμιον ἐπανατεινόμεθα †.

† Εἶχε τὸ· μηνὶ δεκεβρίῳ ἰνδ. πέμπτης †.

CXXXVIII. (6861—1352) septembri ind. VI.

Callistus monet visitatorem Constantinopoleos Scutariotam, ut clerum moderetur.

† Ὁ εἰς ἔξαρχον ἀνατεθειμένος τῆς κατὰ τὴν θεοδόξαστον Κωνσταντινούπολιν ἐνορίας τῆς τοῦ Ἀαρὼν, θεοσεβέστατε πρεσβύτερε καὶ ταβουλλάριε Σκουταριῶτα, τὴν ἀπὸ τοῦ θεοῦ χάριν καὶ τὸ ἔλεος ἐπεύχεταί σοι ἡ μετριότης ἡμῶν. τὸν πέρυσι καιρὸν πρμηθευσαμένη χάριτι Χριστοῦ ἡ μετριότης ἡμῶν, ἵνα ἀπέχωσιν οἵ τε ἱερωμένοι καὶ οἱ μοναχοὶ ἀπὸ τῶν καπηλείων, καὶ ἀναστρέφωνται κατὰ τὸ πρόσαρμόζον αὐτοῖς σχῆμα, παρεκελεύσατο ἐγγράφως, ὅσον γνώσκεις, ὡσαύτως προεμηθεύσατο ἡ μετριότης ἡμῶν καὶ παρήγγειλε καὶ ἐπεφωνήσατο διαφόρως, ἵνα γένωνται ἐκ τοῦ μέσου καὶ διορθωθῶσιν αἱ τριγαμίαι, αἱ ἀθεμιτογαμίαι, αἱ τετραγαμίαι, αἱ πολυγαμίαι, αἱ μοιχοζευξίαι, δι' ἅπερ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, κατὰ τὸν μέγαν ἀπόστολον· ἐπεὶ γοῦν οὐδὲν πλέον ἐγένετο καὶ μετὰ τὰς τοσαύτας παρεγγυήσεις καὶ παραινέσεις τῆς ἡμῶν μετριότητος, ἀλλὰ προεχώρησεν ἡ νόσος εἰς παροξυσμὸν καὶ ἀγανάκτησιν τοῦ θεοῦ μάλιστα, διὰ τοῦτο ἐπισκήπτει καὶ παρακελεύεταί σοι ἡ μετριότης ἡμῶν ἐν ἁγίῳ πνεύματι, ἐπεὶ κατὰ τὴν τῶν φιλευσεβῶν νόμων διαταγὴν μετὰ πρώτην καὶ δευ-

τέραν καὶ τρίτην ἐπιφώνησιν γίνεται καὶ ἐκδίκησις εἰς σωφρονισμὸν καὶ ἀναστροφὴν τῶν περιφρονούντων καὶ ἀπειθούντων τῇ ἐκκλησίᾳ θεοῦ, τοῦ κοινοῦ συμφέροντος προνοουμένη διὰ τῆς τοῦ θεοῦ χάριτος, ὡς ἂν ἀπὸ τῆς σήμερον, ἥτις ἐστὶ τρίτη τοῦ σεπτεβρίου, ἔχητε παντοίαν προσοχὴν καὶ συντήρησιν, καὶ οὐδὲν τολμήσῃ τις ζητῆσαι καὶ λαβεῖν βοῦλλαν ἀλλαχόθεν συνοικεσίου μέλλοντος προβαίνειν, ἀλλ' ἀνατρέχῃ ὁ ζητῶν μετά σου εἰς τὴν ἡμῶν μετριότητα καὶ, δοκιμασίας πρότερον κατὰ τὸ ὀφειλόμενον τῇ χριστιανικῇ καταστάσει ἐννόμου γινομένης, διδῶται ἡ προτροπὴ καὶ ἡ βοῦλλα ἐντεῦθεν, ἵνα εὐδοκοῦντος τοῦ φιλαγάθου θεοῦ παύσηται καὶ ἡ ἐπελθοῦσα τῷ ταλαιπώρῳ ἡμετέρῳ γένει καταιγὶς, καὶ μεταποιηθῇ εἰς αἰθρίαν, διορθώσεως γενομένης, εὐμενῶς ἐπιβλέφαντος ἄνωθεν ἐφ' ἡμᾶς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πλουσίου ὄντος ἐν ἐλέει καὶ οἰκτιρμοῖς, καὶ τὴν σωτηρίαν ἡμῶν ἀποδεχομένου· γίνωσκε γὰρ, ὡς, εἴπερ οὐδὲν συντηρηθῇς εἰς τοῦτο, ἀμεταθέτως μέλλεις ἐκπεσεῖν καὶ τῆς σῆς ἱερωσύνης καὶ καθαίρεσιν παντελῆ ὑποστῆναι· οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν τοιούτων ἱερωμένων καὶ μοναχῶν καὶ νῦν πάλιν προαναφωνεῖ καὶ προαγγέλλει ἡ μετριότης ἡμῶν, ὡς ἂν οὐ μόνον ἀπέχωσιν ἀπὸ τῶν καπηλείων, ἀλλὰ καὶ ἀπὸ τῶν λοιπῶν τῶν κατεγνωσμένων, καὶ πολιτεύωνται ἐν στενότητι βίου καὶ ἀγαθοῖς τρόποις, εὑρισκόμενοι τοῖς ἄλλοις εἰς τύπον καὶ ὑπογραμμὴν τοῦ καλοῦ, ἐπεὶ, ἐὰν σοῦ ἀμελοῦντος πάλιν ἐμπίπτωσιν οὗτοι εἰς τὰ τοιαῦτα ἀπηγορευμένα, σὺ μέλλεις εὐθυνθῆναι κανονικῶς καὶ κινδυνεῦσαι ἀργίαν τῆς ἱερωσύνης σου. παρακελεύεται δὲ καὶ τοῦτο ἡ μετριότης ἡμῶν, ἵνα οἱ περὶ τὸ μέρος τῆς τοιαύτης ἐνορίας εὑρισκόμενοι ἅπαντες ἱερεῖς ποιῶσιν ἔργον ἐπιμελέστατον πρὸ παντὸς, καὶ προσκαλῶνται τὸν τοιοῦτον αὐτῶν ἔξαρχον ἔν τε ἑορταῖς ἁγίων καὶ μνήμαις τῶν ἀποιχομένων καὶ εὐχελαίοις καὶ πάσαις ἁπλῶς ταῖς λοιπαῖς ἱεραῖς τελεταῖς, ὅπως ἐποπτεύῃ καὶ ἐπιτηρῇ προσηκόντως καὶ κατὰ τὸ ἀρέσκον θεῷ ἐνεργεῖσθαι τὰ τοιαῦτα καὶ κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν τε καὶ παράδοσιν· ὅστις δὲ ἀπὸ τούτων φωραθείη μετὰ τὴν παρακέλευσιν ταύτην τῆς ἡμῶν μετριότητος μὴ ποιῶν οὕτως, ἀλλὰ χωρηθῇ εἰς ἀθέτησιν ἐπὶ τοῖς εἰρημένοις, ὑποστήσεται καὶ ἀργίαν τῆς ἱερωσύνης αὐτοῦ, καὶ καταδίκῃ ἑτέρᾳ σωφρονισθήσεται, καὶ ἀνενέργητον ἔσται, ὅπερ ἂν χωρὶς τῆς παρουσίας τούτου λάθρᾳ ἐνεργηθῇ. ἡ χάρις τοῦ θεοῦ εἴη μετά σου †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸν μηνὶ σεπτεβρίῳ ἰνδ. ς' †.

CXXXIX. Sine anno.

Callistus monet metropolitam Kioviae, ut pacem faciat cum duce Tverensi Michaele.

† Ἱερώτατε μητροπολῖτα Κυέβου καὶ πάσης Ῥωσίας, ὑπέρτιμε, ἀγαπητὲ, ἐν ἁγίῳ πνεύματι ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. τὰ γράμματά σου μετὰ τοῦ ἀνθρώπου σου τοῦ Ἀββακοὺμ ἐδεξάμην, καὶ ἐγνώρισα ἐξ αὐτῶν, ὅσα ἔγραφες καὶ ἀνέφερες· γνωστὸν δὲ ἔστω σοι, ὅτι πρὸ τούτου ᾠκονόμησα ἄνθρωπον καλὸν ἰδικόν μου, καὶ ἀπέστειλα πρὸς τὴν σὴν ἱερότητα, διότι ὁ μέγας ῥήγας Λητβῶν ἀπέστειλε πρός με γράμμα αὐτοῦ, καὶ ἔγραφε πολλὰ, διὰ τοῦτο ἔκρινα καλὸν, καὶ ἀπέστειλα ἄνθρωπόν μου πρὸς τὴν σὴν ἱερότητα μετὰ γραμμάτων τῆς ἡμῶν μετριότητος, ἀφ' ὧν μέλλεις γνωρίσειν ἀκριβῶς, ἅπερ ἔγραφεν ὁ μέγας ῥήγας Λητβῶν. ἐξερχομένου δὲ τοῦ ἀνθρώπου μου ἦλθεν ἀπὸ τοῦ μεγάλου ῥηγὸς τοῦ Τυφερίου Μιχαὴλ καλόγηρως μετὰ γραμμάτων ἐκείνου· ἐδεξάμην οὖν τὰ γράμματα ταῦτα, καὶ ἐγνώρισα, ὅσα μοι ἔγραφε, ἔγραφε δὲ καὶ αὐτὸς πολλὰ, πρὸς δὲ τοῖς ἄλλοις ἐζήτει, ἵνα κριθῇ καὶ μετά σου, νὰ ἔλθῃ ἡ ἱερότης σου ἐνταῦθα εἰς τὴν σύνοδον, καὶ νὰ πέμψῃ καὶ ἐκεῖνος ἄρχοντάς του, νὰ γένηται κρίσις. ἐγὼ δὲ, πῶς ἦν δυνατὸν, ἵνα μὴ δώσω αὐτῷ κρίσιν; διὰ τοῦτο ἔγραφα πρὸς τὴν σὴν ἱερότητα μετὰ τοῦ προρρηθέντος ἀνθρώπου, καθὼς μέλλεις γνωρίσειν ἀπὸ τῶν γραφῶν μου ἢ ἵνα ἔλθῃς σὺ ἐνταῦθα, εἴπερ ἔνι δυνατὸν, ἢ πέμψῃς ἄρχοντάς σου, πέμψῃ δὲ καὶ ἐκεῖνος ἰδικούς του ἄρχοντας, καὶ γένηται ἡ κρίσις· νῦν δὲ, ἐλθόντος τοῦ ἀνθρώπου σου τοῦ Ἀββακοὺμ, ἐγνώρισα καὶ ἀπὸ τῆς γραφῆς σου καὶ ἀπὸ τοῦ στόματος τούτου, ὅσα ἔγραφες καὶ ἐζήτεις, ἐγὼ δὲ, μιμούμενος τὸν εἰρηνοποιὸν Χριστὸν, γράφω καὶ παρακελεύομαι πρὸς σὲ, ὅτι οὐδέν μοι φαίνεται καλὸν, ἵνα ἔχῃς μετὰ τοῦ ῥηγὸς τοῦ Τυφερίου τοῦ Μιχαὴλ σκάνδαλα καὶ ὀχλήσεις, καὶ νὰ ἔρχεσθε εἰς κρίσιν, ἀλλὰ ὡς πατὴρ καὶ διδάσκαλος σπούδασον, ἵνα εἰρηνεύσῃς μετ' αὐτοῦ, καὶ εἴπερ ἔπταισε καὶ τίποτε, σὺ ὡς πατὴρ συγχώρησον καὶ ἀνακάλεσον αὐτὸν ὡς υἱόν σου, καὶ ἔχε καὶ μετ' αὐτοῦ εἰρήνην, ὥσπερ ἔχεις καὶ μετὰ τῶν

ἄλλων ῥηγῶν, μέλλει δὲ νὰ ποίηση καὶ αὐτὸς μετάνοιαν καὶ νὰ ζητήση συγχώρησιν, καθὼς ἐγὼ γράφω πρὸς αὐτόν. τοῦτό μοι δοκεῖ καλὸν καὶ συμφέρον, καὶ οὕτω γενέσθω ἄνευ τινὸς λόγου. εἰ δ' οὐ βούλεσθε τοῦτο, ζητεῖτε δὲ κρίσιν, ἐγὼ τὴν κρίσιν οὐδὲν κωλύω, προσέχετε δὲ, μήπως φανῇ εἰς ὑμᾶς βαρύ. ἡ μετριότης ἡμῶν, καθὼς εἶπον, ἔγραψε γράμμα πρὸς τὸν ῥῆγα τὸν Τυφερίου Μιχαὴλ, καὶ πέμπω τοῦτο μετὰ τοῦ ἀνθρώπου σου, τοῦ Ἀββακοὺμ, καὶ ὁπηνίκα ἔλθῃ εἰς τὰς χεῖράς σου, δὸς αὐτὸ πρὸς τὸν ἄνθρωπόν μου, ὃν ἀπέστειλα αὐτοῦ, δὸς δὲ αὐτῷ καὶ ἄνθρωπόν σου δραγουμάνον, ἵνα ὑπάγει μετ' αὐτοῦ εἰς ἐκεῖνον, νὰ τὸν δείξῃ καὶ τὸ πρῶτόν μου γράμμα καὶ τοῦτο, ὃ γράφω νῦν πρὸς αὐτὸν περὶ εἰρήνης, νὰ τὸν εἴπῃ δὲ . . . καὶ λόγους, ὥστε νὰ ἔλθῃ εἰς μετάνοιαν καὶ εἰρήνην, καὶ θαρρῶ, ὅτι οὐ μὴ ποιήσῃ ἄλλως, ἀλλὰ ὡς ἂν γράφω πρὸς αὐτόν. ἡ ἱερότης σου γινώσκεις ἀκριβῶς, ὅτι, ὅτε σε ἐχειροτονήσαμεν, Κυέβου καὶ πάσης Ῥωσίας μητροπολίτην ἐχειροτονήσαμεν, οὐχ ἑνὸς δὲ μέρους, ἀλλὰ πάσης τῆς Ῥωσίας, νῦν δὲ ἀκούω, ὅτι οὔτε εἰς τὸ Κύεβον ὑπάγεις, οὔτ' εἰς τὴν Λητβᾶν, ἀλλ' εἰς ἓν μέρος, τὸ δὲ ἄλλον ἀφῆκες ἀποίμαντον καὶ χωρὶς ἐπισκέψεως καὶ διδασκαλίας πατρικῆς, ὅπερ ἔνι βαρὺ καὶ ἔξω τῆς παραδόσεως τῶν ἱερῶν κανόνων, δίκαιον δὲ ἔνι, ἵνα καὶ τὴν γῆν πάσης Ῥωσίας ἐπιβλέπῃς, καὶ ἔχῃς μετὰ πάντων τῶν ῥηγῶν ἀγάπην καὶ διάθεσιν πατρικὴν, καὶ ἀγαπᾷς αὐτοὺς ὁμοίως, καὶ δεικνύῃς εἰς αὐτοὺς τὴν αὐτὴν καὶ ὁμοίαν διάθεσιν καὶ εὐμένειαν καὶ ἀγάπην, καὶ μή τινας ἐξ αὐτῶν ἀγαπᾷς καὶ ἔχῃς ὡς υἱούς σου, τοὺς δὲ οὐδὲν ἀγαπᾷς, ἀλλ' ἔχῃς πάντας ὁμοίως υἱούς σου, καὶ ἀγαπᾷς πάντας ὁμοίως, καὶ οὕτω μέλλουσι καὶ αὐτοὶ διδόναι πρός σε εὔνοιαν καὶ ἀγάπην καὶ ὑποταγὴν πολλὴν καὶ μεγάλην, μέλλεις δὲ ἔχειν καὶ τὴν παρὰ θεοῦ βοήθειαν. γίνωσκε δὲ, ὅτι ἐγὼ ἔγραψα καὶ πρὸς τὸν μέγαν ῥῆγα τῶν Λητβῶν, ἵνα σε ἀγαπᾷ καὶ τιμᾷ κατὰ τὴν παλαιὰν συνήθειαν, καθὼς καὶ οἱ ἄλλοι ῥῆγες τῆς Ῥωσίας, καὶ ὅτε ὑπάγεις εἰς τὸν τόπον αὐτοῦ, νὰ δεικνύει εἰς σὲ τιμὴν καὶ στοργὴν καὶ ἀγάπην πολλὴν, καὶ νὰ περιπατῇς καὶ τὸν τόπον αὐτοῦ ἀβαρῶς καὶ σὺ, ὅσον ἔνι δυνατόν. σπούδασον, ἵνα ἔχῃς εἰς αὐτὸν ἀγάπην καὶ διάθεσιν, καὶ ἔχῃς καὶ αὐτὸν, ὥσπερ τοὺς ἄλλους ῥῆγας, διότι ὁ τοῦ κυρίου λαὸς ὁ χριστώνυμος, ὃς εὑρίσκεται ὑπὸ τὴν ἀρχὴν αὐτοῦ, τῆς σῆς χρῄζει ἐπισκέψεως καὶ διδασκαλίας, καὶ ἔνι ἀναγκαιότατον, ἵνα ἔχῃς μετ'

αὐτοῦ ἀγάπην, ἵνα βλέπῃς καὶ αὐτὸν καὶ τὸν λαὸν τοῦ θεοῦ νὰ τὸν διδάσκῃς, καὶ ποίει τοῦτο μετὰ πάσης σου δυνάμεως χωρὶς λόγου τινός. περὶ δὲ τῶν λοιπῶν ἔγραφέ σοι πλατύτερον ἡ μετριότης ἡμῶν μετὰ τοῦ ἀνθρώπου μου τοῦ Ἰωάννου, καὶ μέλλεις γνωρίσειν ταῦτα ἀκριβῶς †.

CXL. (6861—1352) octobri ind. VI.

Imperator monet patriarcham, ut diiudicet causam metropolitae Caesareae.

I. . . . . .

πατριάρχα. ἡ βασιλεία μου ἐγνώρισεν, ὡς ὁ Καισαρείας Καππαδοκίας Βασίλειος ὁ Καραντηνὸς ἐκ κακοήθους ψυχῆς καὶ γνώμης θρασείας ἐποιήσατο λιβέλλου δόσιν, ἣν ἐποιήσατο, προσεχῶς πρὸς τὴν βασιλείαν μου κατὰ τῆς ἁγιωσύνης σου, ἐνεχόμενος γὰρ εἰς κρίσιν συνοδικὴν, ὑπὲρ ὧν αἰτιαμάτων ὑπῆρχε κατηγορούμενος, πρὶν ἀποδύσασθαι τὰ ἐγκλήματα, πρὶν τὴν ἀπὸ τῆς ἁγιωσύνης σου αἰτήσασθαι ἔνδοσιν κατὰ τὸ τοῖς ἱεροῖς κανόσι δοκοῦν, πρὸς αὐτὴν τὴν βασιλείαν μου ἐκδραμεῖν ἐβουλεύσατο, σκυλμὸν ἐμποιῆσαι τῇ ἀνακρίσει αὐτοῦ μηχανώμενος, ἀλλὰ τῆς ἐγχειρήσεως οὐκ ἀπώνατο, μὴ ἀγνοοῦσα γὰρ ἡ βασιλεία μου, ὅτι ὑπὸ κανονικὰς εὐθύνας ἐμπίπτει ἐκ τούτων ὁ Καισαρείας, τότε μὲν κενὸν καὶ ἄπρακτον αὐτὸν ἀπεπέμψατο, νὺν δὲ καὶ αὐτοὺς τοὺς ἱεροὺς κανόνας παρρησιάσασθαι βούλεται, ὅθεν καὶ παραδηλοῖ τῇ ἁγιωσύνῃ σου ἡ βασιλεία μου, ὡς ἂν ἐπὶ συνελεύσει τῶν ἐνδημούντων ἐν τῇ Νικαίᾳ ἱερωτάτων ἀρχιερέων, ὅσοι δή ποτε ἂν καὶ ὦσι, κἂν ἴσως καὶ τοῦ κεκανονισμένου ἀριθμοῦ ἀποδέωσιν, συγκαλέσηται καὶ τὸν ἱερώτατον πατριάρχην θεουπόλεως μεγάλης Ἀντιοχείας μετὰ τῶν ἄρτι συνόντων αὐτῷ κατὰ Νίκαιαν ἐπισκόπων, καὶ συνδιασκεφάμενοι κοινῇ τὰς κανονικὰς διατάξεις, ἀκόλουθον αὐταῖς περὶ τοῦ Καισαρείας ἐξενέγκητε ψῆφον, ἥτις ἐπιγνωσθήσεται καὶ τῇ βασιλείᾳ μου †.

† Εἶχε τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. ς' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

II. † Ὁ ἁγιώτατος πατριάρχης θεουπόλεως μεγάλης Ἀντιοχείας ἔφη, ὡς ὁ Καισαρείας ἐὰν ἐλευθέραν τὴν συνείδησιν καὶ ἀκατάγνω-

στον εἶχεν ἀφ' ὧν ἐνεκλήθη, ὑπέμεινεν ἂν τὴν συνοδικὴν κατεξέτασιν, νῦν δὲ προπετευσάμενος καὶ τῇ βασιλείῳ καὶ θείᾳ περιωπῇ οὐκ εἰς εὔκαιρον προσελθών, νεανιευσάμενος δὲ καὶ κατὰ τοῦ ἁγιωτάτου δεσπότου ἀδελφοῦ καὶ συλλειτουργοῦ μου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἔδειξεν ἑαυτὸν δυσσυνειδήτως ἔχοντα καὶ διὰ τοῦτο σύγχυσιν μελετήσαντα τῆς ἐκκλησιαστικῆς εὐταξίας, ὅθεν ἀπολογίας πάσης παρὰ τῶν ἱερῶν κανόνων ἀπεστερήθη, καὶ ἔνδικον κατεδικάσθη καθαίρεσιν, καὶ ἔστω καθῃρημένος καὶ πάσης ἱερατικῆς ἀξίας γεγυμνωμένος †.

CXLI. Sine anno.

Patriarcha in ius vocat monachum Ioannicium.

† Φθάνει ὁ μοναχὸς Ἰωαννίκιος ἔτι κατὰ κοσμικοὺς διάγων καὶ γυναικὶ συνοικῶν εἰς τὸν τοῦ πρεσβυτέρου βαθμὸν προβιβασθεὶς τηνικαῦτα καὶ τὸ ἱερατικὸν λειτούργημα ἐκτελῶν, ἐπεὶ δὲ θανάτῳ ταύτην ἀπέβαλε, καὶ ἐν χηρείᾳ ηὑρίσκετο, νέαν ἄγων τὴν ἡλικίαν, οὐκ ἀγαθὴ δὲ ἦν καὶ ἡ φήμη τῆς ἀναστροφῆς αὐτοῦ, ἀπείργετο διὰ ταῦτα παρὰ τοῦ τιμιωτάτου ἀρχιδιακόνου καὶ σακελλίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἀγαπητοῦ κατὰ πνεῦμα υἱοῦ τῆς ἡμῶν μετριότητος, κῦρ Μιχαὴλ τοῦ Καβάσιλα, ὥστε τοῖς κοσμικοῖς ἐνστρέφεσθαι, ὡς μὴ λυσιτελοῦν αὐτῷ τοῦτο, κἀντεῦθεν ἀπεκάρη κατὰ μοναχοὺς ἐν τῇ κατὰ τὴν θεοδόξαστον Κωνσταντινούπολιν σεβασμίᾳ τῆς Περιβλέπτου μονῇ, ἐν ᾗ δὴ καὶ κατὰ τὸ κρατοῦν ἔθος τὴν ἱερατικὴν καὶ αὐτὸς ἐξεπλήρου ὑπηρεσίαν. ἀλλ' οὔτε οὕτω τὰ τῆς πολιτείας εἶχε συνάδοντα τῷ βαθμῷ, ὁμιλίαις οὐ καλαῖς χρώμενος. τοῦ καιροῦ τοιγαροῦν παρατρέχοντος διέμενεν, ὡς ἐδόκει, ἀνεξέλεγκτα τὰ τοῦ πράγματος, πρό τινων μέντοι ἡμερῶν συνὼν ὁ τοιοῦτος τῷ μοναχῷ Ἡσαΐᾳ, μεθ' οὗ δηλονότι ἐπὶ βλάβῃ ψυχικῇ συνήθως εἶχε, καὶ φιλικῶς συνέθετο, καὶ κατέλαβον ἐν . . . . . εἰς τὸ προδήλως κατεγνωσμένον ὀσπήτιον τῆς θυγατρὸς τοῦ ἐπονομαζομένου Θινιάτου ἐκείνου, τῆς λεγομένης μοναχῆς . . . . . Θινιατίσσης, ἥτις καὶ πρὸ τοῦ ἀμφιάσασθαι τὰ μοναχικὰ διατεθρυλλημένη ἦν, ὡς ἀσώτως βιοῦσα, καὶ οὐ μόνον ὑπ' ὀλέθρῳ τῆς οἰκείας ψυχῆς, ἀλλὰ καὶ ἐπὶ λύμῃ πολλῶν ψυχῶν ἀπ' αὐτῆς μαστροπευομένων, μετὰ δὲ καὶ τὸ περιβαλέσθαι ἐν τῷ οἴκῳ αὐτῆς τὰ μοναχικὰ καὶ ἐν αὐτῷ καταμένειν, ἐπὶ τὸ χεῖρον προέκοψε μάλιστα, τὸν τοιοῦτον ἑαυτῆς οἶκον χαμαιτυπεῖον ἀπεργασαμένη,

καὶ ταῖς νεωτέραις μοναχαῖς μάστροπον ἑαυτὴν καταστήσασα, ὡς μὴ ὤφελεν, ἔνθεν τοι καὶ ἐφοίτα μὲν ὁ ῥηθεὶς Ἰωαννίκιος, ἐκεῖ προσεταιριζόμενος καὶ τὸν συνήθη αὐτοῦ μοναχὸν Ἡσαΐαν, ἐφείλκετο δὲ μεθ' ἑαυτοῦ καὶ τὴν μοναχὴν ..... εἰς τὸ τοιοῦτον πορνεῖον, ἀναίδην εἰσερχόμενος καὶ τὰ δοκοῦντα διαπραττόμενος, μήτε τὴν θεόθεν ἐπεξέλευσιν ὑφορώμενος, μήτε τὴν ἀπὸ τῶν ἀνθρώπων κατάγνωσιν αἰσχυνόμενος, ἐπειδὴ καὶ κατὰ ἱερομονάχους βιοῦν τὰς συνθήκας δέδωκε πρὸς θεόν, ὡς ἱερωσύνης ἀξίωμα περικείμενος· ἦν μὲν οὖν ἐπὶ πολὺ τὸν τρόπον τοῦτον παρυποκλέπτων τε καὶ λανθάνων, καὶ ταῦτα τῆς ἡμῶν μετριότητος φροντίδα πλείστην Χριστοῦ χάριτι καὶ προμήθειαν ποιουμένης καὶ προαναγγελλούσης καὶ προαναφωνουμένης, δι' ὧν τε ἀπέλυσεν ἐγγράφως συνοδικῶν πράξεων, καὶ δι' ὧν καθ' ἕκαστην παρῄνει καὶ εἰσηγεῖτο, καὶ δι' ὧν ἀποκατέστησεν ἐξάρχων πάντας τοὺς ἱερωμένους καὶ μοναχούς, ἀπεχομένους καπηλείων καὶ μέθης καὶ τῶν ἐκ μέθης ἐπιγινομένων θεοστυγῶν ἔργων καὶ ἀσελγῶν πράξεων, ἐκκλίνειν καὶ τῆς ὁμιλίας τῶν φαύλων καὶ ἀκολάστων· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐφ' ἡμᾶς ἀπειθοῦντας, κατὰ τὸν μέγαν ἀπόστολον, καὶ κατὰ τὸ προσαρμόζον αὐτοῖς σεβάσμιον σχῆμα θεοφιλῶς καὶ μετὰ σεμνότητος πολιτεύεσθαι, ἐπεὶ καὶ ὁμιλίαι κακαὶ φθείρουσιν ἤθη χρηστά, ὡς τὰ ἱερὰ θεσπίζουσιν εὐαγγέλια. ἃ δὴ πάντα καὶ βλέπων συνεχῶς καὶ ἀκοῇ λαμβάνων ὅδε ὁ Ἰωαννίκιος παρ' οὐδὲν ἐτίθετο, καὶ ἠφρόντιστει, οὐ μὴν ἀλλὰ καὶ ἅμα τῷ δηλωθέντι ἑταίρῳ καὶ συνήθει αὐτοῦ μοναχῷ Ἡσαΐᾳ σὺν τῇ τοιαύτῃ μοναχῇ τῇ ..... κατὰ τὸ δοκοῦν παραγίνεται εἰς τὸ εἰρημένον ἀσωτεῖον ταύτης δὴ τῆς Θινιατίσσης ἀνερυθριάστως. ἔνθα δὴ καὶ πρὸ ὀλίγου ὁμοῦ τούτων τῶν εὑρισκομένων καί τινων ἐξεπίτηδες ἐνεδρευόντων ἐπὶ τὸ εἰσελθεῖν εἰς τόδε τὸ ἀσωτεῖον καὶ ἐπ' αὐτοφώρῳ τοὺς τοιούτους κρατῆσαι καὶ ἀφελέσθαι μὲν καὶ τὰ προσόντα τούτοις, ἐπόπτην δὲ στηλιτεῦσαι αὐτοὺς καὶ θριαμβεῦσαι, ἐπεὶ ὁ τιμιώτατος δικαιοφύλαξ καὶ πρωτέκδικος τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἀγαπητὸς κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννης ὁ Φύλαξ, ἔτυχε καθ' ὁδὸν ἐκεῖσε διερχόμενος, καὶ οἱ ἐν γειτόνων οἰκοῦντες εἶπον καὶ ἔδειξαν αὐτῷ τὰ περὶ τούτων, καὶ ἐζήτησαν προμηθεύσασθαι καὶ ἀπαλλάξαι τῆς ἀτιμίας αὐτοὺς τοὺς μὲν μετὰ θράσους ὡρμημένους πρὸς τοῦτο, ἴσχυσε μόλις καὶ κατέπαυσε καὶ ὑπο-

χωρῆσαι παρεσκεύασε, μεταχειρισάμενος, ὡς ἐνῆν, γενομένης καὶ δόσεως εἰς τοὺς τοιούτους, ὅση δὴ καὶ ἐγένετο, αὐτὸς δὲ ἔνδον γενόμενος καὶ ἰδὼν αὐτοφεὶ ἐν τῷ αὐτῷ ἀσωτείῳ τόν τε ῥηθέντα Ἰωαννίκιον καὶ τὸν φίλον αὐτοῦ, τὸν μοναχὸν Ἡσαΐαν, σὺν ταῖς εἰρημέναις μοναχαῖς τῇ τε Θινιατίσσῃ καὶ τῇ . . . . . ἠλευθέρωσε μὲν τούτους ἐντεῦθεν, πλὴν σκώμμασι καὶ ὀνειδισμοῖς οὐκ ὀλίγοις αὐτοὺς καθυπέβαλε κατὰ τὸ εἰκός, ὅπως ἐπ' ἀθετήσει τοῦ πρὸς θεὸν ἐπαγγέλματος φαύλοις καὶ αἰσχίστοις πράγμασιν ἐξέδωκαν ἑαυτούς, καὶ ταῦτα τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας κατὰ τὸν ἀναγεγραμμένον τρόπον ἀπέχεσθαι καθάπαξ τῶν τοιούτων παρακελευομένης καὶ διδασκούσης· οὕτως οὖν διαρρήδην ἐξελεγχθέντος τοῦ πράγματος, οὐδεμία τις ἦν χρεία ἢ ζήτησις παραστάσεως πλείονος, καθαιρέσει τὸν Ἰωαννίκιον παντελεῖ καθυπάγουσα, πλὴν ἡ μετριότης ἡμῶν, πᾶσαν πρόφασιν περιαιροῦσα, δεῖν ἔγνω παραγενέσθαι αὐτὸν εἰς τὴν κρίσιν συνοδικῶς, καὶ εἴπερ ἔχει λέγειν τι καὶ προβάλλεσθαι ἀπολογίσασθαι· γίνεται τοιγαροῦν μετάκλητος διαφόρως, πρῶτον μὲν μετὰ τοῦ πριμμικηρίου τῶν ἐξκουβιτώρων, τοῦ Χαρατζᾶ . . . . . .

finis deest.

CXLII. (6862—1353) decembri ind. VII.

Synodus metropolitae Traianupoleos confert ecclesiam Peritheorii per adiunctionem.

† Ἡ μετριότης ἡμῶν, ὁμοῦ μὲν προνοουμένη τοῦ ἱερωτάτου μητροπολίτου Τραϊανουπόλεως, ὑπερτίμου, ἀγαπητοῦ κατὰ κύριον ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος, μὴ τὸ προσῆκον ἔχοντος κατάντημα ἀπὸ τῆς παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν ἐπιφυείσης τοῖς πράγμασιν ἀνωμαλίας καὶ συγχύσεως, ὁμοῦ δὲ καὶ τοῦ ἐν τῷ Περιθεωρίῳ χριστωνύμου λαοῦ προμηθευομένη, χηρευούσης ἤδη τῆς ἐκεῖσε ἁγιωτάτης ἐκκλησίας, ὡς ἂν καὶ οὗτοι ἀρχιερατικῆς ἀπολαύωσιν ἐπιστασίας καὶ ἐπισκέψεως καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, ἐπειδὴ ἀπὸ τῆς ἐνούσης αὐτῷ ἀρετῆς καὶ περὶ τὰ πνευματικὰ ἐπιστήμης καὶ τῶν λοιπῶν θεοφίλων προτερημάτων καὶ τῆς καθαρᾶς εὐνοίας, ἣν κατὰ τὸ εἰκὸς καὶ ὀφειλόμενον ἔδειξε καὶ δεικνύει μετὰ τοῦ προσήκοντος ζήλου τῷ ἐνθέῳ κράτει τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, πολλὴν ὠφέλειαν μέλλει προξενεῖν τῷ τοιούτῳ λαῷ, συνδια-

σκεφαμένη τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν συνοδικῶς μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Φιλαδελφείας, τοῦ Μελενίκου, τοῦ Ποντοηρακλείας, τοῦ Ῥόδου, τοῦ Σηλυβρίας, τοῦ Ἄπρω, τοῦ Αἴνου, τοῦ Βρύσεως, τοῦ Τενέδου καὶ τοῦ Μάκρης, ἐπεὶ καὶ ὀφειλομένως ἔχομεν ἐπικουρεῖν καὶ κατὰ τὸ δυνατὸν συνεφάπτεσθαι τοῖς ἀδελφὰ φρονοῦσιν ἡμῖν καὶ τὰς ἐκκλησιαστικὰς φροντίδας συνδιαφέρουσιν ἐν τοῖς ἀναγκαίοις καὶ κατεπείγουσι, διὰ ταῦτα κατεπράξατο γνώμῃ κοινῇ ἐπιλαβέσθαι καὶ κατασχεῖν τὸν αὐτὸν ἱερώτατον μητροπολίτην Τραϊανουπόλεως καὶ ὑπέρτιμον ἐπιδόσεως λόγῳ χηρευούσης, ὡς εἴρηται, τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας Περιθεωρίου ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ, πολλῷ γὰρ μᾶλλον δίκαιον ἂν εἴη ἐκ τῶν ἐνόντων αὐτῷ περιγενέσθαι βοήθειαν ἢ ἐκ τῶν ἀλλοτρίων ἐπιζητεῖν· ἐπιλήψεται τοίνυν αὐτῆς μετὰ πάντων τῶν ὑπ' αὐτὴν κτημάτων καὶ πραγμάτων, ἱερουργήσει τε ἐν αὐτῇ καὶ ἀναγνώστας σφραγίσει καὶ ὑποδιακόνους καὶ διακόνους καὶ ἱερεῖς ἀπο τῶν ὑπ' αὐτὴν χειροτονήσει, καὶ πάντα διαπράξεται ἁπλῶς, ὅσα καὶ γνήσιος ταύτης ἀρχιερεὺς δίχα τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὀφειλόντων τῶν κληρικῶν καὶ τῶν ἄλλων ἁπάντων, ἱερωμένων, ἀρχόντων, μοναχῶν καὶ λαϊκῶν τὸ προσῆκον αὐτῷ σέβας καὶ τὴν τιμὴν ἀποδιδόναι καὶ ὑπείκειν, ἐφ' οἷς πρὸς αὐτοὺς μέλλει λέγειν καὶ εἰσηγεῖσθαι ἀφορῶσιν εἰς ὠφέλειαν τῶν ψυχῶν αὐτῶν. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν καὶ ἡ παροῦσα ἡμετέρα συνοδικὴ πρᾶξις τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Τραϊανουπόλεως καὶ ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, ἐπιδέδοται †.

† Εἶχε τὸ· μηνὶ δεκεβρίῳ ἰνδ. ζ' διὰ τιμίας πατριαρχικῆς χειρός †.

CXLIII. (6862—1354) ianuario ind. VII.

Patriarcha concedit metropolitae Antiquarum Patrarum, ut sedeat in monasterio dicto Mega Spelaion.

† Ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Παλαιῶν Πατρῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀχαΐας, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἀνήνεγκεν, ὡς τὰ τῆς κατ' αὐτὸν ταύτης ἁγιωτάτης ἐκκλησίας κατήντησεν, εἰς ὅσην δὴ καὶ κατήντησε, στενότητα ἀπὸ τῆς τοῦ καιροῦ καὶ τῶν πραγμάτων ἀνωμαλίας, ὡς

μηδ' ἀπὸ λειψάνων τοῦν ἔχειν γνωρίζεσθαι, κἀντεῦθεν μηδὲ καταντήματος εὐπορῶν ὅδε ὁ ἱερώτατος μητροπολίτης Παλαιῶν Πατρῶν, καὶ τῇδε κἀκεῖσε μεταχωρῶν ἔστιν, ὑφορώμενος καὶ τὸν ἐπηρτημένον αὐτῷ καθ' ἑκάστην σχεδὸν ὑπὸ τῆς ἐπιθέσεως τῶν ἐχθρῶν κίνδυνον, καὶ διὰ τοῦτο ᾐτήσατο τὴν ἡμῶν μετριότητα, ἵνα ἡ κατὰ τὴν Πελοπόννησον διακειμένη σεβασμία μονὴ, ἡ εἰς ὄνομα τιμωμένη τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης Σπηλαιωτίσσης, τῇ πατριαρχικῇ περιωπῇ καὶ ἐπισκέψει ἄνωθεν ὑποκειμένη, δοθῇ πρὸς αὐτὸν ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ κατὰ λόγον ἡγουμενείας, καθὰ δὴ ἐνταῦθα κατὰ τὴν θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν ἐκδίδονται τοῖς ἀρχιερεῦσι μοναστήρια ἡγουμενικῶς, ὥστε τὸν αὐτὸν ἱερώτατον μητροπολίτην Παλαιῶν Πατρῶν καὶ καταντήματος εὐπορεῖν καὶ τῆς προσηκούσης εὐκοσμίας καὶ θεοφιλοῦς ἀγωγῆς ἐπιμελεῖσθαι τῶν ἐν τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ ἀσκουμένων μοναχῶν, ἡ μετριότης ἡμῶν εὔλογον τὴν αἴτησιν ταύτην ἡγησαμένη καὶ κρίνασα, τὸ παρὸν ἀπολύει σιγιλλιῶδες γράμμα, δι' οὗ δὴ καὶ ἐκδίδωσι πρὸς τὸν αὐτὸν ἱερώτατον μητροπολίτην Παλαιῶν Πατρῶν ἡγουμενικῶς τὴν ῥηθεῖσαν σεβασμίαν πατριαρχικὴν μονὴν τοῦ Σπηλαίου ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ μετὰ πάντων τῶν προσόντων αὐτῇ κτημάτων καὶ πραγμάτων καὶ λοιπῶν δικαίων καὶ προνομίων, ὥστε καὶ ἔχειν ἐν αὐτῇ κατάντημα διὰ τὴν οἰκείαν ἑαυτοῦ ἀσφάλειαν, ὡς εἴρηται. οὕτω δὲ παρακελευόμεθα τὰ περὶ τούτου, ἵνα οὐ μόνον κατὰ μηδένα τρόπον ἔχῃ οὗτος ἐπ' ἀδείας ποτὲ ὡς οἰκείας τῆς μονῆς ἀντιποιήσασθαι καὶ ἀποσπάσαι αὐτὴν τοῦ πατριαρχικοῦ μέρους, ἀλλὰ καὶ ἀποδιδῷ τό τε ἀνῆκον ἄνωθεν κανονικὸν καὶ εἴ τι ἄλλο ἐστὶ τεταγμένον ἀποδίδοσθαι παρὰ τῆς μονῆς τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, ἀποδιδῷ δὲ τοῦτο ἀπὸ τοῦ ἐλευσομένου σεπτεβρίου σὺν θεῷ τῆς ὀγδόης ἰνδικτιῶνος, ὀφείλει μέντοι προηγουμένως φροντίδα ποιεῖσθαι, ὅπως ἂν οἱ ἐνασκούμενοι αὐτῇ μοναχοὶ διαγωγῆς καὶ πολιτείας ἀντιποιοῖντο, μοναχοῖς ἀνδράσι προσαρμοζούσης, καὶ ὡς ἐπηγγείλαντο θεῷ, ἀναστρέφοιντο, ἔπειτα καὶ κατὰ τὸ δυνατὸν αὐτῷ καὶ τὰ ὑπ' αὐτὴν κτήματα καὶ πράγματα βελτιοῖντο καὶ ἐπαύξοιντο, ὡς λόγον ἀποδώσων ὑπὲρ τούτων θεῷ, ὀφειλόντων καὶ τῶν ἐν αὐτῇ μοναχῶν διὰ πάσης αἰδοῦς καὶ τιμῆς ἔχειν αὐτὸν δὴ τὸν ἱερώτατον μητροπολίτην καὶ ὑπείκειν τούτῳ καὶ πειθαρχεῖν καὶ τὰ παρὰ τούτου

πρὸς αὐτοὺς λεγόμενα εὐπειθῶς δέχεσθαι, πείθεσθε γὰρ, φησὶ, τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε, ἐπεὶ καὶ ἡ πρὸς αὐτὸν τιμὴ εἰς τὴν ἡμῶν μετριότητα διαβαίνει, καὶ ἔχει τὴν ἀναφοράν, εἰδέναι ὀφείλοντες, ὡς ὁ ἐξ αὐτῶν ἀντιπράξων τούτῳ καὶ ἐναντιωθησόμενος, ὥς τι ψωριῶν, ἀπελαθήσεται παρ' αὐτοῦ τῆς μάνδρας Χριστοῦ, ἵνα μὴ λύμης καὶ τῷ ὑγιαίνοντι μεταδῷ, παρακελεύεται δὲ καὶ τοῦτο ἡ μετριότης ἡμῶν, ἵνα ἔχῃ ἐπ' ἀδείας ὁ αὐτὸς ἱερώτατος μητροπολίτης ἱερουργεῖν ἐν τῇ ῥηθείσῃ σεβασμίᾳ πατριαρχικῇ μονῇ τοῦ Σπηλαίου, ὅταν δεήσῃ καὶ καλῇ χρεία πρὸς τοῦτο, τελῆται δὲ ὀφειλομένως ἡ ἀναφορὰ καὶ μνήμη τῆς ἡμῶν μετριότητος ἐν τῇ μονῇ ὑποκειμένῃ ὑπὸ τὴν πατριαρχικὴν ἐξουσίαν, ἔπειτα μνημονεύηται ὡς καθηγούμενος ἁπλῶς καὶ ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης Παλαιῶν Πατρῶν, εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται αὐτῷ δὴ τῷ δηλωθέντι ἱερωτάτῳ μητροπολίτῃ Παλαιῶν Πατρῶν, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ἀχαΐας, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε τὸ· μηνὶ ἰανουαρίῳ ἰνδ. ζ' διὰ τιμίας πατριαρχικῆς χειρός †.

CXLIV. (6862—1354) ianuario ind. VII.

Patriarcha committit metropolitae Monembasiae iura patriarchalia curanda in tota Peloponneso.

† Ἡ μετριότης ἡμῶν ἀνατίθησί σοι, τῷ ἱερωτάτῳ μητροπολίτῃ Μονεμβασίας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Πελοποννήσου, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, τὴν ἐν τῇ Πελοποννήσῳ ἀνήκουσαν πᾶσαν ἐξαρχίαν τοῖς πατριαρχικοῖς δικαίοις, ὅθεν ἐπιτηρήσεις μὲν πάντα τὰ ὑπὸ τὸ πατριαρχεῖον τελοῦντα μοναστήρια, διδάξεις τε τοὺς ἐνασκουμένους αὐτοῖς μοναχοὺς, θεοφιλοῦς ἔχεσθαι βίου καὶ κατὰ τὸ ἐπάγγελμα πολιτεύεσθαι, καὶ τοὺς μὲν πειθομένους ἀποδοχῆς ἀξιώσεις, ὅσους δὲ ἀπειθοῦντας εὑρήσεις, ἰατρεύσεις αὐτοὺς, νῦν μὲν ἡμερωτέροις, νῦν δὲ αὐστηροτέροις φαρμάκοις χρώμενος, ὡσαύτως καταστήσεις ἐν αὐτοῖς ἡγουμένους, ὅσους δοκιμάσῃς τῶν εὑρισκομένων εἰς τὸν αὐτόθι τόπον μᾶλλον τῶν ἄλλων ἐπιτηδειοτέρους εἰς τὴν τοιαύτην λειτουργίαν, ἐπιτηρήσεις τε τὰ

προσόντα τοῖς τοιούτοις μοναστηρίοις κτήματά τε καὶ πράγματα, καὶ διδάξεις τοὺς διακονοῦντας καὶ διενεργοῦντας αὐτὰ προσέχειν ἑαυτοῖς, μὴ θίγειν ἀσυνειδήτως τῶν ἱερῶν, ἐνθυμουμένους τὸ κατὰ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν, καὶ ὡς ὁ ἐκείνων θάνατος καὶ ἡ τῆς προσκαίρου ζωῆς ἀφαίρεσις τύπος ἐστὶν ἐκπτώσεως τῆς αἰωνίου ζωῆς, ἥτις ἐξ ἀνάγκης ἕψεται τοῖς πλεονεκτικὴν χεῖρα τοῖς ἀνατεθειμένοις θεῷ ἐπιβάλλουσιν· ἱερουργήσεις δὲ ἐν τοῖς τοιούτοις μοναστηρίοις καὶ χειροτονήσεις κατὰ τὴν ἐπικρατήσασαν ἐκκλησιαστικὴν συνήθειαν, ὀφειλόντων καὶ τῶν ἐνασκουμένων ἐν τοῖς μοναστηρίοις μοναχῶν πείθεσθαι τῇ ἱερότητί σου, ἐφ' οἷς μέλλεις λέγειν πρὸς αὐτούς, ἀφορῶσιν εἰς τὴν πνευματικὴν αὐτῶν προκοπήν τε καὶ αὔξησιν. κατὰ δὲ τῶν τελέως ἀπειθούντων καὶ μὴ ἐθελόντων ὑπακούειν καὶ βάρος ἀφορισμοῦ ἐπισείομεν, ὅπερ λύσει ἡ ἱερότης σου τῇ μετανοίᾳ προσδραμόντων αὐτῶν. τούτου γὰρ χάριν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται πρὸς τὴν ἱερότητά σου δι' ἀσφάλειαν †.

† Εἶχε τὸ· μηνὶ ἰανουαρίῳ ἰνδ. ζ' διὰ τιμίας πατριαρχικῆς χειρός †.

CXLV. (6862—1354) ianuario ind. VII.

Macarius, metropolita Antiquarum Patrarum, confirmat, monasterium dictum Mega Spelaion non esse metropoleos.

† Ἐπεὶ ἀπὸ τῆς παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν ἐπιφυείσης τοῖς πράγμασιν ἀνωμαλίας κατήντησε καὶ τὰ τῆς κατ' ἐμὲ ἐκκλησίας, εἰς ὅσην δὴ καὶ κατήντησε στενότητα, κἀντεῦθεν ὡς μὴ ἔχων κατάντημα περιεφερόμην τῇδε κἀκεῖσε, βλέπων καθ' ἑκάστην ἐπηρτημένον μοι κίνδυνον ἐκ τῆς ἐπιθέσεως τῶν ἐχθρῶν, καὶ διὰ τοῦτο, ὁδηγηθεὶς ἀπὸ τοῦ θεοῦ, ὁ παναγιώτατος ἡμῶν δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης, κατηλέησέ με καὶ προμηθείας ἠξίωσεν ἀπὸ τῆς ἐμφύτου αὐτοῦ χρηστότητος καὶ συμπαθείας, καὶ παρεκελεύσατο διὰ τιμίου αὐτοῦ σιγιλλιώδους γράμματος, ἵνα τὴν σεβασμίαν πατριαρχικὴν μονὴν τοῦ Σπηλαίου κρατῶ καὶ διεξάγω ἡγουμενικῶς ἐφ' ὅρῳ τῆς ζωῆς μου, καὶ ἐπιμελῶμαι τῆς συστάσεως αὐτῆς καὶ ἐπὶ τὸ κρεῖττον βελτιώσεως, ἰδοὺ, τυχὼν τῆς τοιαύτης προμηθείας καὶ εὐχαριστῶν καὶ τούτου ἕνεκα τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ τῷ οἰκουμενικῷ πατριάρχῃ τὸ παρὸν ἔγγραφόν μου ὑποσχητικὸν ἐκτίθε-

μαι, δι' οὗ καὶ τάττω καὶ βεβαιῶ, ἵνα εἰ καὶ πεπλανημένον εἶχον πρότερον λογισμὸν, ὅτι ἔχει ποσῶς μετοχήν τινα ἡ τῶν Παλαιῶν Πατρῶν μητρόπολις ἐπὶ τῷδε τῷ μοναστηρίῳ, ἀλλ' οὖν ἐπεὶ ἐξήτασα καὶ εὗρον ἀκριβῶς, ὅτι οὐδόλως μετέχει ἡ τοιαύτη ἐκκλησία ἐπὶ τούτῳ, ἅτε δὴ ἄνωθεν ὑποκειμένῳ τῇ πατριαρχικῇ περιωπῇ, καὶ εἰμὶ ἐγὼ εἰς τοῦτο μάρτυς πρὸ τῶν ἄλλων, οὐδὲν πειραθῶ μετὰ ταῦτά ποτε ἢ ζητῆσαι ἢ ἀντιποιήσασθαι ὡς μητροπολιανοῦ τοῦδε τοῦ πατριαρχικοῦ μοναστηρίου τῆς Σπηλαιωτίσσης, ἀλλὰ ἔχω τὴν τούτου ἡγουμενείαν ἐφ' ὅρῳ τῆς ζωῆς μου, καὶ ἐπιμελῶμαι τῆς συστάσεως καὶ βελτιώσεως αὐτοῦ τε καὶ τῶν προσόντων αὐτῷ κατὰ τὴν περίληψιν τοῦ ἀπολυθέντος μοι τιμίου σιγιλλιώδους γράμματος, φροντίζων καὶ τῆς ψυχικῆς ὠφελείας καὶ εὐταξίας τῶν μοναχῶν· εἰ δὲ οὐδὲν συντηρηθῶ εἰς τὴν παροῦσαν μου ἔγγραφον ὑπόσχεσιν ἀποπληρῶν οὕτως, ἵνα ἐκβάλλωμαι ἀπὸ τῆς ἡγουμενείας τοῦ τοιούτου πατριαρχικοῦ μοναστηρίου. διὰ γοῦν τὴν περὶ τούτου βεβαίωσιν ἐπιστωσάμην αὐτὴν οἰκειοχείρῳ ὑπογραφῇ. μηνὶ ἰανουαρίῳ ἰνδ. ζ' †.

† Ὁ Παλαιῶν Πατρῶν Μακάριος †.

CXLVI. (6862—1354) februario ind. VII.

Synodus metropolitae Pegarum confert metropolim Sozopoleos.

† Ἐπεὶ καὶ τὰ τῆς ἁγιωτάτης μητροπόλεως Πηγῶν ὑπὸ τῆς ἐπιφυείσης τοῖς πράγμασιν ἀνωμαλίας καὶ τῆς τῶν ἐχθρῶν ἐπιθέσεως, παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν, εἰς τὸ μηδαμῆ μηδαμῶς κατήντησε, καὶ οὐδ' ἀπὸ λειφάνων δή τινων ἐγνωρίζετο, ὁ δὲ ταύτην λαχὼν ἱερώτατος ἀρχιερεὺς, ὑπέρτιμος, ἀγαπητὸς ἡμῶν κατὰ κύριον ἀδελφὸς καὶ συλλειτουργὸς, οὐ μόνον ἐν στερήσει καὶ αὐτῶν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἐτύγχανεν, ἀλλ' οὐδὲ καταντήματος γοῦν εὐπορῶν ἦν, κ ντεῦθεν προμηθείας συνοδικῶς ὑπὲρ αὐτοῦ γενομένης καὶ πρότερον, ἐγένετο συνοδικὴ πρᾶξις, ὥστε κατὰ λόγον ἐπιδόσεως κατέχειν αὐτὸν τὴν ἁγιωτάτην μητρόπολιν Σωζοπόλεως, γνησίου ἀρχιερέως χηρεύουσαν, ἐδεήθη δὲ ἀρτίως ὁ ῥηθεὶς ἱερώτατος ἀρχιερεὺς, ἵνα καὶ ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ κατέχῃ τὴν τοιαύτην ἁγιωτάτην ἐκκλησίαν Σωζοπόλεως, ἡ μετριότης ἡμῶν πάνυ τοι προθυμουμένη καὶ βουλομένη Χριστοῦ χάριτι ἐπικουρίαν ἐπιδείκνυσθαι περὶ τοὺς ἀπορουμένους τῶν ἀδελφῶν,περὶ οὓς καὶ τὸ ἐκκλησιαστικὸν χρέος ἀπαιτεῖ μάλιστα,

καὶ ἅμα προμηθευομένη καὶ αὐτὴ, ὅπως ἂν καὶ ὁ κατὰ τὴν Σωζόπολιν εὑρισκόμενος χριστώνυμος λαὸς ἀρχιερατικῆς ἀπολαύωσιν ἐπισκέψεως καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, ἅτε δὴ τοῦ δηλωθέντος ἁγιωτάτου ἀρχιερέως Πηγῶν τῇ ἐνούσῃ αὐτῷ περὶ τὰ πνευματικὰ ἐπιστήμῃ ἱκανῶς ἔχοντος ὁδηγεῖν ψυχὰς πρὸς τὰ θεοφιλῆ καὶ σωτήρια, διὰ ταῦτα κοινῇ συνοδικῇ γνώμῃ κατεπράξατο, ἐπειλημμένον εἶναι αὐτὸν ἐπιδόσεως λόγῳ καὶ ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ ἀπάρτι τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας Σωζοπόλεως· ἐπιλήψεται τοίνυν οὗτος αὐτῆς τοιουτοτρόπως μετὰ πάντων τῶν ὑπ' αὐτὴν, ἱερουργήσει τε ἐν αὐτῇ καὶ ὑποδιακόνους καὶ διακόνους καὶ ἱερεῖς ἀπὸ τῶν ὑπ' αὐτὴν χειροτονήσει, καὶ ἁπλῶς πάντα ἐν αὐτῇ καταπράξεται, ὅσα καὶ γνήσιος ἀρχιερεὺς αὐτῆς, ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ δίχα τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὡς κατὰ λόγον ἐπιδόσεως, ὀφειλόντων καὶ τῶν κληρικῶν καὶ τῶν ἄλλων ἁπάντων, ἱερωμένων καὶ λαϊκῶν, τὸ προσῆκον αὐτῷ σέβας καὶ τὴν τιμὴν ἀποδιδόναι καὶ ὑπείκειν καὶ πειθαρχεῖν, ἐφ' οἷς πρὸς αὐτοὺς μέλλει παραινεῖν καὶ εἰσηγεῖσθαι ἀφορῶσιν εἰς ὠφέλειαν τῶν ψυχῶν αὐτῶν. εἰς καὶ τὴν περὶ τούτου ἀσφάλειαν καὶ ἡ παροῦσα ἡμετέρα συνοδικὴ πρᾶξις τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Πηγῶν καὶ ὑπερτίμῳ ἐπιδέδοται †.

† Εἶχε τὸ· μηνὶ φευρουαρίῳ ἰνδ. ζ' †.

CXLVII. (6862—1354) martio ind. VII.

Callistus populum Peritheorii monet, ut episcopo obediat.

† Εὐλαβέστατοι κληρικοὶ τῆς ἁγιωτάτης ἐκκλησίας Περιθεωρίου καὶ ὁ ὑπὸ τὴν ἐνορίαν ταύτης καὶ ἐπικράτειαν εὑρισκόμενος τοῦ κυρίου λαὸς, ἱερωμένοι, ἄρχοντες, λαϊκοὶ, ἀγαπητὰ κατὰ κύριον τέκνα τῆς ἡμῶν μετριότητος, χάριν, εἰρήνην, ἔλεος, εὐθηνίαν τε τῶν ἀγαθῶν καὶ ψυχικὴν σωτηρίαν ἐπεύχεται πᾶσιν ὑμῖν ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. ἀπὸ τῆς ἀπολυθείσης συνοδικῆς πράξεως τῆς ἡμῶν μετριότητος μέλλετε γνωρίσειν, ὅπως ἐτάχθη εὑρίσκεσθαι ὁ ἱερώτατος μητροπολίτης Τραϊανουπόλεως εἰς τὴν αὐτὴν ἁγιωτάτην ἐκκλησίαν, καὶ ὅπως περιέστη ἔχειν τοῦτον αὐτὴν εἰς κατάντημα. ὁ γοῦν τοιοῦτος ἱερώτατος ἀρχιερεὺς καὶ γεννηθεὶς καὶ παιδευθεὶς ἐν τῇ θεοδοξάστῳ καὶ θεομεγαλύντῳ Κωνσταντινουπόλει καὶ συνέσει πνευματικῇ καὶ ἀρετῇ κεκοσμημένος ὑπὸ θεοῦ, ἀπολαύει μὲν διὰ

ταῦτα καὶ τῆς εὐμενείας τῆς παρὰ τῶν κρατίστων καὶ ἁγίων μου αὐτοκρατόρων, ἔχει δὲ κατ' ἐξαίρετον καὶ τὴν ἀπὸ τῆς ἡμῶν μετριότητος ἀδελφικὴν στοργὴν καὶ διάθεσιν, ὡς Χριστοῦ χάριτι δυνάμενος καὶ ψυχῶν προΐστασθαι καὶ χειραγωγεῖν αὐτὰς πρὸς τὴν σωτηρίαν, ἤδη γοῦν καταλαμβάνει σῶν θεῷ πρὸς ὑμᾶς, καὶ παρεγγυᾶται πᾶσιν ὑμῖν ἡ μετριότης ἡμῶν, ὡς ἂν ὑποδέξησθε τοῦτον μετὰ περιχαρᾶς, καὶ εὐφρανθῆτε ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ, καὶ δέχησθε, καὶ σπεύδητε ἐκπληροῦν, ὅσα μέλλει λέγειν καὶ διδάσκειν ὑμᾶς ψυχωφελῆ καὶ σωτήρια, ὑπείκοντες αὐτῷ καὶ πειθαρχοῦντες ὡς οἰκείῳ ποιμένι καὶ διδασκάλῳ, ἀποστολικαῖς παραινέσεσιν ἐξακολουθοῦντες, ἡ γὰρ πρὸς αὐτὸν τιμὴ εἰς τὴν ἡμῶν μετριότητα διαβαίνει, καὶ ἔχει τὴν ἀναφοράν, καὶ πάντα τρόπον ἐπαγωνιζόμενοι ἀναστρέφεσθαι καὶ πολιτεύεσθαι, ὡς ἁρμόζει χριστιανοῖς ἀνθρώποις, κατὰ τοὺς θεσμοὺς τῆς ἐκκλησίας θεοῦ καὶ καθὼς οἱ φιλευσεβεῖς τῶν χριστιανῶν ἀπαιτοῦσι νόμοι, ἀγάπην ἔχοντες μετ' ἀλλήλων καὶ εἰρήνην, ἐλεημοσύνην καὶ μετάδοσιν πρὸς τοὺς πένητας καὶ τοὺς αἰχμαλώτους, ἐξαγορίαν πρὸς τοὺς πνευματικοὺς πατέρας, τῶν ἐκκλησιαστικῶν συνάξεων καὶ τῶν εἰς θεὸν ὑμνῳδιῶν μηδαμῶς ἀπολιμπανόμενοι, ἐπὶ καθάρσει καὶ ἁγιασμῷ τῶν οἰκείων ψυχῶν, καὶ ἁπλῶς εἰπεῖν, πάσης μὲν ἁμαρτίας ἀπεχόμενοι, πάσης δὲ ἀγαθοεργίας ἀντεχόμενοι, ἐξ ἧς θεὸς θεραπεύεται καὶ ἀμείβεται πλουσίως τοὺς οἰκείους θεράποντας, ἵνα καὶ τὴν διὰ πλῆθος ἁμαρτιῶν ἐπενεγχθεῖσαν τῷ ἡμετέρῳ γένει καταιγίδα τῆς βαρβαρικῆς ἐφόδου ὁ πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς φιλάνθρωπος κύριος, τῶν οἰκείων σπλάγχνων ἐπιμνησθείς, εἰς αἰθρίαν μεταποιήσῃ, οἶδε γὰρ ἐκπληροῦν τὰ θελήματα τῶν φοβουμένων αὐτόν. παρακελευόμεθα δὲ καὶ τοῦτο, ἵνα πάντα τὰ τῆς ἐκκλησίας δίκαια εὑρίσκωνται ὑπὸ τὴν ἐξουσίαν τοῦ διαληφθέντος ἱερωτάτου μητροπολίτου, καὶ ἐάν τις ἔφθασε καὶ κατέσχε τι ἐξ αὐτῶν, ἤ τις ἀφ' ὑμῶν τῶν κληρικῶν ἢ τῶν ἄλλων, εἴτε χωραφιαίαν γῆν, εἴτε ἀμπέλιον ἢ ὑδρομύλωνα ἢ περιβόλιον ἢ αὐτουργὸν ἤ τι ἕτερον ἐκκλησιαστικὸν δίκαιον, ἀπολύσῃ τοῦτο ἀπροφασίστως πρὸς αὐτὸν, ἐπειδὴ τὰ ἀφιερωμένα τῷ θεῷ ἀναπόσπαστα καὶ ἀναφαίρετα τὸν ἀεὶ χρόνον τυγχάνειν ὀφείλει, οἷς ἀφιέρωνται, καὶ ὁ χεῖρα πλεονέκτιν καὶ ἅρπαγα ἐπιβάλλειν τούτοις ἐπιχειρῶν ὡς ἱεροσύλος κρίνεται παρ' αὐτῶν, καὶ ἐπιτιμίῳ καθυποβάλλεται, ὃ δὴ ἐπιτίμιον ἀκολούθως καὶ ἡ μετριότης ἡμῶν ἐπανατείνεται κατὰ τῶν

τοιούτων, μέχρις ἂν φέροντες ἐπανασώσωσι τῇ ἐκκλησίᾳ τὰ παρ' αὐτῶν ἀφαιρεθέντα, κατὰ γὰρ τὴν τῶν αὐτῶν θείων καὶ ἱερῶν κανόνων παρακέλευσιν ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης ὀφείλει ἔχειν τὴν φροντίδα καὶ τὴν διοίκησιν πάντων τῶν τῆς ἐκκλησίας πραγμάτων. ποιεῖτε τοίνυν ἐπιμελῶς, καθάπερ ἡ μετριότης ἡμῶν παρεγγυᾶται ὑμῖν, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις εἴη μεθ' ὑμῶν †.

† Εἶχε τὸ· μηνὶ μαρτίῳ ἰνδ. ζ' †.

CXLVIII. (6862—1354) martio ind. VII.

Callistus iubet metropolitam Philadelphiae monasterium David inspicere.

† Ἱερώτατε μητροπολῖτα Φιλαδελφείας, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Λυδίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. ἐπεὶ ἔφθασεν ἡ μοναχὴ ἡ ἐπονομαζομένη Ἀγγελίνα ἡ Σεναχηρίνα καὶ διεπράξατο καὶ εἰργάσατο εἰς τὴν αὐτόθι σεβασμίαν γυναικείαν πατριαρχικὴν μονήν, ἐπ' ὀνόματι τετιμημένην τῆς ὑπεράγνου δεσποίνης καὶ θεομητόρος καὶ ἐπικεκλημένην τοῦ κῦρ Δαυίδ, ὅσα δὴ καὶ ἐποίησεν ἀνένδεκτα, οὐχ ὡς ἐχρῆν διατεθεῖσα, ἀλλὰ μᾶλλον καὶ ἐπὶ βλάβῃ ψυχικῇ τῶν ἐνασκουμένων ταύτῃ μοναχῶν, ἡ μετριότης ἡμῶν καὶ τῆς σωτηρίας μὲν ἁπάντων τῶν χριστιανῶν φροντίζουσα, Χριστοῦ χάριτι, μάλιστα δὲ τῶν μοναχῶν, κατὰ θεὸν προθεμένων καὶ ἐπαγγελλομένων βιοῦν, παραδηλοῖ καὶ ἀνατίθησι τῇ ἱερότητί σου διὰ τοῦ παρόντος γράμματος, ἐπιλαβέσθαι τοῦδε τοῦ πατριαρχικοῦ μοναστηρίου τοῦ κῦρ Δαυὶδ καὶ ἔχειν τὴν ἐφορείαν τούτου καὶ πνευματικὴν ἐπίσκεψιν καὶ ἀνάκρισιν καὶ παντοίαν ἐπιμέλειαν τούτου καὶ προμηθείαν καὶ διὰ φροντίδος ποιεῖσθαι ἀπὸ τῆς ἐνούσης τῇ ἱερότητί σου σοφίας καὶ πνευματικῆς διδασκαλίας καὶ ἐπιστήμης, ὅπως ἂν αἱ ἐν τῷδε τῷ πατριαρχικῷ μοναστηρίῳ θεοφιλῶς ἀναστρέφοιντο καὶ κατὰ τὸ προσαρμόζον γυναιξὶν, ἐπαγγρημέναις τὸν μοναχικὸν βίον καὶ μόνῳ θεῷ ἀφιερωμέναις, κατὰ τὰς πρὸς αὐτὸν συνθήκας τούτων καὶ ἐπαγγελίας, ταύτην δὲ τὴν Σεναχηρίναν, λυμηναμένην τὰς τῶν μοναχῶν ψυχὰς καὶ ἀνένδεκτα διαπραξαμένην, ἐκ τοῦ ἀπ' ἐντεῦθεν ἀποδιώξῃς ἐκεῖθεν, ἵνα μὴ τῆς λύμης κακῶς μεταδῷ καὶ ταῖς ὑγιαινούσαις, τὸ γὰρ σπουδαζόμενον καὶ πραγματευόμενον ἡμῖν, ὡς οἶδε καὶ ἡ ἱερότης σου, σωτηρία ἐστὶ ψυχῶν, ἔνθα δὴ καὶ μᾶλλον πρὸ τῶν ἄλλων ὀφείλομεν.

ὡσαύτως ἐπιμελείσθω ἡ ἱερότης σου καὶ ὅπως ἂν τὸ ῥηθὲν μοναστήριον εἰς τὴν προτέραν σὺν θεῷ ἐπανέλθοι εὐταξίαν καὶ κατάστασιν, καὶ τὰ ὑπ' αὐτὸ κτήματα βελτιοῖντο καὶ ἐπαύξοιντο, ἐπανασωθεῖεν δὲ καὶ ὅσα ἔφθασάν τινες οἱῳδήτινι τρόπῳ καὶ κατέσχον ἀμετόχως καὶ δυναστείᾳ χρησάμενοι, θάρρος γὰρ ἔχει καὶ ἀκριβῆ πληροφορίαν ἡ μετριότης ἡμῶν, ὡς ταῖς θεαρέστοις καὶ ἐπιμελείαις τῆς ἱερότητός σου καὶ ἐν τούτῳ καὶ κατ' ἄμφω τὴν εἰς τὸ κρεῖττον ἐπίδοσιν καὶ ὠφέλειαν λήψεται τὸ δηλωθὲν πατριαρχικὸν μοναστήριον, ὀφειλουσῶν καὶ τῶν μοναχῶν κατὰ τὸ, ὅπερ ἔχουσι, χρέος ὑπείκειν καὶ πειθαρχεῖν τῇ ἱερότητί σου ἐν ἅπασιν, ἀποστολικαῖς γὰρ παραινέσεσιν ἐξακολουθεῖν μέλλουσιν, ὡς παρεγγυώμεθα καὶ ἅμα ὡς τῆς πρὸς τὴν ἱερότητά σου αἰδοῦς καὶ εὐπειθείας αὐτῶν καὶ τιμῆς εἰς τὴν ἡμῶν μετριότητα διαβαινούσης καὶ ἀναφερομένης, ὅθεν καὶ οὐδεὶς ὀφείλει ἐπαγαγεῖν εἰς τοῦτο ἐμποδισμόν τινα ἢ ἐναντίωσιν τῇ ἱερότητί σου, εἰ μὴ βούλοιτο, κἂν ὁποῖος ἄρα καὶ ᾖ, ἐκκλησιαστικῆς ἐπεξελεύσεως πειραθῆναι. ποιείτω τοίνυν ἐπιμελῶς καὶ ἀμεταθέτως ἡ ἱερότης σου κατὰ τὴν πρὸς αὐτὴν ἡμετέραν ἀνάθεσιν ἐπὶ λυσιτελείᾳ, ὡς δεδήλωται, τοῦ τοιούτου πατριαρχικοῦ μοναστηρίου, πρᾶγμα ποιεῖν μέλλουσα καὶ τούτου ἕνεκα εἴς τε ἀρέσκειαν τοῦ θεοῦ καὶ πολλὴν ἀποδοχὴν τῆς ἡμῶν μετριότητος. ἔρρωσο κατὰ κύριον κ. τ. λ. †.

† Εἶχε τὸ· μηνὶ μαρτίῳ ἰνδ. ζ' †.

CXLIX. (6862—1354) martio ind. VII.

Callistus metropolitae Philadelphiae committit iura ecclesiastica curanda in Antiqua Phocaea.

† Ἡ μετριότης ἡμῶν τὸ παρὸν ἀπολύουσα γράμμα παρακελεύεται δι' αὐτοῦ, ὥστε διοικεῖν τὰ τῆς Παλαιᾶς Φωκαίας ἐκκλησιαστικὰ δίκαια τὸν ἱερώτατον μητροπολίτην Φιλαδελφείας, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Λυδίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, κατὰ τὴν ἐνοῦσαν αὐτῷ Χριστοῦ χάριτι σοφίαν καὶ ἀρετὴν καὶ πνευματικὴν ἐπιστήμην, καὶ διὰ φροντίδος τίθεσθαι τήν σωτηρίαν τῶν ἐκεῖ εὑρισκομένων χριστιανῶν, ἔχειν δὲ αὐτὸν δὴ τὸν ἱερώτατον ἀρχιερέα καὶ ὑπέρτιμον καὶ ἐπ' ἀδείας ἀποτάττειν ἐπὶ τῇ διεξαγωγῇ τῶν τοιούτων ἐκκλησιαστικῶν δικαίων καὶ ἐνοχῶν, ὧν ἂν ἐθέλοι καὶ διακρίνοι ἱκανὸν καὶ ἁρμόδιον ἐπὶ τούτῳ·

ὡσαύτως ἐπιτρέπομεν καὶ ἐκχωροῦμεν τῷδε τῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας καὶ ὑπερτίμῳ, ἵνα καὶ ἐν ταῖς ἐνορίαις καὶ ἐπικρατείαις τῶν χηρευουσῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ μὴ ἐπιδόσεως λόγῳ πρός τινας δοθεισῶν ἱερουργῇ ἐν αὐταῖς καὶ σφραγίζῃ ἀναγνώστας ἀπὸ τῶν ἐκεῖσε, καὶ ὑποδιακόνους καὶ διακόνους καὶ ἱερεῖς χειροτονῇ, ὅθεν ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς Παλαιᾶς Φωκαίας, πρεσβύτεροι, μοναχοὶ καὶ λαϊκοί, παντοίαν αἰδῶ καὶ τιμὴν ἀπονέμειν αὐτῷ καὶ ὑπείκειν καὶ πειθαρχεῖν, ἐφ' οἷς μέλλει λέγειν καὶ εἰσηγεῖσθαι αὐτοῖς λυσιτελέσιν, ἀποδιδόναι τε καὶ τὸ ἀνῆκον κανονικὸν καὶ εἴ τι ἄλλο σύνηθές ἐστι καὶ τεταγμένον ἀποδίδοσθαι παρ' αὐτῶν τῷ μέρει τῆς ἐκκλησίας. ἐπὶ τοῦτο γὰρ κ. τ. λ. †.

† Εἶχε τὸ· μηνὶ μαρτίῳ ἰνδ. ζ' †.

CL. (6862—1354) martio ind. VII.

Patriarcha inspectionem monasterii Hodegon committit metropolitae Macrae.

† Ὁ ἱερώτατος μητροπολίτης Μάκρης, ὑπέρτιμος, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, πορισάμενος σεπτὸν πρόσταγμα τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἐπὶ τῇ κατὰ τὴν θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν διακειμένῃ σεβασμίᾳ μονῇ, τῇ εἰς ὄνομα τιμωμένῃ τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος, ᾐτήσατο, ὡς ἂν λάβῃ ταύτην καὶ παρὰ τῆς ἡμῶν μετριότητος διὰ γράμματος αὐτῆς. ἡ γοῦν μετριότης ἡμῶν, τὸ παρὸν ἀπολύουσα γράμμα, παρακελεύεται δι' αὐτοῦ, ὡς ἂν, ταττομένου παρὰ τῆς ἡμῶν μετριότητος εἰς τὴν ἡγουμενείαν τῆς εἰρημένης μονῆς, ὃν ἂν ἐκλέγηται καὶ σφραγίζῃ αὕτη, ὅτε μὲν εὑρίσκεται ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης Μάκρης ἐπιδημῶν τῇ βασιλίδι τῶν πόλεων, κρατῇ καὶ ἐφορεύῃ οὗτος τὴν αὐτὴν σεβασμίαν μονὴν, ἐπιμελούμενος καὶ φροντίζων αὐτῆς κατὰ τὸ δυνατὸν, εὑρισκομένου καὶ τοῦ ἀποταχθέντος παρὰ τῆς ἡμῶν μετριότητος εἰς τὴν ἡγουμενείαν αὐτῆς· ὅτε δὲ εἰς τὴν λαχοῦσαν αὐτὸν ἁγιωτάτην ἐκκλησίαν εὑρίσκεται ὁ αὐτὸς ἱερώτατος μητροπολίτης, ἵνα μήτε αὐτὸς οὗτος ἐφορεύει τὴν δηλωθεῖσαν σεβασμίαν μονὴν, μήτε ἄλλῳ τινὶ τὴν αὐτῆς ἐφορείαν καταλίπῃ, ἀλλὰ εὑρίσκεται ὁ καὶ πρότερον εἰς τὴν ἡγουμενείαν ἀποταχθεὶς αὐτῆς παρὰ τῆς ἡμῶν μετριότητος πᾶσαν τὴν τῆς μονῆς φροντίδα καὶ ἐπιμέλειαν ἔχων, ἀνακρινόμενος παρὰ τῆς ἡμῶν μετριό-

τητος. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Μάκρης καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε τὸ· μηνὶ μαρτίῳ ἰνδ. ζ'. διὰ τιμίας πατριαρχικῆς χειρός †.

CLI. (6862—1354) iunio ind. VII.

Synodus Alexium, episcopum Vladimiriae, nominat metropolitam Kioviae et totius Russiae.

Ἡ συνοδικῶς γεγονυῖα μετάθεσις τοῦ ἐπισκόπου Βλαντιμήρου, κυροῦ Ἀλεξίου, ἐπὶ τὴν ἁγιωτάτην μητρόπολιν Κυέβου καὶ πάσης Ῥωσίας.

† Ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία κατὰ τὴν δοθεῖσαν αὐτῇ ἄνωθεν, Χριστοῦ χάριτι, ἀήττητον ἰσχύν τε καὶ δύναμιν ἐπὶ τὸ λυσιτελέστερον ἀεὶ τὰ πάντα διοικονομουμένη, καὶ εἰς πάσας μὲν τὰς ἑκασταχοῦ εὑρισκομένας ἁγιωτάτας ἐκκλησίας ἐνδείκνυται τὴν φροντίδα ταύτης καὶ ἐπιμέλειαν, ὅπως ἂν αὗται καλῶς καὶ κατὰ τὴν τοῦ κυρίου νόμον διοικοῖντο καὶ διεξάγοιντο, πολλῷ δὲ πλέον φροντίζει καὶ προμηθεύεται τῶν πόρρω που καὶ μακρὰν διακειμένων τοιούτων ἁγιωτάτων ἐκκλησιῶν, πλήθει πολυανθρώπου ἔθνους καὶ ὑπεροχῇ ῥηγικῆς ἐξουσίας διαφερουσῶν, τὰ προσήκοντα ἑαυτῇ διαπραττομένη καὶ ὀφειλόμενα, ἔνθα μάλιστα τὸ προκείμενόν ἐστι σπούδασμα ψυχῶν ἁγιασμὸς καὶ ὠφέλεια· τούτου δὴ χάριν καὶ τὴν ἁγιωτάτην μητρόπολιν Κυέβου καὶ πάσης Ῥωσίας, πολλὴν καὶ μεγάλην τὴν ἐπικράτειαν ἔχουσαν καὶ χριστωνύμῳ κατὰ μυριάδας εὐθυνομένην λαῷ, ἐν ταύτῃ δοξαζομένου τοῦ ὀνόματος τοῦ θεοῦ, διὰ πολλῆς ἄγει τιμῆς ἡ τοῦ θεοῦ ἁγία ἐκκλησία, καὶ παντὶ τρόπῳ ταύτης βούλεται προνοεῖσθαι καὶ συναίρεσθαι ταύτῃ καὶ βοηθεῖν, ἐπειδὴ καὶ πολλοὺς πλησιοχωροῦντας ἔχει ἐκεῖσε τοὺς ἀσεβεῖς τε καὶ πυρσολάτρας. διὰ ταῦτα καὶ κατὰ τοὺς πολυειδεῖς καὶ ἀρίστους τρόπους τῶν οἰκονομιῶν αὐτῆς τοὺς εὐδοκιμοῦντας ἐπὶ πολλοῖς προτερήμασι προσφόρους ἱεροὺς ἄνδρας καὶ ἐπὶ τῶν προτέρων χρόνων εἰς τὴν τοιαύτην ἀρχιερατικὴν προστασίαν ἐγκατέστησε μετὰ τῆς πρεπούσης δοκιμασίας, καὶ νῦν οὖν ὁμοίως διὰ πολλῆς εἶχε φροντίδος ἀπὸ τῶν κατὰ τὴν θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν

εὑρεῖν καὶ ἐκλέξασθαι ἄνδρα τῶν ἀρετῇ διαλαμπόντων καὶ ἐπισήμων καὶ λόγου δυνάμει διαφερόντων τε καὶ εὐδοκιμούντων καὶ πεῖραν ἱερῶν κανόνων καὶ ἀκρίβειαν νόμων φιλευσεβῶν ἔχοντα καὶ ἐγκαταστῆσαι τοιοῦτον ἀρχιερέα καὶ ἐξαποστεῖλαι ἐκεῖσε εἰς τὸ ποιμαίνειν καλῶς καὶ κατὰ τὸν προσήκοντα λόγον τὴν ῥηθεῖσαν ἁγιωτάτην ἐκκλησίαν· ἐπεὶ δὲ ὁ θεοφιλέστατος ἐπίσκοπος Βλανδιμήρου, κῦρ Ἀλέξιος, ἐκεῖσε γεννηθεὶς καὶ τραφεὶς καὶ εὐλαβείας καὶ ἀρετῆς ἀντιποιούμενος, ἀπέλαυε καὶ πνευματικῆς στοργῆς καὶ διαθέσεως καὶ παρὰ τοῦ ἱερωτάτου ἀρχιερέως πάσης Ῥωσίας, κῦρ Θεογνώστου ἐκείνου, εἰς τὴν τοιαύτην ἀρχιερατικὴν ἀρχὴν καλῶς διαπρέψαντος καὶ τὴν διοίκησιν τῶν ἀνηκόντων ἐκείνῳ δικαίων κατεπιστεύθη, ὡς ἱκανὸς ψυχῶν καὶ πραγμάτων προΐστασθαι, καὶ εἰς τὸ τῆς ἐπισκοπῆς ἀνήχθη παρ' ἐκείνου ἀξίωμα, εἶτα καὶ ὡς τοιοῦτον γινώσκων αὐτὸν ὁ διαληφθεὶς ἀρχιερεύς, κῦρ Θεόγνωστος, ἐξ αὐτῆς τῆς πείρας καὶ τῶν πραγμάτων, ἔγραψε καὶ παρεκάλεσεν εἰς τὴν ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν, καὶ συνέστησε τοῦτον ἀξίως καὶ δυνατῶς ἔχοντα καὶ αὐτὴν τὴν ἁγιωτάτην μητρόπολιν Κυέβου καὶ πάσης Ῥωσίας ἀρχιερατικῶς διεξάγειν, ὃ δὴ καὶ ἡμεῖς κατὰ τὸ εἰκὸς ἐξετάσει δεδωκότες ἀκριβεστάτῃ ἐπὶ ὁλόκληρον ἤδη ἐνιαυτὸν οὕτως ἔχον ταῖς ἀληθείαις εὕρομεν καὶ κατὰ πάντα σύμφωνον ταῖς μαρτυρίαις ταῖς ὑπὲρ αὐτοῦ ἀπό τε τῶν ἐκεῖθεν ἐνταῦθα ἐρχομένων Ῥωμαίων καὶ ἀπὸ τῆς καλῆς καὶ ἐπαινετῆς φήμης τοῦ ὀνόματος αὐτοῦ, ἀλλὰ δὴ καὶ αὐτῶν τῶν Ῥώσων, ἄλλοτε κατ' ἄλλους καιροὺς ἐρχομένων ἐνταῦθα καὶ ἀγαθὰ ὑπὲρ αὐτοῦ μαρτυρούντων, ἔγραψε δὲ ἀρτίως καὶ ὁ εὐγενέστατος μέγας ῥὴξ, κατὰ κύριον ποθεινότατος καὶ γνησιώτατος υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννης, ὑπὲρ αὐτοῦ εἵς τε τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα καὶ εἰς τὴν ἁγίαν τοῦ θεοῦ μεγάλην ἐκκλησίαν, ἡμεῖς, εἰ καὶ οὐδὲν ἦν σύνηθες διόλου οὐδὲ ἀσφαλὲς τοῦτο τῇ ἐκκλησίᾳ, ὅμως διὰ τὰς ἀξιοπίστους καὶ συστατικὰς ταύτας μαρτυρίας καὶ τὴν ἐνάρετον καὶ θεάρεστον αὐτοῦ ἀγωγὴν διεκρίναμεν τοῦτο γενέσθαι, πλὴν εἰς αὐτὸν δὴ τοῦτον καὶ μόνον τὸν κῦρ Ἀλέξιον, οὐ μὴν δὴ παραχωροῦμεν, οὐδὲ ἐνδιδόαμεν ὅλως ἕτερόν τινα εἰς τὸ ἑξῆς ἀπὸ τῆς Ῥωσίας ὁρμώμενον ἀρχιερέα ἐκεῖσε γενέσθαι, ἀλλὰ ἀπὸ ταύτης τῆς θεοδοξάστου καὶ θεομεγαλύντου καὶ εὐδαίμονος Κωνσταντινουπόλεως ἀρετῇ τε καὶ ἀγαθοῖς τρόποις σεμνυνόμενον, ἐν δυνάμει λόγου καὶ εἰδήσει

καὶ πεῖρα τῶν νομίμων τῆς ἐκκλησίας ἐγνωσμένον καὶ ἐντεθραμμένον, ὡς εἴρηται, ἐπὶ τῷ συμφερόντως καὶ μετὰ τὴν ἐκκλησιαστικὴν καὶ κανονικὴν παρατήρησιν τά τε παρεμπίπτοντα κανονικὰ ζητήματα διεξάγειν καὶ τὸν ἐκεῖ χριστώνυμον λαὸν ἐπὶ νομὰς σωτηριώδεις ἐνάγειν, ἑαυτῷ ἀρκοῦντα καὶ μηδενὸς ἑτέρωθεν προσδεόμενον, ὃ δὴ καὶ τοὺς μεθ' ἡμᾶς πατριαρχεύσοντας ἀξιοῦμεν οὕτως ἀποπληροῦν, ὡς καλῶς ἔχον καὶ τὰ μέγιστα συμβαλλόμενον εἰς οἰκοδομὴν τῆς ἐκκλησίας θεοῦ· ὅθεν καὶ συνδιασκεψαμένη ἡ μετριότης ἡμῶν τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ τῶν καθευρεθέντων ἐνταῦθα ἱερωτάτων ἀρχιερέων, ὑπερτίμων, ἀγαπητῶν κατὰ κύριον ἀδελφῶν καὶ συλλειτουργῶν αὐτῆς, τοῦ Χαλκηδόνος, τοῦ Μελενίκου, τοῦ Ποντοηρακλείας, τοῦ Ῥόδου, τοῦ Χριστουπόλεως, τοῦ Μιτυλήνης, τοῦ Ἄπρω, τοῦ Μαδύτων, τοῦ Καλλιουπόλεως, τοῦ Τενέδου, τοῦ Γαρέλλης καὶ τοῦ Ἐξαμιλίου, κατέστησεν ἀρτίως τοῦτον δὴ τὸν κύριον Ἀλέξιον εἰς τέλειον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, μετατεθέντα καὶ ἀναχθέντα ἐπὶ τόνδε τὸν θρόνον, ὡς μείζονα, διὰ τὴν ἐνοῦσαν αὐτῷ ἀρετὴν καὶ τὰ λοιπὰ πνευματικὰ προτερήματα κατὰ τὸν ἀναγεγραμμένον τρόπον, εὐδοκίᾳ καὶ ἐπικρίσει τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ διαπύρου προμάχου καὶ σπουδαστοῦ τῆς ἐκκλησιαστικῆς καταστάσεως καὶ εὐταξίας καὶ τῶν θείων καὶ εὐσεβῶν δογμάτων αὐτῆς. ἀναχθεὶς τοίνυν ἰδοὺ καὶ καταστὰς εἰς τέλειον μητροπολίτην Κυέβου καὶ πάσης Ρωσίας κατὰ τὴν κανονικὴν καὶ ἐκκλησιαστικὴν θεσμοθεσίαν τε καὶ παράδοσιν τὴν ἄνωθεν ἐπικρατήσασαν, πέμπεται οὗτος δὴ ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλέξιος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, καὶ καταλαμβάνει ἐκεῖσε, ὥσπερεὶ ἀπὸ τῶν ἐνταῦθα ἦν καὶ ἐξελέγη ἐκεῖσε ἀρχιερεύς. διὰ ταῦτα καὶ δῆλα ποιοῦμεν τὰ περὶ τούτου πρός τε τὴν ὑπ' αὐτὸν σύνοδον καὶ τοὺς θεοφιλεστάτους ἐπισκόπους καὶ αὐτὸν δὴ τὸν εὐγενέστατον μέγαν ῥῆγα Ῥωσίας, τὸν κῦρ Ἰωάννην, καὶ τοὺς λοιποὺς εὐγενεῖς ῥῆγας, ἐν κυρίῳ ἀγαπητοὺς υἱοὺς τῆς ἡμῶν μετριότητος, ἀλλὰ δὴ καὶ τὸν ὑπ' αὐτὸν κλῆρον, ἔτι τε καὶ πρὸς τοὺς ἄρχοντας καὶ πάντα τὸν ἐκεῖ χριστώνυμον τοῦ κυρίου λαόν, καὶ γράφομεν καὶ παρεγγυώμεθα πατρικῶς, ὡς ἂν ὑποδέξωνται τοῦτον μετὰ περιχαρείας, καὶ εὐφρανθῶσιν ἅπαντες ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ, καὶ ἀπονέμωσι τούτῳ παντοίαν εὐπείθειαν καὶ τιμήν, εἰς ὅσα μέλλει λέ-

γειν καὶ εἰσηγεῖσθαι αὐτοῖς, ἀφορῶντα εἰς ὠφέλειαν τῶν ψυχῶν αὐτῶν καὶ σύστασιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων δογμάτων τῆς ἐκκλησίας θεοῦ, ἡ γὰρ εἰς αὐτὸν αἰδὼς καὶ τιμὴ καὶ εὐλάβεια εἰς τὸν θεὸν ἀναφέρεται, καὶ εἰς τὴν ἡμῶν μετριότητα διαβαίνει, ἔτι τε καὶ εἰς τὴν καθ' ἡμᾶς θείαν καὶ ἱερὰν σύνοδον. ὀφείλει μέντοι οὗτος μετέχειν καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὡς τέλειος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, ἐπιλαβέσθαι τε καὶ πάντων τῶν ὁπουδήποτε εὑρισκομένων καὶ διαφερόντων τῇδε τῇ ἁγιωτάτῃ μητροπόλει δικαίων καὶ προνομίων, κατὰ γὰρ τοὺς θείους καὶ ἱεροὺς κανόνας ὁ αὐτὸς ἱερώτατος μητροπολίτης ὀφείλει ἔχειν τὴν ἐξουσίαν πάντων τῶν ἀνηκόντων τῇ ἐκκλησίᾳ, ἀναγνώστας σφραγίζων ἐν αὐτῇ καὶ ὑποδιακόνους καὶ διακόνους προβιβάζων καὶ ἱερεῖς χειροτονῶν καὶ πάντα διαπραττόμενος ἁπλῶς ἐφειμένα τῷ ἱερωτάτῳ ἀρχιερεῖ Κυέβου καὶ πάσης Ῥωσίας, ὀφειλόντων καὶ πάντων τῶν ἐν αὐτῇ κληρικῶν καὶ τῶν ἄλλων, ἱερωμένων, μοναχῶν τε καὶ λαϊκῶν, ὑποκεῖσθαι καὶ πειθαρχεῖν τούτῳ, ὅσα καὶ οἰκείῳ ποιμένι καὶ πατρὶ καὶ διδασκάλῳ καὶ μεσίτῃ καὶ διαλλακτῇ τὰ πρὸς τὸν θεὸν, καὶ δέχεσθαι ἀσμένως καὶ προθύμως ἀποπληροῦν, ὅσα μέλλει παραινεῖν καὶ εἰσηγεῖσθαι αὐτοῖς ψυχωφελῆ καὶ σωτήρια. ἐπεὶ δὲ ἀναγκαίως ἔχει ἐπιδημεῖν ἐνταῦθα, ὡς οἱ θεῖοι καὶ ἱεροὶ κανόνες παρακελεύονται, κατὰ τὸ χρέος τῆς ὑποταγῆς αὐτοῦ τῆς εἰς τὴν ἁγίαν τοῦ θεοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν καὶ κατὰ τὴν τούτων διάταξιν, οὐκ ἔχει δὲ εὐκόλως ἑκάστου ἔτους ἐπιδημεῖν διά τε τὸ πολὺ τῆς ὁδοῦ μῆκος καὶ τὴν ἐν τῷ μέσῳ δυσχέρειαν, παρεγγυώμεθα, ἵνα κατὰ δύο χρόνους, εὐθύντου ὄντος τοῦ πράγματος, καταλαμβάνῃ ἐνταῦθα, δι' αὐτό τε τὸ χρέον, ὅπερ ἔχει, καὶ τὰς παρεμπιπτούσας ἐκκλησιαστικὰς ἀναγκαίας χρήσεις, ἔτι δὲ καὶ τὰ ἀνακύπτοντα καὶ κατὰ πᾶσαν τὴν ἐνορίαν αὐτοῦ ἀναγκαῖα ζητήματα, εἰ δ' ἴσως εἴτε ἀπό τινος ἀσθενείας, εἴτε ἀπὸ ἑτέρων ἐμποδισμάτων ἀδυνάτως ἔχει αὐτὸς δι' ἑαυτοῦ τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ ἐφίστασθαι, ὀφείλει ἐκλέγεσθαι καὶ ἐκπέμπειν ἐνταῦθα, οὓς ἂν ἁρμοδίους διακρίνοι τῶν τοῦ κλήρου αὐτοῦ, καὶ ἀναφέρειν δι' οἰκείων ἐγγράφων καὶ κατησφαλισμένων ἀναφορῶν τὰ ἅπερ ἔχει κατεπείγοντα ζητήματα, ὡς ἂν ἐντεῦθεν λαμβάνωσι ταῦτα διὰ τῆς χάριτος τοῦ θεοῦ τὴν πρέπουσαν ἀποκατάστασιν καὶ διόρθωσιν εἰς πλείονα σύστασιν τούτου καὶ εὐδοκίμησιν, ἐπειδὴ τούτου ἕνεκα καὶ ἡ παρ-

οὖσα ἡμετέρα συνοδικὴ πρᾶξις γεγονυῖα τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Κιέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλεξίῳ, ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ καὶ συλλειτουργῷ, ἐπεδόθη εἰς ἀσφάλειαν. ἀπελύθη τῇ λ' τοῦ ἰουνίου ἰνδ. ζ' τοῦ ϛου ωου ξ β' ἔτους †.

† Εἶχε καὶ διὰ τῆς θείας καὶ τιμίας πατριαρχικῆς χειρὸς τὸ· Φιλόθεος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

CLII. (6862—1354) iunio ind. VII.

Synodus dirimit controversiam.

† Φθάνει πρό τινων ἤδη χρόνων ὁ τιμιώτατος ἐν ἱερομονάχοις κῦρ Γεννάδιος, προσελθὼν τῷ ἁγιωτάτῳ πατριάρχῃ θεουπόλεως, μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, καὶ ἀναγγέλλει τὸν ὃν προέθετο θεοφιλῆ σκοπὸν αὐτοῦ, καὶ αἰτεῖται ἐνταχθῆναι τῇ κατὰ τὴν θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν σεβασμίᾳ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένῃ τῶν Ὁδηγῶν, ἐπὶ τῷ συναριθμιος γενέσθαι τοῖς ἐνασκουμένοις αὐτῇ μοναχοῖς, καὶ κοινωσάμενος τὰ περὶ τούτου τοῖς μοναχοῖς, ἐπείπερ εἶδε καὶ τούτους εἰς ταὐτὸ γνώμης ἐλθόντας, προσδέχεται τοῦτον ἐν τῇδε τῇ σεβασμίᾳ μονῇ, δεδωκότα ὑπὲρ ἀδελφάτων δύο ὑπέρπυρα διακόσια, ὥστε λαμβάνειν τοῦτον τὰ τοιαῦτα δύο ἀδελφάτα ἀνεγκρατήτως καὶ ἀνυστερήτως εἰς τὸ κελλίον αὐτοῦ, ἔχειν τε εἰς οἰκείαν καταμονήν, μέχρις ἂν τῷ βίῳ περιῇ, καὶ τὰ κελλία, ἅπερ πρότερον εἰς νοσοκομεῖον ηὑρίσκοντο, ὃν δὴ τρόπον κατὰ μέρος διέξεισι καὶ διαλαμβάνει καὶ τὸ γεγονὸς αὐτῷ γράμμα ἐπὶ τούτῳ, ὑπογραφῇ πεπιστωμένον αὐτοῦ τε τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας καὶ τῶν προκρίτων ἀπὸ τῶν ἐνασκουμένων μοναχῶν, ὧν δὴ κελλίων καὶ ἐπιλαβόμενος τηνικαῦτα ὁ δηλωθεὶς κῦρ Γεννάδιος ταῖς παρ' ἑαυτοῦ ἐπιμελείαις καὶ ἐξόδοις συνεστήσατο ταῦτα σεσαθρωμένα ὄντα τὸ πρὶν καὶ πτῶσιν ἀπειλοῦντα, καὶ εἰς ὅπερ νῦν ὁρῶνται, ἀποκατέστησεν. ἦν οὖν ἀνενοχλήτως κατέχων αὐτὰ καὶ νεμόμενος καὶ ἀπολαμβάνων τὰ οἰκεῖα ἑαυτοῦ ἀδελφάτα ἐν τῷ κελλίῳ τούτου, καθὼς ἀρχῆθεν ἐτάχθη καὶ περιέστη, ὕστερον δέ τινων οὐχ ὑγιαινούσῃ γνώμῃ ἐκ βασκανίας παρακεκινημένων καὶ δολίως κατει-

πόντων αὐτοῦ ἔφθασε καὶ ἐγένετο κατάσχυντος καὶ καθειργμένος, συγκατασχεθέντων τῶν τε διαφερόντων ἀδελφάτων αὐτῷ, καὶ τῶν τοιούτων κελλίων, ἐπεὶ δὲ συμπαθείας τυχὼν ὅδε ὁ κῦρ Γεννάδιος εἰσεδέχθη πάλιν ἐν αὐτῇ τῇ σεβασμίᾳ μονῇ, καὶ τὰ μὲν ἀδελφάτα ἐστὶν ἀπολαμβάνων, τὰ δὲ κελλία αὐτοῦ, ἐφ' οἷς ἐξ οἰκείων οὐκ ὀλίγα ἐξωδίασεν εἰς σύστασιν καὶ περιποίησιν, εἶδε κρατούμενα παρὰ τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος καὶ ὑπάτου τῶν φιλοσόφων, ἀγαπητοῦ κατὰ πνεῦμα υἱοῦ τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννου τοῦ Ἀμπαρι. πρῶτα μὲν καθικέτευσε τὸν αὐτὸν μέγαν χαρτοφύλακα ἀποβλέψαι εἰς αὐτὸ τὸ δίκαιον κατὰ τὸ εἰκὸς καὶ ἀπολῦσαι τούτῳ τὰ ἴδια κελλία βελτιωθέντα, ὡς εἴρηται, οἰκείοις κόποις καὶ ἀναλώμασιν, τούτου δὲ ἰσχυρῶς ἀντιποιουμένου αὐτῶν καὶ προβαλλομένου, διὰ σεπτοῦ προστάγματος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος κατασχεῖν ταῦτα, ἐτύγχανε δὲ ὢν ἀπόδημος τηνικαῦτα ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ ὑπὲρ τῶν κοινωφελῶν πραγμάτων καὶ τῆς τῶν Ῥωμαίων συστάσεως, ἔφερεν ὁ κῦρ Γεννάδιος, τὴν βασιλικὴν ἐπάνοδον προσδοκῶν, ὅθεν περιπαθῶς ἀναφέρει τὰ περὶ τούτου ἐπανιόντι τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ὃ δὲ διάπυρος ζηλωτὴς ὢν τῶν δικαίων καὶ ἐπευδοκῶν ἐν ἅπασι ταῦτα κρατεῖν, προστάττει κρίσιν τῆς ὑποθέσεως γενέσθαι συνοδικῶς, ἔνθεν τοι ὁ διαληφθεὶς κῦρ Γεννάδιος κινεῖ τὴν περὶ τούτων ἀγωγὴν συνοδικῶς ἐπὶ τῆς ἡμῶν μετριότητος, προτείνας ἐπὶ τοῦ μέσου καὶ τὴν ῥηθεῖσαν ἔγγραφον κατησφαλισμένην συμφωνίαν, ἥτις καὶ ἀναγνωσθεῖσα εἰς ἐπήκοον κατὰ ταὐτὰ τοῖς λόγοις αὐτοῦ φαίνεται διεξιοῦσα· παρὼν δὲ καὶ οὗτος δὴ ὁ τιμιώτατος μέγας χαρτοφύλαξ καὶ τῶν εἰρημένων ἀκούων, ἔλεγεν ἀντιποιεῖσθαι τῶν κελλίων, ὡς κατασχὼν ταῦτα σεπτῷ προστάγματι, ὅπερ ἀπαιτηθεὶς οὐκ εἶχεν ἐμφανίζειν, ὅθεν συνδιασκεψαμένη τὰ περὶ τούτου τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν ἡ μετριότης ἡμῶν, τῷ Φιλαδελφείας, τῷ Χαλκηδόνος, τῷ Μελενίκου, τῷ Τραϊανουπόλεως, τῷ Αἴνου καὶ τῷ Ῥόδου, δίκαιον εἶναι διέγνω καὶ ἀπεφήνατο, ὡς ἂν κατὰ τὴν περίληψιν τῆς γεγονυίας τῷδε τῷ κῦρ Γενναδίῳ ἐγγράφου καταστάσεως καὶ συμφωνίας, ὑπογραφῇ πεπιστωμένης αὐτοῦ τε τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας καὶ τῶν διαληφθέντων μοναχῶν, ἐπιλάβηται καὶ κατέχῃ ὁ αὐτὸς κῦρ Γεννάδιος τὰ τοιαῦτα κελλία αὐτοῦ, καὶ ἔχῃ ἐν αὐτοῖς δὴ τοῖς κελλίοις καὶ τὰ ἐωνημένα παρ' αὐτοῦ δύο ἀδελφάτα ἐφ' ὅρῳ τῆς

ζωῆς αὐτοῦ κατὰ τὸν ἀναγεγραμμένον τρόπον, καὶ οὔτε παρ' αὐτοῦ δὴ τοῦ μεγάλου χαρτοφύλακος μετὰ ταῦτά ποτε, οὔτε δὴ παρὰ τῶν προστησομένων κατὰ καιροὺς τῆς διαληφθείσης σεβασμίας μονῆς, οὔτε δὴ παρά τινος τῶν ἐν αὐτῇ ἀσκουμένων εὑρίσκῃ ἐπὶ τούτοις διενόχλησιν ἢ τὸν τυχόντα διασεισμὸν, ἐκ περιουσίας δικαιούμενος ἀπὸ τῆς προσούσης τούτῳ ἐγγράφου καὶ ἐνυπογράφου καταστάσεως παρά τε τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας καὶ τῶν μοναχῶν, ἐπεὶ τούτου ἕνεκα καὶ ἐπιτιμίου βάρος ἐπανατεινόμεθα. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος τῷ διαληφθέντι τιμιωτάτῳ ἐν ἱερομονάχοις, κῦρ Γενναδίῳ, ἐπιδέδοται †.

† Εἶχε τὸ μηνὶ ἰουνίῳ ἰνδ. ζ' διὰ τιμίας πατριαρχικῆς χειρός †.

CLIII. Sine anno.

Synodus iudicium fert de duobus magis.

† Ὁ ἐκ Θεσσαλονίκης ὁρμώμενος Καππαδόκης ..... πρό τινος ἤδη καιροῦ ἐπὶ κακῷ ἐνταῦθα ἐπιστὰς, ὡς μὴ ὤφελεν, ἀντικρὺς ἀσεβείας ἔργα διαπραξάμενος ἐφωράθη, τὴν γὰρ μαγικὴν κακοτεχνίαν εἴπερ τις ἐξησκημένος, τὴν ἐντεῦθεν λύμην διαδόσιμον ἐποιεῖτο, καὶ πολλοὺς αὐτῷ παρεσκεύαζε προσιέναι καὶ ὄλεθρον ψυχικὸν ὑπομένειν. ἀνενεχθέντος τοίνυν περὶ τοῦ θεοστυγοῦς τούτου τῇ τε ἡμῶν μετριότητι καὶ τῇ περὶ αὐτὴν θείᾳ καὶ ἱερᾷ ἀδελφότητι τῶν ἱερωτάτων ἀρχιερέων, ὑπερτίμων, ἀγαπητῶν κατὰ κύριον ἀδελφῶν αὐτῆς καὶ συλλειτουργῶν, περιαλγεῖς ἅπαντες ἐγενόμεθα εἰς πολλὴν κατὰ τὸ εἰκὸς καὶ μεγάλην κατενεχθέντες τὴν λύπην, καὶ ταῦτα μετὰ τὸ συνεργίᾳ τοῦ πνεύματος πολλῷ μόχθῳ καὶ σπουδῇ τὰς τῆς Ἀμαραντίνης μαγείας καὶ γοητείας ἐκ τοῦ μέσου περιαιρεθῆναι, ὡς ἅπαντες ἴσασιν, ὅθεν καὶ τὸν προσήκοντα ζῆλον ἀναλαβόντες, ἐπειδὴ θεὸς ἦν τὸ κινδυνευόμενον, οὐκ ἐν δευτέρῳ τὰ περὶ τούτου ἐποιησάμεθα· ποῦ γὰρ φορητὸν ὅλως μὴ οὐχὶ τὸν Καππαδόκην εἰς μέσον ἀχθῆναι, κἀντεῦθεν τὴν πρέπουσαν διόρθωσιν καὶ τὰ τῆς κακίας ταύτης λαβεῖν; ἀλλ' ἦν οὗτος λάθρα μετερχόμενος τὴν βδελυρὰν καὶ ὀλεθρίαν πρᾶξιν καὶ φενακίζων καὶ ἐξαπατῶν, ὡς εἴρηται, καὶ πολλοὺς εἰς βάραθρον ψυχικὸν καὶ ἀπώλειαν καταχρημνίζων· ἀλλ' ὁ τῶν ὅλων δεσπότης καὶ

δημιουργὸς κύριος, τοῦ οἰκείου τῶν χριστιανῶν πλάσματος κηδόμενος, οὐκ ἠνέσχετο, οὐδὲ παρεχώρησεν ἐπὶ πλέον τὸν Καππαδόκην συγκρύπτεσθαι καὶ λανθάνειν, ἀλλὰ τὰς τοῦ πονηροῦ καὶ τῶν ζιζανίων σπορέως ἐκτέμνων παραφυάδας καὶ τόνδε τὸν Καππαδόκην μετὰ τῶν μαγικῶν αὐτοῦ βίβλων διφκονομήσατο τῇ καθ' ἡμᾶς ἱερᾷ συνόδῳ παραστῆναι καὶ εἰς προῦπτον ἀπελεγχθῆναί τε καὶ θριαμβευθῆναι· τὰ μὲν οὖν κατ' αὐτὸν ὅπως τε παρηκολούθησε τὴν ἀρχὴν καὶ ὅπως ἅτε δὴ μιάστωρ καὶ λοιμὸς διαρρήδην τῆς ἀσεβείας καὶ τοῖς λοιποῖς μετεδίδου, μακρὸν ἂν εἴη διεξιέναι καὶ οὐδ' ἀκοαῖς ταῖς τῶν φιλοχρίστων ἀνεκτόν, ἀλλ' ἡ νόσος αὕτη καὶ τοῦ μοναχοῦ . . . . . καθήψατο, ὃς δὴ ἐξ ἀπονοίας καὶ φιλοδοξίας πάθει ἑαλωκὼς πάντα ἐποίει, ὅπως ἂν ἀρχιερατικοῦ ἀξιώματος ἐπιτυχὴς γένοιτο, ἐπεὶ δὲ, καθ' ὅσον ἐσπούδαζεν μάλιστα, κατὰ τοσοῦτον ἀπετύγχανε τοῦ σκοποῦ, οὐδ' οὕτως ἔληγε συναίσθησιν εἰληφὼς, ἀλλ' ἦν ἐπὶ τούτῳ συνεχῶς τῇ συνόδῳ φοιτῶν· ἐπεὶ οὖν ἔβλεπε τὸν ῥηθέντα Καππαδόκην συνοδικῶς ἀπελεγχόμενον διά τε τὰς ἀρρητουργίας αὐτοῦ καὶ τὰς μαγικὰς ἀσεβείας, δέον αὐτὸν δὴ τὸν μοναχὸν συνιέναι καὶ ἀποτρόπαιον καθάπαξ ἡγεῖσθαι τοῦτον καὶ βδελυκτὸν, ὁ δὲ τὴν τοῦ διαβόλου συμμαχίαν, ὡς μὴ ὤφελεν, ἐπικεκλημένος τὸν Καππαδόκην ἀσμένως προσίεται καὶ φιλίαν ὁμολογεῖ μετ' αὐτοῦ, καὶ κατ' οἶκον φέρων ξενίζει, καὶ ὁμόστεγον αὐτὸν καὶ ὁμοδίαιτον ἔχειν βούλεται, καὶ δῶρα, τὰ μὲν ἕτοιμος ἦν αὐτῷ παρασχεῖν, τὰ δὲ ἐπηγγέλλετο, εἰ μόνον ἴδοι δεδυνημένον συσκευάσασθαι διὰ μαγγανειῶν πραγμάτιά τινα καὶ μηχανὰς διαβολικὰς, ὥστε καὶ τὴν σύνοδον καὶ τοὺς περὶ ἡμᾶς πεῖσαι ἐπὶ τῷ προβιβασθῆναι τοῦτον εἰς ἀρχιερωσύνης βαθμὸν, ὁ δέ γε τοιοῦτος Καππαδόκης ῥᾷστα τῆς ἐφέσεως ταύτης ἀξιῶσαι αὐτὸν καθυπέσχετο, ἔνθεν τοι καὶ ἀσμένως καὶ μετὰ πολλῆς προσδοκίας προσλαβόμενος τὸν Καππαδόκην ὁ μοναχὸς, ὡς ὑπελάμβανεν, εἶχε τοῦτον μεθ' ἑαυτοῦ, καὶ ἐφιλοφρόνει· πλὴν ὁ Καππαδόκης, ὥσπερ αὐτὸν ἀμειβόμενος, ἐκεῖνα δὴ ἀωρὶ τῶν νυκτῶν ἔγραφε, καὶ αὐτοῦ τοῦ μοναχοῦ ἐπισταμένου, καὶ ὑπὸ τὸ αἴθριον ἀντικρὺ τῶν ἄστρων ἐτίθει, ἐντεῦθεν γὰρ ἔλεγε καὶ τὴν ἰσχὺν προσεῖναι πρὸς τὸ ζητούμενον, ὅσα μήτε λέγειν μήτ' ἀκούειν καλὸν, τήν τε γὰρ κοινὴν τῶν χριστιανῶν ἡμῶν προσευχὴν τὴν εἰς τὸν κύριον ἡμῶν καὶ κατὰ χάριν πατέρα ἀναπεμπομένην γράμμασιν ἀντιστρόφως καὶ ἐναλλὰξ ἔγραφεν ἐν χάρτῃ τινὶ

παραγεγραφὼς τούτῳ καὶ τὰ ἅπερ ἐξελέξατο, καθάπερ ἐβουλήθη, ὀνόματα, ὥστε εἶναι αὐτοὺς εὐηνίους καὶ εὐενδότους καὶ καθυπαγομένους ἕνεκα τῶν ζητημάτων αὐτοῦ, πρὸς δὲ καὶ χαρακτῆράς τινας, ὃ δὴ ἀσεβὲς καὶ ψυχώλεθρον γράμμα, χειρὶ γραφὲν τολμηρᾷ, πάννυχον κείμενον διεβίβασεν ἀντικρὺ τῶν ἄστρων, εἶτα ὡς δῆθεν φυλακτικὸν κατὰ τὰς ὑποθέσεις τοῦ Καππαδόκου ὁ μοναχὸς τῷ ἱματίῳ προσράψας τοῖς στέρνοις εἶχεν ἐγκείμενον. ἀμφοτέρων τοιγαροῦν τούτων παρισταμένων συνοδικῶς καὶ τοῦ Καππαδόκου ὡς δὴ μεταμέλειαν δῆθεν λαβόντος καὶ τὸν μοναχὸν ἐξελέγχοντος ἐπὶ τοῖς τοιούτοις, ὁ μοναχὸς ἔξαρνος ἦν, μάτην καὶ συκοφαντῶς διαβεβλῆσθαι διατεινόμενος πρὸς τοῦ Καππαδόκου, ἀλλ' ὁ Καππαδόκης ἰσχυρῶς ἀντεπείγων, ἔλεγεν αὐτίκα προφανῆ τὴν πίστιν εἶναι τοῖς ἔργοις, ἐπείπερ ἐγκόλπιον ὁ μοναχὸς φέρει τὸ λεγόμενον φυλακτικόν, οὗ δὴ καὶ εὐθὺς ἐκσπασθέντος καὶ ἐξελκυσθέντος ἀφ' οὗπερ προσερράφη ἱματίου παρὰ τοῦ μοναχοῦ καὶ τῶν προσγεγραμμένων ἐν τῷ χάρτῃ κατὰ τὸν ἀναγεγραμμένον τρόπον χαρακτήρων καὶ γραμμάτων ἀριδήλως ἀναφανέντων εἰς μέσον συνοδικῶς, καὶ τοῦδε τοῦ μοναχοῦ μὴ ἀντιλέγειν ἔχοντος, ἡ μετριότης ἡμῶν συνδιασκεψαμένη συνοδικῶς .....

finis deest.

CLIV. Sine anno.

Synodus calumnia condemnat tres monachos.

† Οὐδὲν ἄρα κατὰ τὸν θεοπάτορα καὶ μέγαν ἐν προφήταις βασιλέα Δαυὶδ χεῖρον ψεύδους τε καὶ συκοφαντείας, καὶ μέγιστον ἡ ἀδικία κακόν. εἰ γοῦν ἐπὶ τῶν κατὰ κόσμον βιούντων τὰ τῆς τοιαύτης φαύλης καὶ μοχθηρᾶς προαιρέσεως παρὰ τῶν ὀρθὰ δικάζειν εἰδότων βδελυκτὰ καὶ ἀποτρόπαια καὶ καταδίκης ἄξια κρίνονται, πῶς οὐ πολλῷ γε μᾶλλον ἐπὶ τῶν προθεμένων προσανέχειν θεῷ καὶ τὸν μονήρη βίον ἐπανῃρημένων καὶ εἰς τύπον καὶ ὑπογραμμὴν ὀφειλόντων προκεῖσθαι τοῖς ἄλλοις εἰς τὰ βελτίω, ἐνισχημένων, ὡς μὴ ὤφελεν, τῇδε τῇ ψυχικῇ νόσῳ καὶ ἀναίδην συκοφαντεῖν ἠρημένων; καὶ ταῦτα τοὺς εἰς προστάτας πνευματικοὺς τελοῦντας αὐτοῖς ἐνδίκως ἂν ἐπενεχθείη τὰ τῆς κανονικῆς καταδίκης πρὸς σωφρονισμὸν καὶ ἀναστολήν. βούλεται δὲ ὁ λόγος, ὡς οἱ ἐν τῇ κατὰ τὴν Θεοδόξαστον, Θεοφύλακτον καὶ Θεομεγάλυντον Κωνσταντινούπολιν σεβασμίᾳ μονῇ τοῦ τιμίου προφήτου προ-

δρόμου καὶ βαπτιστοῦ Ἰωάννου εὑρισκόμενοι μοναχοί, ὅ τε ἱερομόναχος Ἡσύχιος, ὁ ἱερομόναχος Ματθαῖος, ὁ ἱερομόναχος . . . . . καὶ ὁ μοναχὸς Διονύσιος ἀπέχθειαν τρέφοντες καὶ ἀγνωμονήσαντες κατὰ τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις καὶ καθηγουμένου τῆς τοιαύτης σεβασμίας μονῆς, κῦρ Μάρκου, λοίδορον καὶ συκοφάντιν ἐκίνησαν κατ' αὐτοῦ γλῶσσαν, ἐκεῖνα κατειπόντες ἀπὸ κοιλίας τὰ διαβολῆς ἁπάσης ἀνάμεστα καὶ οὐδὲ ἀκοαῖς ἀνεκτὰ φιλοθέων ἀνδρῶν. ὁ μὲν γὰρ ῥηθεὶς Ἡσύχιος ὑπὸ τοῦ σπορέως τῶν ζιζανίων ἐνοχλούμενος ἀνεπλάσατο κατ' αὐτοῦ δὴ τοῦ τιμιωτάτου καθηγουμένου ἔγκλημα καθοσιώσεως καὶ ἀλλ' ἄττα, ἅπερ ἐν τῷ παρόντι κατὰ μέρος διεξιέναι οὔθ' ὅσιον οὔτε θεμιτὸν ὅλως· τὰ αὐτὰ δὲ ταῦτα παρεφθέγξατο καὶ ὁ μοναχὸς Ματθαῖος εἰς τὴν τοιαύτην ἀτοπίαν τῆς καθοσιώσεως τείνοντα, ὡς ἀπ' αὐτοῦ δῆθεν τοῦ τιμιωτάτου καθηγουμένου, οὐ μὴν δὴ ἀλλὰ καὶ ὁ δηλωθεὶς . . . . . τῇ τοιαύτῃ διαβολῇ προσκείμενος καὶ συνεργῶν καὶ διερεθίζων αὐτοὺς ὁμοίως καὶ ὁ μοναχὸς Διονύσιος συκοφάντης ὢν καὶ διαβολεύς· ὡς ἀναγκαίου τοίνυν ὄντος τοῦ πράγματος ἐξετάσει ἀκριβεῖ δοθῆναι τὰ περὶ τούτων, ἡ μετριότης ἡμῶν σύναμα τοῖς ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, ἀγαπητοῖς κατὰ κύριον ἀδελφοῖς αὐτῆς καὶ συλλειτουργοῖς, τῷ τε Φιλαδελφείας καὶ τῷ Μελενίκου, παρόντων καὶ τῶν οἰκείων τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, τοῦ τε καθολικοῦ κριτοῦ, κῦρ Μανουὴλ τοῦ Ἀγγέλου, καὶ τοῦ κῦρ . . . . . τοῦ ἐξωτρόχου ἐν τῇ δηλωθείσῃ σεβασμίᾳ μονῇ, παρατυχόντων καὶ ἑτέρων οὐκ ὀλίγων ἀρχόντων καὶ ἐξωτερικῶν τιμίων καὶ ἀξιολόγων μοναχῶν, ἔτι δὲ συνηθροισμένων ὄντων καὶ τῶν ἐνασκουμένων αὐτῇ μοναχῶν ἁπάντων, ἀκριβῶς ἐξετάσασα τοὺς ἀνωτέρω κατ' ὄνομα εἰρημένους κατηγόρους, ἐπεὶ εὗρεν αὐτοὺς προδήλως συκοφάντας καὶ καταψευσαμένους καθάπαξ τῆς ἀληθείας, ἀπὸ τῆς δυστρόπου καὶ κακοήθους γνώμης αὐτῶν ἀναπλάσαντας τὰ τῆς τοσαύτης διαβολῆς καὶ ταῦτα κατὰ τοῦ προεστῶτος καὶ καθηγουμένου αὐτῶν, ὀφειλομένως ἔχουσα τῇ τῶν θείων καὶ ἱερῶν κανόνων ἐξακολουθεῖν διατάξει, θεσπιζόντων τὴν ταυτοπάθειαν ἐπάγεσθαι τοῖς συκοφαντοῦσι ἐν τοῖς τοιούτοις, διέγνω καὶ ἀπεφήνατο, καθηρημένους εἶναι καὶ ἀπογεγυμνωμένους τοὺς διαληφθέντας πρότερον ἱερωμένους, αὐτόν τε τὸν Ἡσύχιον, τὸν Ματθαῖον . . . . . τῆς ἱερωσύνης, αὐτὸν δὲ τὸν Διονύσιον ἀνάξιον καὶ ἀπρόκοπον εἰς τὸν τῆς ἱερωσύνης βαθμόν· κατὰ

γὰρ τοὺς αὐτοὺς θείους καὶ ἱεροὺς κανόνας, ἦν ἂν ὁ ῥηθεὶς τιμιώτατος καθηγούμενος ἔμελλεν ὑποστήσεσθαι εὐθύνην καὶ καταδίκην, εἴπερ ὁπωσοῦν ἐφαίνετο ἁλισκόμενος ἐπὶ τοῖς προστριβεῖσιν αὐτῷ συκοφαντικῶς ἐγκλήμασιν, ὡς δεδήλωται, τὴν αὐτὴν ταυτοπάθειαν δικαίως καὶ κανονικῶς ἐπάγομεν τούτοις, ἀνερυθριάστως χωρήσασιν εἰς τὰς τοιαύτας διαβολὰς κατὰ τοῦ ῥηθέντος τιμιωτάτου καθηγουμένου, παρ' οὐδὲν θεμένοις τὸν τοῦ θεοῦ φόβον καὶ τὴν ἐκεῖθεν ἀγανάκτησιν καὶ κατάκρισιν· ἔσονται τοίνυν οὗτοι τὸ ἀπὸ τοῦδε ἀποτετμημένοι τοῦ ἱερατικοῦ καταλόγου καὶ τῆς ἱερωσύνης ἀλλότριοι, καθὼς οἱ ἱεροὶ κανόνες παρακελεύονται †.

CLV. Sine anno.

Manuel Calochaeretes abiurat doctrinam Acindyni.

† Ἐγὼ ἱερεὺς ὁ Καλοχαιρέτης, ἐπεὶ παρεσύρην διὰ τὴν ἰδιωτείαν μου παρὰ τοῦ μέρους τῶν κακοδόξων αἱρετικῶν Ἀκινδυνάτων, καὶ διὰ τὴν ἁμαρτίαν μου ἐσκοτίσθη περὶ τὸ φῶς τῆς ἀληθείας, καὶ ἐντεῦθεν ἔφθασα καὶ οὐδὲν ἐμνημόνευον κατὰ τὸ χρέον, ὅπερ εἶχον, τοῦ κοινοῦ φωστῆρος καὶ προμάχου τῆς εὐσεβείας, τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, εἶτα τῆς θείας καὶ ἱερᾶς συνόδου συγκροτηθείσης ἀπηλέχθησαν οἱ κακόδοξοι τοῦ Ἀκινδυνάτου ἀριδήλως, καθὼς ὁ ἱερὸς τόμος χάριτι Χριστοῦ θεσπίζει, καὶ ἔκτοτε ὑπὸ θεῷ μάρτυρι μνημονεύω, καθὼς ὀφείλω, αὐτοῦ δὲ τοῦ παναγιωτάτου αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου, ἰδοὺ καὶ διὰ πλείονα τὴν εἰς τοῦτο βεβαίωσιν τῆς ἀληθείας μου τὸ παρόν μου γράμμα ποιῶ τῆς ὑποσχέσεως, ἵνα, καθὼς ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία καὶ ὁ ἅγιός μου αὐθέντης καὶ δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, διὰ τοῦ ἱεροῦ τόμου διδάσκουσι θεοφιλῶς καὶ ψυχωφελῶς, στέργω καὶ ἐγὼ διὰ πάσης μου τῆς ζωῆς ὁλοψύχως, καὶ οὓς αὕτη στέργει, ἀσπάζομαι, οὓς δὲ ἀποβάλλεται, ἀποβάλλομαι καὶ ἀποδιώκω καὶ ἀποτροπαίους ἡγοῦμαι, ὡς ἑτεροδόξους καὶ βδελυκτούς· εἰ δέ ποτε, ὅπερ οὐ μή ποτε παραχωρήσει ὁ θεός, φανῶ ἀθετητὴς τῆς ὑποσχέσεως, οὐ μόνον ἵνα ὑπομένω καθαίρεσιν τῆς ἱερωσύνης μου, ἀλλὰ καὶ καταδικάζομαι ἀσυμπαθῶς. εἶχε καὶ οἰκειόχειρον αὐτοῦ ὑπογραφήν †.

† Ὁ εὐτελὴς ἱερεὺς Μανουὴλ ὁ Καλοχαιρέ-

της στέργων ὑπέργραφα †. † Ὁ εὐτελὴς ἱερεὺς ὁ Καλοχαιρέτης †.

CLVI. 6862—1354 iulio ind. VII.

Patriarcha monet episcopum Novogradii, ut obtemperet metropolitae Kioviae.

† Θεοφιλέστατε ἐπίσκοπε Νοβογραδίου. χάρις εἴη καὶ εἰρήνη τῇ θεοφιλείᾳ σου ἀπὸ θεοῦ παντοκράτορος. οἶδας, ὡς τοῦ ἱερωτάτου ἀρχιερέως πάσης Ῥωσίας ἐκείνου, κῦρ Θεογνώστου, τελευτήσαντος ἦν ἀναγκαῖον, ἵνα γένηται ἀρχιερεὺς εἰς τὴν τοιαύτην ἁγιωτάτην μητρόπολιν. ἐπεὶ οὖν ὁ αὐτὸς κῦρ Θεόγνωστος, ὅστις καὶ καλῶς διέπρεψεν εἰς ταύτην δὴ τὴν ἀρχιερατικὴν ἀρχήν, πρότερον ἔτι ζῶν ἔπεμψε καὶ ἔγραψε καὶ παρεκάλεσεν εἰς τὴν ἁγίαν τοῦ θεοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, περὶ τοῦ παρ' ἐκείνου προβιβασθέντος εἰς ἐπίσκοπον Βλανδιμήρου, τοῦ κυροῦ Ἀλεξίου, ὅτι ἔχει ἀξίως καὶ δύναται ἀρχιερατικῶς διεξάγειν τὴν αὐτὴν ἁγιωτάτην μητρόπολιν, διότι ἔνι εὐλαβὴς καὶ ἐνάρετος, καὶ ἡμεῖς δὴ ἐξητάσαμεν αὐτὸν, καθὼς ἔπρεπε, καὶ εὕρομεν κατ' ἀλήθειαν τοιοῦτον Χριστοῦ χάριτι καὶ σύμφωνον εἰς τὰς ὑπὲρ αὐτοῦ μαρτυρίας ἀπό τε τῶν αὐτόθεν πολλάκις ἐρχομένων Ῥωμαίων, ἀλλὰ δὴ καὶ αὐτῶν τῶν Ῥώσων, οἵτινες ἦρχοντο ἐνταῦθα καὶ πρότερον κατὰ καιροὺς διαφόρους, διὰ ταῦτα ἡ μετρίοτης ἡμῶν, συνδιασκεψαμένη μετὰ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς συνόδου τῶν καθευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, ἀπὸ κοινῆς γνώμης ἀνεβίβασεν αὐτὸν διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν καὶ τὰ λοιπὰ πνευματικὰ προτερήματα, καὶ ἀποκατέστησεν ἐπὶ τὸν μεγαλώτερον καὶ τιμιώτερον ἀρχιερατικὸν θρόνον, τέλειον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, μετὰ εἰδήσεως καὶ θελήσεως τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ διαπύρου προμάχου τῆς ἐκκλησιαστικῆς εὐταξίας καὶ πάντα τὰ καλὰ τιμᾶν καὶ ἀνυφοῦν εὐδοκοῦντος καὶ βουλομένου, καθὼς μέλλεις γνωρίσειν καὶ ἀπὸ τῶν ἐπὶ τούτῳ ἀπολυθέντων ἑτέρων γραμμάτων τῆς ἡμῶν μετριότητος. ἐπειδὴ ἐδεξάμεθα καὶ διὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Σαραΐου καὶ τὰς συστατικὰς ὑπὲρ αὐτοῦ ἐγγράφους γνώμας τῶν αὐτόθι λοιπῶν θεοφιλεστάτων ἐπισκόπων, ἀρτίως οὖν ἔρχεται σὺν θεῷ ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλέξιος, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριό-

τητος, εἰς τὴν λαχοῦσαν αὐτὸν τοιαύτην ἁγιωτάτην μητρόπολιν· διὰ τοῦτο καὶ γράφομεν πρὸς τὴν θεοφιλείαν σου, ἵνα εὐφρανθῇς καὶ σὺ ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ, καὶ ἀπονέμῃς τὴν ὀφειλομένην τιμὴν καὶ εὐπείθειαν πρὸς αὐτὸν, εἰς ἃ μέλλει λέγειν ὡς ποιμὴν καὶ διδάσκαλος ψυχωφελῆ καὶ σωτήρια καὶ συστητικὰ τῶν θείων καὶ ἱερῶν δογμάτων τῆς ἐκκλησίας θεοῦ, τοῦτο γάρ ἐστι καὶ εἰς τὸν θεὸν εὐαπόδεκτον καὶ εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον ἐπαινετὸν, τοῦτο καὶ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες παρακελεύονται, ῥητῶς οὕτω λέγοντες· „τοὺς ἐπισκόπους παντὸς ἔθνους εἰδέναι χρὴ τὸν ἑαυτῶν πρῶτον καὶ πᾶσαν εὐλάβειαν καὶ ὑποταγὴν αὐτῷ ἀπονέμειν.“ ἐπεὶ δὲ διὰ τὴν πνευματικὴν ἀγάπην καὶ στοργὴν, ἣν εἶχεν ὁ δηλωθεὶς ἱερώτατος ἀρχιερεὺς, κῦρ Θεόγνωστος, εἰς τὸν ἐπίσκοπον ἐκεῖνον ..... ἔδωκεν ἐκεῖνον εἰς τὸ φελόνιον φέρειν σταυροὺς τέσσαρας, καὶ ἀπὸ ζητήσεως καὶ παρακλήσεως ἰδικῆς σου ἐποιήσαμεν καὶ ἡμεῖς, ὅσον ἐποιήσαμεν εἰς σὲ, ὀφείλεις, ἵνα εὐχαριστῇς, καὶ οὐδὲν παρεξέλθῃς ἀπὸ τούτου, ἀλλὰ καὶ ἀποδιδῷς πρὸς τοῦτον δὴ τὸν ἱερώτατον μητροπολίτην σου τὴν ἣν ἔχεις κατὰ χρέος ὑποταγήν· ἐὰν γοῦν βλέπει καὶ αὐτὸς τὴν σὴν εὐγνωμοσύνην χρεωστικῶς εἰς αὐτὸν καὶ καλὴν καὶ ὀρθὴν εὔνοιαν, μέλλει δεικνύειν πατρικὴν καὶ ἀγαπητικὴν εὐμένειαν εἰς τὴν θεοφιλείαν σου· οἶδας δὲ, ὅτι καὶ αἱ γραφαὶ τῆς ἡμῶν μετριότητος, αἵτινες προαπελύθησαν εἰς τοῦτο, διὰ φιλίαν τὴν πρὸς σὲ ἐγένοντο, πλὴν οὕτως ἵνα οὐδὲν θαρρήσῃς εἰς τοῦτο καὶ εἰσέλθῃς εἰς πρόφασίν τινα ἐντεῦθεν, καὶ ποιήσῃς τίποτε περιφρονητικὸν εἰς τὸν μητροπολίτην σου, ἀλλὰ ἵνα στέργῃς μὲν καὶ εἰς ἐκεῖνο ἀμεταθέτως, ἀποδιδῷς δὲ καὶ πρὸς τὸν τοιοῦτον ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας τὴν χρεωστουμένην, ὡς εἴρηται, εὐπείθειαν καὶ ὑποταγὴν καὶ τιμὴν, καθὼς τε οἱ θεῖοι καὶ ἱεροὶ κανόνες παρακελεύονται, καὶ καθὼς ἀπεδίδουν αὐτὴν καὶ οἱ πρότερον ἐπίσκοποι εἰς τοὺς πρώην μητροπολίτας αὐτῶν· ἐὰν δὲ ἴσως ἔνι τις λόγος χάριν τοῦ ὅπερ ἐποιήσαμεν εἰς σὲ διὰ τοὺς σταυροὺς, ὡς δεδήλωται, περὶ ταύτης καὶ μόνης τῆς ὑποθέσεως ἀναφέρῃς εἰς τὴν ἡμῶν μετριότητα, ὡς ἂν διαπράξηται αὕτη, ὅσον ἂν διακρίνοι περὶ τούτου· πλὴν εἰς τοῦτο καὶ μόνον τὸ κεφάλαιον δίδομεν τοῦτο, εἰς δὲ πᾶσαν ἄλλην ὑπόθεσιν, εἴτε δῆτα προσκαλεῖται σὲ εἰς ἑαυτὸν ὁ μητροπολίτης σου, εἴτε εἰς ἄλλο τι, ἵνα ὑπόκεισαι εἰς τὴν ὑποταγὴν

καὶ διάκρισιν αὐτοῦ, καὶ εἴ τι δὲ συμβῇ μεταξὺ ἐξετάσεως καὶ κρίσεως δεόμενον, ἵνα παρ' αὐτοῦ δὴ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας δέχεσαι τὴν κρίσιν καὶ τὴν ἐξέτασιν, ἐν μηδενὶ ἀντιλέγων, μηδὲ ἀπειθῶν, κατὰ τὴν ἐπικρατοῦσαν ἄνωθεν ἐν τοῖς τοιούτοις ἐκκλησιαστικὴν εὐταξίαν καὶ κατὰ τὴν τῶν αὐτῶν θείων κανόνων παράδοσιν, ἐπεὶ δὲ καὶ τοῦτο παρακελεύονται οἱ ἱεροὶ κανόνες, ὥστε, ὁπόταν σοι γένηται ἀναγκαία χρεία γράφειν καὶ ἀναφέρειν εἰς τὴν ἡμῶν μετριότητα, πρῶτον ἵνα διδῷς εἴδησιν εἰς τὸν μητροπολίτην σου, καὶ μετὰ εἰδήσεως τούτου καὶ βουλῆς γράφῃς τοῦτο καὶ ἀναφέρῃς· ἀκολούθως στέργουσα τὰ περὶ τούτου καὶ ἡ μετριότης ἡμῶν κατὰ τὴν διάταξιν τῶν κανόνων παρακελεύεται, ἵνα μηδὲν γένηται τούτου ἕνεκα παρὰ τὴν αὐτὴν γνώμην, ἀλλὰ ἐνεργῆται οὕτως, διότι ἐὰν οὐδὲν ἀποπληροῖς εἰς τὸν μητροπολίτην σου κατὰ τοὺς αὐτοὺς θείους κανόνας τὴν ἀνήκουσαν ὑποταγὴν χρεωστικῶς, γίνωσκε, ὅτι ἀνατεθειμένος ἔνι οὗτος παρὰ τῆς ἡμῶν μετριότητος πράττειν εἰς σὲ πᾶν, ὅπερ ἔχει ἐπ' ἀδείας κανονικῶς, καὶ τὸ τοιουτοτρόπως γινόμενον παρ' αὐτοῦ πάντως μέλλει στέργειν ὁμολογουμένως καὶ ἡ μετριότης ἡμῶν, καὶ οὐδὲν οὐδόλως μέλλεις εὑρήσειν ἀπὸ τῆς ἡμῶν μετριότητος τὴν τυχοῦσαν βοήθειαν, ἐὰν ἴσως φανῇς ἀπειθὴς καὶ ἀνυπότακτος εἰς τὸν διαληφθέντα μητροπολίτην σου· συντηροῦ τοίνυν εἰρηνεύων κατὰ τὸ εἰκός, καὶ ποίει ἀμεταθέτως καὶ ἀπαραιτήτως, καθὼς γράφομεν καὶ παρεγγυώμεθα τῇ θεοφιλείᾳ σου διὰ τοῦ παρόντος γράμματος, ἀντιστραφέντος δι' ἀσφαλείας. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς θεοφιλείας σου.

Ἀπελύθη τῇ β' τοῦ ς ω ξ δευτέρου ἔτους. ἐπεὶ δὲ ἀνετέθη παρὰ τῆς ἡμῶν μετριότητος ὁ θεοφιλέστατος κανστρίσιος τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ σκευοφύλαξ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου, ἀγαπητὸς κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Γεώργιος ὁ Περδίκης, καὶ ἔξαρχος καὶ δικαίῳ τῆς ἡμῶν μετριότητος, ἵνα κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς ποιήσῃ τὴν ἐγκαθίδρυσιν τοῦ ἱερωτάτου ἀρχιερέως Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλεξίου, ὄντινα καὶ ὡς κριτὴν στέργουσα πέμπει ἡ μετριότης ἡμῶν, παραδηλοῦμεν ἰδοὺ τῇ θεοφιλείᾳ σου, ἵνα ὑποδέξηται τοῦτον μετὰ τῆς προσηκούσης τιμῆς καὶ ἀγάπης· ἡ γὰρ πρὸς αὐτὸν τιμὴ εἰς τὴν ἡμῶν μετριότητα διαβαίνει, καὶ ἔχει τὴν ἀναφοράν, καὶ μέλλεις ποιήσειν καὶ εἰς τοῦτο πρᾶγμα εἰς πολλὴν ἀποδοχὴν τῆς ἡμῶν μετριότητος †.

† Εἶχε τὸ· μηνὶ ἰουλίῳ ἰνδ. ζ'. διὰ τῆς δεσποτικῆς καὶ τιμίας πατριαρχικῆς χειρός †.

CLVII. (6862—1354) iulio ind. VII.

Patriarcha monet episcopum Novogradii, ut quendam Theodoritum excommunicatum habeat.

Εἰς τὸν αὐτὸν Νοβογραδίου.

† Ἀπὸ τῆς περιλήψεως τοῦ ἀπολυθέντος ἑτέρου γράμματος τῆς ἡμῶν μετριότητος εἰς σὲ μέλλεις γνωρίσειν, ὅσα ἔγραψε καὶ παρεδήλωσέ σοι ἡ μετριότης ἡμῶν περὶ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, κυροῦ Ἀλεξίου, ὑπερτίμου καὶ ἀγαπητοῦ κατὰ κύριον ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος, ἵνα δηλονότι ἔχῃς εἰς αὐτὸν τὴν ὀφειλομένην ὑποταγὴν καὶ εὐπείθειαν, ὡς μητροπολίτην σου, καθὼς οἱ θεῖοι καὶ ἱεροὶ κανόνες παρακελεύονται· ἀλλὰ καὶ νῦν τὰ αὐτὰ παρεγγυᾶται τῇ θεοφιλείᾳ σου ἡ μετριότης ἡμῶν, καὶ ἀγωνίζου καὶ ἐπιμελοῦ, ἵνα ἀποπληροῖς οὕτως ἀμεταθέτως· γνωστὸν δὲ ἔστω τῇ θεοφιλείᾳ σου, ὅτι ὁ Θεοδώριτος πρὸ δύο χρόνων ἦλθεν ἐνταῦθα, ἔτι ζῶντος τοῦ ἱερωτάτου ἀρχιερέως κῦρ Θεογνώστου ἐκείνου, καὶ ἐζήτησεν, ἵνα γένηται μητροπολίτης Ῥωσίας, ἡμεῖς δὲ, ἀκριβῶς ἐξετάσαντες καὶ εὑρόντες, ὅτι ὁ μητροπολίτης, κῦρ Θεόγνωστος, ἀκμὴν ἔζη, οὐδὲν παρεδεξάμεθα τοῦτον, ὅτι ἐκτὸς τῆς θεσμοθεσίας τῶν θείων καὶ ἱερῶν κανόνων ἐζήτει, διὰ τοῦτο καὶ ἐλέγομεν πρὸς ἐκεῖνον, ὡς ἂν προσκαρτερῇ, καὶ πέμψωμεν ἡμεῖς καὶ μάθωμεν τὴν ἀλήθειαν περὶ τοῦ μητροπολίτου ἐκείνου, καὶ τότε, εἴ τι φανῇ καλὸν, ἵνα ποιήσωμεν. ἐκεῖνος δὲ ἐγένετο φυγὰς εἰς τὸν Τόρνοβον, καὶ ἐποίησε πρᾶγμα παραλογώτατον καὶ παρανομώτατον καὶ ἔξω τῶν κανόνων, ὅπερ οὐδὲν ἐγένετό ποτε, ἀφ' οὗ ἐβαπτίσθη ἡ Ῥωσία. ἡμεῖς γοῦν ἐγράψαμεν καὶ πρότερον εἰς πάντα τὸν αὐτόθι τόπον, ἵνα οὐδὲν προσδέξησθε ποσῶς τὸν τοιοῦτον Θεοδώριτον, ὡς καθῃρημένον παρὰ τῶν θείων κανόνων καὶ παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου, λοιπὸν, εἰ μὲν ἐκβάλῃ καθόλου τὰ ἀρχιερατικὰ, ἵνα ἔνι μόνον, ὡς ἁπλῶς χριστιανὸς, εἰ δὲ φιλονεικεῖ κρατεῖσθαι καὶ ἐμμένειν εἰς τοῦτο, ἵνα ἔνι μὲν καὶ καθῃρημένος, ἔνι δὲ καὶ ἀφορισμένος καὶ ἀλλότριος τῆς χριστιανικῆς καταστάσεως, ἀλλὰ καὶ ἐκεῖνος, ὅστις μέλλει δέξασθαι εἰς κοινωνίαν

αὐτὸν, κἂν ὅστις ἄρα καὶ ᾖ· πρόσεχε γοῦν, ἵνα οὐδὲν παραδέξῃ ποσῶς τὸν τοιοῦτον Θεοδώριτον, ὡς ἂν μὴ ὑποπέσῃς καὶ σὺ εἰς τὴν καταδίκην, εἰς ἣν ἔχει καὶ ὁ Θεοδώριτος· λέγει γὰρ ὁ κανὼν, ὅτι ὁ ἀκοινωνήτῳ κοινωνῶν καὶ αὐτὸς ἀκοινώνητος ἔστω· ἀλλὰ μᾶλλον ἃς ἔχῃ ἡ θεοφιλεία σου πρὸς τόνδε τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, κατὰ τὸ ὅπερ ἔχεις χρέος, εὐπείθειαν καὶ εὐλάβειαν καὶ ὑποταγὴν, καθὼς καὶ δι' ἑτέρου γράμματος πλατύτερον παρεδήλωσέ σοι ἡ μετριότης ἡμῶν, ἡ γὰρ πρὸς αὐτὸν τὸν ἱερώτατον μητροπολίτην, κῦρ Ἀλέξιον, τιμὴ εἰς τὸν θεὸν ἀναφέρεται, καὶ εἰς τὴν μετριότητα ἡμῶν διαβαίνει. συντηροῦ τοίνυν καὶ ποίει καθά σοι παρεγγυώμεθα διὰ τοῦ παρόντος γράμματος. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς θεοφιλείας σου †.

† Εἶχε τὸ· μηνὶ ἰουλίῳ ἰνδ. ζ' διὰ τῆς πατριαρχικῆς καὶ θείας χειρός †.

CLVIII. Sine anno.

Synodus statuit, ut Vladimiriae sit sedes metropolitae Kioviae et totius Russiae.

† Εἶχε μὲν ἡ ἁγιωτάτη μητρόπολις Ῥωσίας μετὰ καὶ τῶν ἄλλων κάστρων καὶ χωρῶν τῶν ὑπὸ τὴν ἐνορίαν ταύτης τελούντων καὶ τὸ ἐν τῇ Μικρᾷ Ῥωσίᾳ κάστρον, τὸ Κύεβον ἐπονομαζόμενον, ἐν ᾧ ἦν ἄνωθεν ἡ καθολικὴ ἐκκλησία τῆς μητροπόλεως, ηὑρίσκοντο δὲ καὶ οἱ ἱερώτατοι ἀρχιερεῖς Ῥωσίας τὴν οἴκησιν ποιούμενοι ἐν αὐτῇ· ἐπεὶ δὲ ὑπὸ τῆς τοῦ καιροῦ συγχύσεως καὶ ἀνωμαλίας καὶ τῆς τῶν γειτονούντων Ἀλαμάνων δεινῆς ἐπιθέσεως ἐφθάρη, καὶ εἰς στενοχωρίαν κατήντησε, κἀντεῦθεν οἱ προϊστάμενοι ἀρχιερατικῶς τῆς Ῥωσίας, μὴ τὴν ἀνήκουσαν καὶ ὀφειλομένην αὐτοῖς κυβέρνησιν ἔχοντες, παρὰ πολὺ δὲ λειπομένην τῆς προτέρας, ἐπεὶ οὐδὲ τῆς τῶν ἀναγκαίων ηὐπόρουν πρόσοδου, μετῴκησαν εἰς τὴν ἁγιωτάτην αὐτῆς ἐπισκοπὴν Βλανδιμήρου, ἱκανὴν οὖσαν παρέχειν αὐτοῖς καταμονὴν καὶ ἀνάπαυσιν πάντων τῶν χρειωδῶν, μετῴκισαν δὲ ἐν αὐτῇ τοῦτον τὸν τρόπον ὅ τε ἱερώτατος μητροπολίτης Ῥωσίας, κῦρ Θεόγνωστος ἐκεῖνος, καὶ πρὸ αὐτοῦ ἕτεροι δύο, ἐπισκεπτόμενοι μὲν, ὅσον εἰκὸς, καὶ τὸ Κύεβον καὶ τούτῳ τὴν προτίμησιν ἀπονέμοντες διὰ τὸ ἐκεῖσε, ὡς δεδήλωται, εἶναι τὸν θρόνον ἄνωθεν τῆς μητροπόλεως, οἰκοῦντες δὲ καὶ διατρίβοντες καὶ τὴν

αὐτῶν πᾶσαν προμήθειαν καὶ ἀνάπαυσιν ποριζόμενοι ἐκ τοῦ Βλαντιμήρου· μαρτυρεῖ τοῦτο καὶ τὸ μὴ γεγονέναι ἐφ' ἱκανοῖς χρόνοις ἐπίσκοπον, ὡς τοῦ μητροπολίτου ἰδιοποιησαμένου καὶ κατασχόντος αὐτήν· ἀλλ' ὁ νῦν προβιβασθεὶς ψήφῳ καὶ ἐκλογῇ τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν ἱερᾶς καὶ θείας συνόδου ἱερώτατος μητροπολίτης πάσης Ῥωσίας, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἀγαθὸς ὢν ἀνὴρ καὶ ὑποταγῆς εἰδὼς νόμους, συνῆν τῷ διαληφθέντι ἀρχιερεῖ, κῦρ Θεογνώστῳ ἐκείνῳ, διακυβερνῶν καὶ ὑπανέχων αὐτὸν γήρᾳ κάμνοντα καὶ ἀσθενείᾳ περιπεσόντα δεινῇ καὶ τῶν δικαίων τῆς ἐκκλησίας προσταγῇ καὶ θελήσει ἐκείνου καλῶς ἀντιλαμβανόμενος, ὅθεν καὶ κατανοήσας ἐκεῖνος αὐτὸν ἱκανὸν ὄντα ψυχῶν προστασίαν ἀνεγχειρισθῆναι, ἐπίσκοπον Βλαντιμήρου πρὸς τῷ τέλει τοῦ ἑαυτοῦ βίου κεχειροτόνηκε, καὶ πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν ἱερὰν σύνοδον ἔγραφε καὶ ἐμαρτύρησε καὶ ἠξίωσε προβιβασθῆναι εἰς τὸν θρόνον Κυέβου καὶ πάσης Ῥωσίας, ὃς δὴ καὶ μετὰ θάνατον ἐκείνου, προκριθεὶς παρ' αὐτοῦ πρότερον, ὡς εἴρηται, παρά τε τοῦ εὐγενεστάτου μεγάλου ῥηγὸς, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννου, καὶ ἑτέρων ῥηγάδων, τῶν κληρικῶν τε καὶ παντὸς τοῦ ἐκεῖσε χριστωνύμου λαοῦ εἰς τὴν ἀρχιερατικὴν προστασίαν αὐτῶν, καὶ ἐλθὼν εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον καὶ ψηφισθεὶς καὶ ἐκλεγεὶς καὶ προβιβασθεὶς εἰς μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, εὐδοκίᾳ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐκίνησε καὶ τὸν περὶ τούτου λόγον συνοδικῶς πρὸς τὴν ἡμῶν μετριότητα, ὅπως δηλονότι ἐφθάρη καὶ εἰς στενοχωρίαν κατὰ τὸν ἀναγεγραμμένον τρόπον κατήντησε καὶ οὐδὲ ἱκανόν ἐστι κατάντημα τοῦ ἀρχιερέως τὸ Κύεβον, ὅπως δὲ ὁ Θεοδώριτος παρανόμως ἀπελθὼν εἰς τὸν Τόρνοβον καὶ παρὰ τοὺς ἱεροὺς κανόνας εἰληφὼς παράνομον χειροτονίαν ἐκεῖσε, καθαιρεθεὶς δὲ καὶ ἀφορισθεὶς παρὰ τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, λῃστικῶς ἅμα καὶ τυραννικῶς ἀντιποιεῖται τοῦ Κυέβου, καὶ εὑρίσκεται ἐν αὐτῷ· ἡ γοῦν μετριότης ἡμῶν, συνδιασκεψαμένη τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσιν, ἀγαπητοῖς κατὰ κύριον ἀδελφοῖς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῖς, ἐπεὶ πολλαχόθεν ἐγνώρισεν, ὡς οὐκ ἔστιν ἑτέρα καταμονὴ καὶ ἀνάπαυσις καὶ κατάντημα τῇ ἁγιωτάτῃ μητροπόλει Ῥωσίας διὰ τὰς προειρημένας αἰτίας, εἰ μὴ τὸ Βλαντίμηρον, ἐν ᾧ

ηὑρίσκοντο καὶ οἱ πρὸ αὐτοῦ μητροπολῖται Ῥωσίας, ἔνι δὲ τῶν ἀναγκαιοτάτων πάνυ γε καὶ ὀφειλομένων ἀποκαταστῆναι τὸν ἀρχιερέα διὰ συνοδικῆς πράξεως, ἔνθα δὴ εὑρίσκεσθαι ἀπολαύοντα τῆς ἱκανῆς προμηθείας καὶ κυβερνήσεως, ἐν ἁγίῳ παρακελεύεται πνεύματι διὰ τοῦ παρόντος συνοδικοῦ γράμματος, εἶναι καὶ εὑρίσκεσθαι τόν τε ἱερώτατον μητροπολίτην Ῥωσίας καὶ τοὺς μετ' αὐτὸν πάντας ἐν τῷ Βλαντιμήρῳ καὶ ἔχειν τοῦτο ὡς οἰκεῖον κάθισμα ἀναφαιρέτως καὶ ἀναποσπάστως εἰς αἰῶνα τὸν ἅπαντα, καὶ ἔνι μὲν καὶ τὸ Κύεβον ὡς οἰκεῖος θρόνος καὶ πρῶτον κάθισμα τοῦ ἀρχιερέως, ἐὰν περισώζηται, μετ' ἐκεῖνο καὶ σὺν ἐκείνῳ δεύτερον κάθισμα καὶ καταμονὴ καὶ ἀνάπαυσις ἡ ἁγιωτάτη ἐπισκοπὴ Βλαντιμήρου, ἐν ᾗ ἀκολύτως, ὁπηνίκα δεήσει, ἐνεργήσει ὁ μητροπολίτης Ῥωσίας σφραγῖδάς τε ἀναγνωστῶν καὶ ὑποδιακόνων καὶ διακόνων προβιβασμοὺς καὶ χειροτονίας ἱερέων καὶ τὰ ἄλλα, ὅσα κανονικῶς ἐφεῖται καὶ τῷ γνησίῳ ἀρχιερεῖ, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἀλλὰ καὶ εἴπερ βοηθείᾳ θεοῦ ἐπανέλθοι τὸ Κύεβον εἰς τὴν ἀρχαίαν εὐδαιμονίαν τε καὶ κατάστασιν, ἐξωσθῇ δὲ καὶ ὁ καθαιρεθεὶς Θεοδώριτος, ὥστε εἶναι δυνατὸν ἔχειν τινὰ ἐν αὐτῷ τὸν ἀρχιερέα ἀνάπαυσιν, οὐδὲ οὕτως ἐκσπασθήσεται τὸ Βλαντίμηρον τοῦ μὴ προσεῖναι ὡς οἰκεῖον κάθισμα τοῖς μητροπολίταις τῆς Ῥωσίας, ἀλλ' ἔσται μέν, ὡς δεδήλωται, τὸ Κύεβον θρόνος καὶ πρῶτον κάθισμα τοῦ .....

finis deest.

CLIX. Sine anno.

Episcopi, qui patriarcham sequi non poterant, confirmant decisiones eius.

† Ἐπεὶ παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν συνέβη ἤτις δὴ καὶ συνέβη, διάστασις μεταξὺ τῶν κραταιῶν καὶ ἁγίων ἡμῶν αὐθεντῶν καὶ βασιλέων, κἀντεῦθεν τῆς τοσαύτης δυσχερείας καὶ ἐναντιότητος ἐπελθούσης ἐπισυμβαίνει καὶ κοινὸς ὄλεθρος καὶ παντελὴς φθορὰ τῶν χριστιανῶν, ὁ δέ γε παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ὡς τὴν πνευματικὴν προστασίαν λαβὼν ἀπὸ τοῦ θεοῦ, συνδιασκεψάμενος ἡμῖν πᾶσι κατὰ τὸ εἰκὸς καὶ προμήθειαν ποιησάμενος, δεῖν ἔγνω παραγενέσθαι δι' ἑαυτοῦ καὶ εἰς ἀμφοτέρους τούτους τοὺς βασιλεῖς, ὥστε σὺν βοηθείᾳ θεοῦ ἀποκαταλλάξαι καὶ εἰρηνεῦσαι

τὴν τοιαύτην διάστασιν, κοινωσάμενος τὰ περὶ τούτου πάσῃ τῇ ὁμηγύρει καὶ ἀδελφότητι ἡμῶν τῶν ἀρχιερέων, ἤδη τὴν τοιαύτην προμήθειαν, ὡς ἄνωθεν καὶ ἐκ θεοῦ καταπεμφθεῖσαν, συμφέρουσαν καὶ κοινωφελῆ ὁμοῦ κρίναντες, συμψηφιζόμεθα, καὶ δι' οἰκείων γνωμῶν καὶ οἰκειοχείρων ὑπογραφῶν κυροῦμεν καὶ βεβαιοῦμεν ἀσμένως τε καὶ ὅλῃ διαθέσει καὶ προθυμίᾳ ψυχῆς, καὶ ὅσοι δηλονότι ἀφ' ἡμῶν τῶν τῆς ἱερᾶς συνόδου διὰ τὴν ἐπιγενομένην εἰς ἡμᾶς ἀπὸ τοῦ καιροῦ στενοχωρίαν καὶ ἔνδειαν οὐκ ἰσχύομεν ἀκολουθῆσαι κατὰ τὸ ὅπερ ἔχομεν χρέος αὐτῷ δὴ τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ στέργομεν κοινῇ, ὅσον ἂν διὰ τὴν κοινωφελῆ εἰρηναίαν ταύτην σὺν θεῷ κατάστασιν ἰσχύει καὶ διαπράξεται ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἐπειδὴ τοῦτό ἐστι καὶ εἰς ἀρέσκειαν τοῦ θεοῦ καὶ εἰς τὴν τῶν ὑπολειφθέντων ἀθλίων χριστιανῶν σύστασιν καὶ ἀσφάλειαν ψυχῇ καὶ σώματι †.

† Ὑπεγράφη δὲ οἰκειοχείρως παρὰ πάντων τῶν τοιούτων ἀρχιερέων τὸ πεμφθὲν κατὰ πάντα ἔγγραφον τῆς ἀναφορᾶς ἴσον πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα τὸν Καντακουζηνόν †.

CLX. Sine anno.

Patriarcha iubet acta iterum codici mandari.

† Ἐπειδὴ παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν συνέβη, ἤτις δὴ καὶ συνέβη, διάστασις πρότερον μεταξὺ τῶν βασιλέων, καὶ τῆς δυσχερείας καὶ ἐναντιότητος, ὡς μὴ ὤφελεν, ἐπικρατούσης, ἐπιβούλως μὲν καὶ ἀδίκως ἀπεδιώχθη ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς, κῦρ Ἰωάννης ὁ Παλαιολόγος, ἀπὸ τῆς προγονικῆς καὶ πατρικῆς αὐτοῦ ἀρχῆς, ὁ γνήσιος δηλαδὴ καὶ φυσικὸς κληρονόμος τῆς ἐκ θεοῦ βασιλείας τῶν Ῥωμαίων, ὑπερζηλώσας δὲ κατὰ τὸν δίκαιον καὶ ἀληθῆ λόγον καὶ τὰς κανονικὰς καὶ νομικὰς διατάξεις ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κῦρ Κάλλιστος, ἐξώσθη μὲν διὰ τοῦτο τοῦ πατριαρχικοῦ αὐτοῦ θρόνου, ἀδίκως ὑπερόριος γεγονὼς, ἀντεισήχθη δὲ, ὡς ἔδοξεν, ὁ χρηματίσας κῦρ Φιλόθεος, εἶτα εὐδοκίᾳ τοῦ παναγάθου θεοῦ δικαιωθεὶς ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς διὰ μεσιτείας καὶ ἀν-

τιλήψεως τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος εἰσῆλθε παραδόξως εἰς τὴν θεοδόξαστον πόλιν ἑαυτοῦ, ἐπανῆλθε δὲ μετ' ὀλίγον καὶ ὁ ῥηθεὶς παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἐπειλημμένος κανονικῶς καὶ ἐννόμως τῆς ἐκκλησίας αὐτοῦ, ὡς γνήσιος αὐτῆς καὶ ἀληθὴς ποιμὴν καὶ διδάσκαλος, Χριστοῦ χάριτι, ἐν τῷ μεταξὺ δέ τις ἢ καί τινες χαιρέκακοι μετὰ τοῦ ποτε μεγάλου χαρτοφύλακος, τοῦ Ἀμπρο..., κατειλεγμένοι τηνικαῦτα τῇ ἐκκλησίᾳ εἰς τοῦτο τόλμης καὶ αὐθαδείας ἦλθον, ὥστε οὐ μόνον τὸν ἐπ' εὐσεβείᾳ τῶν ἱερῶν δογμάτων ἐκτεθειμένον συνοδικὸν τόμον, ὑπὲρ οὗ ὁ ἀοίδιμος καὶ εὐσεβέστατος βασιλεὺς, ὁ πατὴρ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, τῆς μεγάλης ἐκείνης συνόδου συναθροισθείσης ἐν τῷ παμμεγίστῳ καὶ θειοτάτῳ ναῷ τῆς τοῦ θεοῦ λόγου Σοφίας, πλεῖστα ἐμόγησε, καὶ, ὡς ἅπαντες ἴσασιν, οὐ μικρὸν πόνον ὑπέστη διὰ τὰς ἀπὸ τοῦ θεοῦ μισθαποδοσίας καὶ ταῦτα τῷ τότε ὑπὸ τῆς ἐνσκηψάσης ἐκείνῳ χαλεπῆς καὶ θανατοφόρου νόσου κατατεινόμενος καὶ πρὸς ταῖς τελευταίας ἀναπνοαῖς ὤν, τοῦτον τὸν ἱερὸν συνοδικὸν τόμον ἐν τῷ ἐκκλησιαστικῷ κωδικίῳ καταγεγραμμένον διέρρηξαν καὶ κατέλυσαν, ἀλλὰ καὶ τὰς ἐν τῷ αὐτῷ κωδικίῳ κειμένας συνοδικὰς πράξεις ἠφάνισαν, καθάπερ ἤδη ὁρᾶται· ἤδη κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ ὑποτύπωσιν αὖθις παρακελεύσει αὐτοῦ δὴ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἤρξαντο καταστρώννυσθαι ἐν τῷδε τῷ ἱερῷ κωδικίῳ τὰ συνοδικὰ ἔγγραφα σημειώματα †.

CLXI. Sine anno.

Patriarcha metropolitae Bizyae per adiunctionem confert archiepiscopatum Dercus.

† Ἐπεὶ ὑπὸ τῆς ἐπιφυείσης τοῖς πράγμασιν ἀνωμαλίας καὶ συγχύσεως, παραχωρήσει θεοῦ διὰ πλῆθος ἁμαρτιῶν, ὑπεχώρησεν ὁ ἱερώτατος μητροπολίτης Βιζύης, ὑπέρτιμος, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κατὰ τὸ εἰκός, κἀντεῦθεν κατήντησεν, εἰς ὅσην δὴ καὶ κατήντησε στενότητα, οὐ δεῖν ἔκρινεν ἡ μετριότης ἡμῶν ἀπρομήθευτον τοῦτον περιιδεῖν, οὐ πρὸς ἡμῶν γὰρ τοῦτο, οὐδὲ τοῦ περὶ αὐτὸν πνευματικοῦ φίλτρου· ἔνθεν τοι καὶ ἐπειδὴ εὑρίσκεται χηρεύουσα ἤδη ἡ ἁγιωτάτη ἀρχιεπισκοπὴ Δέρκους, ἐπιδί-

δωσι ταύτην κατὰ λόγον ἐπιδόσεως ἡ μετριότης ἡμῶν πρὸς τὸν αὐτὸν ἱερώτατον μητροπολίτην Βιζύης καὶ ὑπέρτιμον· ἐπιλήψεται τοίνυν οὗτος αὐτῆς καὶ τῶν ὑπ' αὐτὴν πάντων, καὶ ἐπ' ἀδείας ἕξει ἱερουργεῖν ἐν αὐτῇ, ἀναγνώστας τε σφραγίζειν καὶ ὑποδιακόνους καὶ διακόνους, ἔτι τε καὶ πρεσβυτέρους ἀπὸ τῶν ὑπ' αὐτὴν χειροτονεῖν, καθιερώσεις τε ναῶν ποιεῖν, καὶ ἁπλῶς πάντα διαπράττεσθαι, ὅσα καὶ ὁ γνήσιος ἀρχιερεὺς, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἔστ' ἂν δηλονότι, θεοῦ διδόντος εἰρηνικῆς καταστάσεως ἐπιγενομένης τοῖς πράγμασιν, ἐπανέλθῃ καὶ ὁ αὐτὸς ἱερώτατος μητροπολίτης Βιζύης καὶ ὑπέρτιμος εἰς τὴν λαχοῦσαν αὐτὸν, καὶ διεξάγῃ τὸ καταπιστευθὲν αὐτῷ λογικὸν ποίμνιον, ὡς ὁ τοῦ κυρίου βούλεται νόμος· ὅθεν ὀφείλουσιν οἵ τε κληρικοὶ τῆς ῥηθείσης ἁγιωτάτης ἐκκλησίας Δέρκους καὶ ὁ ὑπὸ τὴν ἐνορίαν καὶ ἐπικράτειαν αὐτῆς λοιπὸς ἅπας λαὸς ἔχειν εἰς ἑαυτὸν τὸ προσῆκον σέβας καὶ πᾶσαν τιμὴν καὶ εὐπείθειαν, ὅσα καὶ εἰς ἀρχιερέα αὐτῶν, πατέρα τε καὶ διδάσκαλον, καὶ πείθεσθαι τούτῳ, ἐφ' οἷς ἂν ἔχοι λέγειν καὶ εἰσηγεῖσθαι αὐτοῖς, ἀφορῶσιν εἰς ψυχικὴν αὐτῶν λυσιτέλειαν, οὐδενὸς τῶν ἁπάντων ὀφείλοντος παρεμποδίσαι αὐτῷ ἐπὶ τούτοις ὅλως, κἂν ὅστις ἄρα καὶ ᾖ. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

CLXII. (6864—1356) iulio ind. IX.

Synodus excommunicat metropolitam Alaniae.

† Καθαίρεσις συνοδικὴ τοῦ ποτε Ἀλανίας †.

† Φθάνουσι πρό τινων ἤδη χρόνων οἱ Ταναΐται θεοσεβέστατοι ἱερεῖς, ὅ τε πρωτοπαπᾶς Μιχαὴλ, ὁ πρεσβύτερος Νικόλαος καὶ ὁ λοιπὸς μετ' αὐτῶν πρεσβύτερος ὁ Θεόδωρος, εἰς τὰς μετὰ τοῦ ποτε Ἀλανίας ἐμπεσόντες οὐκ ὀλίγας ἀμφισβητήσεις καὶ διενέξεις, ὡς ἀποστερούμενοι παρ' αὐτοῦ, καθάπερ διισχυρίζοντο, τῶν ἀνέκαθεν προσηκόντων καὶ ἀνηκόντων αὐτοῖς ἐκκλησιαστικῶν δικαίων· ἔνθεν τοι καὶ ἐπεὶ, ἱκεσίᾳ πολλῇ πρότερον χρησάμενοι πρὸς αὐτὸν τούτων ἕνεκα, οὐδ' ὅλως ἴσχυσαν μεταπεῖσαι τῆς πλεονεκτικῆς καὶ φιλονείκου γνώμης, καὶ μὴ ἐπὶ πλέον δυνάμενοι φέρειν τὴν ἀδικίαν, ἀνατρέχουσι τηνικαῦτα εἰς τὸν ἁγιώτατον πατριάρχην, κῦρ Ἰσίδωρον ἐκεῖνον, καὶ τὰ περὶ τούτου περιπαθῶς ἀναγγέλλουσιν, ὅτε δὴ καὶ συνοδικοῦ δικαστηρίου πολ-

λάκις καὶ διαφόρως συγκροτηθέντος, συμπαρόντος καὶ τοῦ ἀντικαθισταμένου αὐτοῖς τοιούτου Ἀλανίας, ἐπεὶ διαρρήδην ἀνεφάνησαν οἱ τοιοῦτοι πρεσβύτεροι μετὰ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξέτασιν ἄδικα πάσχοντες παρ' αὐτοῦ καὶ τῶν ἰδίων ἀποστερούμενοι, οὐχ ὑγιαινούσῃ γνώμῃ, ψήφισμα συνοδικὸν ἐξήνεγκον τοῦδε τοῦ ἁγιωτάτου πατριάρχου κῦρ Ἰσιδώρου, δικαιοῦν αὐτούς, ὥστε ἀπολαύειν, ὡς τὸ πρότερον, ἐκ τοῦ ἀπ' ἐντεῦθεν τῶν διαφερόντων αὐτοῖς ἄνωθεν τοιούτων ἐκκλησιαστικῶν δικαίων κατὰ τὴν ἐπικρατήσασαν κατὰ τὸν ἐκεῖσε τόπον τάξιν τε καὶ συνήθειαν· ἀλλ' ὁ δηλωθεὶς Ἀλανίας, καίτοι δόξας πείσασθαι δῆθεν αὐτοῖς, ἀποσχόμενος τῆς ἐριστικῆς γνώμης αὐτοῦ καὶ πλεονεκτικῆς, καὶ στέργων, ὡς καθυπεκρίνετο τὸν καιρὸν, τῇ συνοδικῇ ταύτῃ ἐγγράφῳ διαγνώσει καὶ ἀποφάσει, ὡς μόνον ἔφθασεν ἀποδημήσας ἀπὸ τῶν ἐνταῦθα, μικρὰ φροντίσας τῶν ἐψηφισμένων συνοδικῶς, ἀθετητὴς τούτων ἐγένετο· αὐτίκα τοίνυν, ὥσπερ ἐπιλελησμένος τοῦ κατ' αὐτὸν σχήματος, ἐπαναστὰς καὶ ἐπαναισχυντήσας πρὸς τὸν Χάνην ἀπῆει, ἀμυντικῶς διακείμενος κατὰ τῶν ἱερέων, ὡς οὐ χρεὼν, ἄδικα πασχόντων ἐπὶ ἀνατροπῇ καὶ καταλύσει τῆς συνοδικῆς ταύτης διαγνώσεώς τε καὶ ἀποφάσεως, ὅτε δὴ καὶ τὸ λεγόμενον διαλείχιον ἐκεῖθεν λαβὼν, ἅτε δὴ τῇ ἐκκλησίᾳ μὴ ὑποκεῖσθαι βουλόμενος, οὐκ ὀλίγα ἐπικίνδυνα καὶ κακωτικὰ καὶ ἐπιζήμια τοῖς τοιούτοις ἱερεῦσιν ἐπήνεγκεν, ὡς μὴ ὤφελεν· ἔφερον μὲν οὖν οὗτοι, καίτοι τὰ δεινότατα ὑπ' αὐτοῦ πάσχοντες, παρακαλοῦντες, δεόμενοι, καὶ τὴν ἐπὶ τὸ βέλτιον αὐτοῦ προσδοκῶντες μεταβολήν· ἐπεὶ δὲ εἶδον αὐτὸν προδήλως μὲν καὶ τὰς συνοδικὰς ψήφους καὶ ἀποφάσεις περιφρονοῦντα καὶ ἀθετοῦντα καὶ παρ' οὐδὲν ταύτας ποιούμενον, οὐ μὴν δὴ ἀλλὰ καὶ ἐπὶ τοσοῦτον τοῦ καθήκοντος ἐκτραπόμενον, ὡς καὶ τοὺς ἐκεῖσε πανσέπτους καὶ θείους ναοὺς κατακλείειν σὺν οὐδεμιᾷ τινι εὐλόγῳ προφάσει καὶ τοὺς ἱερεῖς τοῦ ἱερουργεῖν ἀδίκως ἐπέχειν, κατὰ γὰρ τὸν καιρὸν ἐκεῖνον δύο χριστιανοὺς ἀνθρώπους τεθνηκότας διὰ τὴν παράλογον αὐτοῦ τῶν ἱερέων ἐπίσχεσιν, οὐ σὺν δίκῃ ἐπαχθεῖσαν, παρεσκεύασεν ἀφάλτους ἐναπομεῖναι καὶ μὴ τῶν νενομισμένων ἐπιτυχεῖν, οὐ μὴν δὴ ἀλλὰ καὶ δύο τινὰ βρέφη ἐκ προγόνων εὐσεβῆ τὴν τοῦ γένους σειρὰν ἕλκοντα παραίτιος ἐγένετο, ὡς οὐ θέμις, βαπτισθῆναι εἰς τὴν ἐκκλησίαν τῶν Ἀρμενίων. μηκέτι ἐνεγκόντες, ἐγγράφως ἀναφέρουσι καὶ πρότερον τὰ περὶ τούτου συνοδικῶς ἐπὶ τοῦ χρηματίσαντος κῦρ Φιλοθέου. μετὰ

μέντοι παραδρομὴν οὐκ ὀλίγου καιροῦ ἀρχόντων τινῶν, πραγματευτῶν καὶ ἀπὸ τῶν ἐποίκων πολιτῶν τῆς θεοδοξάστου, θεοφυλάκτου καὶ θεομεγαλύντου Κωνσταντινουπόλεως ἐξ ἔθους κατὰ τὸν ἐκεῖσε τόπον ἀφικνουμένων, ἐχόντων ἐκ τοῦ τρόπου καὶ τῆς συνειδήσεως τὸ ἀξιόπιστον καὶ ἐγνωσμένων ὄντων εἰς τοῦτο τοῖς πᾶσι σχεδὸν, τοῦ τε κῦρ Κωνσταντίνου δηλαδὴ τοῦ Ἀγαπητοῦ, τοῦ αὐταδέλφου αὐτοῦ Ἀγαπητοῦ, τοῦ ἀπὸ τῶν Πηγαϊτῶν Σγουροπούλου, τοῦ Μονεμβασιώτου καὶ ἑτέρων, ἐν εἰδήσει καὶ πείρᾳ γενομένων καὶ αὐτοφεὶ ἰδόντων τὰς ἀπειρημένας ταύτας καὶ παρανόμους πράξεις αὐτοῦ καὶ τὸν προσήκοντα ζῆλον ἐντεῦθεν ἀναλαβόντων καὶ συνοδικῶς τῷ τότε παραγενομένῳ, συμπαρόντος καὶ συνεδριάζοντος καὶ αὐτοῦ δὴ τοῦ Ἀλανίας, κεκίνηται ἀκριβῶς καὶ τὰ κατ' αὐτοῦ αἰτιάματα καὶ ἐγκλήματα ἐπὶ τῆς θείας καὶ ἱερᾶς ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, καὶ ὅπως ἀνερυθριάστως ἀπετόλμησε καὶ ἐπεχειροτόνησεν ἐπίσκοπον εἰς τὴν τῶν Καυκασίων μητρόπολιν, συνηριθμημένην ἄνωθεν τῇ ἱερᾷ συνόδῳ καὶ τῇ πατριαρχικῇ ἐφορείᾳ καὶ ἀνακρίσει ὑποκειμένην καὶ ὑπὸ τὴν καθ' ἡμᾶς τελοῦσαν ἁγιωτάτην καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, εἰ καὶ σοφιστικῶς ἐπειρᾶτο συμπλάττειν τε καὶ λανθάνειν, σκηπτόμενος, ἑτέραν μὲν εἶναι τὴν τῶν Καυκασίων συνοδικὴν ταύτην μητρόπολιν, ἄλλην δὲ τυγχάνειν ἐπισκοπὴν ὑπ' αὐτὸν, τὴν οὕτω πως λεγομένην Καυκασίαν· ἐξετάσεως γὰρ, καθάπερ ἐχρῆν, ἀκριβοῦς γενομένης καὶ τῶν κανονικῶν βίβλων προτεθειμένων εἰς μέσον καὶ τῆς ἀπαριθμήσεως γεγονυίας λελογισμένως τῶν τε ἑκασταχοῦ μητροπόλεων καὶ τῶν ὑποκειμένων ταύταις ἐπισκοπῶν κατὰ τὴν ἐκ παλαιοῦ ἐπικρατήσασαν τάξιν καὶ ὑποτύπωσιν εἰς τὴν τῆς ἀληθείας ἀνεύρεσιν, οὐδεμία τις εὕρηται ἐπισκοπὴ εὑρισκομένη ὑπὸ τὴν Ἀλανίας ἡ Καυκασία λεγομένη, ὡς αὐτὸς προφασιζόμενος ἔλεγεν, ἀλλὰ μόνον εὕρηται ταῖς ἀληθείαις μητρόπολις ἡμῶν Καυκασίων ἄνωθεν ταῖς συνοδικαῖς μητροπόλεσι συνηριθμημένη κατὰ τὸν ἀναγεγραμμένον τρόπον. ὡσαύτως ἐκινήθη καὶ ἀπηλέγχθη ἀριδήλως καὶ ὅπως τὸν ἐπίσκοπον, ὄντινα δήπου παρανόμως καὶ ἀκανονίστως ἐχειροτόνησεν εἰς τὴν ἁγιωτάτην μητρόπολιν Καυκασίων, συνοδικὴν οὖσαν, χειροτονήσαντα τὸν τοιοῦτον καὶ προβιβάσαντα εἰς ἱερέα τινὰ ἀθέσμως, ἅτε δὴ συναφθέντα γυναικὶ, ἐξ ἑτέρου οὔσῃ ἀνδρὸς καὶ χηρευούσῃ, καὶ εἰς τοὐμφανὲς εἰς τοῦτο ἐξελεγχθέντα, διὰ ταῦτα καθεῖλε τόνδε τὸν ἐπίσκοπον,

καὶ τὸν αὐτὸν πάλιν δεξιωσάμενον ἔπειτα, αὐτονόμῳ γνώμῃ καὶ παρὰ τὴν τῶν θείων καὶ ἱερῶν κανόνων παρατήρησιν, οὐ μόνον συγχωρήσεως ἠξίωσεν, ἀλλὰ καὶ συνελειτούργησεν αὐτῷ, ὅτε δὴ φθάσας ἐχειροτόνησε τὸν Σαραΐου ἐπίσκοπον, δεδωκὼς ἄδειαν ἀκολύτως ἱερουργεῖν, ὥσπερ ἂν εἰ μηδέν τι μηδαμῶς προσκεκρουκὼς τοῖς κανόσιν ἐφάνη, πρὸς ὃ δὴ καὶ ἀπὸ στόματος συνοδικῶς διωμολόγησε καὶ πρότερον, μὴ δυνάμενος πρὸς τὴν ἀλήθειαν ἀπομάχεσθαι. ἤρκει μὲν οὖν τὰ περὶ τούτου, καὶ μόνον οὕτως ἀποδεδειγμένα, καθαιρέσει ἐκεῖνον ὑποβαλεῖν, εἰ γὰρ ἀνδρὶ παγὶς ἰσχυρὰ τὰ ἴδια χείλη, φησὶ Σολομών, καὶ λόγοις οἰκείου στόματος ἁλίσκεται ἕκαστος, πολλῷ γε μᾶλλον ὁ ἐπὶ τοῦ ἱεροῦ συνοδικοῦ δικαστηρίου καὶ τῆς ἐκκλησίας σχεδὸν ἁπάσης αὐτὸς ἀφ' ἑαυτοῦ, ὡς εἴρηται, διομολογήσας, ὅτι οὐ δι' ἕτερόν τι καθεῖλε τὸν ὡς δῆθεν Καυκασίων παρανόμως χειροτονηθέντα εἰς τὴν συνοδικὴν ταύτην ἁγιωτάτην μητρόπολιν, εἰ μὴ διὰ τὸ ἀφυλάκτως τὴν χειροτονίαν ἐκεῖνον ποιήσασθαι τοῦ πρεσβυτέρου ἐκείνου τοῦ γυναικὶ χηρευούσῃ συνεζευγμένου καὶ ἐξ ἑτέρου οὔσῃ ἀνδρός, ὡς δεδήλωται, ἐνταῦθα τοῦ θεοῦ μάλιστα συνελαύνοντος, ὡς τὴν ἀλήθειαν ἁπανταχοῦ ἐπευδοκοῦντος κρατεῖν καὶ παρρησιάζεσθαι, σὺν δίκῃ ἐμπεδηθήσεται, ὥς τισιν ἀρρήκτοις πέδαις περισφιγγόμενος τοῖς χείλεσι τοῖς οἰκείοις. τούτων δὲ οὕτω προκεχωρηκότων, ἐπεὶ εὐδοκίᾳ θεοῦ εἰσῆλθεν ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ παραδόξως εἰς τὴν θεοδόξαστον, θεοφύλακτον καὶ θεομεγάλυντον ταύτην Κωνσταντινούπολιν, δικαιώσαντος αὐτὸν τοῦ θεοῦ κατὰ τὸ προσὸν αὐτῷ περιφανὲς δίκαιον εἰς τὴν προγονικὴν καὶ πατρικὴν αὐτοῦ ἀρχήν, διὰ τὸ θεοφιλῶς βασιλεύειν καὶ ἐν ἅπασι τοῖς καλλίστοις διαλάμπειν, οὐχ ἥκιστα δὲ φιλανθρωπίᾳ τε καὶ χρηστότητι καὶ δικαιοσύνῃ, ἐπανῆλθε δὲ, αὐτοῦ τοῦ θεοῦ συναιρομένου, ἐκ τῆς ὑπερορίας ἐκείνης καὶ ἡ μετριότης ἡμῶν εἰς τὴν ἐκκλησίαν αὐτῆς, οἱ δέ γε ῥηθέντες πρεσβύτεροι, οἱ Ταναΐται, οὐκ ἦσαν ἐπιδημοῦντες ἐνταῦθα, ἔφθασε δὲ καὶ ὁ ἀδελφὸς αὐτοῦ, παρὰ τὴν τούτου αἰτίαν τοὺς ἱερεῖς ἀδικοῦντος, καθάπερ ἀνωμολογήθη παρὰ τῶν ἀνωτέρω εἰρημένων πολιτῶν καὶ πραγματευτῶν, προσχωρήσας τοῖς Πέρσαις διὰ τὸ μὴ βούλεσθαι ἀποδοῦναι, ὅσην οἱ ἱερεῖς κατεβάλοντο ἔξοδον, ἀπελθόντες ἐξ αἰτίας αὐτοῦ εἰς τὸν Χάνην, καὶ συνθέμενος τῇ τούτων ἀσεβείᾳ, μουσουλμανίσας, πλεῖστα καθικέτευσε συνοδικῶς τὴν ἡμῶν μετριότητα καὶ πᾶσαν τὴν περὶ αὐτὴν ἱερὰν ἀδελ-

φότητα, ὡς ἂν μάλιστα διὰ τὸ ἐπιστρέψαι ἀπὸ τῆς πλάνης καὶ ἀσεβείας τόνδε τὸν ἀδελφὸν αὐτοῦ λάβῃ ἐπί τινα καιρικὴν προθεσμίαν τὸ ἐνδόσιμον, καὶ ἀπέλθῃ ἐπὶ τούτῳ ἐκεῖσε, καθυποσχόμενος δι' οἰκειοχείρου γράμματος αὐτοῦ καὶ ἰδίᾳ ὑπογραφῇ πεπιστωμένου, ἐπιστῆναι ἀλογοπραγήτως τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ καὶ ἀπολογήσασθαι καὶ ἐπὶ τοῖς ἑτέροις ἐγκλήμασιν, ἐφ' οἷς κατηγορεῖτο, δι' ὅλου τοῦ παρελθόντος ὀκτωβρίου μηνός, ἅτε δὴ καὶ τῶν ἀντικαθισταμένων τούτῳ μετακληθέντων καὶ παραγενομένων· ἐπεὶ δὲ αὐτὸς μὲν ἐψεύσατο τὴν ὑπόσχεσιν, οἱ δὴ διαληφθέντες ἱερεῖς ἦσαν τῇ ἐκκλησίᾳ προσεδρεύοντες καὶ προσταλαιπωρούμενοι πλείστῃ κακοπαθείᾳ καὶ ἑαυτῶν γε τῶν ἀναγκαίων κατατρυχόμενοι, συνοδικὰ ψηφίσματα πολλάκις καὶ διαφόρως ἀπελύθησαν πρὸς αὐτὸν ἐπὶ τῷ ἀφικέσθαι ἀπροφασίστως εἰς τὴν σύνοδον καὶ, εἴ γε δύναιτο, ἀπολογήσασθαι περὶ τῶν ἐπενηνεγμένων κατ' αὐτοῦ τοιούτων αἰτιαμάτων, δοθείσης καὶ πάλιν αὐτῷ ἑτέρας καιρικῆς διωρίας, μέχρις καὶ ὅλου δηλαδὴ τοῦ παρελθόντος ἀπριλλίου, τῶνδε τῶν ἱερέων κατὰ τὸν ὅμοιον τρόπον ἐνταῦθα κατατριβομένων καὶ τὴν τοσαύτην ὑφισταμένων ταλαιπωρίαν καὶ κακοπάθειαν καὶ τὴν ἐκείνου ἄφιξιν ἀναμενόντων καὶ διαβιβασάντων οὐ μόνον τὴν τότε τοῦ μετοπώρου ὥραν, ἀλλὰ καὶ τὴν τοῦ χειμῶνος, ἤδη δὲ καὶ ταυτηνὶ σχεδὸν τὴν τοῦ ἐνισταμένου θέρους. προέβη μέντοι καὶ αὖθις συνοδικὸν ψήφισμα πρὸς αὐτὸν ἐμβριθῶς ἐν ἰσχυρᾷ βεβαιώσει ἐπιφωνούμενον, ὡς, εἴπερ καὶ πάλιν, περιφρονητικῶς διατεθείς, οὐκ ἀπαντήσει ἐντὸς τῆς ἀποταχθείσης διωρίας κατὰ πολλὴν συγκατάβασιν, ἤγουν τοῦ παρελθόντος ἀπριλλίου, ὡς δεδήλωται, ὡς καταφρονῶν μὲν καὶ τῆς τῶν θείων καὶ ἱερῶν κανόνων παρακελεύσεώς τε καὶ διατάξεως, ἀθετῶν δὲ καὶ τὴν πρὸς τὴν σύνοδον ἰδίαν ὑπόσχεσιν αὐτοῦ ὁμολογουμένως, καθαιρέσει ὑποβληθήσεται ἕνεκα τῶν ἀποδεδειγμένων κατ' αὐτοῦ τοιούτων ἐγκλημάτων, δι' ὧν τοῖς κανόσιν ἐφάνη προσκεκρουκὼς καὶ ἐμπαροινήσας. ἐκεῖνος μέντοι γε καὶ διαρρήδην διωμολόγησεν, ἔτι ἐπιδημῶν ἐνταῦθα, ὑπεραλγῶν δῆθεν ἐπὶ τῇ ψυχικῇ ἀπωλείᾳ τοῦ ἀδελφοῦ, ὡς, εἴπερ ἀπεδίδου τὴν καταβληθεῖσαν παρὰ τῶνδε τῶν ἱερέων ἔξοδον, ἀπελθόντων ἐξ αἰτίας αὐτοῦ εἰς τὸν Χάνην, καθάπερ εἴρηται ἀνωτέρω, κἀντεῦθεν κατεπαύοντο καὶ τὰ ἐπιφυέντα σκάνδαλα, οὐκ ἂν ὁ ἀδελφός, ὡς μὴ ὤφελε, τῷ μουσουλμανισμῷ περιέπιπτε, μεμαρτύρηται δὲ ἀριδήλως τὰ περὶ τούτου καὶ παρὰ

τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ τε Χριστουπόλεως καὶ τοῦ Κελτζηνῆς, ὅτι ἀληθῶς ἐνώπιον αὐτῶν γενομένων αὐτηκόων ἐξεῖπεν οὗτος αὐτὸ καὶ ἀνεκάλυψεν, οἴκοθεν ὡρμημένος, ὡς ἐπὶ τῷ ἀδελφῷ ἀνιώμενος, εἰ καὶ τοῦτο σκῆψις ὕστερον καὶ ματαία πρόφασις ἀπελήλεγκται, οὐ μὴν ἀλλὰ καὶ πρὸς αὐτοὺς τοὺς ἱερωτάτους ἀρχιερεῖς, τὸν Χριστουπόλεως, τὸν Κελτζηνῆς καὶ τὸν Σμύρνης, ἔτι τε καὶ πρός τινας τῶν τιμιωτάτων ἐκκλησιαστικῶν ἀρχόντων ἔδριξε καὶ εἶπεν ὁμοίως ἐκεῖνος, μέλλων ἀποδημεῖν ἀπὸ τῶν ἐνταῦθα, ὅτι κατὰ πρόφασιν κατεψευσμένην ἐξέθετο τὴν προβᾶσαν ἔγγραφον ὑπόσχεσιν παρ αὐτοῦ, τὸ δὲ σκόπιμον ἦν ἐκείνῳ ὁλοσχερῶς, ὡς εἴπερ μόνον ἰσχύσας ἐξέλθοι, οὐκ ἂν πώποτε ὑποστρέψειεν, ὅσον τὸ ἐπ' αὐτῷ. οὕτως οὖν οὐ μόνον καθάπαξ κατεφρόνησε τῆς τῶν θείων καὶ ἱερῶν κανόνων παρατηρήσεως, ἀλλὰ καὶ αὐτῶν τῶν ἐγγράφως ὑπεσχημένων, ἔργῳ δήπου πληρῶν, ἅπερ ἔλεγε πρότερον, ἀλλὰ καὶ ἐκ κακοήθους ψυχῆς καὶ γνώμης θρασείας κατολιγωρῶν ἄντικρυς καὶ καταπαίζων καὶ παρ' οὐδὲν τιθέμενος τὰ πρὸς αὐτὸν κατὰ τὴν κανονικὴν διάταξιν ἀπολυθέντα συνοδικὰ ψηφίσματα, μετακαλούμενα τοῦτον ἐνταῦθα, ἐμήνυεν, ὡς οὐδέν ἐστιν ἔργον αὐτῷ οὐδὲ φρόντισμα ἀφικέσθαι ἐνταῦθα, ἐπειδὴ ἑτέρας ἔχει δουλείας ἐπικειμένας αὐτῷ, ἀλλ' οὐδὲ ἔγγραφον ἀναφορὰν ἐξαποστεῖλαι ἠνέσχετο εἰς τὴν σύνοδον ἢ ἱκεσίαν τινὰ ποιήσασθαι καὶ παράκλησιν ἢ καὶ ὡρισμένον τινὰ καιρὸν δηλῶσαι περὶ τῆς ἀφίξεως αὐτοῦ ἢ περὶ ἑτέρας ἡστινοσοῦν αἰτίας ἢ ζητήσεως, ἀφροντίστως ἔχων παντάπασιν, ὥσπερ ἂν εἰ μὴ διαφόρως ἐξηλέγχετο συνοδικῶς, ἐφ' οἷσπερ ἑάλω τοῖς κανόσι παντελῶς ἀπηγορευμένοις, μηδ' ἐπηγγέλλετο ἐγγράφως ἐπὶ τῷ ἀπαντῆσαι καὶ ἀπολογήσασθαι, καὶ ταῦτα συνοδικῶν ψηφισμάτων μετακαλουμένων αὐτὸν, ὡς δεδήλωται; καὶ τῶν συγκαταβάσεως λόγῳ δοθεισῶν αὐτῷ καιρικῶν εἰς τοῦτο προθεσμιῶν παρελθουσῶν καὶ τῶν ἱερέων ἐν τῷ ἀναμένειν ἐκτριβέντων σχεδόν, αὐτοῦ τὸν καιρὸν κατὰ τὸ δοκοῦν αὐτῷ παρακρουομένου καὶ ἀμυντικῶς κατὰ τούτων διακειμένου. καὶ τί ἂν ἔχοι τις περὶ τῶν ἄλλων κατὰ μέρος διεξιέναι; ὅθεν καὶ εἰ κατὰ τὸν ιγ' κανόνα τῆς ἐν Καρχηδόνι συνόδου οὕτω πρὸς λέξιν διαγορεύοντα· „ἐάν τις ἐναντιωθῇ τῇ ἰδίᾳ ὁμολογίᾳ ἢ τοι τῇ ἰδίᾳ ὑπογραφῇ, ἑαυτὸν ἀποστερήσει τῆς ἰδίας τιμῆς," πολλῷ γε μᾶλλον ταύτης ἐνδίκως ἀποστερηθήσεται ὁ προδήλως ἀθετητὴς γενόμενος οὐ μόνον τῆς οἰκειοχείρου αὐτοῦ ἐγγράφου ὑποσχέ-

σεως καὶ ὑπογραφῆς, ἀλλὰ καὶ προδήλως καταφρονητὴς τῶν τε θείων κανονικῶν διατάξεων καὶ τῶν προσκαλουμένων αὐτὸν διαφόρως συνοδικῶν ψηφισμάτων καὶ μηδὲ ἀπολογίας ἠστινοσοῦν, καθάπερ καὶ ὀφειλομένως εἶχε. καὶ πάλιν· „εἰ κατὰ τὸν ἀποστολικὸν λε΄ κανόνα οὕτω κατὰ ῥῆμα θεσπίζοντα, ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ κώμας, εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας καὶ χώρας γνώμην, καθαιρείσθω καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησε.“ διαγορεύουσι δὲ καὶ οἱ φιλευσεβεῖς νόμοι ῥητῶς· „ὁ ἐν ὑπερορίᾳ χειροτονῶν ἢ καὶ ἕτερόν τι παρὰ τὸ καθῆκον ποιῶν ἀγανακτεῖται καὶ ἀφορίζεται.“ οὐχ ἥκιστα ἂν εἴη ὑπὸ καθαίρεσιν εἰς τοῦτο θράσους ἐληλακὼς, ὥστε καὶ τὴν τῶν Καυκασίων τῆς μεγάλης συνόδου ἁγιωτάτην μητρόπολιν καὶ τῇ πατριαρχικῇ περιωπῇ ἄνωθεν ὑποκειμένην καὶ ταῖς λοιπαῖς συνοδικαῖς μητροπόλεσιν συνηριθμημένην αὐτονόμως καὶ ἀκανονίστως ἀποτολμήσας ποιήσασθαι ὑφ' ἑαυτὸν, οὐ μόνον τῆς ἀληθείας καταψευδόμενος παντελῶς, ἀλλὰ καὶ ἀπ' ἐναντίας ἐλθὼν τῇ ἑτέρᾳ τούτου ὁμολογίᾳ ἐγγράφῳ, ὅτε εἰς ἀρχιερέα προέβαινεν, οἰκειοχείρως ἐγγραφάμενος ἐπὶ λέξεως οὕτως· „πρὸς τούτοις καθομολογῶ φυλάττειν καὶ τὰ πατριαρχικὰ δίκαια ἀπαρεγχείρητα.“ πρὸς τούτοις γε μὴν ἔστιν καθαιρετέος καὶ διὰ τὰ ἕτερα ἄτοπα καὶ ἀκανόνιστα, ἅπερ αὐτός τε διωμολόγησεν ἀπὸ τοῦ οἰκείου στόματος, καὶ οἱ διαληφθέντες πραγματευταὶ καὶ πολῖται συνοδικῶς μετ' ἀσφαλείας τῆς προσηκούσης ἐρωτηθέντες παρέστησαν, τὰ πλείω δὲ παρῆκεν ὁ λόγος τῆς ἀτοπίας αὐτοῦ, τὸ μῆκος ὑφορώμενος· ἤρκει μέντοι γε καὶ μόνον τὸ ἐν παγίδι ληφθῆναι τῇ ὁμολογίᾳ τῆς γλώσσης αὐτοῦ, τοῦτο δὴ τὸ Σολομώντειον εἰς τὴν τούτου καθαίρεσιν, ἥπερ ἐρρήθη, τὸ δὲ καὶ τὴν τῶν Καυκασίων ἁγιωτάτην μητρόπολιν ἀποσπάσαντα τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ὑφ' ἑαυτὸν ἀναιδῶς ποιήσασθαι, τοῦτο δὲ καὶ πάσης συμπαθείας αὐτὸν ἀποκλείει. διὰ γοῦν ταῦτα συνδιασκεψαμένη ἡ μετριότης ἡμῶν τῇ περὶ αὐτὴν θείᾳ ὁμηγύρει καὶ ἀδελφότητι τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας, τοῦ Σηλυβρίας καὶ τὸν τόπον Νικομηδείας ἐπέχοντος, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Σταυρουπόλεως, τοῦ Χριστουπόλεως, τοῦ Σμύρνης, τοῦ Βιζύης, τοῦ Κελτζηνῆς, τοῦ Μηδείας, τοῦ Ῥωσίου, τοῦ Σουγδαίας, τοῦ Γαρέλλης καὶ τοῦ Λιτβῶν, καθηρημένον τοῦ λοιποῦ

τυγχάνειν αὐτὸν, προδήλως ἀθετητὴν τῶν θείων κανόνων γενόμενον, καὶ ἀπογεγυμνωμένον πάσης ἱερωσύνης καὶ παντάπασιν ἀπηλλοτριωμένον τοῦ τῶν ἀρχιερέων χοροῦ καὶ μηκέτι παρὰ μηδενὸς καθ' οἱονδήτινα τρόπον προσδεχθῆναι εἰς ὑπηρεσίαν ἀρχιερατικὴν ἢ ὅλως ἱερατικὴν, ἐπειδὴ τὸν τοιοῦτον μετὰ πολλὴν καὶ ἀκριβῆ τὴν ἐξέτασιν ἐνδίκως καὶ κανονικῶς κοινῇ πάντες συνοδικῶς παντελεῖ καθαιρέσει καθυποβάλλομεν. διὰ γοῦν τὴν περὶ τούτου μόνιμον τὴν ἀσφάλειαν καὶ εἰς τὸν ἑξῆς χρόνον ἀπολέλυται καὶ ἡ ἔγγραφος αὕτη συνοδικὴ ἀπόφασις εἰς καθαίρεσιν αὐτοῦ, καταστρωθεῖσα ἐν τοῖς ἱεροῖς κωδικίοις, ὥσπερ εἴθισται καὶ νενόμισται κατὰ τὴν ἀνέκαθεν ἐπικρατήσασαν παράδοσιν καὶ ὑποτύπωσιν τῇ ἐκκλησίᾳ θεοῦ †.

† Εἶχε τὸ· μηνὶ ἰουλίῳ ἰνδ. ἑνάτης †.

CLXIII. (6865—1357) aprili ind. X.

Patriarcha nominat metropolitam Rhodi et Cycladum.

I. † Εὐλαβέστατοι κληρικοὶ τῆς ἁγιωτάτης μητροπόλεως Ῥόδου, ἀγαπητὰ κατὰ κύριον τέκνα τῆς ἡμῶν μετριότητος. χάριν, εἰρήνην, ἔλεος, εὐθηνίαν τε τῶν ἀγαθῶν καὶ ψυχικὴν σωτηρίαν ἐπεύχεται ὑμῖν ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. ἡ μετριότης ἡμῶν ἀναδεξαμένη ἀπὸ θεοῦ τὴν οἰκουμενικὴν τῶν ψυχῶν προστασίαν τῶν ἁπάντων χριστιανῶν, διὰ φροντίδος εἶχε καὶ πρότερον ἐγκαταστῆσαι ἀρχιερέα καὶ ἐπὶ τῇ καθ' ὑμᾶς ταύτῃ ἁγιωτάτῃ μητροπόλει· ἐπεὶ δὲ ἀρτίως κατέλαβεν ἐνταῦθα ὁ ἀρτίως ψηφισθεὶς καὶ χειροτονηθεὶς γνήσιος ἀρχιερεὺς ἐπὶ τῇδε τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, ὑπέρτιμος καὶ ἔξαρχος τῶν Κυκλάδων νήσων, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ἀνὴρ εὐλαβὴς καὶ ἐνάρετος καὶ ἱκανὸς ψυχῶν προΐστασθαι καὶ χειραγωγεῖν αὐτὰς πρὸς τὴν σωτηρίαν λόγοις καὶ παραινέσεσι ταῖς προσηκούσαις, καὶ ἰδοὺ σὺν θεῷ ἔρχεται πρὸς ὑμᾶς. παρεγγυᾶται πᾶσιν ὑμῖν ἡ μετριότης ἡμῶν, ὡς ἂν ὑποδέξησθε τοῦτον μετὰ περιχαρείας, καὶ εὐφρανθῆτε ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ, καὶ δέχησθε καὶ σπεύδητε ἐκπληροῦν, ὅσα μέλλει λέγειν καὶ διδάσκειν ὑμᾶς ψυχωφελῆ καὶ σωτήρια, ὑπείκοντες αὐτῷ καὶ πειθαρχοῦντες, ὡς οἰκείῳ ποιμένι καὶ πατρὶ καὶ διδασκάλῳ πνευματικῷ, καὶ πάντα τρόπον ἐπαγωνιζόμενοι ἀναστρέφεσθαι καὶ πολιτεύεσθαι, ὡς ἁρμόζει χριστιανοῖς ἀνθρώποις κατὰ τοὺς θεσμοὺς τῆς ἐκκλησίας

θεοῦ, καὶ καθὼς οἱ φιλευσεβεῖς τῶν χριστιανῶν ἀπαιτοῦσι νόμοι, ἀγάπην ἔχοντες μετ' ἀλλήλων καὶ εἰρήνην, ἐλεημοσύνην καὶ μετάδοσιν πρὸς τοὺς πένητας καὶ τοὺς αἰχμαλώτους, ἐξαγορείαν πρὸς τοὺς πνευματικοὺς πατέρας, τῶν ἐκκλησιαστικῶν συνάξεων καὶ τῶν εἰς θεὸν ὑμνῳδιῶν μηδαμῶς ἀπολιμπανόμενοι ἐπὶ καθάρσει καὶ ἁγιασμῷ τῶν οἰκείων ψυχῶν, καὶ ἁπλῶς εἰπεῖν, πάσης μὲν ἀκαθαρσίας ἀπεχόμενοι, πάσης δὲ ἀγαθοεργείας ἀντεχόμενοι, ἐξ ἧς θεὸς θεραπεύεται καὶ ἀμείβεται πλουσίως τοὺς οἰκείους θεράποντας ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, τοιαύτην γὰρ καὶ ἔχοντες τὴν ἀναστροφὴν καὶ θεῷ εὐαρεσκοῦντες, κληρονόμοι γενήσεσθε καὶ τῶν αἰωνίων ἀγαθῶν, ἃ ἑτοίμασεν ὁ θεὸς τοῖς ὅλῃ προθέσει ψυχῆς αὐτὸν ἀγαπήσασιν καὶ τὰς σωτηρίους αὐτοῦ φυλάξασιν ἐντολάς, οὗ καὶ ἡ χάρις εἴη μετὰ πάντων ὑμῶν †.

† Εἴχε τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. ι' διὰ τῆς τιμίας δεσποτικῆς καὶ ἁγίας πατριαρχικῆς χειρός †.

II. † Οἱ εἰς τὴν ἐπαρχίαν καὶ ἐπικράτειαν τῶν Κυκλάδων νήσων εὑρισκόμενοι, ἱερωμένοι, ἄρχοντες, μοναχοὶ καὶ λαϊκοί, ἐν κυρίῳ ἀγαπητὰ τέκνα τῆς ἡμῶν μετριότητος. χάρις ὑμῖν εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ. οἴδατε ὡς τῆς ἁγιωτάτης μητροπόλεως Ῥόδου γνησίου ἀμοιροῦσης ἀρχιερέως, ἐρημίᾳ τοῦ κωλύοντος, παρεισήρχετο τὸ μέρος τοῦ Κρήτης ἢ καὶ ἕτερός τις, καὶ ἐνήργει χειροτονίας διακόνων καὶ ἱερέων, ἔτι δὲ καὶ καθιερώσεις ναῶν, παρὰ τὴν κανονικὴν παρατήρησιν ὡς παρ' ἐνορίαν, μὴ ἐνδόσεως οὔσης ἐπὶ τούτοις παρὰ τῆς καθ' ἡμᾶς ἱερᾶς καὶ θείας συνόδου· ἀρτίως δὲ γινώσκειν ὑμᾶς βουλόμεθα, ὡς τῇ τοῦ Χριστοῦ χάριτι ἐψηφίσθη καὶ ἐχειροτονήθη ἐπὶ τῇ ῥηθείσῃ ἁγιωτάτῃ μητροπόλει ὁ ἱερώτατος ὅδε μητροπολίτης Ῥόδου, ὑπέρτιμος καὶ ἔξαρχος τῶν Κυκλάδων νήσων, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριάτητος, ἀνὴρ συνέσει καὶ πνευματικῇ παιδείᾳ καὶ ἀρετῇ κεκοσμημένος καὶ ἱκανὸς ψυχῶν καὶ πραγμάτων προΐστασθαι καὶ χειραγωγεῖν αὐτὰς πρὸς τὴν σωτηρίαν τῷ ὑποδείγματι τοῦ θεοφιλοῦς βίου αὐτοῦ, ὅστις καὶ ἔρχεται ἰδοὺ σὺν θεῷ πρὸς ὑμᾶς· παρεγγυᾶται τοίνυν πατρικῶς πᾶσιν ὑμῖν ἡ μετριότης ἡμῶν, ὡς ἂν ὑποδέξησθε τοῦτον μετ' εὐφροσύνης κατὰ τὸ χρέος, ὅπερ

ἔχετε ἀπὸ τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν νόμων, καὶ ἀπονέμητε τούτῳ κατὰ τὴν περικειμένην αὐτῷ ἀρχιερατικὴν ἀξίαν παντοίαν αἰδῶ καὶ τιμήν, καὶ δέχησθε καὶ σπεύδητε ἐκπληροῦν, ὅσα μέλλει λέγειν καὶ διδάσκειν ὑμᾶς, ἀφορῶντα εἰς ὠφέλειαν τῶν ὑμετέρων ψυχῶν, καὶ ἐφ' οἷς ἂν δεήσῃ προβαίνειν χειροτονίας ἱερέων, διακόνων, ἀλλὰ δὴ καὶ καθιερώσεις ναῶν, τοῦτον μόνον δέχησθε ἐκτελοῦντα ταῦτα ὡς γνήσιον ἀρχιερέα ὑμῶν καὶ πατέρα πνευματικὸν καὶ διδάσκαλον, ἐπειδὴ καὶ αὗται αἱ Κυκλάδες νῆσοι ὑπὸ τὴν αὐτοῦ ἐπικράτειαν εὑρίσκονται καὶ ἐφορείαν, τοὺς δὲ ἄλλους πάντας ἀπωθῆσθε καὶ ἀποπέμπητε, ὡς μηδεμίαν μηδαμῶς ἔχοντας ἐπὶ τούτοις ἄδειαν, κατὰ τὴν τῶν αὐτῶν ἱερῶν καὶ θείων κανόνων παρακέλευσιν καὶ διάταξιν· οὐ μὴν ἀλλὰ καὶ εἴπερ πειραθεῖεν ἴσως τινὲς ἢ τῶν τοῦ μέρους τῆς Κρήτης ἢ ἕτερός τις παρεισέρχεσθαι αὐτόθι ἐνεργεῖν τι ἀρχιερατικὸν ἢ ἄλλο τι ἀπὸ τῶν ἀνωτέρω κατὰ μέρος εἰρημένων, ἐπὶ περιφρονήσει τοῦδε τοῦ ἱερωτάτου ἀρχιερέως καὶ ὑπερτίμου, ἐπεὶ ὑπὸ τὴν κανονικὴν εὐθύνην καὶ αὐστηρίαν εἰσί, καὶ ἡ μετριότης ἡμῶν σύναμα τοῖς καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ καὶ ὑπὸ βάρος ἀφορισμοῦ ἐν ἁγίῳ πνεύματι τοὺς τοιούτους ποιούμεθα, ἀλλὰ καὶ εἴπερ ἀπὸ ἑτέρας ἐκκλησίας χηρευούσης καὶ μὴ ὑποκειμένης ἑτέρῳ ἀρχιερεῖ, μηδὲ κατὰ λόγον ἐπιδόσεως δοθείσης τινί, βούλοιντό τινες χειροτονίας δέξασθαι διακόνων καὶ ἱερέων, ἔτι τε καὶ καθιερώσεις ναῶν ποιεῖσθαι, διδόαμεν ἄδειαν ἤδη καὶ ἐκχωροῦμεν τῷ αὐτῷ ἱερωτάτῳ μητροπολίτῃ Ῥόδου καὶ ὑπερτίμῳ ἐκτελεῖν καὶ ταῦτα πάντα ἀπροκριματίστως καὶ ἀκωλύτως. ἐπεὶ γοῦν κατελάβετε τὴν ἐπὶ τούτου ἡμετέραν καὶ συνοδικὴν παρακέλευσιν, ὀφείλετε εὐγνωμονεῖν καὶ ἐκ τοῦ ἀπ' ἐντεῦθεν ἀποπληροῦν, καθάπερ παρεγγυῶμεν καὶ ἐπισκήπτομεν, ἵν' οὕτω καὶ ἡ τοῦ θεοῦ χάρις διαφυλάξαι ὑμᾶς ἀβλαβεῖς καὶ ψυχῇ καὶ σώματι καὶ ἀνώτερον παντὸς ἀνιαροῦ συναντήματος †.

† Μηνὶ καὶ ἰνδ. τοῖς αὐτοῖς διὰ τῆς αὐτῆς τιμίας χειρός †.

CLXIV. (6865—1357) iunio ind. X.

Professio fidei Georgii Vaccae.

† Πιστεύω εἰς ἕνα θεὸν πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς κ. τ. λ. καὶ ὁμολογῶ . . . προσέρχομαι καὶ καθαρῶς τῇ

ἁγιωτάτῃ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ ἀποβάλλομαι πᾶσαν (αἵρεσιν) τῶν λατίνων, τὴν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος καὶ λέγουσαν· καὶ ἐκ τοῦ υἱοῦ . . . . . πιστεύω γὰρ καὶ ὁμολογῶ κατὰ τὴν ἀπόφασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ θείου συμβόλου ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι μόνου τὸ πνεῦμα τὸ ἅγιον· ἀποβάλλομαι δὲ καὶ ἀρνοῦμαι καὶ πάντα τὰ λοιπὰ ἔθιμα αὐτῶν, τά τε ἐκκλησιαστικὰ καὶ τὰ περὶ τῆς λοιπῆς αὐτῶν πολιτείας, καὶ στέργω πάντα, ὅσα καὶ φρονεῖ καὶ λέγει ἡ ἁγία τοῦ Χριστοῦ μεγάλη ἐκκλησία περὶ αὐτῶν τῆς Κωνσταντινουπόλεως, καὶ εἰμὶ καὶ ἐγὼ εἷς τῶν ὀρθοδόξων χριστιανῶν καὶ μαθητὴς τῆς ἐκκλησίας. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐποιησάμην καὶ τὴν παροῦσάν μου ὁμολογίαν, ὑπογράφας αὐτὴν οἰκειοχείρως μηνὶ ἰουνίῳ ἰνδ. δεκάτης.

ὁ ἄρχων. Manu propria

Georgios . . Vacha archo.

CLXV. (6865—1357) iunio ind. X.

Patriarcha curam patriarchalis monasterii S. Cyrici committit Dionysio, cathegumeno eiusdem monasterii.

† Ἐνταλτήριον γράμμα, γεγονὸς τῷ μοναχῷ Διονυσίῳ ἐπὶ τῇ ἐν τῇ Σωζοπόλει σεβασμίᾳ μονῇ τοῦ ἁγίου Κυρίκου †.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος καθίστησι καὶ χειροτονεῖ καὶ προχειρίζεται τὸν εὐσεβέστατον ἐν μοναχοῖς Διονύσιον, καθηγούμενον τῆς κατὰ τὴν θεόσωστον πόλιν Σωζόπολιν σεβασμίας βασιλικῆς καὶ πατριαρχικῆς μονῆς τῶν ἁγίων καὶ ἐνδόξων μεγάλων τοῦ Χριστοῦ μαρτύρων Κυρίκου καὶ Ἰουλίττης, ὃς δὴ καὶ ὀφείλει ἐπιλαβέσθαι αὐτῆς καὶ ἐπιτηρεῖν καὶ ἐπιβλέπειν τοὺς ἐν αὐτῇ εὑρισκομένους μοναχούς, φροντίζειν τε καὶ ἐπιμελεῖσθαι καὶ σπουδάζειν ὑπὲρ τῆς συστάσεως καὶ τῆς ἐπὶ τὸ κρεῖττον ἐπιδόσεώς τε καὶ αὐξήσεως τῆς τοιαύτης μονῆς καὶ πάντα ποιεῖν ἀκωλύτως ἐν αὐτῇ ὡς τῆς μονῆς ταύτης καθηγούμενος . . . ἂν βούλοιτο ἀφορῶντα εἰς τὴν αὐτῶν λυσιτέλειαν, ὀφειλόντων τῶν ἐν αὐτῇ εὑρισκομένων πάντων μοναχῶν στέργειν καὶ ὑποτάσσεσθαι καὶ ἀγαπᾶν αὐτὸν καὶ τιμᾶν καὶ τὴν προσήκουσαν καὶ ὀφειλομένην· ἀπονέμειν αὐτῷ τιμὴν καὶ αἰδῶ καὶ

εὐπείθειαν καὶ ὑπακούειν αὐτῷ, ἐφ' οἷς (ἂν ἔχοι λέγειν) πρὸς αὐτούς, ἀφορῶσιν εἰς ψυχικὴν αὐτῶν λυσιτέλειαν· εἰ δέ τις ἀντιλέγειν αὐτῷ πειραθείη καὶ ἀντιπράττειν, εὐθύνην ὑποστήσεται κανονικῶς τὴν ἀξίαν παρὰ τῆς ἡμῶν μετριότητος. καθέξει τοίνυν οὗτος τὴν προστασίαν καὶ τὴν ἀρχὴν τῆς τοιαύτης μονῆς, μετέχων καὶ τοῦ ὀνόματος καὶ τοῦ τόπου καὶ τῆς προεδρίας καὶ τῶν ἄλλων τῶν ἀνηκόντων αὐτῷ δικαίων, ἐπιμελούμενος καὶ φροντίζων, καθὼς εἴρηται, τῆς εὐκόσμου τάξεώς τε καὶ καταστάσεως τῆς μονῆς ταύτης καὶ τῆς ἐπὶ τὸ κρεῖττον ἐπιδόσεώς τε καὶ αὐξήσεως τῶν προσόντων αὐτῇ κτημάτων τε καὶ πραγμάτων καὶ λοιπῶν ἄλλων δικαίων. καὶ δι' ἀσφάλειαν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ ἰνδ. δεκάτης †.

† Προσέκειτο καὶ τοῦτο ἐν τῷ παρόντι γράμματι· ὅτι ὀφείλει δὲ οὗτος παραπέμπειν ἀνεγκρατήτως εἰς τὸ πατριαρχικὸν κελλίον τὸ σύνηθες καὶ ἀποτεταγμένον κανονικόν †.

CLXVI. (6865—1357) iunio ind. X.

Synodus metropolitae Mesembriae restituit duo castella.

† Ὁ ἱερώτατος μητροπολίτης Μεσημβρίας καὶ ὑπέρτιμος καὶ πρόεδρος Ἀγχιάλου, κατὰ πνεῦμα ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κῦρ Ἀντώνιος, συνελεύσεως κοινῆς γενομένης τῶν ἐν τῇ θεοδοξάστῳ καὶ θεομεγαλύντῳ Κωνσταντινουπόλει παρόντων ἱερωτάτων ἀρχιερέων, συνὼν αὐτοῖς καὶ αὐτὸς καὶ συνεδριάζων τῇ ἡμῶν μετριότητι, κεκίνηκεν ἐπὶ τοῦ μέσου, ὡς τῇ ὑπ' αὐτὸν ἐνορίᾳ μετὰ τῶν ἄλλων, ἅπερ αὐτῇ ὑπόκεινται, εἰσὶν ἐκ παλαιοῦ ὑποτεταγμένα καὶ τὰ περὶ τὴν Μεσημβρίαν δύο καστέλλια, ὧν τὸ μὲν ἓν Κοζέακον ὀνομάζουσιν ἐγχωρίως, τὸ δὲ ἕτερον Ἔμμονα, ὅτι δὲ ὑπὸ τὴν δεσποτείαν τελοῦσι τοῦ εὐτυχεστάτου δεσπότου τοῦ Τομπροτίτζα, τυγχάνουσι καὶ ἀρχιερατικῆς ἐπισκέψεως παρὰ τοῦ Βάρνης τό γε νῦν ἔχον, καὶ ἐζήτησεν ἐπαναλαβεῖν αὐτὰ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ ἀρχῆθεν διαφέροντα. ἡ γοῦν μετριότης ἡμῶν, διασκεψαμένη κοινῇ σύναμα τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Ἐφέσου, τῷ Ἡρακλείας, τῷ Βρύσεως καὶ τὸν τόπον ἐπέχοντι τοῦ Κυζίκου, τῷ Σίδης, τῷ Ἀδριανουπόλεως, τῷ Σωζοπόλεως καὶ τὸν τόπον ἐπέχοντι τοῦ

Ῥόδου, συνδιασκεφαμένη γοῦν περὶ τούτου, ἐπείπερ καὶ παρ' ἄλλων ἔμαθεν οὕτως ἔχειν, ἀλλὰ δὴ καὶ παρ' αὐτοῦ τοῦ ἱερωτάτου μητροπολίτου Βάρνης, παρόντος καὶ αὐτοῦ καὶ τοῦτο συνομολογήσαντος, διέγνω καὶ ἀπεφήνατο κατὰ κοινὴν ὁμογνωμοσύνην, προσεῖναι ταῦτα τῇ τῆς Μεσημβρίας μητροπόλει κατὰ τὴν ἀρχαίαν κατάστασιν, ὡς ἐνοριακὰ αὐτῆς δίκαια καὶ ἐντεῦθεν αὐτῇ διαφέροντα. καθέξει τοίνυν καὶ ταῦτα ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης Μεσημβρίας, καὶ πάντα τὰ ἀρχιερατικὰ καὶ ἐν αὐτοῖς διαπράξεται, μηδενὸς τῶν ἐν αὐτοῖς ἀνθισταμένου καὶ ἀντιπίπτοντος, καὶ τὰ ἐν αὐτοῖς ἀκωλύτως ἀποίσεται πάντα ἑαυτοῦ δίκαια. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται αὐτῷ καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας καὶ θείας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ ἰνδ. δεκάτης †.

CLXVII. (6866—1357) decembri ind. XI.

Patriarcha iterum monet visitatores, ut clerum moderentur, et clericos, ut dignitati suae convenienter vivant.

I. † Τοὺς τὴν καθολικὴν τῶν ψυχῶν προστασίαν καὶ ποιμανσίαν πεπιστευμένους κ. τ. λ. vide CXXXV. I. pag. 306—308.

Ἐπεὶ δὲ οὐκ οἶδ' ὅπως, φθόνῳ τοῦ πονηροῦ δαίμονος, μὴ συντηρηθέντες εἰς ἅπερ ἡμεῖς καὶ πρότερον διαφόρως εἰσηγησάμεθα, ἐξετράπητε, οἵτινες δὴ καὶ ἐξετράπητε, χείρονα τῶν προτέρων ἐκείνων πεποιηκότες, ὡς μήτε θεὸν φοβούμενοι, μήτε ἀνθρώπους αἰσχυνόμενοι, ἐβουλόμην ἄν, καθάπερ ὁ τοῦ δικαίου δίδωσι λόγος, τοὺς τοιούτους ἀπογυμνῶσαι τοῦ τῆς ἱερωσύνης σεμνώματος, ἐπειδὴ καὶ κατὰ τὴν τοῦ θείου νόμου διάταξιν ὁ μετὰ τὴν πρώτην καὶ δευτέραν καὶ τρίτην παραίνεσιν καὶ ἐπιφώνησιν περιφρονῶν τε καὶ κατολιγωρῶν ἰσχυρῶς εἰς δικαστήριον παραδίδοται, ἢ πάλιν, ὡς τὸ τοῦ Χριστοῦ ἐντέλλεται θέσπισμα, ὡς ἐθνικοὺς καὶ τελώνας τοὺς τοιούτους ἔχειν τε καὶ νομίζειν, φιλανθρωπίᾳ δὲ ὅμως χρησαμένη ἡ μετριότης ἡμῶν, οὐ μόνον τὴν πρώτην καὶ δευτέραν καὶ πρίτην εἰσήγησιν, ἀλλὰ καὶ τετάρτην ποιεῖται τὴν σήμερον, ἤδη καὶ τελευταίαν, ὁ δέ γε βουλόμενος ἱεράσθαι θεῷ, ἔγγραφον, ὡς εἴθισται καὶ νενόμισται ἱερεῦσιν, ὀφείλει δοῦναι ἀσφάλειαν, ὥστε, εἴπερ τὸ ἀπὸ τοῦδε εἰς τὸ ἑξῆς φωραθείη τοῖς

αὐτοῖς περιπίπτων καὶ ἁλισκόμενος ἀτοπήμασι καὶ ἀπηγορευμένοις ἔργοις, ὡς εἴρηται, ἀπαλλοτριοῦσθαι παντελῶς τῆς ἱερωσύνης ἀσυμπαθῶς, καὶ μήτε παρὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μήτε παρὰ ἀρχιερέως, μήτε δὲ διά τινος τῶν πνευματικῶν ἀνδρῶν μεσιτείας ὅλως ἐπιτυχεῖν, οὐ μὴν ἀλλὰ καὶ εἴ τις τῶν κατὰ τὴν θεοδόξαστον ταύτην Κωνσταντινούπολιν ἀποτεταγμένων ἐξάρχων κατὰ τὸν ἀναγεγραμμένον τρόπον, γινώσκων τινὰς τῶν ἱερέων ὑπὸ τὴν ἐνορίαν αὐτοῦ περιφρονητὰς καὶ κατεγνωσμένως βιοῦντας, θελήσει ἢ διὰ φιλίαν ἢ διὰ συγγένειαν ἢ καθ' οἱονδήτινα τρόπον ἕτερον παρυποκρύπτειν καὶ συγκαλύπτειν αὐτοὺς καὶ μὴ διαρρήδην ἀναφέρειν τῇ ἡμῶν μετριότητι, ὁ τοιοῦτος καὶ μείζονα τὴν κανονικὴν εὐθύνην καὶ κατάκρισιν ὑποστήσεται, οὐ μόνον περὶ τὴν ἱερωσύνην αὐτοῦ, ἀλλὰ καὶ περὶ τὴν ἀνατεθειμένην τούτῳ ἐξαρχικὴν ὑπηρεσίαν καὶ ἐνοχήν. διὰ γὰρ τοῦτο καὶ ἡ παροῦσα γραφὴ τῆς ἡμῶν μετριότητος, ἀπολυθεῖσα κατὰ μῆνα δεκέμβριον τοῦ ,ς ω ξ ς' ἔτους, κατεστρώθη ἐν τοῖς ἱεροῖς κωδικίοις διὰ τὴν εἰς τὸ ἑξῆς εὔδησιν καὶ ἀσφάλειαν †.

† Στέργομεν καὶ ἐμμένομεν ἅπαντες ἐξ ὅλης ψυχῆς καὶ διανοίας εἰς ὅσον παραινεῖ πρὸς ἡμᾶς ὁ παναγιώτατος ἡμῶν δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης διὰ τῆς παρούσης, καὶ ὑπισχνοῦμεθα φυλάττειν ταῦτα ἀπαρεγχείρητα, εἰ δ' οὖν, ἵνα ὦμεν γεγυμνωμένοι πάσης ἱερωσύνης †. † Ὁ διδάσκαλος τοῦ εὐαγγελίου καὶ ἔξαρχος πρεσβύτερος Μανουὴλ ὁ . . . †. † Ὁ ἔκδικος τῶν κρίσεων τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας, ἔξαρχος καὶ ταβουλλάριος Μιχαὴλ ὁ Βαλσαμὼν τὰ ὁρισθέντα καὶ τυπωθέντα στέργων ὑπέγραψα †. † Ὁ ἔκδικος τῶν κρίσεων Μιχαὴλ ὁ Τεμενὸς καὶ ἔξαρχος τὰ ῥηθέντα καὶ ἀποφανθέντα στέργων ὑπέγραψα †. † Ὁ ἔκδικος καὶ κατηχητὴς τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ ἔξαρχος Νικόλαος ὁ Πηγηνὸς τὰ ὁρισθέντα στέργων ὑπέγραψα †. † Ὁ ἔκδικος καὶ κατηχητὴς τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἔξαρχος καὶ ταβουλλάριος Ἰωάννης ὁ Πελιώτης τὰ ῥηθέντα καὶ ἀποφανθέντα στέργων ὑπέγραψα †. † Ὁ ἔκδικος καὶ κατηχητὴς τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἔξαρχος καὶ ταβουλλάριος Μιχαὴλ ὁ Κουταριώτης τὰ ῥηθέντα καὶ ἀποφανθέντα στέργων ὑπέγραψα †. † Ὁ ἀπὸ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου τῶν Βλαχερνῶν οἰκονόμος, ταβουλ-

λάριος καὶ ἔξαρχος ὁ Πατριώτης τὰ ῥηθέντα καὶ ἀποφανθέντα στέργων ὑπέγραφα †. † Ὁ εὐτελὴς ἱερεύς, ἔξαρχος καὶ ταβουλλάριος Γεώργιος ὁ Κομιανὸς τὰ ῥηθέντα καὶ ἀποφανθέντα στέργων ὑπέγραφα †. † Ὁ ἔκδικος καὶ κατηχητὴς τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ταβουλλάριος καὶ ἔξαρχος Θεόδωρος ὁ Ἀποστόλης τὰ κυρωθέντα καὶ ἀποφανθέντα στέργων ὑπέγραφα †. † Ὁ ἔκδικος, ἔξαρχος καὶ ταβουλλάριος Ἰωάννης ὁ Ἀθυάτης τὰ κυρωθέντα καὶ ἀποφανθέντα στέργων ὑπέγραφα †. Σιμεὼν ὁ Μελιδόνης. Τιμόθεος ὁ Τζουρινός. Μανουὴλ ὁ Πολίτης. Μανουὴλ ὁ Κληρονόμος. Θεοφίλαχτος ὁ Σφοδρός. Γρηγόριος ὁ Πολίτης. Μανουὴλ ὁ Πεπαγόμενος. Κωνσταντῖνος ὁ Τριαντάκαλλος. Γεώργιος ὁ Μελήγαλας. Γεώργιος ὁ Βασιλικός. Στυλιανὸς ὁ Καλλωνᾶς. Θεόδωρος ὁ Ἀλιάτης. Φίλιππος ὁ Βρανᾶς. Γεώργιος ὁ Ξυφίας. Θωμᾶς ὁ Βαγυμαντάς. Ἰωάννης ὁ Σωλομάν. Θεόδωρος ὁ Καβαλλαρόπουλος. Μιχαὴλ ὁ Μελιτᾶς. Ἀνδρόνικος ὁ Ἀπληχαράς. Νικήτας ὁ Ἀργυρός. Δανιὴλ ὁ Τζυράκης. Γρηγόριος ὁ Παζίκης. Ἰωάννης ὁ Σταμάτης. Ἰωάννης ὁ Ἁγιοθεοδορήτης. Νικόλαος ὁ Καραᾶς. Γεώργιος ὁ Πυρός. Δημήτριος ὁ Μεσπιλούδης. Κονσταντίνος ὁ Βαλάς. Γεώργιος ὁ Εὐδοκιανός. Γεώργιος ὁ Γουρής. Μανουὴλ Χαρσιανίτης ὁ Βούλλης. Μιχαὴλ ὁ Λαδικυνός. Μιχαὴλ διάκονος ὁ Χωματιανὸς καὶ ζωγράφος. Ἀβράμιος ὁ Πυρρός. Κωνσταντῖνος ὁ Μελλίτης †.

II. † Ἐπεὶ δ' οὐκ οἶδ' ὅπως φθόνῳ τοῦ πονηροῦ δαίμονος κ. τ. λ. vide CLXVII. I. pag. 368. *) Δημήτριος ὁ Στυππιώτης. Γεώργιος ὁ Ἀγάλων. Ἰωάννης ὁ Πιμπανώρης. Θεόδωρος ὁ Γαβράς. Γεώργιος ὁ Δαμιανός. Κύρικος ὁ Παδιάτης. Θεόδορος ὁ Γαρέλοιος. Ἰωάννης ὁ Μερκοῦρης καὶ προδρομηνός. Ἀνδρέας ὁ Ῥῶσος. Ἰωάννης ὁ Ῥῶσος. Γεώργιος ὁ Σαραντινός. Θεόδορος ὁ Τζήντρον. Γεόργιος ὁ Ἀβράμηος. Μανουὴλ ὁ Καλούδας. Εὐθύμιος ὁ Μακρόπιος. Ἰωάννης ὁ Καμπαγνίτης. Θεόδωρος ὁ Μάγιστρος. Γεώργιος ὁ Πεπλεγμένος. Ἰωάννης ὁ Ἀρχιστρατηγήτης. Γεώργιος ὁ Γαριάνος. Ἰωάννης ὁ Πηγηνός. Θεόδωρος ὁ Ζικανός. Μανουὴλ ὁ Νικανός. Γεώργιος ὁ Ἰβαδάρεος. Κωνσταντῖνος ὁ Κα-

*) Sexies adhuc in codice; sed omisimus, subscriptiones solummodo consignantes.

μίτζης. Μιχαὴλ ὁ Παδιάτης. Ἰωάννης ὁ Ἁλυάτης. Κωνσταντῖνος ὁ Τζουρινός. Γεώργιος ὁ Πηγηνός. ὁ Καλοκύρης. Μιχαὴλ ὁ Μαρλωνᾶς. ὁ Καλοϊδῦς. Ἰωάννης ὁ Βρανᾶς. Θεόδωρος ὁ Καλορηνός. Μανουὴλ ὁ Καθαρός. Μανουὴλ ὁ Χαμιλός. Νικήτας ὁ Κεντρινός. Γεώργιος ὁ Προβατάρης. Θεόδορος ὁ Βρανᾶς. Ἰωάννης ὁ Πετρινός. Θεόδωρος ὁ Δοκειανός. Μιχαὴλ ὁ Περδικάρας. Γεώργιος ὁ Δοκειανός. Θεόδωρος ὁ Χαρσιανίτης. Γεώργιος ὁ Σιδηράς. Ἰωάννὴς ὁ Κηριακός. Μανουὴλ Καλοειδάς. Ἰωάννης ὁ Καλειπρινός. Θεόδωρος ὁ Βομανός. Κωνσταντῖνος ὁ Χαρσιώτης. ὁ πρωτοπαπᾶς τοῦ κλήρου τῶν Βλαχερνῶν Μανουὴλ ὁ Μονομάχος. ταβουλλάριος ὁ Χρυσοβέργης. Γεώργιος Γανός. Μιχαὴλ ὁ Προπολ . . . Γεώργιος ὁ Γλυκής. Νικόλαος ὁ Κυζηκοινός. Νικήτας ὁ Τζηράκις. Ἰωάννης Μάζαρης. Θεόδωρος ὁ Δοκειανός. Γεώργιος ὁ Δοκειανός. Μιχαὴλ ὁ Σγουρόπουλος. Γεώργιος ὁ Χαλαμᾶ. Ἰωάννης ὁ Σιροποῦλος. Θεοδώσιος ὁ Σταυράκεις. Μανουὴλ ὁ Πιδηνός. Γεώργιος ὁ Πετρινός. Ἰωάννης ὁ Ῥιάλλης. Ἰωάννης ὁ Κήναμος. Θεόδωρος ὁ Θαλάσσευς. Μανουὴλ ὁ Περαίνης. Γεώργιος ὁ Ῥεντακηνός. Νικόλαος ὁ Κασταμονίτης. Μιχαὴλ ὁ Πασιδᾶς. Κωνσταντῖνος ὁ Καθάρος. Μιχαὴλ ὁ Πετρινός. Κωνσταντῖνος ὁ Κουκουλᾶς. Γεώργιος ὁ Ἡλιοκαλήτης. Ἰωάννης ὁ Ἁγιοκλασίτης. Θεόδωρος ὁ Πλουμίτης. Μιχαὴλ ὁ Χρυσοβέργας. Μιχαὴλ ὁ Καλομίοιδος. Μανουὴλ ὁ Ἀσπρόπουλος. Μιχαὴλ ὁ Χαμέας. Μιχαὴλ ὁ Κυδωνήτης. Ἰωάννης ὁ Βαριμίντας. Θεόδωρος ὁ Ζυγανός. Ἰωάννης ὁ Καλαμάτης. Γεώργιος ὁ Παπύρας. Μανουὴλ ὁ Κουσταριώτης. Λέων ὁ Συρόπουλος. Μιχαὴλ ὁ Ἀλουσιανός. Θεόδωρος ὁ Σταυρῆς. Γεώργιος ὁ Χλόρος. Ἰωάννης ὁ Λινοζόος. Ἰωάννης ὁ Στασινός. Ἀλέξηος ὁ Γαλατηνῆς. Μανουὴλ ὁ Χιρίας. Ἰωαννιτζάνης. Κωνσταντῖνος ὁ Αἰμηλιανός. Ἰωάννης ὁ Καθαρός. ὁ ἔξαρχος καὶ ταβουλλάριος Γεώργιος ὁ Κομιανός. Ἰωάννης ὁ Ῥόδιος. Κωνσταντῖνος ὁ Ῥαδαρίτης. Ἰωάννης ὁ Ἀργυρόπουλος. Σταματῖνος ὁ Χρυσάφης. Μιχαὴλ ὁ Βαρζάνης. Θεόδωρος ὁ Μεροῦλας. Νικόλαος ὁ Βενιαμήν. Κωνσταντῖνος ὁ Καλ . . . . . Μανουὴλ ὁ Γαρέλης. Μανουὴλ ὁ Κυδονός. Θεόδωρος ὁ Κήναμος. Ἰωάννης ὁ Ξανθόπουλος. Γεώργιος ὁ Τριαντάρης. Θεόδωρος ὁ Θερηανός. Μιχαὴλ ὁ Ἀτζηκουμινώς. Γεώργιος ὁ Μαυρολέων. Νηκήτας ὁ Μωσχηαδείτης. Ἰωάννης ὁ Τριαντάφυλλος. Μιχαὴλ ὁ Πεπλεγμένος. Κωνσταντῖνος ὁ Κουλάτζης. Ἰωάννης ὁ Μανικαίτις. Μιχαὴλ ὁ Γαβράς. Ἰωάννης ὁ Σφεντζάκης. Ἰωάννης ὁ

Πεπλεγμένος. Θεόδωρος ὁ Καμαρινός. Νικόλαος ὁ Λακαιράς. Νικόλαος ὁ Μοδηνός. Κωνσταντῖνος ὁ Κασιανός. Ἰωάννης ὁ Βρανᾶς. Μανουὴλ ὁ Τζαχύλης. Ἰωάννης ὁ Γραμματάς. ὁ ἔκδικος καὶ κατηχητής, ταβουλλάριος καὶ ἔξαρχος Κουταριώτης. Μιχαὴλ ὁ Λουππ . . . . Μανουὴλ ὁ Παζύκης. Μιχαὴλ ὁ Ἀκύνδυνος. Θεοφίλακτος ὁ Ῥεκόας. Δημήτριος ὁ Καυκαλᾶς. Θεοφύλακτος ὁ Μονενός. Γεώργιος ὁ Ἀπονικολαΐτης. Γεώργιος ὁ Κολυτιένης. Κωνσταντῖνος ὁ Πεγανούτης. Μιχαὴλ ὁ Παραδεισιώτης. Ἰωάννης ὁ Κανίσκης. Θεόδωρος ὁ Κατακαλῶς. Ἰωάννης ὁ Τζακανόπουλος. Ἰωάννης ὁ Μαρούλης. Μανουὴλ ὁ Χρυσοβέργης. Μανουὴλ ὁ Θωμασιανός. Ἰωάννης ὁ Ῥιζηνός. Γεώργιος ὁ Ποτάμις. Ἰωάννης ὁ Πλουσηαδινός. Ἰωάννης ὁ Βλεμᾶς. Θεόδωρος ὁ Καλοχορινός. Ἰωάννης ὁ Φραγγόπουλος. Γεώργιος ὁ Ταλκίστης. Θεόδωρος ὁ Βοτανειάτης. Μανουὴλ ὁ Ἀμπάρατος. Γεώργιος ὁ Ἀδᾶμ. Μανουὴλ ὁ Καλοχερετῆς. Θεόδωρος ὁ Στυππιώτης. Θεοδόσιος ἱερομόναχος ὁ Σιναΐτης. Κωνσταντῖνος ὁ Μουσεινιώτης. Μανουὴλ ὁ Κουρουπῆς. Κωνσταντῖνος ὁ Συναδηνός. Γεώργιος ὁ Μουστρομηνός. Ἰωάννης ὁ Τζυποκέχρης. Παῦλος ὁ Θυνιάτης. Θεόδωρος ὁ Στρεγανός. Μανουὴλ ὁ Πετριώτης. Ἰωάννης ὁ Παδανίτης. Ἀθανάσιος ὁ Ἀσκίτζης. Ἰωάννης ὁ Δουκίτζης. Ἰωσὴφ ἱερομόναχος ὁ εἰς τὸν ἅγιον Στέφανον. Γεώργιος ὁ Οὐρανιώτης. Θεόδωρος ὁ Χαρσιανείτης.

Ἡ ἐξαρχία τοῦ ἀποστολικοῦ πρεσβυτέρου, ἐκδίκου καὶ ἐξάρχου. Ὁ ἔκδικος καὶ κατηχητὴς, ταβουλλάριος καὶ ἔξαρχος Θεόδωρος ὁ Ἀποστόλης. Ἰωάννης ὁ Πλούμης. Θεόδωρος ὁ Κωνστομόρης. Μανουὴλ ὁ Ζάλων. Ἰωάννης ὁ Μελαχρινός. Θεόδωρος ὁ Σφαγίτζης. ὁ ἔκδικος καὶ κατηχητὴς καὶ ταβουλλάριος Ἰωάννης ὁ Πουγκής. Νικόλαος ὁ Κληδᾶς. Γεώργιος ὁ Μερκούρης. Ἰωάννης ὁ Ἀκίνδυνος. ὁ πρωτονοτάριος Ἡρακλείας Δημήτριος ὁ Γαραγείτης. ὁ ἀπὸ τοῦ μακροῦ τῆς ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας πρεσβυτέρου καὶ ταβουλλαρίου ὁ Χριστόδουλος. Ἰωάννης ὁ Παραπολίτης. Νικόλαος ὁ Πετρίνης. Ἰωάννης ὁ Γαστρώντης. Γεώργιος τοῦ Σωτῆρος. Γεώργιος ὁ Ἀμπελιώτης. Ἰωάννης ὁ Βαρηγκαντᾶς. Κωνσταντῖνος ὁ Ὀγαρρᾶς. Ἰωάννης ὁ Χαρισκάρης. Μιχαὴλ ὁ Παντεύγενος. Νικόλαος ὁ Ῥαδηνός. Ἰωάννης ὁ Λαμπηνός. Δημήτριος τοῦ Σύρου. Θεόδωρος ὁ Καθαρός. Μιχαὴλ ὁ Πανηδιῶτης. Τρύφων Ἀβέρκιος. Γεώργιος ὁ Πατζαλᾶς. Λέων ὁ Ἀσκουνός. Φίλιππος ὁ Μορυτρῶν. Ἀνδρέας ὁ Κινεᾶς. Θεόδωρος ὁ Χειλάς.

Νικόλαος ὁ Μαλεσηνός. Θεοφύλακτος ὁ Ἀργυρόπουλος. Ἰωάννης Συμαρᾶς ὁ Ἁγιογεωργίτης. Ἰωάννης ὁ Καλλιλέων. Γεώργιος ὁ Σισίνιος. Μανουὴλ ὁ Ἁγιοβαρβάτας. Ἰωάννης ὁ Σαραντινός. Κωνσταντήνος ὁ Λαμπινώς. ὁ ἔκδικος καὶ κατηχητὴς ὁ Ζυγανός. Κωνσταντῖνος ὁ Βαλσάμωνος. Μιχαὴλ ὁ Σγούρος. Βασίλειος ὁ Καλοειδής. Ὁ ἔκδικος καὶ κατηχητὴς, ἔξαρχος καὶ ταβουλλάριος Ἰωάννης ὁ Πελειώτης. Ἰωάννης ὁ Θεολογίτης. Μανουὴλ ὁ Σηναδηνός. Ἰωάννης ὁ τοῦ Διακόνου. Γεώργιος ὁ Πανορμηνός. Ἀνδρόνικος ὁ Καλοείδης. Κωνσταντῖνος ὁ Μόσχος. Κωνσταντῖνος ὁ Ἀλουπειτῆς. Νικόλαος ὁ Γαλινός. Θεόδωρος ὁ Ῥεντός. Μανουὴλ ὁ Καλοειδής. Γεώργιος ὁ Χρισός. Μανουὴλ ὁ Νικηφορίτις. Νικόλαος ὁ Καλογινός. Ἀνδρέας ὁ Λαμπηνός. Ἰωάννης ὁ Μαυρόπουλος. Γεώργιος ὁ Συναδινός. ὁ Σπαρτηνός. Θεόδωρος ὁ Ἰαλέας. Νικόλαος ὁ Καθαρός. Κωνσταντῖνος ὁ Παναγιώτης. Δημήτριος τοῦ Κηπουροῦ. Μιχαὴλ ὁ ἀπὸ τοῦ Οἰκονόμου. Γεώργιος ὁ Μαρινός. Κωνσταντείνος ὁ Μυρσεινηότεις. Θεόδορος ὁ Κουνουπής. Κωνσταντῖνος ὁ Κήνηγος. Νικόλαος ὁ Σηδεράς. Μιχαὴλ ὁ Γεμηστής. Νικόλαος ὁ Μανικαΐτης. Γεόργηος ὁ Φύλης. Νικόλαος Ἁμαρτωλός. Μιχαὴλ ὁ τοῦ Δειακονοῦ. Ἀνδρόνικος ὁ Πατρικολεοντίτης †.

† Ὁ εὐτελὴς ἱερεὺς Κωνσταντίνος ὁ Στρογγύλος τὰ ἀποφανθέντα καὶ ὅσα διαλαμβάνει τὸ παρὸν ἱερὸν κοδίκοιον διὰ διαφόρων εἰσιγήσεων τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, στέργων καὶ ὑπισχνούμενος φυλάττειν ἀπαρεγχείριτα, ὁμοίως δὲ ὑπησχνούμενος παντὶ τρόπῳ ἐκφεύγειν ἀπὸ τῶν ἀνοίβων συνοικαίσεων, μηδὲ συγκροτεῖν ὅλως εἰς ταῦτα, μηδὲ ποιεῖν ἱερολογίας εἰς ἄνηβα ἄνευ τῆς συνήθως διδομένης βούλης ὁρισμῷ τῆς ἐκκλησίας, ὑπογράφω δι' ἀσφάλειαν. ὁσαύτως ὀφείλω φυλάττειν καὶ ὁμολογεῖν πρὸς τὸν παναγιώτατον ἡμῶν αὐθέντην καὶ δεσπότην τὸν οἰκουμενικὸν πατριάρχην καὶ τὰ κατάλοιμπα νόμια παρὰ τῶν διατιθεμένων φιλοχρήστων λεγάτα πρὸς τὴν μεγάλην τοῦ θεοῦ ἁγίαν ἐκκλησίαν †. † ὁ εὐτελὴς ἱερεὺς Κωνσταντίνος ὁ Στρογγύλος τὰ ἄνω γεγραμμένα στέργων ὑπέγραφα †.

Πορφύριος ὁ Κυριακόπουλος. Ἰωάννης ὁ Ποταμυνός. Στυληανὸς ὁ Κλειδαγ . . . Γεόργιος ὁ Κάληστος. Θεόδωρος Λιθρηνός.

† Ἐπεὶ δὲ οὐκ οἶδ' ὅπως φθόνῳ τοῦ πονηροῦ δαίμονος κ. τ. λ. vide CLXVII. I. pag. 368.

† Ὁ ἔκδικος τῶν κρίσεων τῆς ἱερωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας, ἔξαρχος καὶ ταβουλλάριος Μιχαὴλ ὁ Βαλσαμὼν τὰ ὁρισθέντα καθάπαξ καὶ ἀρτίως τυπωθέντα καὶ κυρωθέντα στέργων ὑπέγραφα †. † Ὁ ῥεφερενδάριος τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ ταβουλλάριος, Μιχαὴλ ὁ Πανάρετος τὸν ὁρισμὸν τοῦ παναγιωτάτου δεσπότου ἡμῶν, αὐθέντου καὶ οἰκουμενικοῦ πατριάρχου, στέργων ἐκ μέσης μου τῆς ψυχῆς ὑπέγραφα †. Ὁ εὐτελὴς ἱερεὺς Θεόδωρος ὁ Καλονίκης. Ἰωάννης ὁ Κανίδης. Ἰωάννης ὁ Καρύκης. Ἰωάννης ὁ Χιωνάς. Κονσταντῖνος ὁ Σιναδινός. Ἰωάννης ὁ Χαβρῶν. Ἰωάννης ὁ Ἁγιονικολάτης. Ἰωάννης ὁ Λιβινός. Νικήτας ὁ Νικανός. Ἰωάννης ὁ Μελιτάς. Μανουὴλ ὁ Προπαλάς. Στηλιανὸς ὁ Παζίκης. Γεώργιος ὁ Ἀβασγῶς. Γεώργιος ὁ Πεταυράς. Μανουὴλ ὁ Ῥαβουλάς. Στυλιανὸς ὁ Προπαλάς. Νεικήτας ὁ Ζηγαλός. Μανουὴλ ὁ Ἀπελάς. Φίλιππος ὁ Ζηγανός. Στέφανος ὁ Βρανᾶς. Μιχαὴλ ὁ Μελισαλάς. Ἰωάννης ὁ Ἁγιοβλασίτης. Μανουὴλ ὁ Κηνός. Γεώργιος ὁ Κλυδωνίτης. Ἀνδρέας ὁ Σγουρόπουλος. ὁ σακελλίου Γάνους Θεόδωρος. Κωνσταντίνος ὁ Καζαχαρόπουλος. Γρηγόριος ὁ Ἁγιοαναστασίτης. Ὁ πρωτοπαπᾶς Μυριοφύτου Ἰωάννης ὁ Χωρινός. Μιχαὴλ ὁ Πηγηνός. Ὁ Πεματικὸς καλούμενος. Μανουὴλ ὁ Τριακοντάφηλος. Μανουὴλ τοῦ Γοιροκόμου. Μιχαὴλ ὁ Πανταλεόν. Κοστατύνος ὁ Ζανάς. Μανουὴλ ὁ Γλύκυς. Κωνσταντῖνος ὁ Παναγιώτης. Κωνσταντῖνος ὁ Πόρφυρος. Γεώργιος ὁ Χαλκίτης. Γεώργιος ὁ Μαγουζοῦς. Ἀνδρέας τοῦ Χαρηορήτου. Ὁ ἀπὸ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου τῶν ἐνδόξων καὶ πανευφήμων ἀποστόλων Ἰωάννης ἱερεὺς καὶ ταβουλλάριος ὁ Σταρᾶς. Μιχαὴλ ὁ Πεπαγωμένος. Ἀνδρέας ὁ Λακαιράς. Γεώργιος ὁ Σιναδηνός. Ὁ εὐτελὴς ἱερεὺς καὶ δευτερεύων τῶν Βλαχερνῶν Μιχαὴλ ὁ Καραβιδάς. Ἀνδρόνικος ὁ Βασιλικός. Ὁ εὐτελὴς ἱερεὺς καὶ σακελλάριος τῆς ἁγιωτάτης ἐπισκοπῆς Τζερ . . . Μιχαὴλ ὁ Μέτος. Μιχαὴλ ὁ Κουρτεσάς. Γεώργιος ὁ Ζησβασιλώδης. Νηκήτας τῆς Στρατηοτήνας. Γεώργιος ὁ Εὐμορφωγένης. Μιχαὴλ ὁ Δινιάτης. Ἰωάννης ὁ Ἀσπανδούνης. Θεόδωρος ὁ Ἀμηρασάν. Ἰωάννης ὁ Καλόθετος. Θεόδωρος ὁ Φακράσης. Ἰωάννης ὁ Τζαμᾶς. Ἀνδρόνικος ὁ Κρυονερήτης. Γεώργιος ὁ Καβαλαρούπουλος. Γεώργιος ὁ Λεοντοταρίτης. Γεώργιος ὁ Γερίτης. Γεώργιος ὁ Βρουλανός †.

Ἐπεὶ δ' οὐκ οἶδ' ὅπως φθόνῳ τοῦ πονηροῦ δαίμονος κ. τ. λ. vide CLXVII. I. pag. 368.

† Ὁ ἔκδικος τῶν κρίσεων τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ ἔξαρχος Μιχαὴλ ὁ Τεμενὸς τὰ ὁρισθέντα καὶ ἀποφανθέντα στέργων ὑπέγραψα †.

Γεώργιος ὁ Ἀγατουρίτης. Ἰάκωβος ὁ Καραβιδάτος. Γεόργιος ὁ Παναγιώτης. Μανουὴλ ὁ Καλοηδάς. Ἰωάννης ὁ Παλαιομερίτης. Νικόλαος ὁ Συναδηνός. Μανουὴλ ὁ Ζαραντῆς. Ἰωάννης ὁ Καπιστρᾶς. Μανουὴλ ὁ Γεροδύακος. Λέων ὁ Τζαβλῆς. Γεόργιος ὁ Παραλιμνειότης. Μανουὴλ ὁ Γανήτης. Θεόδωρος ὁ Ἁγιοστρατηγήτοις. Μανουὴλ ὁ Ἄργηρος. Θεόδωρος ὁ Παγκράτης. Ὁ ἔκδικος τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας Ἰωάννης ὁ Σορός. Κονσταντίνος ὁ Παναγιώτης. Μανουὴλ ὁ Συναδηνός. Ἰωάννης ὁ Σερυωτᾶς. Ἰωάννης ὁ Λεοταρίτης. Κωνσταντῖνος ὁ Γολιάθ. Μανουὴλ ὁ Σοφός. Θωμᾶς ὁ Παράδεισος. Θεόδορος ὁ Κούμανος. Λέων ὁ Κουταριώτης. Μιχαὴλ ὁ Κανδίμονος. Νικόλαος ὁ Παραδεισιώτης. Ἰωάννης ὁ Παράδεισος. Θεόδωρος ὁ Ἁγιοαθανασίτης. Λέων ὁ Ὁδηγοτριάτης. Μανουὴλ ὁ Καπηλήτζης. Μανουὴλ ὁ Χαλκομώδης. Γεώργιος ὁ Χανδρινός. Μανουὴλ ὁ Καβαλλαρόπουλος. Ἀνδρέας ὁ Νομηκόπουλος. Μανουὴλ ὁ Καρβαλυνός. Γεόργιος ὁ Θεοχαίρετος. Θεόδωρος ὁ Πλωμές. Στέφανος ὁ Μελιτάς. Μανουὴλ ὁ Χολοήδης. Μιχαὴλ ὁ Ἀδινιάτης. Κωνσταντήνος ὁ Θεολογήτης. Κωνσταντῖνος ὁ Δραξής. Κωνσταντῖνος ὁ Κρηονερίτης. Γεώργιος ὁ Σγουρόπουλος. Μανουὴλ ὁ Τριχάς. Γεόργιος ὁ Φοιλοποδοίτοις. Θεόδωρος ὁ Ἰανιτζόπουλος. Θεόδωρος ὁ Χαρπάνης. Πέτρος ὁ Κουρουνάκης. Ἰωάννης ὁ Καλούνης. Νικείτας ὁ Φαγίτζης. Μανουὴλ ὁ Τριακοντάφυλος. Ἰωάννης ὁ Φουδούλης. Γεώργιος ὁ Βουτερᾶς. Ἰωάννης ὁ Νερκούρης. Ἰωάννης ὁ Βουκαιλάτος. Γεώργιος τοῦ Βλάχου. Κωνσταντῖνος ὁ Ἰσαάκιος. Ἰωάννης ὁ Ἀδηνιάτης. Λέων ὁ Δισύπατος †.

CLXVIII. Sine anno.

Callistus dirimit controversiam ortam inter monachos monasterii Iberorum in Atho.

† Ἕν τι καὶ τοῦτο τῶν ἐννομωτάτων τε καὶ δικαιοτάτων, φαίη ἂν ἅπας ὅστις οὖν ὀρθὰς τοῖς πράγμασιν ἐξενηνοχέναι τὰς ψήφους εἰδὼς, ὥστε τοὺς τὸν μονήρη βίον ἐπανηρημένους καὶ θεῷ προσανέχοντας καὶ κόσμον ἠρνημένους καὶ κοσμότητα ἐν γαλήνῃ διάγειν, τῶν λογισμῶν πάντα θόρυβον καὶ τύρβην ματαίαν καθάπαξ ἀπαναινομένους,

καὶ τὴν ἀγάπην καὶ ὁμόνοιαν ὡς ἄμαχον ὅπλον κατὰ τοῦ ἐχθροῦ παραφέροντας, συνδεῖσθαι μετ' ἀλλήλων τῷ συνδέσμῳ τοῦ πνεύματος, καὶ εἰς μίαν συνάγεσθαι τὴν ἑνότητα δι' αὐτοῦ, καὶ μάλιστα, εἰ τύχοιεν οὗτοι σύστημα κοινοβίου ἀναπληροῦντες εἰς δόξαν καὶ ἔπαινον τοῦ πάντα καλῶς καὶ πανσόφως οἰκονομοῦντος θεοῦ. εἰ γὰρ οὗ εἰσι δύο ἢ τρεῖς συνηγμένοι ἐπὶ τῷ ὀνόματι τούτου, μέσος πάρεστι αὐτὸς ὁ θεὸς, οὗ εἰσι κατὰ τὸν ὅμοιον τρόπον πολλοὶ καὶ καθ' ἡλικίαν διάφοροι, οὐκ αὐτὸς οὗτος, εἰς μέσον παραληφθεὶς, συνδεῖ καὶ συνάγει τὰς διανοίας αὐτῶν καὶ εἰς τὴν οὕτως τοῦ καλοῦ μίαν γνῶσιν ἑνοῖ; παντί που δῆλον, καὶ γὰρ ὥσπερ τὰς πολλὰς καὶ διαφόρους γνώμας, ὡς ἔφημεν, ἡ ἀγάπη καὶ ἡ ὁμόνοια μίαν καὶ ἁπλῆν σχεδὸν ἀπεργάζεται, τὸν αὐτὸν δή που τρόπον καὶ ἡ στάσις καὶ τὸ τῆς γνώμης φιλόνεικον τὰ τέως ἡνωμένα κατατέμνει καὶ διασπᾷ καὶ κακῶς διαιρεῖ· ἔνθεν τοι καὶ ἡμεῖς, τὴν τῆς οἰκουμενικῆς ἐκκλησίας προστασίαν ἐγχεχειρισμένοι παρὰ θεοῦ, διὰ φροντίδος ποιούμεθα τὸ ἐμμένειν ἐν τούτοις ἀπαραβάτως τοὺς ἐν ταῖς σεβασμίαις μοναῖς τῶν ἑκασταχοῦ χωρῶν τε καὶ πόλεων, ἔτι δὲ ὁρῶν ἀσκουμένους καὶ τὴν μοναχικὴν πολιτείαν ὁδεύοντας πάντων ἐκ μέσου γεγονότων τῶν μεταξὺ σκανδάλων καὶ στάσεων. τῷ λόγῳ τῷδε σκοπὸς, ὡς πρό τινος ἤδη καιροῦ φθάνουσιν οἱ ἐν τῇ κατὰ τὸ Ἅγιον Ὄρος τοῦ Ἄθω διακειμένῃ σεβασμίᾳ μονῇ τῶν Ἰβήρων ἀσκούμενοι μοναχοὶ κινήσαντες διενέξεις μετ' ἀλλήλων περί τε τῆς καθολικῆς ἐκκλησίας τῆς τοιαύτης μονῆς καὶ περί τινων ἄλλων εἰς ἀταξίαν καὶ ἀκοσμίαν ἀφορώντων αὐτῆς, ὡς τῶν Ἰβήρων ἔκ τε τῆς συνήθους περὶ τὰ καλὰ ἀμελείας καὶ τῆς ὀλιγότητος τούτων καὶ ἀνεπιστημόνου ἐπιστασίας ἀντιποιουμένων μὲν τῆς καθόλου ἀρχῆς τῆς μονῆς καὶ τοῦ δηλωθέντος θείου ναοῦ, οὐδὲν μέντοι ἐχόντων ἱκανὸν ἐν αὐτῇ διαπράξασθαι, ἀλλ' εἰς παντελῆ ἐρήμωσιν βουλομένων ταύτην ἀπαγαγεῖν διὰ τὸ κεκλῆσθαι τὴν μονὴν ταύτην τὸ κενὸν καὶ μάταιον ὄνομα τῆς τῶν Ἰβήρων προσηγορίας καὶ σφετεριζομένων ἐντεῦθεν καὶ τὴν καθολικὴν αὐτῆς ἐκκλησίαν, οὗ χάριν πολλαὶ καὶ διάφοροι ἐγεγόνεισαν συνάξεις καὶ ἐξετάσεις, ὥστε τὴν προσήκουσαν γενέσθαι κατάστασιν ἐπ' αὐτῇ, αἰτησαμένων τοῦτο τῶν μοναχῶν Ῥωμαίων ἐπ' ἀσφαλείᾳ καὶ συστάσει τῆς δηλωθείσης μονῆς· ἔνθεν τοι καὶ τοῦ ὁσιωτάτου ἀνδρὸς, κῦρ Ἀρσενίου ἐκείνου, τοῦ εἰς Πρῶτον ἀποτεταγμένου τοῦ Ἁγίου τούτου Ὄρους ἐπιδημήσαντος τῇ

τοιαύτῃ μονῇ καὶ τὴν τῶν Ἰβήρων περὶ τὰ καλὰ ἀμέλειαν ἰδόντος καὶ τὴν λοιπὴν ἀπειρίαν αὐτῶν, ἣν περί τε τὴν ἐκκλησίαν καὶ τὰ λοιπὰ ἔθιμα τῆς μονῆς ἐδείκνυον, καὶ δείσαντος, μή ποτε καὶ τὸ ταύτης φρούριον εὐάλωτον γένηται τοῖς ἐχθροῖς τῇ πολλῇ ἀμελείᾳ, ἐξώθησαν οὗτοι δὴ οἱ Ἴβηρες παντελῶς τῆς ἀρχῆς καὶ ἐπιστασίας τῆσδε τῆς μονῆς, καὶ ἀποκατέστησαν οἱ μοναχοὶ Ῥωμαῖοι κατάρχειν τῶν ἐν αὐτῇ πάντων διακονημάτων. ἀντιποιουμένων δὲ καὶ ἔτι τῶν Ἰβήρων τῆς τοιαύτης ἀλογίστου φιλονεικίας, ἐπιδημήσαντος τῇ τοιαύτῃ μονῇ τοῦ ὁσιωτάτου Πρώτου τοῦ ἀρτίως εἰς τὴν τοιαύτην προστασίαν εὑρισκομένου, τιμιωτάτου ἐν ἱερομονάχοις καὶ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, κῦρ Θεοδοσίου, ἔτι τε τῶν τιμιωτάτων ἱερομονάχων καὶ ἡγουμένων τῶν ἐκεῖσε σεβασμίων μονῶν καί τινων εὐλαβεστάτων καὶ τιμίων γερόντων, συμπαρόντων αὐτοῖς καὶ τῶν ἱερωτάτων μητροπολιτῶν, ὑπερτίμων, ἀγαπητῶν κατὰ κύριον ἀδελφῶν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῶν, τοῦ τε Τραϊανουπόλεως καὶ τοῦ Ἱερισσοῦ, ἔτι δὲ καὶ τοῦ ἱερωτάτου μητροπολίτου Αἴνου ἐκεῖσε τότε εὑρεθέντος διά τινα χρείαν, καὶ πολλῶν λόγων κινηθέντων παρ' ἀμφοτέρων τῶν μερῶν καὶ πολλῆς διασκέψεως γενομένης μετὰ τῆς προσηκούσης πνευματικῆς ἀκριβείας καὶ συντηρήσεως παρὰ τῶν εἰρημένων ἀξιοπίστων προσώπων, ἐτάχθη, καὶ περιέστη ἐγγράφως, ἵνα κατέχηται καὶ φάλληται ἡ καθολικὴ ἐκκλησία τῆς εἰρημένης μονῆς παρὰ τῶν μοναχῶν Ῥωμαίων, οὐ μόνον κατὰ ἀριθμὸν ὑπερεχόντων, ἀλλὰ καὶ εἰς πᾶν ἔργον πνευματικὸν μυρίῳ τῷ μέσῳ ὑπερνικώντων τοὺς Ἴβηρας καὶ ἱκανῶς ἐχόντων ἀποδιδόναι τῇ τοιαύτῃ ἐκκλησίᾳ τὴν πρέπουσαν μοναχοῖς ἀνδράσιν εὐκοσμίαν τε καὶ κατάστασιν, ἀρκουμένων τῶν μοναχῶν Ἰβήρων, εὐαριθμήτων ὄντων διὰ τὴν ὀλιγότητα αὐτῶν καὶ ἀνεπιστημόνων, ὡς εἴρηται, εἰς τὴν ἑτέραν τῆς μονῆς ἐκκλησίαν. πρὸς τούτοις διεγνώσθη καὶ ἀπετάχθη, εἶναι τόν τε ἡγούμενον καὶ τὸν ἐκκλησιάρχην ἀπὸ τῶν ἐν αὐτῇ μοναχῶν Ῥωμαίων τοὺς προκριθέντας ἀξίους καὶ πρέποντας τοῖς τοιούτοις λειτουργήμασι, τὰς μέντοι τῶν ἄλλων διακονημάτων ἀρχὰς εἶναι κοινὰς καὶ Ἴβηρσι καὶ Ῥωμαίοις, φροντίζουσιν ἐπιμελῶς τῆς ἐπὶ τὸ κρεῖττον συστάσεως καὶ ἐπιδόσεως τῆς τοιαύτης μονῆς, κατ' ἐκλογὴν γινομένης τῆς ὑπηρεσίας τῶν τοιούτων διακονημάτων, καὶ μὴ ἀδοκιμάστως καὶ, ὡς ἔτυχεν, ἀπραγμόνως διακεῖσθαι τὰ τῆς μονῆς. ἐπὶ γοῦν τῇ τοιαύτῃ καταστάσει

καὶ διαγνώσει ἐπορίσατο καὶ σεπτὸν πρόσταγμα τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐπικυροῦν ἐκ παντὸς τρόπου τὴν τοιαύτην ἔγγραφον ἀποκατάστασιν διὰ τὴν ἐφ' ἑξῆς ἀσφάλειαν καὶ ἀνενοχλησίαν τῆς σεβασμίας μονῆς· καταλαβόντες δὲ ἀρτίως εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον οἱ ῥηθέντες μοναχοὶ Ῥωμαῖοι καὶ ἀνενεγκόντες τὰ πραχθέντα, ὡς εἴρηται, ἐν τῇ κατ' αὐτοὺς μονῇ καὶ ἅμα τὸ γεγονὸς γράμμα προβαλλόμενοι, τὴν ἀναφορὰν τούτων πιστούμενον, ὑπογραφαῖς σεσημασμένον τῶν τε εἰρημένων ἱερωτάτων ἀρχιερέων καὶ τοῦ ὁσιωτάτου Πρώτου, ἐδεήθησαν διὰ πλείονα τὴν εἰς τὸ ἑξῆς ἀσφάλειαν καὶ ἀνενοχλησίαν τῆς τοιαύτης μονῆς καὶ ἑδραίαν καὶ ἀμετακίνητον κατάστασιν τῆς εἰρημένης ἐγγράφου πράξεως τυχεῖν ἐπὶ τούτῳ καὶ σιγιλλιώδους γράμματος αὐτῆς. ἡ μετριότης ἡμῶν, συνδιασκεψαμένη τὰ περὶ τούτου τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις καὶ τῇ παρακλήσει αὐτῶν ὡς εὐλόγῳ προσχοῦσα, τὸ παρὸν ἐπορέγει αὐτοῖς σιγιλλιῶδες γράμμα, δι' οὗ καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, ἵνα ἔχῃ ἀπάρτι καὶ εἰς τὸ ἑξῆς τὸ κῦρος καὶ ἀμετάτρεπτον ἡ γεγονυῖα ἔγγραφος ἐνυπόγραφος κατάστασις παρά τε τῶν ἱερωτάτων μητροπολιτῶν καὶ τοῦ ὁσιωτάτου Πρώτου περὶ τῆς δηλωθείσης τῶν Ἰβήρων σεβασμίας μονῆς, καὶ κατέχωσιν εἰς τὸ ἑξῆς οἱ μοναχοὶ Ῥωμαῖοι τὴν καθολικὴν αὐτῆς ἐκκλησίαν, καὶ ἐκτελῶσιν ἐν αὐτῇ τὰς ἱερὰς ὑμνῳδίας, ὑπερευχόμενοι τῶν κρατίστων καὶ ἁγίων μου αὐτοκρατόρων καὶ παντὸς τοῦ χριστωνύμου καὶ ὀρθοδόξου πληρώματος, καὶ ἔχῃ οὕτως ἡ δηλωθεῖσα ἐκκλησία τὴν ἁρμόζουσαν εὐκοσμίαν αὐτῆς καὶ κατάστασιν παρ' αὐτῶν δὴ τῶν μοναχῶν Ῥωμαίων, καὶ ἀριθμῷ καὶ τοῖς πνευματικοῖς προτερήμασι κατὰ πολὺ διαφερόντων τῶν Ἰβήρων, οὗτοι δὲ οἱ Ἴβηρες κατέχωσι τὴν ἑτέραν ἐκκλησίαν τὴν εἰς ὄνομα τιμωμένην τῆς θεομήτορος τῆς Πορτιατίσσης, καὶ ἐκτελῶσι καὶ οὗτοι ἐν αὐτῇ τὰς ἱερὰς ὑμνῳδίας, ἐκλέγωνται δὲ ἀπὸ τῶν μοναχῶν Ῥωμαίων ἡγούμενός τε καὶ ἐκκλησιάρχης, ἄξιοι τῆς τοιαύτης προστασίας, δυνάμενοι καὶ ἀμφότερα τὰ μέρη τῶν τοιούτων μοναχῶν καταρτίζειν εἰς ἑνότητα καὶ ἀγάπην πνευματικὴν καὶ διδάσκειν καὶ νουθετεῖν πάντας καὶ χειραγωγεῖν ἁπλανῶς εἰς τὴν τῆς σωτηρίας ὁδόν, εἰς δὲ τὰ ἕτερα διακονήματα οἱ χρησιμεύοντες ἐξ ἀμφοτέρων τῶν μερῶν, καὶ οὕτω ἐπικρατῇ ἐν αὐτοῖς φιλαδελφία καὶ ἀγάπη καὶ ἕνωσις, ὁ καρπὸς τοῦ ἀγαθοῦ πνεύματος,

μήτε τῶν Ῥωμαίων κατεξανισταμένων ὁπωσδήποτε καὶ δι' ὄχλου γινομένων τοῖς Ἰβηρσι, μήτε μὴν τῶν Ἰβήρων γονικότητος λόγον ἢ ἑτέρας οἱασδήτινος μετοχῆς πρόφασιν προβαλλομένων καὶ κατὰ τῶν Ῥωμαίων χωρούντων καὶ τὸ τῆς μονῆς σῶμα κακῶς διασπώντων, ὅπερ ὑφ' ἑνὶ καθηγεμόνι συνεδέθη, τῷ δεσπότῃ Χριστῷ, τὸν γὰρ μὴ οὕτω βουλόμενον διάγειν ἐν αὐτῇ, ἀλλὰ ταράττειν καὶ συγχέειν ἐπιχειροῦντα τοὺς ἐν τῇ διαληφθείσῃ μονῇ μοναχούς, εἴτε δὴ καὶ Ῥωμαῖον, ἐξωθεῖσθαι τῆς μονῆς καὶ ἀποδιώκεσθαι ὡς ψωριῶν πρόβατον ἐν ἁγίῳ παρακελεύεται πνεύματι ἡ μετριότης ἡμῶν, ὡσὰν μὴ μεταδῷ καὶ ἑτέροις ὡς λύμης τῆς ψυχοβλαβοῦς ταύτης νόσου. καὶ γοῦν ὀφείλει πραχθῆναι ἀμεταθέτως ἐν τῇ τοιαύτῃ μονῇ πᾶν, ὅσον περὶ τούτου συνοδικῶς διεγνώσθη καὶ ἀπεφάνθη, κατὰ γὰρ παντὸς τοῦ παραθησομένου ὁπωσδήποτε ἀκυρῶσαι τὴν τοιαύτην συνοδικὴν διάγνωσιν καὶ βάρος φρικώδους ἀφορισμοῦ ἐπανατείνεται ἡ μετριότης ἡμῶν. ταῦτα ὡς ἐν παρασημειώσει ἀπὸ τοῦ παρασχεδίου ἐν τῷ παρόντι κωδικίῳ ἐγράφησαν, ἐπεγένοντο δὲ ὕστερον πλείονα ἐν τῷ γεγονότι σιγιλλίῳ, ἃ οὐκ ἔφθασαν τεθῆναι ἐνταῦθα †.

† Εἶχε καὶ τὸ· διὰ τιμίας πατριαρχικῆς χειρὸς Κάλλιστος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

CLXIX. Sine anno.

Patriarchae Constantinopolitani epistola ad patriarcham Antiochiae de monasterio Hodegon.

† Πιττάκιον πατραρχικὸν εἰς τὸν πατριάρχην Ἀντιοχείας †.

† Ἁγιώτατε πατριάρχα θεουπόλεως μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, ἐν κυρίῳ ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος. πεποίθαμεν εἰς θεὸν, ὅπως καὶ τῆς σωματικῆς εὐεξίας ἐπαπολαύοι ἡ ἁγιωσύνη σου, καὶ ἔχοι ἐπὶ πᾶσι καλῶς, εἰς ὠφέλειαν καὶ ἐπίσκεψιν ψυχικὴν τοῦ ὑπ' αὐτὴν χριστωνύμου καὶ ὀρθοδόξου λαοῦ. ἡ μετριότης ἡμῶν, τῷ νόμῳ τῆς πνευματικῆς ἀγάπης στοιχειουμένη καὶ τὴν τῆς ἐκκλησίας θεοῦ ὁμόνοιαν περὶ πλείστου ἀεὶ ποιουμένη, πολλάκις διὰ γραμμάτων αὐτῆς τὴν ἀνήκουσαν καὶ ὀφειλομένην προσ-

αγόρευσιν ἐποιήσατο πρὸς τὴν σὴν ἁγιότητα καὶ περὶ ἄλλων μὲν ἑτέρων, οὐχ ἧττον δὲ περὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων καὶ τῆς παρεμπεσούσης, συγχωρήσει θεοῦ, στάσεως καὶ ταραχῆς εἰς τὴν ἐκκλησίαν αὐτοῦ παρὰ τῶν ἐξ ἀλογίστου γνώμης τολμησάντων νόθα καὶ ἔκφυλα δόγματα παρεισαγαγεῖν ἐπὶ καινοτομίᾳ τῆς πατροπαραδότου ἡμῶν καὶ ὑγιοῦς πίστεως καὶ ταύτῃ διασπάσαι τὸ καλὸν σῶμα αὐτῆς. καὶ ἡ μὲν μετριότης ἡμῶν ὀφειλομένως τὸ ἑαυτῆς πεποίηκε, τὴν τῶν πολλῶν ζητοῦσα ὠφέλειαν· ἡ δὲ ἁγιωσύνη σου δηλῶσα ἡμῖν διὰ γράμματος αὐτῆς, ὅπως ἔχῃς γνώμης εἰς τοῦτο, οὐκ ἐθέλησας, ὅπερ εἰ τοῦ φιλικοῦ καθήκοντος καὶ τῆς ἀληθείας ἐξέχεται, ἔχεις καὶ αὐτὸς διακρῖναι, πλὴν ἡ μετριότης ἡμῶν, καὶ οὕτω νόμους φιλίας εἰδυῖα τιμᾶν, περὶ πολλοῦ ποιεῖται τὰ σὰ ἀδελφὰ ἐν ἅπασι φρονοῦσα. οἷδεν ἡ ἁγιωσύνη σου, ὡς πρὸ χρόνων ἤδη πολλῶν ἀπετάχθη, ἔχειν τὴν σὴν ἁγιωσύνην τὴν σεβασμίαν μονὴν τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τῶν Ὁδηγῶν, ὡς πατριάρχην Ἀντιοχείας, καθὰ καὶ τοὺς πρό σου ἑτέρους, εἰς κατάντημα καὶ ἀνάπαυσιν τῶν ἀπὸ τῶν αὐτόθι ἐρχομένων καλογήρων τῆς σῆς ἁγιωσύνης, ἀλλὰ δὴ καὶ αὐτῆς, ὁπηνίκα δεήσει ἐλθεῖν σε ἐνταῦθα, καθὼς δηλαδὴ ἐδόθησαν καὶ τοῖς λοιποῖς ἁγιωτάτοις πατριάρχαις, τῷ τε Ἀλεξανδρείας καὶ τῷ Ἱεροσολύμων, ἕτεραι τῶν ἐνταῦθα μονῶν· οὐ μέντοι ἐδόθησαν αἱ τοιαῦται, ὥστε καταυθεντεῖν τοὺς τῶν πατριαρχῶν μοναχοὺς τῶν εἰρημένων μονῶν καὶ πράττειν ἐν αὐταῖς κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, ἃ οὐ θέμις μὴ μόνον μοναχοῖς, ἀλλ' οὐδὲ λαϊκοῖς καὶ φαύλοις ἀνδράσι, τῆς ἡμῶν μετριότητος μὴ ἐχούσης ἄδειαν ἐρευνᾶν καὶ ἐξετάζειν τὰ τοιαῦτα· εἰ δ' ὁ τῆς Κωνσταντινουπόλεως πατριαρχικὸς θρόνος, ἅτε δὴ οἰκουμενικὸς ὤν, προνόμιον ἔκπαλαι κέκτηται παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων εἰς τὰς ἑκασταχοῦ τῆς οἰκουμένης ἐκκλησίας, τὰ παρεμπίπτοντα ἐν αὐταῖς ἐκκλησιαστικὰ ἀναγκαῖα ζητήματα διερευνᾶν καὶ ἐξετάζειν, πολλῷ μᾶλλον ἐνταῦθα ἐν τῇ οἰκείᾳ ταύτῃ μεγαλοπόλει, ἐν ᾗ ἐστήρικται κρίσει θεοῦ καὶ ψήφῳ βασιλικῇ ὁ τοιοῦτος πατριαρχικὸς θρόνος, ἀλλ' ἡ μετριότης ἡμῶν καὶ οὕτω δικαίως τοῦ πράγματος ἔχοντος, διὰ τὴν τῆς σῆς ἁγιότητος ἀγάπην πνευματικὴν καὶ φιλίαν ἔμενε σιωπῶσα ἐπὶ τοσοῦτον καὶ μηδεμίαν ἔρευναν ποιησαμένη ἐπὶ τῇ τοιαύτῃ μονῇ εἰς συντήρησιν καὶ ἀσφάλειαν ψυχικὴν τῶν ἐνασκουμένων αὐτῇ μοναχῶν, καίτοι γε προδήλου τοῦ πράγματος ὄντος,

ὡς οὐ κατὰ τὸ μοναχικὸν ἐπάγγελμα πολιτεύονται οἱ δοκοῦντες προέχειν τῶν ἄλλων, ὡς δῆθεν μοναχοὶ καὶ ἱερωσύνης ἀναξίως ἐπειλημμένοι, καὶ πρό γε πάντων ὁ Ἀνανίας ὁ τοῦ Τύρου ἀνεψιὸς καὶ οἱ συμμύσται καὶ μυσταγωγοὶ τούτου, ὅστις καὶ τοῦ Τύρου ἐνταῦθα ἐπιδημοῦντος ἀδεῶς ἦν πράττων τὰ ἄτοπα, καὶ τῶν θείων ἁπτόμενος καὶ ἱερουργῶν, ὦ δίκη καὶ νόμοι θεοῦ, ἀνερυθριάστως, ὡς δὲ ὁ Τύρου αὐτόθι ἐπιδημήσας πρὸς τὴν σὴν ἁγιότητα, ἔπεισε ταύτῃ ἐγχειρίσασθαι τὴν ἡγουμενείαν τῆς ῥηθείσης σεβασμίας μονῆς τῷ δηλωθέντι Ἀνανίᾳ, καὶ ἔλαβε ταύτην ἐπὶ καταστροφῇ τῆς οἰκείας ψυχῆς, ἀφροντιστήσας καθάπαξ καὶ ὅλως τοῦ κακοῦ γεγονὼς καὶ ἀτόπων καὶ βεβήλων ἀσωτειῶν ἐφαψάμενος, ἀναίδην πόρνῃ γυναικὶ συνηυνάζετο ἐντὸς τοῦ κελλίου αὐτοῦ ἐφ' ὅλαις δηλαδὴ σχεδὸν ταῖς νυξί, κατασωτευόμενος μετ' αὐτῆς, παράδειγμα κακίας τοῖς συμμύσταις τούτου προκείμενος. τοῦ γοῦν τοιούτου ἀτοπήματος ἐκδήλου παντάπασιν γεγονότος καὶ πάντων καταβοώντων καὶ ἀνομίαν τοῦτο δὴ τὸ πρᾶγμα ἀποκαλούντων ἡ μετριότης ἡμῶν ἐξετάσει δοῦσα τὸ πρᾶγμα, ὥς γε ἐχρῆν, εὗρε τοῦτον μιᾷ τῶν νυκτῶν συγκοιμώμενον καὶ συνευναζόμενον τῇ δηλωθείσῃ πόρνῃ, καὶ οὕτως ἑάλω ὁ τρισάθλιος ἐπ' αὐτοφώρῳ τὸ τῆς πορνείας αἶσχος διαπραττόμενος· ἐξήλασεν οὖν τοῦτον διὰ ταῦτα τῆς ἡγουμενείας, ἐπείπερ οὐ μόνον αἴτιος ἑαυτῷ γέγονε τῆς τοιαύτης κακίας, ἀλλὰ καὶ ἑτέροις μετέδωκε τῆς οἰκείας λύμης καὶ ψυχικῆς ἀπωλείας, σπήλαιον λῃστῶν τὴν μονὴν ἐργασάμενος, ἀποκατέστησε δὲ διὰ συντήρησιν μὲν καὶ ἀσφάλειαν τῶν ἐν αὐτῇ μοναχῶν, ἀναστολὴν δὲ καὶ ἀναχαίτισιν τῆς τοῦ κακοῦ συνηθείας ἡγούμενον ἐν αὐτῇ ἄνδρα τίμιον καὶ εὐλαβῆ καὶ ἐνάρετον ὁρισμῷ καὶ εὐδοκίᾳ βασιλικῇ, ὅστις ὑπὸ τῆς ἐνούσης αὐτῷ ἀρετῆς καὶ τοῦ Χριστοῦ τρόπου καὶ τῆς εἰς τὰ πνευματικὰ ἐπιστήμης δύναται, βοηθείᾳ μὲν θεοῦ, ἀντιλήψει δὲ καὶ τῆς ὑπεράγνου δεσποίνης καὶ θεομήτορος, τὴν μονὴν εἰς τὸ κρεῖττον καὶ βέλτιον προάξειν, τοὺς δ' ἐν αὐτῇ μοναχοὺς μετασκευάσασθαι καὶ μεταπεῖσαι πρὸς ἀρετὴν καὶ εὐλάβειαν· πλὴν καὶ οὕτω τοῦ πράγματος ἔχοντος καὶ τῶν κατὰ τὴν μονὴν τὴν διόρθωσιν λαβόντων, ὃν ἐγράφομεν τρόπον καὶ δηλοποιοῦμεν ὑμῖν καὶ αὖθις, τὸ τῆς ἁγιωσύνης δίκαιον συνετηρήθη καὶ περισώζεται, καὶ ἡ μονή ἐστιν ὑπὸ τὴν σὴν ἁγιότητα ὡς καὶ πρότερον ἀπαραποιήτως. ἔκρινεν οὖν δίκαιον ἡ μετριότης ἡμῶν παραδηλῶσαι ταῦτα καὶ πρὸς τὴν σὴν

ἁγιότητα, ὡς ἂν γινώσκῃς τὸ πρᾶγμα ὡς ἐγένετο, μήποτε ἄλλως ἀκουσθὲν θορυβήσῃ τὴν σὴν ἁγιότητα· καὶ γὰρ ὅπερ ἔμελλε ποιήσειν ἡ ἁγιωσύνη σου χάριτι θεοῦ ἐπὶ τοιούτοις ἀθέσμοις πράγμασι γνωσθεῖσιν ἀριδηλότατα, αὐτὸ τοῦτο πεποίηκε καὶ ἡ μετριότης ἡμῶν, καὶ χρεών ἐστι τὴν σὴν ἁγιότητα ὑπεραποδέξασθαι τοῦτο ὡς θεοφιλὲς καὶ πνευματικὸν ἔργον. ἔρρωσο, ἁγιώτατε δέσποτα, ἐν κυρίῳ ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος †.

CLXX. (6867—1359) ianuario ind. XII.

Synodus dirimit controversiam.

† Παρίσταται τῷ καθ' ἡμᾶς ἱερῷ συνοδικῷ δικαστηρίῳ ἡ τοῦ Χύτου Εὐφροσύνη, καὶ ἀνέφερεν, ὡς συνεζεύχθη ἀνδρὶ κατὰ νόμους Νικολάῳ τῷ τοῦ Χαλκέως, καὶ κατεγράφησαν μὲν αὐτῇ καὶ προικὸς χάριν πράγματα, ὅσα δῆτα καὶ κατεγράφησαν, κατεγράφη δὲ αὐτῇ καί τι ἀμπέλιον, διακείμενον περὶ τὴν τοποθεσίαν τοῦ ....., καθὰ δὴ καὶ τῷ συμφώνῳ ταύτης ἐμπεριείληπται· ἀπέτεκε δὲ καὶ παιδίον θῆλυ ἐξ αὐτοῦ δὴ τοῦ Χαλκέως, ὃ δὴ τῷ βίῳ περίεστι. ἔφθασε μέντοι ὁ τοιοῦτος ἀνὴρ, καὶ ὡς τοῦ ἀμπελίου μὴ ἀποδιδομένου κατὰ τὸ πρῶτον, ἔλαβεν οἴκημά τι ἀντὶ τούτου παρὰ γνώμην καὶ εἴδησιν τῆς γυναικὸς ἐν τῇ τοποθεσίᾳ τοῦ Ἐφόρου, ὅπερ κατέσχε δὴ λόγῳ τῆς γυναικαδέλφης αὐτοῦ, τῆς μοναχῆς Μαρίνης. ἡ γοῦν τοιαύτη Εὐφροσύνη τὴν ἀγωγὴν κινοῦσα μετὰ τοῦ παιδίου αὐτῆς περὶ τῆς προικὸς, ἀνακαλεῖται τὸ προικῷον ταύτης ἀμπέλιον, μὴ βουλομένη κατέχειν τὸ οἴκημα, ἅτε δὴ παρὰ τὴν ταύτης βούλησιν φθάσαντος λαβεῖν αὐτὸ τοῦ ἀνδρὸς, ὡς δεδήλωται, κἀντεῦθεν ἐζήτησεν ἀντικριθῆναι Γεωργίῳ, τῷ Φώστηρι ἐπονομαζομένῳ, γαμβρῷ ἐπ' ἀδελφῇ ταύτης τυγχάνοντι καὶ τῶν δικαίων τῆς μοναχῆς Μαρίνης ἀντιποιουμένῳ· προτραπεὶς τοίνυν οὗτος ἀπολογήσασθαι προεβάλετο, μὴ συμφωνηθῆναι τῇ Εὐφροσύνῃ τὸ εἰρημένον ἀμπέλιον, ἀλλὰ μᾶλλον τὸ οἴκημα, καὶ διὰ τοῦτο ἐζητήθη κατὰ τὸ εἰκὸς ἐμφανισθῆναι παρὰ τῆς γυναικὸς τὸ προβὰν προικῷον σύμφωνον· ἐπεὶ δὲ ἔφθασε τοῦτο κλαπῆναι, ὡς διετείνετο, παρὰ τοῦ ἀδελφοῦ αὐτῆς, Νικήτα τοῦ Ἀλυάτου, ἦν δὲ ὁ Φιλομήτης .... ὁ καταστάτης ἀνάδοχος ἀρχῆθεν καὶ προικοδότης καὶ ἀκριβῆ τῆς ὑποθέσεως ἔχων εἴδησιν, ἐρωτηθεὶς διεμαρτύρατο μετ' ἀσφαλείας τῆς προσηκούσης, ὡς ταῖς ἀληθείαις (τὸ) τοιοῦτον ἀμπέλιον κατεγράφη

ἐν τῷ τῆς γυναικὸς συμφώνῳ, καὶ οὐ τὸ οἴκημα, ἡ μετριότης ἡμῶν, ὡς τῶν φιλευσεβῶν νόμων δικαιούντων τὴν Εὐφροσύνην τὸ προικῷον ταύτης ἔχειν ἀμπέλιον μετὰ τοῦ παιδίου, ἐδικαίωσε ταύτην ἐπὶ τῇ μερίδι τοῦ καταγραφέντος ἀμπελίου, τῆς μοναχῆς Μαρίνης ὀφειλούσης ἐπιλαβέσθαι τοῦ ὁσπητίου καὶ κατέχειν τοῦτο δεσποτικῶς, ὅθεν καὶ κατ' αὐτοὺς δὴ τοὺς νόμους ἐπιλήψεται ἡ ῥηθεῖσα Εὐφροσύνη τῆς καταγεγραμμένης καὶ συμφωνηθείσης αὐτῇ προικῴας μερίδος τοῦ ἀμπελίου κατὰ πᾶσαν δεσποτείαν καὶ κυριότητα μετὰ τοῦ παιδίου αὐτῆς καὶ ἔχειν ἐπ' ἀδείας ποιεῖν ἐπ' αὐτῷ πάντα τὰ κατὰ γνώμην καὶ βούλησιν καὶ ὅσα παρὰ τῶν φιλευσεβῶν νόμων τοῖς γνησίοις δεσπόταις ἐπὶ τοῖς ἑαυτῶν ἐφεῖται ποιεῖν κτήμασί τε καὶ πράγμασιν. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν κ. τ. λ. †.

† Εἶχε διὰ πατριαρχικῆς καὶ θείας χειρὸς τὸν μηνὶ ἰανουαρίῳ ἰνδ. ιβ' †.

CLXXI. (6867—1359) maio ind. XII.

Synodus transfert metropolitam Bitzines in metropolim totius Ungrovlachiae, constituens, ut ecclesia Ungrovlachiae subiecta sit ecclesiae Constantinopolitanae.

I. † Ὁ εὐγενέστατος μέγας βοϊβόδας καὶ αὐθέντης πάσης Οὐγγροβλαχίας, ἐν ἁγίῳ πνεύματι γνησιώτατος υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Ἀλέξανδρος, ὑπὸ φιλοθέου γνώμης κεκινημένος καὶ πολλὴν ἐνδεικνύμενος τὴν στοργὴν καὶ ὑποταγὴν καὶ εὐπείθειαν εἰς τὴν ἁγίαν τοῦ θεοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, ἐζήτησεν οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ πολλάκις διὰ γραμμάτων αὐτοῦ καὶ ἐδεήθη τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς συνόδου, ὡς ἂν ᾖ τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς οὕτως καὶ ἡ πᾶσα αὐτοῦ ἐπικράτεια καὶ ἀρχὴ ὑπὸ τὴν ἐκκλησιαστικὴν ἀνάκρισιν καὶ διεξαγωγὴν τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, καὶ δέξηται ἀρχιερέα, χειροτονίαν ὄντα τῆς ἡμῶν μετριότητος καὶ εἰς τὴν θείαν καὶ ἱερὰν, σύνοδον τελοῦντα, καὶ ἔχῃ τοῦτον ὡς γνήσιον ποιμένα πάσης Οὐγγροβλαχίας εἰς εὐλογίαν καὶ πνευματικὸν καταρτισμὸν αὐτοῦ τε καὶ τῶν παίδων καὶ πάσης τῆς ἀρχῆς αὐτοῦ· διὸ καὶ πρό τινος ἤδη καιροῦ προσεκαλέσατο πλησιάζοντα αὐτῷ τὸν ἱερώτατον μητροπολίτην Βιτζίνης, ὑπέρτιμον, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν καὶ συλλειτουργὸν τῆς

ἡμῶν μετριότητος, κῦρ Ὑάκινθον, καὶ ἐδέξατο ἀσμενέστατα τὴν εὐλογίαν αὐτοῦ, καὶ ἔδειξε πρὸς αὐτὸν τὴν προσήκουσαν ὑποταγὴν καὶ εὐλάβειαν, καὶ ἐζήτησε μετὰ πολλῆς παρακλήσεως, ἵνα κατὰ μὲν τὸ παρὸν μετατεθῇ ὅδε ὁ ἱερώτατος μετροπολίτης Βιτζίνης, ἀπόδεκτος φανεὶς κατὰ πολὺ τῷ τοιούτῳ μεγάλῳ βοϊβόδᾳ, εἰς τὴν ἐκκλησίαν πάσης Οὐγγροβλαχίας, μετὰ δὲ θάνατον αὐτοῦ δὴ τοῦ Βιτζίνης ψηφίζηται ἕτερος, καὶ χειροτονούμενος παρὰ τῆς καθ' ἡμᾶς ἁγιωτάτη τοῦ θεοῦ μεγάλης ἐκκλησίας ἐκπέμπηται ἐκεῖσε ὡς ποιμὴν καὶ ἀρχιερεὺς γνήσιος πάσης Οὐγγροβλαχίας. ἐπεὶ οὖν ἐκρίθη παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν θείας ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων ἡ τοιαύτη ζήτησις καὶ ἀξίωσις τοῦ εὐγενεστάτου μεγάλου βοϊβόδα εἰς πολλῶν ψυχῶν ὠφέλειαν καὶ κατάστασιν, πᾶς δὲ ὁ κόσμος, καθὼς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὁ κύριος ἀπεφήνατο, μιᾶς ψυχῆς οὐκ ἀντάξιος καὶ διὰ τοῦ προφήτου ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔστι, μέλλει δὲ ἀπὸ τῆς τοιαύτης ἀρχιερατικῆς ἐπιστασίας καὶ ποιμανσίας ὁ ἐν τῇ εἰρημένῃ ἀρχῇ καὶ ἐπικρατείᾳ πάσης τῆς εἰρημένης Οὐγγροβλαχίας εὑρισκόμενος χριστώνυμος τοῦ κυρίου λαὸς ὁδηγεῖσθαι εἰς ἐκπλήρωσιν τῶν σωτηρίων τοῦ Χριστοῦ ἐντολῶν μέλλει εἰσηγουμένου τοῦ ἀρχιερέως καὶ ἐκδιδάσκοντος αὐτοὺς τὴν τοῦ εὐαγγελίου ὁδὸν καὶ ἀφιστῶντος καὶ κωλύοντος ἀπὸ τῶν ἀπηγορευμένων ἔργων τῆς ἁμαρτίας καὶ παντὸς ἐκφύλου καὶ ἀλλοτρίου δόγματος τῆς ἐκκλησίας Χριστοῦ, ἔτι δὲ καὶ τῆς ἡμῶν μετριότητος διὰ σπουδῆς τοῦτο μελλούσης ἀεὶ ποιεῖν καὶ γράφειν καὶ νουθετεῖν αὐτοὺς εἰς τήρησιν τῆς ἀσφαλοῦς ἡμῶν πίστεως, ὅπερ ἀφορᾷ εἰς πολλὴν ψυχικὴν ὠφέλειαν αὐτῶν, ὑπὲρ οὗ θείου πράγματος οὐχ ἱκανὸς ὅλος ὁ κόσμος, ὡς ἀποδέδεικται· διὰ γοῦν ταῦτα ἡ μετριότης ἡμῶν, συνδιασκεψαμένη τὰ περὶ τούτου τῇ περὶ αὐτὴν θείᾳ ὁμηγύρει τῶν ἱερωτάτων ἀρχιερέων, τῷ Ἡρακλείας . . . . . .

. . . . . .

ἐπεὶ ἀμεταθέτως ἐξέχεται εἰς τὸ μετατεθῆναι τόνδε τὸν μητροπολίτην Βιτζίνης ὁ τοιοῦτος μέγας βοϊβόδας εἰς τὸν θρόνον πάσης Οὐγγροβλαχίας καὶ ἐπικρατείας καὶ ἀρχῆς αὐτοῦ, καὶ κατὰ τὸ παρὸν οὐκ εἰς ἕτερόν τινα, ἀλλ' εἰς αὐτὸν τὴν ἀρχιερατικὴν ταύτην προστασίαν μετὰ πολλῆς ζητεῖ παρακλήσεως, ὑπισχνούμενος δοῦναι ἐνόμοτον καὶ ἔγγραφον ἀσφάλειαν, ἵνα τελῇ τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς, μέχρις ἂν

συνίσταται ἡ αὐθεντία καὶ ἀρχὴ αὐτοῦ, ἡ εἰρημένη πᾶσα Οὐγγροβλαχία, ὑπὸ τὴν καθ' ἡμᾶς ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν κατὰ τὸν ἀναγεγραμμένον τρόπον· μετέθηκε τοῦτον δὴ τὸν Βιτζίνης ἡ μετριότης ἡμῶν γνώμῃ καὶ εὐδοκίᾳ τοῦ κραταιοῦ καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ πάντ' ἀρίστου καὶ ἀπαραμίλλου τῇ τοῦ ἤθους καὶ τῶν τρόπων χρηστότητί τε καὶ γαληνότητι καὶ τὸ δίκαιον ἐν ἅπασι βουλομένου κρατεῖν καὶ παρρησιάζεσθαι, εἰς τὸν θρόνον πάσης Οὐγγροβλαχίας. ἔσται τοίνυν τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὁ δηλωθεὶς ἱερώτατος μητροπολίτης πάσης Οὐγγροβλαχίας, ὑπέρτιμος, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς ἡμῶν καὶ συλλειτουργός, ὥσπερ τοῦ θρόνου ταύτης καὶ τοῦ ὀνόματος, οὕτω μετέχων καὶ ἀπολαύων καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἅτε δὴ γνήσιος ἀρχιερεὺς διὰ τῆς χάριτος τοῦ θεοῦ ἀποκαταστὰς τῆς δηλωθείσης ἁγιωτάτης μητροπόλεως Οὐγγροβλαχίας κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν τε καὶ ὑποτύπωσιν, ἀναγνώστας τε σφραγίζων ἐκ πάσης τῆς ἐπαρχίας καὶ ἐνορίας αὐτοῦ καὶ ὑποδιακόνους καὶ διακόνους προβιβάζων καὶ πρεσβυτέρους χειροτονῶν, ἐπιλαβόμενός τε καὶ πάντων τῶν ὁθενδήποτε διαφερόντων ταύτῃ δικαίων· ὅθεν ὀφείλουσιν οἵ τε ἐν αὐτῇ κληρικοὶ καὶ οἱ ἄλλοι ἱερωμένοι, μοναχοὶ καὶ λαϊκοί, ὑπείκειν καὶ ὑποτάττεσθαι τούτῳ, ὅσα καὶ γνησίῳ αὐτῶν ποιμένι καὶ πατρὶ καὶ διδασκάλῳ, καὶ δέχεσθαι προθύμως καὶ ἀποπληροῦν, ὅσα μέλλει λέγειν καὶ παραινεῖν καὶ ἐκδιδάσκειν αὐτούς, ἀφορῶντα εἰς ψυχικὴν λυσιτέλειαν, τηρουμένης ἀπαραποιήτου κἂν τῷ ἑξῆς ἀεὶ χρόνῳ τῆς ἐνομότου ἀσφαλείας καὶ ὑποσχέσεως ἐγγράφου εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν τοῦ τοιούτου εὐγενεστάτου μεγάλου βοϊβόδα εἰς τὸ εἶναι ἀεὶ τὴν ἐκκλησίαν τῆς Οὐγγροβλαχίας ὑπ' αὐτὴν καὶ δέχεσθαι ἀπ' αὐτῆς ἀρχιερέα γνήσιον, ὥστε γὰρ συντηρεῖσθαι εἰς τὸ ἑξῆς τοῦτο ἀκαινοτόμητον, καὶ βαρύτατον καὶ συνοδικὸν (ἀφορισμὸν) ἠπείλητο κατὰ παντὸς τοῦ βουληθησομένου ἀκυρῶσαι αὐτό, ἐπειδὴ τούτου ἕνεκεν καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις γεγονυῖα τῷ εἰρημένῳ μητροπολίτῃ πάσης Οὐγγροβλαχίας καὶ ὑπερτίμῳ εἰς ἀσφάλειαν ἐπιδέδοται, ἀπολυθεῖσα κατὰ μῆνα μάϊον τῆς ἐνισταμένης ιβ' ἰνδ. τοῦ ,ς ω ξ ζ' ἔτους, ἥτις καὶ ὑπεσημάνθη τῇ αὐτοχείρῳ γραφῇ τῆς ἡμῶν μετριότητος †.

II. † Εὐγενέστατε, συνετώτατε, ἀνδρικώτατε μέγα βοῒβόδα καὶ αὐθέντα πάσης Οὐγγροβλαχίας, ἐν ἁγίῳ πνεύματι γνησιώτατε, ποθεινότατε υἱὲ τῆς ἡμῶν μετριότητος, κῦρ Ἀλέξανδρε, ὑγιείαν καὶ εὐθυμίαν ψυχῆς, σώματός τε ῥῶσιν καὶ εὐεξίαν καὶ πᾶν, ὅ τι ἀγαθὸν καὶ σωτήριον, ἐπεύχεται τῇ ἀντιλήψει σου ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. ἀπὸ τῶν γραμμάτων τῆς σῆς εὐγενείας καὶ τῶν προτέρων καὶ τῶν ὑστέρων ἐγνώρισεν ἀκριβῶς ἡ μετριότης ἡμῶν, ὅσα ἐδήλου ἡ εὐγένειά σου, καὶ ἀπεδέξατο κατὰ πολὺ καὶ ἐπῄνεσε τὴν εὐπείθειαν καὶ ὑποταγὴν καὶ στοργὴν καὶ ἀγάπην, ἣν ἔχεις εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, ἥτις ἐστὶν ἡ πηγὴ καὶ ἡ ῥίζα τῆς εὐσεβείας καὶ τὸ στήριγμα καὶ ὁ θεμέλιος τοῦ χριστιανισμοῦ, καὶ μάλιστα, ὅτι ζητεῖς ἀπὸ ψυχῆς ἀρχιερέα καὶ ποιμένα καὶ διδάσκαλον τοῦ τόπου καὶ τῆς ἐπικρατείας τῆς εὐγενείας σου, χειροτονίαν τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὡς υἱὸς αὐτῆς γνήσιος καὶ εὐπειθής, καθὼς ἐστιν ὀφειλόμενον παντὶ βουλομένῳ θερμῶς καὶ μετὰ εἰλικρινοῦς πίστεως δέχεσθαι τὴν εὐσέβειαν καὶ ἀποτρέπεσθαι τάς τε παρασυναγωγὰς καὶ τὰ ἔκφυλα καὶ ἀλλότρια δόγματα. ἐπεὶ οὖν, ὡς εἴρηται, μετὰ πολλῆς ἀποδοχῆς καὶ ὀρέξεως ζητεῖ ἡ εὐγένειά σου, ἵνα ἔχῃ αὐτόθι ἀρχιερέα τῆς περὶ τὴν ἡμῶν μετριότητα θείας καὶ ἱερᾶς συνόδου τῆς μεγάλης ἐκκλησίας, καὶ νῦν μὲν τὸν ἱερώτατον μητροπολίτην Βιτζίνης, ὑπέρτιμον, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, κῦρ Τάκινθον, μετὰ δὲ παρέλευσιν αὐτοῦ, ὃν ἂν ἐκλέξηται καὶ χειροτονήσῃ ψήφῳ συνοδικῇ ἡ καθ' ἡμᾶς ἁγιωτάτη τοῦ θεοῦ μεγάλη ἐκκλησία, καὶ ἐκπέμψῃ πρὸς τὴν εὐγένειάν σου καὶ πρὸς τὴν αὐτόθι πᾶσαν ἀρχὴν καὶ ἐπικράτειαν αὐτοῦ ἀρχιερέα γνήσιον, καὶ ὅτι διαβεβαιοῦται ἡ εὐγένειά σου ἐνόρκως καὶ μετὰ πολλῆς ἀσφαλείας, ὅτι καὶ μετὰ θάνατον αὐτοῦ μέλλει εἶναι τοῦτο ἀπαραποίητον καὶ ἀμετάθετον εἰς τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς εἰς τὸ μηδέποτε θελῆσαι δέξασθαι αὐτοὺς ἀρχιερέα ἑτέρωθεν, κἂν οἷος ἄρα καὶ ἔστιν, εἰ μὴ χειροτονίαν καὶ ἀποστολὴν τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας. διὰ γοῦν ταῦτα πάντα καὶ μάλιστα διὰ τὸ ἔχειν τὴν εὐγένειάν σου καθαρὰν εὔνοιαν καὶ ἀγάπην καὶ εἰς τὸν ἐκ θεοῦ κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα, τὸν ὑψηλότατον βασιλέα τῶν Ῥωμαίων, τὸ συμφόρημα πάντων τῶν ἀγαθῶν, τὸν γαληνότατον καὶ

φιλανθρωπότατον, ἐπηυδόκησεν μὲν αὐτὸς δὴ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, ἐψηφίσατο καὶ ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, καὶ ἤδη κατὰ τὴν ἀποδοχὴν καὶ τὴν ζήτησίν σου καὶ τὸ συμφέρον τοῦ αὐτόθι χριστωνύμου λαοῦ μετετέθη ὁ ἱερώτατος μητροπολίτης Βιτζίνης, οὗτος δὴ ὁ κῦρ Ὑάκινθος, διὰ τῆς νενομισμένης ἐγγράφου συνοδικῆς πράξεως εἰς πᾶσαν ..... καὶ ἔστι τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς γνήσιος ἀρχιερεὺς πάσης Οὐγγροβλαχίας, ἔχων ἄδειαν, καθὼς ἡ γεγονυῖα ἐπὶ τούτῳ ἔγγραφος συνοδικὴ πρᾶξις κατὰ μέρος διέξεισι, ποιεῖν ἐν πάσῃ τῇ ἐνορίᾳ καὶ ἐπαρχίᾳ αὐτῆς πάντα, ὅσα ἀνήκει γνησίῳ ἀρχιερεῖ. καὶ ταῦτα μὲν ἐκύρωσε καὶ ἐβεβαίωσεν οὕτως ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία εὐδοκίᾳ καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ γνώμῃ τῆς ἡμῶν μετριότητος καὶ τῆς ἱερᾶς συνόδου κατὰ τὴν σὴν ζήτησιν καὶ ἀποδοχήν· σὸν δέ ἐστιν ἀπὸ τοῦ νῦν φροντίσαι καὶ ἀποπληρῶσαι τὴν ὑπόσχεσίν σου, ἤγουν ἵνα ποιήσῃ ἡ εὐγένειά σου καὶ οἱ παῖδες καὶ κληρονόμοι καὶ διάδοχοι αὐτῆς γράμμα ἔνορκον, κατησφαλισμένον πάντοθεν, διαλαμβάνον κατὰ μέρος, ἵνα δηλονότι μετὰ θάνατον τοῦ τοιούτου ἀρχιερέως ὑμῶν εὑρίσκηται ἡ πᾶσα ἀρχὴ καὶ ἐπικράτεια τῆς Οὐγγροβλαχίας ὑπὸ τὴν καθ' ἡμᾶς ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν, καὶ χειροτονῆται ψήφῳ συνοδικῇ παρ' αὐτῆς, ὡς εἴθισται καὶ νενόμισται, ἀρχιερεὺς, καὶ ἀποστέλληται αὐτόθι εἰς ποιμανσίαν καὶ ψυχικὴν ὠφέλειαν τοῦ αὐτόθι χριστωνύμου λαοῦ, καὶ ἐκπέμψῃς τὸ τοιοῦτο γράμμα μετὰ τῶν ἀπεσταλμένων τούτων παρὰ τῆς ἡμῶν μετριότητος ἐνταῦθα εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν καὶ εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ ἕνι εἰς βεβαίωσιν καὶ ἀσφάλειαν τῆς ὑποσχέσεως καὶ συμφωνίας τῆς εὐγενείας σου, ἐπεὶ ὥστε εἶναι ἀπαραποίητον καὶ ἀμετάθετον τὴν εἰρημένην κατάστασιν, καὶ συνοδικὸς φρικώδης ἀφορισμὸς ἠπείληται κατὰ τοῦ κωλύσοντος καὶ ἀθετήσοντος ταύτην. ὀφείλει δὲ καὶ ἡ εὐγένειά σου, ζητήσασα εὑρίσκεσθαι ὡς υἱὸς γνήσιος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, στέργειν ἀμεταθέτως τὰ ὡμολογημένα καὶ πατροπαράδοτα καὶ ὑγιῆ δόγματα, τοὺς θείους καὶ ἱεροὺς κανόνας καὶ τοὺς φιλευσεβεῖς νόμους, δι' ὧν στηρίζεται τὸ τῆς ἐκκλησίας στήριγμα, καὶ ἔχειν καὶ πρὸς τὸν εἰρημένον ἀρχιερέα εὐλάβειαν καὶ στοργὴν τὴν ὀφειλομένην, τοῦτο γὰρ ποιοῦσα ἡ

εὐγένειά σου καὶ οὕτως ὑπείκουσα τῇ ἐκκλησίᾳ θεοῦ, τύχοις μὲν ἐν τῷ παρόντι βίῳ παντὸς ἀγαθοῦ καὶ πάσης εὐθυμίας καὶ χαρᾶς, κατευοδούμενος εἰς πάντα τὰ ἀνὰ χεῖρας ἔργα καὶ πράγματα, ἐν δέ γε τῷ μέλλοντι τῆς αἰωνίου ἐκείνης καὶ ἀκαταλύτου ἐν οὐρανοῖς βασιλείας, εὐχαῖς πάντων τῶν ἁγίων. κύριος ὁ θεὸς εἴη διατηρῶν τὴν εὐγένειάν σου ἄνοσον, εὔθυμον, ὑγιᾶ καὶ ἀνωτέραν παντὸς ἀνιαροῦ συναντήματος †.

CLXXII. (6867—1359) iunio ind. XII.

Synodus dirimit controversiam.

† Φθάνει ὁ Παζύκης Μανουὴλ πρό τινων ἤδη χρόνων ἀγαγόμενος εἰς γυναῖκα τὴν τοῦ πρεσβυτέρου ἐκείνου τοῦ ἐπονομαζομένου Καλαμιτζιώτου θυγατέρα . . . ᾗ δὴ καὶ ἐπὶ χρόνους δ' συνοικήσας παιδία δύο γεγέννηκε, θῆλυ καὶ ἄρρεν, καὶ τοῦ ἄρρενος προτελευτήσαντος τῆς μητρὸς ἐπαπέθανεν ἔπειτα καὶ αὕτη, ἐναπολειφθέντος μόνου τοῦ θήλεος, ἑπταμηνιαίου τῷ τότε τυγχάνοντος. χρόνων δὲ τὸ ἀπ' ἐκείνου ιβ' παρῳχηκότων ἐστὶν ἤδη ἡ κόρη πρὸς ἥβην νόμιμον προελθοῦσα, ὁ δέ γε τοιοῦτος Παζύκης, μὴ θελήσας ἐπινεῦσαι πρὸς δεύτερον συνοικέσιον, τὸν κρείττονα βίον αἱρεῖται, ὡς γνήσιος πατήρ, κατὰ τὸ εἰκὸς τὴν προσήκουσαν κηδεμονίαν τῇ θυγατρὶ ἐνδεικνύμενος. μετὰ μέντοι τὸ συναφθῆναι τὸν Παζύκην τῇ νομίμῳ αὐτοῦ γαμετῇ χρόνου ἑνὸς παραρρυέντος, ἐξωνήσατο οὗτος τὸ περὶ τὴν τοποθεσίαν τοῦ Βλέπου διακείμενον ἀμπέλιον πλησίον τοῦ Ῥοδιάτου ἀπὸ τῆς μοναχῆς τῆς ἐπονομαζομένης Ἀσπιετίνης, ἔνθα δηλαδὴ εὑρίσκεται καὶ τὸ προικόθεν διαφέρον ἀμπέλιον τῷ Παζύκῃ, ὁπηνίκα ἐτύγχανον ὁμόστεγοι τούτῳ ὅ τε πενθερὸς καὶ ἡ πενθερά, μόνου τοῦ Παζύκη κατὰ τὴν περίληψιν τοῦ προσόντος αὐτῷ πρατηρίου ἐγγράφου εἰς πρόσωπον τούτου προβάντος τηνικαῦτα, ἀποφερομένου καὶ ἀναλαμβάνοντος τὰς περιερχομένας πάσας προσόδους ἀπὸ τοῦ ἀμπελίου καὶ τὰς ἐπὶ τούτῳ καλλιεργίας οἴκοθεν καταβαλλομένου καὶ τὰς ἀνηκούσας ἐπὶ τούτῳ ἐπιτελείας ἀποδιδόντος· τοῦ μέντοι πενθεροῦ προτελευτήσαντος τῆς πενθερᾶς καὶ στέρξαντος ἀμεταθέτως τὴν τοιαύτην τοῦ Παζύκη ἐξώνησιν ἐπὶ τῷ ἀμπελίῳ, ἐναπολειφθεῖσα χήρα ἡ πενθερὰ καὶ συνοῦσα τῷ γαμβρῷ τῷδε τῷ Παζύκῃ ἐπὶ χρόνοις δεκατέσσαρσιν, ὕστερον δὲ ἔστεργε καὶ αὕτη κατὰ τὸν ὅμοιον τρόπον τὰ περὶ τούτου, μηδ' ὁτιοῦν

ἀντειποῦσα, μηδὲ ἀγωγήν τινα κινήσασα ὅλως παρὰ πάντα τὸν τῆς ζωῆς αὐτῆς χρόνον ἕνεκα τῆς τοῦ ἀμπελίου ἀγορασίας, καὶ ταῦτα ἐπὶ τοῖς τοσούτοις χρόνοις ἑκάστου ἔτους βλέπουσα τὸν Παζύκην, ὡς τέλειον δεσπότην τοῦ ἀμπελίου πάσας τὰς ἐντεῦθεν ἐπικαρπίας ἀναλαμβάνοντα καὶ κατ' ἐξουσίαν αὐτῷ χρώμενον, ἐπὶ τοσοῦτον δὲ, ὡς οὗτος διισχυρίζετο, οὐδ' ἡντινοῦν μετοχὴν εἶχεν ἐπὶ τούτῳ ἡ πενθερὰ, ὥστε καὶ τοῦ οἴνου ἐν τῷ οἴκῳ εἰσαγομένου κατ' ἔτος παρὰ τοῦ Παζύκη, αὕτη ἑτέρωθεν ἐξωνεῖτο εἰς χρῆσιν ἰδίαν αὐτῆς οἶνον, μηδὲν ἐκεῖθεν λαμβάνουσα. ἐπεὶ δὲ ἡ δηλωθεῖσα πενθερὰ αὐτοῦ τὸν βίον ἀπέλιπε, διαναστὰς μετὰ τὴν τῶν τοσούτων χρόνων παραδρομὴν ὁ γυναικάδελφος αὐτοῦ, ἰητρὸς Στέφανος, δι' ὄχλου γίνεται τούτῳ, προβαλλόμενος, ὡς ὅτε ἀρχῆθεν ἡ τοῦ ἀμπελίου ἐξώνησις γέγονε ἐπὶ τιμήματι εἴκοσιν ὑπερπύρων πρὸς τοῖς ἑκατὸν, ἔφθασε δὲ δεδωκὼς ὁ εἰρημένος πατὴρ αὐτοῦ οἴκοθεν ὑπέρπυρα ἑξήκοντα ἕνεκα τοῦ ἡμίσεος, οὗ δὴ χάριν καὶ πολὺς ἦν ἀπαιτῶν ὁ Στέφανος λαβεῖν τὸ τοῦ ἀμπελίου ἥμισυ, ὁμοῦ μὲν, ὡς ἔλεγεν, ἀνῆκον τῷ πατρὶ αὐτοῦ, ὁμοῦ δὲ καὶ ὡς καταλειφθὲν αὐτῷ παρὰ τῆς μητρός· οὐκ ἴσχυσε μέντοι οὐδέτερον, ὧν προεβάλετο, παραστῆσαι, ἅτε δὴ μήτε τοῦ πατρὸς, μήτε τῆς μητρὸς εἰσόδημά τι ἐπὶ τοῖς τοσούτοις χρόνοις ἐκ τοῦ ἀμπελίου ἀπειληφότων, ἔνθεν τοι καὶ, κἂν οὐκ ἦν εἰσαγώγιμα τὰ τῆς δίκης τοῦ Στεφάνου, ἐφησυχασάντων τῶν γονέων καὶ μὴ ἀγωγήν τινα κινησάντων ἐπὶ τῇ χρονίᾳ παραδρομῇ μεταξὺ περὶ τούτου, φασὶ γὰρ οἱ νόμοι ἐπὶ τῶν ἐνδημούντων δεκαετίᾳ, ἐπὶ δὲ τῶν ἀποδημούντων εἰκοσαετίᾳ, ὅμως διὰ τὸ περιαιρεθῆναι πᾶσαν πρόφασιν καὶ τῶν μερῶν ἀμφοτέρων στερξάντων καὶ καταδεξαμένων, δεῖν ἔγνωσταί συνοδικῶς τῇ ἡμῶν μετριότητι ἐρωτηθῆναι τὴν διαληφθεῖσαν Ἀσπιετίναν, τὴν ἀρχῆθεν τὸ ἀμπέλιον διαπρασαμένην, περιοῦσαν ἤδη, ἐπὶ τῷ τὴν ἀμφισβήτησιν κατὰ τὸν τοῦ δικαίου λόγον διαλυθῆναι. ἐπεὶ δὲ ἦν αὕτη ὑπ' ἀσθενείας ἐμποδιζομένη, ὥστε δὴ ἐπιστῆναι τῷ καθ' ἡμᾶς ἱερῷ συνοδικῷ δικαστηρίῳ ἐπὶ τούτῳ, ἐπέτρεψε καὶ ἀνέθετο ἡ μετριότης ἡμῶν τῷ τε ἱερωτάτῳ μητροπολίτῃ Βρύσεως καὶ ὑπερτίμῳ, ἀγαπητῷ κατὰ κύριον ἀδελφῷ αὐτῆς καὶ συλλειτουργῷ, ἀλλὰ δὴ καὶ τοῖς τιμιωτάτοις ἐκκλησιαστικοῖς ἄρχουσι, τῷ τε μεγάλῳ σακελλαρίῳ, τῷ μεγάλῳ σκευοφύλακι καὶ τῷ δικαιοφύλακι, ἀγαπητοῖς κατὰ πνεῦμα υἱοῖς τῆς ἡμῶν μετριότητος, καὶ ἐπιστάντες οὗτοι πρὸς αὐτὴν καὶ ἀφορισμοῦ βάρος ἐκφωνήσαντες ἐπ' αὐτὴν, ὥστε κατὰ

μηδένα τρόπον τὴν ἀλήθειαν συγκαλύψαι ἕνεκα τῆς ἀγορασίας τοῦ ἀμπελίου, ἔσχον ὑπὸ τῷ τοιούτῳ βάρει αὐτὴν ἐξασφαλισαμένην καὶ διαβεβαιωσαμένην καὶ ὡς ἐπὶ τοῦ φοβεροῦ δικαστηρίου τοῦ Χριστοῦ, ὡς ταῖς ἀληθείαις ὁ διαληφθεὶς Παζύκης ἐστὶν ὁ κατ' ἀρχὰς ἀπὸ ταύτης ἐξωνησάμενος τὸ ῥηθὲν ἀμπέλιον, καὶ αὐτὸς μόνος τὰ τοῦ τιμήματος ἑκατὸν εἴκοσιν ὑπέρπυρα εἰς χεῖρας πρὸς αὐτὴν δέδωκε, καὶ εἴ τι ἕτερον κατεβλήθη, καὶ μήτε τὸν πενθερὸν αὐτοῦ παρασχεῖν αὐτῷ μέχρι καὶ τοῦ τυχόντος ἐπὶ τῇ ἐξωνήσει τοῦ ἀμπελίου, μήτε δὲ τὴν πενθερὰν ὅλως, ἀλλ' αὐτὸν δὴ τὸν Παζύκην μόνον καθαρῶς τὸ τίμημα οἴκοθεν καταβαλόντα τὴν ἀγορασίαν τοῦ ἀμπελίου ἀπὸ ταύτης ποιήσασθαι καὶ τὸ ταβουλλαρικὸν πρατήριον ἔγγραφον εἰς πρόσωπον αὐτοῦ μόνου ἐκθέσθαι, οὐ μὴν δὴ ἀλλὰ καὶ πλείονος ἕνεκεν ἀσφαλείας διὰ τὸ πανταχόθεν ἀναφανῆναι τὴν ἀλήθειαν, ἐρωτηθεὶς καὶ χάριν τῆς κατ' ἔτος ἐπιτελείας τοῦ ἀμπελίου ὁ ἀποτεταγμένος ἀναλαμβάνειν αὐτὴν Ῥοδιάτης ἐπονομαζόμενος, παρὰ τίνος ἀπελάμβανε ταύτην ἐτησίως, διεμαρτύρατο, καὶ ὡμολόγησεν οὗτος μετ' ἀσφαλείας τῆς προσηκούσης ἐπάνω εἰς τὴν ψυχὴν αὐτοῦ, ὅτι δὴ μόνος ὁ ῥηθεὶς Παζύκης ἀπεδίδου πρὸς αὐτὸν τὴν τοιαύτην ἐπιτέλειαν, μήτε τοῦ πενθεροῦ, μήτε μὴν τῆς πενθερᾶς τὸ οἱονοῦν ἀποδιδόντων αὐτῷ. τῆς γοῦν ὑποθέσεως κατὰ τὸν ἀναγεγραμμένον τρόπον παρακολουθησάσης καὶ τῆς ἀληθείας ἀριδήλως ἀναφανείσης, ἀπεφήνατο ἡ μετριότης ἡμῶν μετὰ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων, τοῦ Νικαίας, τοῦ Βιζύης, τοῦ Βρύσεως καὶ τοῦ Ῥωσίου, καὶ ἐδικαίωσε τὸν δηλωθέντα Παζύκην, ὡς ἂν, ἐπεὶ καλῇ πίστει ἐξωνήσατο οἴκοθεν τὸ τοιοῦτον ἀμπέλιον καὶ οἰκείοις κόποις καὶ ἀναλώμασιν αὐτὸ συνεστήσατο, ἀποφερόμενος ἀνεμποδίστως καὶ τὰς ἐντεῦθεν περιερχομένας προσόδους, μηδεμίαν μετοχὴν ἐχόντων μήτε τοῦ πενθεροῦ, μήτε τῆς πενθερᾶς ἐπ' αὐτῷ ἐπὶ τοῖς τοσούτοις χρόνοις, διαγορεύουσι δὲ καὶ οἱ φιλευσεβεῖς νόμοι οὕτωσὶ κατὰ ῥῆμα· „ὡς ἡ χρονία νομὴ συμβάλλεται τοῖς καλῇ πίστει νεμομένοις" καὶ ταῦτα τῆς δίκης, ὡς εἴρηται, διὰ τὴν χρονίαν παραδρομὴν μὴ ἐχούσης τὸ εἰσαγώγιμον, πλὴν τρακταϊσθείσης διὰ τὸ ἀπροφάσιστον καὶ τὴν τῆς ἀληθείας ἀνεύρεσιν καὶ ἀποδειχθείσης οὕτως, ὡς ἀνωτέρω κατὰ μέρος διείληπται, καὶ καθάπερ μετὰ τοῦ τοιούτου βάρους ἡ διαπρασαμένη τὸ τοιοῦτον ἀμπέλιον Ἀσπιετίνα ἐξησφαλίσατο, κατέχῃ καὶ εἰς τὸν ἑξῆς χρόνον αὐτὸ ὁ Παζύκης, καὶ νέμηται ἀνενοχλήτως

καὶ ἀδιασείστως κατὰ πᾶσαν δεσποτείαν καὶ κυριότητα, καὶ ἔχῃ ἐπ' ἀδείας ποιεῖν ἐπ' αὐτῷ πάντα τὰ πρὸς βουλήσεως καὶ ὅσα τοῖς γνησίοις δεσπόταις ἐπὶ τοῖς ἑαυτῶν παρὰ τῶν αὐτῶν θείων νόμων ἐφεῖται, καὶ μήτε παρὰ τοῦ ῥηθέντος γυναικαδέλφου ἰητροῦ τοῦ Στεφάνου, μήτε δὲ παρ' ἑτέρου οἱουδήτινος εὑρίσκῃ τὴν τυχοῦσαν ἐπήρειαν τούτου ἕνεκα, πᾶσα γὰρ θύρα δικαιολογίας ἀποκέκλεισται τῷ Στεφάνῳ, ἡντινοῦν ἀγωγὴν καὶ ὄχλησιν περὶ τούτου κινεῖν. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν καὶ παντελῆ ἀνενοχλησίαν ἐπιδέδοται τῷ διαληφθέντι Μανουὴλ τῷ Παζύχῃ καὶ παντὶ τῷ μέρει αὐτοῦ καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε τὸ· μηνὶ ἰουνίῳ ἰνδ. ιβ' διὰ τῆς τιμίας πατριαρχικῆς χειρός †.

CLXXIII. (6869—1360) novembri ind. XIV.

Synodus dirimit controversiam.

† Φθάνει πρό τινος ἤδη καιροῦ κινήσασα ἀγωγὴν ἡ Μαγιστρίνα ἐπὶ τῆς ἡμῶν μετριότητος, ὅπως ἡ πρωτεξαδέλφη αὐτῆς, ἡ Βρυέννισσα ἐκείνη, τῶν θειῶν αὐτῆς ἀδιαθέτων καὶ ἀπαίδων τὸν βίον ἀπολιπουσῶν, εἰληφυῖα τὴν ἀνήκουσαν αὐτῇ μερίδα κληρονομικὴν ἀπὸ τῶν περὶ τὴν Μικρὰν Πόλιν διακειμένων οἰκημάτων ἐκείνων, εἰσεποιήσατο ταύτην δὴ τὴν Μαγιστρίναν καὶ ὡς γνησίαν στέρξασα θυγατέρα, συζεύξασά τε ταύτην νομίμῳ ἀνδρὶ, κυρῷ Μιχαὴλ τῷ Μαγίστρῳ, ἐκδίδωσι διὰ συμφώνου πρὸς τοῖς γονικόθεν προσοῦσιν αὐτῇ δὴ τῇ Μαγιστρίνῃ καὶ τὰ μητρόθεν ἐκείνῃ διαφέροντα οἰκήματα, μετὰ δὲ τὴν τῆς Βρυεννίσσης ἀποβίωσιν καὶ τὰ περιελθόντα ἀπὸ τῆς διαληφθείσης κληρονομίας, ἤγουν τὰ ἕτερα ὁσπήτια, τά τε ἀπὸ τοῦ μαγκιπείου, τοῦ περιβολίου καὶ τῆς αὐλῆς καὶ τῶν τριῶν ἐργαστηρίων τῶν περὶ τὴν δημοσίαν ὁδὸν εὑρισκομένων ἐκεῖσε. χρόνων δὲ παρῳχηκότων τὸ ἐξ ἐκείνου τινῶν καὶ τῆς μὲν Μαγιστρίνης ἀποδήμου τυγχανούσης, τῆς δέ γε Βρυεννίσσης τὸ ζῆν ἐκμετρησάσης, ἀδείας λαβομένη ἡ ἑτέρα πρωτεξαδέλφη αὐτῆς, ἡ Τριφυλλίνα, καὶ προβαλλομένη ἐπ' ἀλλοδαπῆς τελευτῆσαι τήνδε γε τὴν Μαγιστρίναν, ἐπελάβετο τῶν συμπεφωνημένων αὐτῇ πρὸς τῆς Βρυεννίσσης ἐργαστηριακῶν τούτων οἰκημάτων, καὶ ἐκδίδωσι πρὸς τὴν σεβασμίαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ ὁσίου Παύλου τοῦ ἐν τῷ Λάτρῳ· εἰς συμβάσεις δ' ὕστερον ἐλθόντες οἱ ἐν αὐτῇ

μοναχοὶ μετὰ τῆς Συναδηνῆς ἐξεποιήσαντο πρὸς αὐτὴν τά τε οἰκήματα τῆς Τριφυλλίνης σὺν τοῖς τρισὶ τούτοις ἐργαστηρίοις καὶ τῇ αὐλῇ, ἥτις δὴ Συναδηνὴ ἐκδίδωσιν τῷ γαμβρῷ αὐτῆς τῷ Περδικάρῳ εἰς προῖκα μετὰ τῶν ἄλλων καὶ τὰ τοιαῦτα ἐργαστήρια. ταῦτα ἀνενεγκοῦσα καὶ ἅμα προκομίσασα τὸ σύμφωνον αὐτῆς, ταὐτὰ τοῖς τοιούτοις λόγοις διεξιὸν, ἀπῄτει ἀντικριθῆναι περὶ τούτου τοῖς μοναχοῖς, οἳ δὲ, ὡς μὴ εἰδότες ἀκριβῶς τὰ τῆς ὑποθέσεως καὶ ὅπως κατεῖχε ταῦτα ἡ Τριφυλλίνα καὶ τίνι τρόπῳ, ἀνεβάλλοντο μὲν πρὸς καιρὸν, τέως γε μὴν ἀντικριθέντες αὐτῇ, ἐπεὶ οὐκ εἶχον ἐμφανίσαι δικαίωμα ἔγγραφον ἢ μάρτυρας, συνειδότας, ὅπως ἐπελάβετο ἥδε ἡ Τριφυλλίνα τῶν εἰρημένων ἐργαστηρίων, ἅτε δὴ μὴ θελήσαντες ἐξετάσει πολλῇ εὑρεῖν, ὡς ταῖς ἀληθείαις τοῦτο παρηκολούθησε, κατεδικάσθησαν συνοδικῶς, τῆς Μαγιστρίνης δικαιωθείσης κατὰ τὴν τοῦ συμφώνου περίληψιν ἐπιλαβέσθαι τῶν τε γονικῶν οἰκημάτων τῆς Βρυεννίσσης καὶ τούτων δὴ τῶν τριῶν ἐργαστηρίων, ὡς ἀνηκόντων ἐκείνῃ ἀπὸ τῆς κληρονομίας τῶν θειῶν αὐτῆς, τοῦ Περδικάρου ἀζημίου τηρηθέντος, ὃν δῆτα τρόπον διέξεισι καὶ διαλαμβάνει τὸ γεγονὸς αὐτῇ τηνικαῦτα γράμμα τῆς ἡμῶν μετριότητος. ἐπεὶ δὲ ἐκίνησεν ἔπειτα ἀγωγὴν ἡ Μαγιστρίνα καὶ κατὰ τοῦ ἔχοντος ἀρτίως τὸ δηλωθὲν μαγκιπεῖον ..... συνοδικῶς ἀνακαλουμένη καὶ αὐτὸ κατὰ λόγον κληρονομίας, ὡς ἴδιον ὂν δῆθεν τῆς Βρυεννίσσης, καὶ ἐξετάσθη τὰ περὶ τούτου, καὶ ἀνεφάνη ἀπὸ τῶν πρατηρίων, ὅτι διέπρασε τοῦτο ἡ ..... ἀπὸ δὲ τῶν μαρτύρων τοῦ τε μοναχοῦ Ῥουντζερίου καὶ τοῦ ..... τοῦ ἱερωτάτου μητροπολίτου Ἡρακλείας, προέδρου τῶν ὑπερτίμων, ἐξάρχου πάσης Θρᾴκης καὶ Μακεδονίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῦ, ἐξ ἐπιτροπῆς αὐτὸς τὴν ἐξέτασιν τῆσδε τῆς μαρτυρίας ποιησαμένου μετὰ βάρους ἀφορισμοῦ, ὅτι παρῆσαν ἥ τε Μαγιστρίνα καὶ ὁ ἀνὴρ αὐτῆς, καθ' ὃν καιρὸν ἐγεγόνει ἡ πρᾶσις τοῦ μαγκιπείου, καὶ οἰκοῦντες ἐκ γειτόνων καὶ τὴν πρᾶσιν βεβαίως γνωρίσαντες, οὐ μόνον οὐκ ἀντεῖπον, ἀλλὰ καὶ καθάπαξ ἀπεσιώπησαν, μηδ' ἡντινοῦν κεκινηκότες ἀγωγήν· τούτου γε ἕνεκα καὶ κατεδικάσθη ἡ Μαγιστρίνα εἰς τὸ τοιοῦτον μαγκιπεῖον, καθὼς ἡ προβᾶσα συνοδικὴ τῷ τότε διάγνωσις κατὰ μέρος διέξεισι. ἀνερευνῶν δὲ καὶ ὁ Περδικάρης καὶ ἐπιμέλειαν καὶ σπουδὴν τὴν δυνατὴν ἐνστησάμενος, ὡς τῶν εἰρημένων μοναχῶν ἀναθεμένων αὐτῷ τὰ τούτων δίκαια ἐπὶ τῇ

δηλωθείσῃ ὑποθέσει, εὗρε καὶ οὗτος ἔγγραφα δικαιώματα καὶ μάρτυρας ἀξιοπίστους ὑπὲρ τοῦ μέρους τῆς Τριφυλλίνης, ἔκκλητον ἐποιήσατο ἐπὶ τῆς ἡμῶν μετριότητος συνοδικῶς κατὰ τῆς Μαγιστρίνης, διισχυριζόμενος ἀποδεῖξαι μετὰ ἐναργῶν παραστάσεων, τὴν Μαγιστρίναν ἀδίκως ἐπιλαβέσθαι ἀρτίως τῶν δηλωθέντων ἐργαστηρίων, καὶ ὡς μὴ ἐξετάσει ἀκριβεῖ δοθείσης τῆς ὑποθέσεως τῇ τῶν μοναχῶν ἀμελείᾳ δικαιωθῆναι ταύτην συνέβη. διαμηνύεται τοιγαροῦν ἡ Μαγιστρίνα παρὰ τῆς ἡμῶν μετριότητος εἰς τὴν ἔκκλητον ἀπαντῆσαι, ἡ δ' ἀναβάλλεται καὶ δυσχεραίνει πρὸς τοῦτο, τέως γε μὴν συνελαθεῖσα τοῖς συχνοῖς καὶ διαφόροις μηνύμασι παρίσταται μόλις σὺν τῷ ἀνδρὶ τῷ δικαστηρίῳ· παρὼν δὲ καὶ ὁ Περδίκαρος, ὡς ἀναδεξάμενος τὰ τῶν μοναχῶν δίκαια, ὡς εἴρηται, προεβάλετο, ὅτι τε ζώσης τῆς Βρυεννίσσης ἐκείνης κατεῖχε καὶ ἐνέμετο τὰ τοιαῦτα ἐργαστήρια ἡ Τριφυλλίνα, ὡς ἀνήκοντα ἐκείνῃ μάλιστα ἀπὸ τῆς τῶν θειῶν κληρονομίας καὶ οὐ τῇ πρωταδέλφῃ αὐτῆς, τῇδε τῇ Βρυεννίσσῃ, ἅτε δὴ κεκληρονομηκυίᾳ τούτου χάριν μερίδα ἑτέραν, καὶ ὅτι ἀντικριθέντες ὅ τε πατὴρ τῆς Μαγιστρίνης ὁ Κεκαλεσμένος ἐκεῖνος καὶ ὁ ἀνὴρ αὐτῆς, οὗτος ὁ Μάγιστρος, τῷ μέρει τῆς Τριφυλλίνης ἀναλαβέσθαι πειρώμενοι τὴν πατρικὴν κληρονομίαν αὐτοῖς, ὡς νόθου δῆθεν οὔσης θυγατρὸς τοῦ ἀδελφοῦ τοῦ τοιούτου Κεκαλεσμένου, οὐδέν τι περὶ τῆς κατοχῆς τῶν ἐργαστηρίων τούτων κεκινήκασι, κατεδικάσθησαν δὲ μᾶλλον καὶ εἰς ὅπερ ἐνεκάλουν, καθὼς διαλαμβάνει τὸ γεγονὸς τηνικαῦτα δικαίωμα, ἀλλὰ καὶ ἡ τοιαύτη Βρυέννισσα, πρὸς τῷ τέλει τοῦ βίου αὐτῆς κατὰ μοναχὰς ἀποκειραμένη, καταλέλοιπε ἐνδιαθήκως σὺν τοῖς οἰκείοις καὶ τὰ περιελθόντα τῇ Τριφυλλίνῃ ἀπὸ πατρικῆς κληρονομίας οἰκήματα πρὸς τὴν σεβασμίαν βασιλικὴν μονὴν τῆς κυρᾶς Μαρίας, δι' ἃ πολλάκις καὶ διαφόρως, ἐφ' ὅσον ἐκείνη τῷ βίῳ περιῆν, ἀντικριθεῖσα τῇ Τριφυλλίνῃ κατεδικάσθη, τοῦ δέ γε μέρους τῆς τοιαύτης σεβασμίας μονῆς ἀντικριθέντος περὶ τούτου τῷ μέρει τῆς Τριφυλλίνης ἐπὶ τοῦ βασιλικοῦ σεκρέτου ἐδικαιώθη ἡ Τριφυλλίνα, οὐ μόνον κατέχειν καὶ νέμεσθαι καὶ εἰς τὸ ἑξῆς τὰ διαληφθέντα οἰκήματα, ἀλλὰ ἀναζητεῖν καὶ λαμβάνειν καὶ τὰ ἀνήκοντα αὐτῇ κατὰ λόγον κληρονομίας ἀπὸ τῶν θειῶν αὐτῆς. ταῦτα εἰπὼν προεκόμισεν ἐπὶ τοῦ μέσου τὰ εἰρημένα δικαιώματα, ταὐτὰ τοῖς τούτου λόγοις διεξιόντα καὶ τὸ πιστὸν πάντοθεν ἔχοντα. πρὸς τούτοις διετείνετο, ὅτι μὴ μόνον ἐπιδημῶν ἐνταῦθα ὁ

ἀνὴρ αὐτῆς, ὅδε ὁ Μάγιστρος, καὶ βασιλικῆς εὐμενείας τυγχάνων οὐδὲν ἐκίνησε τὴν τυχοῦσαν ἀγωγὴν περὶ τῆς κατοχῆς τῶν τοιούτων ἐργαστηρίων κεκρατουμένων παρὰ τοῦ μέρους τῆς Τριφυλλίνης, ἀλλὰ καὶ δι' αἰτίαν τινὰ μέσον τούτων προβᾶσαν εἰληφὼς ὑπέρπυρα εἴκοσιν ἀπὸ τῆς Τριφυλλίνης συνῄνεσε καὶ ἀπεβάλετο ἐγγράφως, ὅπερ προεβάλετο ὑπὲρ αὐτοῦ δῆθεν δίκαιον, ἔτι τε ὑπέγραψεν οἰκειοχείρως καὶ εἰς τὸ γεγονὸς παρὰ τῶν μοναχῶν τούτων τῇ Συναδηνῇ πρατήριον ἐπὶ τοῖς τοιούτοις οἰκήμασιν, ἀφ' ὧν ἀριδήλως ἀναφαίνεται, μηδεμίαν ἔχειν δικαίωσιν ἀγωγῆς ἐπὶ τούτῳ. ἐπὶ τούτοις προετρέψατο ἡ μετριότης ἡμῶν τῷ μέρει τῆς Μαγιστρίνης ἀπολογήσασθαι, καὶ προεκόμισεν ἀντὶ παντὸς τὸ σύμφωνον αὐτῆς, προβαλλόμενον καταγράφεσθαι ταῦτα ἐν αὐτῷ, ἤγουν τὰ δηλωθέντα οἰκήματα, καὶ κληρονομεῖν τὴν Μαγιστρίναν ἐντεῦθεν αὐτά, τῆς Βρυεννίσσης τὸν βίον ἀπολιπούσης, καὶ μηδένα ἕτερον λόγον ἔχειν κινεῖν περὶ τούτου, προεκόμισε δὲ, οὐχ ὅπερ παρήγαγε πρότερον σύμφωνον, ἀλλ' ἕτερον παρηλλαγμένον καὶ ἀνόμοιον τῷ προτέρῳ, ἐπειδὴ τὸ μὲν ἦν ἐκ χαρτίου βαγδαϊτικοῦ πεπαλαιωμένου, ὃ δὲ ἐνεφάνισεν ὕστερον, ἐκ χαρτίου νέου συνήθους κεκαπνισμένου καὶ διὰ τοῦτο δοκοῦντος μέλανος καὶ παλαιοῦ, ὅπερ μὴ μόνον ἡ μετριότης ἡμῶν ἅμα τῷ λαβεῖν ἐν χερσὶν ἔγνω παντάπασιν ἀλλοῖον εἶναι παρὰ τὸ πρότερον, ἐπειδὴ πολλάκις προκομισθὲν συνοδικῶς, ὅτε τοῖς μοναχοῖς ἀντεκρίθη ἡ Μαγιστρίνα, εἶδε καὶ ἐθεάσατο τοῦτο, ἀλλὰ καὶ οἱ τιμιώτατοι ἐξωκατάκηλοι ἐκκλησιαστικοὶ, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος, ὅ τε μέγας σακελλάριος καὶ διδάσκαλος τῶν διδασκάλων, κῦρ Θεόδωρος διάκονος ὁ Μελιτηνιώτης, καὶ ὁ σακελλίου καὶ δικαιοφύλαξ, κῦρ Γεώργιος διάκονος ὁ Περδίκης, διεβεβαιώσαντο καὶ ἐξησφαλίσαντο, ταῖς ἀληθείας ἕτερον εἶναι τὸ νῦν ἐμφανισθὲν σύμφωνον καὶ ἄλλο παρὰ τὸ πρῶτον, ὡς ἐπιστατῶς τοῦτο καὶ ἰδόντες καὶ περιεργασάμενοι. ἔδει γοῦν κατὰ τὸν δίκαιον καὶ ἀκριβῆ λόγον, ἐπείπερ κατὰ τὴν περίληψιν τοῦ συμφώνου καὶ οὐ καθ' ἑτέραν αἰτίαν τινὰ δεδικαίωται ἡ Μαγιστρίνα, χρόνοις ἤδη πολλοῖς στερουμένη καὶ μηδὲ ἐν κατασχέσει γενομένη ποτὲ τῶν τοιούτων οἰκημάτων, ἀποπεμφθῆναι ταύτην καὶ καταδικασθῆναι αὐτίκα, ὡς πεφαλσευμένα σύμφωνα προκομίσασαν, συγκαταβάσει δὲ ὅμως χρησαμένη ἡ μετριότης ἡμῶν καὶ κατεξετάσαι τὴν ὑπόθεσιν βουλομένη, ἐπεὶ νόσῳ ἐνισχημένη, ὁπηνίκα ἐκινήθη κατ' ἀρχὰς ἡ τοιαύτη ὑπό-

θεσις, οὐ δι' ἑαυτῆς ἐποίησατο τὴν τοπικὴν ἐξέτασιν καὶ ἐπιστασίαν αὐτῆς, διέγνω συνοδικῶς παραγαγεῖν τόνδε τὸν Περδικάρον τε καὶ οὓς προεβάλετο μάρτυρας, εἴδησιν ἀκριβῆ ἔχοντας, ὅπως κατεῖχε κυρίως ἡ Τριφυλλίνα τάδε τὰ ἐργαστήρια, ζώσης ἔτι τῆς Βρυεννίσσης. παρέστησαν οὖν συνοδικῶς, παρόντων καὶ ἀμφοτέρων τῶν μερῶν, εἰ καὶ τὸ μέρος τῆς Μαγιστρίνης ταῖς ὁμοίαις ἀναβολαῖς χαῖρον, τέως γε μὴν παρεγένετο ὅ τε ἀπὸ τῶν ἰατρῶν .... ὁ Βαρὺς, ὁ ἀπὸ τῆς σεβασμίας καὶ βασιλικῆς μονῆς τῶν Ὁδηγῶν, ὁ δηλωθεὶς μοναχὸς ὁ Ῥουντζέριος καὶ ὁ ἀπὸ τῆς σεβασμίας βασιλικῆς καὶ πατριαρχικῆς μονῆς τῶν Μαγγάνων, μοναχὸς .... ὁ Γαβρᾶς, καὶ ἠρωτήθησαν μετὰ βάρους φρικώδους ἀφορισμοῦ ἐξειπεῖν καὶ διομολογῆσαι τὴν εἰς τοῦτο πᾶσαν ἀλήθειαν, οἵτινες καὶ δεξάμενοι τὸ τοιοῦτον βάρος τοῦ ἀφορισμοῦ ἐξεῖπον καὶ διεβεβαιώσαντο, ὅτι γινώσκουσιν ἀκριβῶς, ὡς πρὸ χρόνων ἤδη τριάκοντα τεσσάρων καὶ ἐπέκεινα εἶχε καὶ ἐνέμετο τὰ τοιαῦτα ἐργαστήρια καὶ τρία οἰκήματα ἡ διαληφθεῖσα Τριφυλλίνα ἐκείνη κατὰ πᾶσαν δεσποτείαν καὶ κυριότητα, ζώσης τῆς Βρυεννίσσης καὶ μηδένα λόγον ἢ τὴν τυχοῦσαν ἀγωγὴν κινησάσης περὶ τούτων τὸ σύνολον. ἰδίᾳ μέντοι ἐξησφαλίσατο ὁ δηλωθεὶς μοναχὸς ὁ Γαβρᾶς, ὅτι ἐπὶ τοσοῦτον εἶχε τὴν δεσποτείαν τῶν τοιούτων ἐργαστηρίων ἡ Τριφυλλίνα, ὥστε δοῦναι τῷ γαμβρῷ αὐτῆς κῦρ .... τῷ Συροπούλῳ ἐκείνῳ, καὶ ταῦτα ἔτι τῷ βίῳ περιούσης τῆς Βρυεννίσσης. τὸ μέντοι μέρος τοῦ Μαγίστρου μὴ δυνάμενον ἀντειπεῖν εἰς ταῦτα καθαρῶς καὶ βεβαίως ἐπλάτυνετο παραγαγεῖν ἑτέρους μάρτυρας ἐπ' ἀνατροπῇ δῆθεν τῆς τοιαύτης κατησφαλισμένης μαρτυρίας, καὶ διαμηνυόμενον εἰς τοῦτο πολλάκις παρὰ τῆς ἡμῶν μετριότητος συνοδικῶς, οὐδὲν πλέον ἐποίει, χρόνου καὶ ταῦτα οὐκ ὀλίγου παραδραμόντος, ἑδραζόμενον μόνον εἰς ὅπερ ἐπορίσατο πρότερον γράμμα, ὡς δὴ διείληπται, τῆς ἡμῶν μετριότητος. τούτων οὖν οὕτω παρηκολουθηκότων, ἐπεὶ οὐκ ἀπ' ἄλλης τῆς οἱασδήτινος αἰτίας ἔσχε τὴν δικαίωσιν ἡ Μαγιστρίνα, εἰ μὴ ἀπὸ τῆς περιλήψεως τοῦ δῆθεν προκομιζομένου συμφώνου παρ' αὐτῆς, ὅπερ ἀνεφάνη ταῖς ἀληθείαις κατὰ τὸν ἀναγεγραμμένον τρόπον πεφαλσευμένον, ἀπεδείχθη δὲ καὶ διὰ μαρτυρίας ἀξιοπίστων προσώπων κατέχεσθαι τὰ τοιαῦτα οἰκήματα παρὰ τῆς Τριφυλλίνης ἐφ' ἱκανὸν ζώσης τῆς Βρυεννίσσης καὶ δοθῆναι εἰς προῖκα τῷ γαμβρῷ αὐτῆς, τῷ Συροπούλῳ ἐκείνῳ, καὶ ὅτι πρὸς τῷ τέλει τοῦ βίου ἡ Βρυέν-

νισσα ἐκείνη καταλείψασα, ὡς δεδήλωται, ἐνδιαθήκως τά τε οἰκεῖα καὶ τὰ τῆς Τριφυλλίνης οἰκήματα, οὐδέν τι ἐπαφῆκε πρὸς αὐτὴν καὶ ἐκεῖθεν ἐπιδημοῦσαν καὶ εὑρισκομένην ἐνταῦθα, ἀλλὰ πρὸς τὴν ῥηθεῖσαν μονὴν τῆς κυρᾶς Μαρίας, ὡς μετ' ἀσφαλείας ὡμολογήθη καὶ τοῦτο παρὰ τοῦ μέρους τῆς αὐτῆς μονῆς, ἔσχε δὲ τὴν νικῶσαν ἡ Τριφυλλίνα ἐπὶ πᾶσι τούτοις ἀντικρινομένη τῷ μέρει τῆς Βρυεννίσσης καὶ ζώσης καὶ τελευτησάσης, καθὼς τὰ ἐπὶ τούτῳ σεκρετικὰ δικαιωτήρια γράμματα διέξεισιν, ὅπερ ἐπεβεβαίωσεν οὐδὲν ἧττον καὶ ἡ σιωπὴ ἐπὶ τῇ πράσει τοῦ μαγκιπείου, ὡς εἴρηται, τῆς τε Μαγιστρίνης καὶ τοῦ ἀνδρὸς αὐτῆς, παρόντων καὶ ἀμφοτέρων τηνικαῦτα ἐν τῇ θεοδοξάστῳ καὶ θεομεγαλύντῳ Κωνσταντινουπόλει, καὶ μὴν καὶ ἡ ἔγγραφος συναίνεσις τοῦδε τοῦ Μαγίστρου ἐπὶ τῷ γεγονότι παρ' αὐτοῦ γράμματι τῇ Τριφυλλίνῃ, ἀλλὰ δὴ καὶ ἡ ὑπογραφὴ ἡ εἰς τὸ πρατήριον τῶν τοιούτων οἰκημάτων, τὸ γεγονὸς παρὰ τῶν μοναχῶν τῇ Συναδηνῇ. διὰ γοῦν τὰς τοιαύτας αἰτίας ἀναγκαίας καὶ νομίμους κρινομένας καὶ συντεινούσας εἰς καθαρὰν τῆσδε τῆς ὑποθέσεως διευλύτωσιν συνδιασκεψαμένη τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἡρακλείας, τῷ Ποντοηρακλείας, τῷ Χριστιανουπόλεως, τῷ Ῥωσίου, διέγνω καὶ ἀπεφήνατο, ἵνα κατέχῃ τὰ τοιαῦτα τρία ἐργαστήρια, καθὼς ἐξωνήσατο τὸ μέρος τοῦ Περδικάρου, κυρίως καὶ δεσποτικῶς, ὡς στεργομένη ἀναμφιβόλως τῆς ἐπὶ τούτοις δεσποτείας τῆς Τριφυλλίνης ἐκείνης καὶ τῆς ταύτης ἐκδόσεως τῆς εἰς τὴν σεβασμίαν μονὴν τοῦ ὁσίου Παύλου, καὶ οὐδὲν εὑρίσκῃ ἐπὶ τῇ κατοχῇ καὶ νομῇ καὶ τελείᾳ δεσποτείᾳ καὶ κυριότητι τῶν δηλωθέντων ἐργαστηριακῶν οἰκημάτων τὴν τυχοῦσαν ἐπήρειαν ἢ διενόχλησιν παρὰ τῆς Μαγιστρίνης καὶ παντὸς τοῦ μέρους αὐτῆς, ἀλλ' ἔχῃ ἄδειαν παντοίαν ποιεῖν ἐπ' αὐτοῖς τὰ πρὸς βουλήσεως ἅπαντα καὶ ὅσα ἐφεῖται παρὰ τῶν φιλευσεβῶν νόμων τοῖς τελείοις δεσπόταις, ὀφείλοντος τὸ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς εἶναι ἀκύρου τοῦ προβάντος γράμματος εἰς δικαίωσιν τῆς Μαγιστρίνης, ὡς ἀπὸ τῆς περιλήψεως τοῦ νόθου καὶ πεφαλσευμένου συμφώνου καὶ μόνον γεγονότος καὶ ἀνισχύρου διὰ τὰς ἐπιγεγονυίας, ὡς εἴρηται ἀνωτέρω, ἀποδείξεις καὶ κατησφαλισμένας μαρτυρίας κριθέντος καὶ ἀναφανέντος. καὶ γοῦν ὀφείλει πραχθῆναι τὰ περὶ τούτου ἀμεταθέτως κατὰ τὴν συνοδικὴν ταύτην καὶ ἡμετέραν διά-

γνωσιν, ἐπεὶ καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε τὸ· μηνὶ νοεμβρίῳ ἰνδ. ιδ' διὰ τιμίας πατριαρχικῆς χειρός †.

CLXXIV. Sine anno.

Patriarchae exhortatio de matrimoniis impuberum.

† Ἡ τοῦ ἀγαθοῦ στέρησις, ἀγαπητοὶ ἀδελφοί, καὶ ἡ ἔκπτωσις τοῦ καλοῦ πολὺν παρέχει τὸν τοῦ θεοῦ μακαρισμόν, ὡς γὰρ ἡ τοῦ κακοῦ ἀποχὴ αἰτία γίνεται τῆς ἐπιδόσεως τῶν ἀγαθῶν ἔργων, οὕτω καὶ ἡ ἀργία τῶν τοῦ θεοῦ ἐντολῶν οὐκ ἀγαθὸς πρόξενος πέφυκε πρὸς τὴν τοῦ βίου σεμνότητα, μᾶλλον μὲν οὖν καὶ τὸν θεὸν εἰς ἀγανάκτησιν καθ' ἡμᾶς διαγείρει. ἡ γὰρ τῶν θείων πατέρων νομοθεσία τοῦ θεοῦ πάντως εἰσὶ λόγια, διὰ γὰρ τοῦ ἁγίου καὶ τελειοποιοῦ πνεύματος ταῦτα ἐνομοθέτησαν καὶ ἐδίδαξαν, καὶ διὰ τοῦτο ἐπάγουσι καὶ τὴν ἀπειλὴν φοβερὰν πρὸς τοὺς ἀπειθεῖς καὶ ἀγνόμωνας, τὸν ἀπὸ τοῦ θεοῦ χωρισμὸν ἀποφαινόμενοι κατ' αὐτῶν ἀριδήλως. οὐκοῦν τί ἀναβάλλεσθε ἡμέραν ἐξ ἡμέρας ἀντιποιηθῆναι τῶν ἀγαθῶν ἔργων; τί ὡς σχοινίον μακρὸν, προφητικῶς εἰπεῖν, ἐπισπᾶσθε τὰς ἁμαρτίας ὑμῶν, καὶ ὡς βαρὺ φορτίον τε καὶ δυσβάστακτον οὐ παιδεύει ὑμᾶς ἡ πικρὰ αὕτη καὶ δεινὴ αἰχμαλωσία ἡ καθ' ἡμέραν συνέχουσα καὶ συντρίβουσα; οὐ συνταράσσει τὴν ἡμετέραν διάνοιαν ὁ καθ' ἡμᾶς ἀεὶ ἐπηρτημένος κίνδυνός τε καὶ φόβος; οὐ κυκλοῦσιν ἡμᾶς οἱ πολέμιοι ὡς ἄγριοι καὶ ἀτίθασοι θῆρες, μανικὸν οἷον πνέοντες καὶ κατάβρωμα προσδοκῶντες ποιήσειν ἡμᾶς τοῖς ὀδοῦσιν αὐτῶν, καθάπερ πρόβατα, ποιμένα μὴ ἔχοντα; πότε τοίνυν ἐπιστρέψομεν ἐκ τῆς πλάνης ταύτης καὶ τῆς κακίας; πότε συνοίσομεν, ὡς εἰκὸς, τὰ δέοντα συνορῶντες καὶ συνδιασκεψάμενοι; πότε τὰς ἁμαρτίας ἡμῶν ἐξιλεωσόμεθα διὰ τῆς καλλίστης ἐπιστροφῆς καὶ γνησίας καὶ εἰλικρινοῦς πρὸς τὸν θεὸν μετανοίας; οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, ὡς ἀληθῶς χεῖρον ἀναισθησίας καὶ ἀπογνώσεως, ἄνοια γὰρ καὶ ἀπόνοια, κατὰ τὸν σοφὸν Σιρὰχ, πονηροὶ γείτονες. βαβαὶ τῆς κακίστης ἐπιθυμίας καὶ φιληδόνου καὶ ματαίας ὀρέξεως, δυσαπάλλακτον γὰρ, ὡς ἀληθῶς, χρῆμα ἡ κακία καὶ πάνυ δυσκαταγώνιστον. βούλει δὲ μαθεῖν ἀκριβῶς ταύτης τὴν θεραπείαν καὶ ἴασιν; ἀναλαβοῦ τὸν τοῦ θεοῦ φόβον τῇ σῇ διανοίᾳ, ἐπεὶ

φοβερὸν καὶ πάνυ τοι φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος· ἀναλόγισαι, πῶς καθ' ὥραν κλονεῖ τὴν γῆν, εἰς συναίσθησιν ἐνάγων ἡμᾶς τοῦ καλοῦ, πῶς κατασείει τὰ πάντα, πῶς τὸ βαρὺ τοῦτο φορτίον τῆς γῆς καὶ δυσβάστακτον τρέμειν παρασκευάζει, πῶς οὐ στέγει αὕτη τὴν τοῦ κτίστου φοβερὰν ἀπειλήν, πῶς καταστρέφει τὰς πόλεις, μὴ δυναμένη φέρειν ὅλως τοῦ δικαίου κριτοῦ τὴν ὀργήν, ταύτην γὰρ πάντως μαστίζει διὰ τὰς ἀνομίας ἡμῶν, ἵνα ἡμεῖς τὸν τοῦ θεοῦ φόβον ἀναλαβόμενοι ἐπιστραφῶμεν καὶ γνησίως μετανοήσωμεν. καὶ γὰρ αὕτη ἄλογος οὖσα καὶ παντάπασιν ἀνενέργητος εἰς πᾶσαν κακίαν, ἁμαρτίαν ποιῆσαι οὐ δύναται. καὶ τοίνυν παύσασθε, παρακαλῶ, τῆς κακίας, καὶ τηρήσατε, ὡς εἰκός, ἐν ἀσφαλείᾳ οὐ μόνον αὐτὰς τὰς τοῦ θεοῦ ἐντολάς, ἀλλὰ καὶ τὰς διατάξεις καὶ νομοθεσίας τῶν θείων πατέρων. ὁ δὲ τοῦ λόγου τούτου σκοπὸς ἡμῖν καὶ τὸ κεφάλαιόν ἐστι περὶ τῶν συζυγιῶν τῶν ἀνήβων, κεκωλυμένων πάντη καὶ ἀθεμίτων οὐσῶν παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων, περὶ ὧν ἡμεῖς πολλάκις πολὺν τὸν λόγον καὶ τὸν ἀγῶνα ἐποιησάμεθα, ταῖς θείαις ἐξακολουθοῦντες νομοθεσίαις, ἐπεὶ οὐ μόνον ἕπεται ταῖς παρανόμοις ταύταις τῶν συζυγιῶν φθορὰ ἄκαιρος, ἀλλὰ καὶ θάνατος τούτοις ἐπακολουθεῖ τε καὶ ἐπιγίνεται, ὡς ὑμεῖς σύνιστε, κἀντεῦθεν διπλοῦν πέφυκε τὸ κακόν, δι' ἣν αἰτίαν ἀπηγόρευσαν τοῦτο καὶ οἱ θεῖοι πατέρες καθάπαξ, οἷς καὶ διὰ τοῦτο ἀκολούθως ἑπομένη καὶ ἡ μετριότης ἡμῶν καὶ φροντίζουσα τῇ τοῦ θεοῦ χάριτι τῆς ἀκριβείας τῶν θείων καὶ ἱερῶν κανόνων, παρακελεύεται καὶ ἐπισκήπτει πᾶσιν ὑμῖν ἐν ἁγίῳ πνεύματι διὰ τοῦ παρόντος γράμματος, τοῖς τε ἱερωμένοις καὶ λαϊκοῖς, κἂν ὁποιοιδήτινες ὦσι, συντηρεῖσθαι ἀπό γε τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, τοῦ μηκέτι τὸ σύνολον τολμῆσαί τινα καθ' οἱονδήτινα τρόπον ἄνηβον συνοικέσιον διαπράξασθαι· εἰ δέ γε πειραθείη τις τῶν ἁπάντων, ἐξ ἀλογίστου καὶ θρασείας τῆς τόλμης ἅμα καὶ ἀπονοίας περιφρονήσας τῆς ἐκκλησιαστικῆς νομοθεσίας καὶ καταστάσεως, ἄνηβον συστήσασθαι συνοικέσιον, εἰ μέν ἐστι τοῦ τῶν ἱερῶν χοροῦ, ἔστω καθῃρημένος καὶ γεγυμνωμένος πάσης ἱερωσύνης, εἰ δὲ λαϊκός, ἔστω ὑπὸ βάρος φρικώδους ἀφορισμοῦ, ὡς ἂν συντηρουμένης, βοηθείᾳ θεοῦ, τῆς εὐνομίας καὶ θεοφιλοῦς πολιτείας καὶ καταστάσεως τῶν θείων καὶ ἱερῶν κανόνων καὶ ἱλέῳ ὄμματι τοῦ θεοῦ ἐφ' ἡμᾶς ἐπινεύσαντος, ἐπιχορηγηθείη ἡμῖν παρ' αὐτοῦ βοήθεια καὶ ἄνεσις τῶν κατεχόντων ἡμᾶς μεγάλων καὶ

πολυειδῶν ἀνιαρῶν τε καὶ θλίψεων, καὶ τὴν βαρβαρικὴν ταύτην ἐπικειμένην ἡμῖν καταιγίδα εἰς αἴθριαν μεταποιήσειε. συντηρήθητε γοῦν ἕκαστος ὑμῶν εἰς τὸν τοῦ θεοῦ φόβον, καὶ ἀπέχεσθε τῶν τοιούτων ἀτόπων, παρανόμων καὶ ἀνήβων συνοικεσίων, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ πάντων ὑμῶν †.

CLXXV. Sine anno.

Metropolitae Sidae litterae haereticae.

I. † Διδασκαλία τοῦ μητροπολίτου Σίδης, γέμουσα πάσης δυσσεβείας, πρὸς τὸν τῆς μητροπόλεως αὐτοῦ ἀποσταλεῖσα χαρτοφύλακα †.

† Ἐν ἁγίῳ πνεύματι υἱὲ τῆς ἡμῶν ταπεινότητος, φίλτατε καὶ κάλλιστε, συνετώτατε καὶ φιλόχριστε καὶ φιλεπίσκοπε καὶ παντὸς ἀγαθοῦ ἔργου ἐργάτα καὶ μέτοχε, κῦρ Νικόλαε, χαρτοφύλαξ τῆς ἁγιωτάτης μητροπόλεως Σίδης. κἀγώ, ὁ μητροπολίτης ὁ σός, κατὰ πνεῦμα πατήρ, χαιρετῶ καὶ εὐλογῶ καὶ εὔχομαί σοι ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παντοκράτορος παντοίαν ὑγιείαν καὶ σωματικὴν καὶ ψυχικήν. εὐχαριστοῦμεν καὶ ὑπερευχαριστοῦμέν σοι, ὅτι τὰ παρ' ἡμῶν σοι μηνυθέντα ἐπλήρωσας καλὰ καὶ προθύμως καὶ οὐδὲν παρεῖδες ἢ ἐκατεφρόνησας· ἀλλ' οὖν ὁ ἐν ἑνὶ πιστὸς καὶ ἐν παντὶ πιστός, κατὰ τὴν θείαν γραφήν, φίλου γὰρ πιστοῦ οὐκ ἔστιν ἀνάλλαγμα τῶν ὄντων οὐδέν, κατὰ τὸ θεολογικὸν ῥητόν. ἔφθασαν δὲ ἐνταῦθα πρὸς ἡμᾶς αἱ γραφαί σου καὶ ἄλλων τινῶν ἐκ τῶν αὐτόθι· γράφεις οὖν καὶ μηνύεις, ὅτι πάλιν νὰ ἔλθωμεν αὐτόθι· ἕνεκεν τίνος; πᾶς γὰρ ἄνθρωπος, ὅπου ὑπάρχει ποῦ εἰς τόπον τινά, δι' αἰτίαν τινὰ ἰέναι, εἴτε ὠφελεῖ, εἴτε ὠφελεῖται, ἐγὼ γὰρ οἶδα καλῶς καὶ ἀκριβῶς, ὅτι ἐξ ἐμοῦ μίαν καὶ μόνην ὠφέλειαν ψυχικήν τε καὶ σωματικὴν οὐκ εἴχετε, τὸν ἅπαντα καιρὸν καὶ χρόνον καθήμενος ἀργὸς ἐκτὸς θεωρίας ἀνθρώπων καὶ ὁμιλίας εἰς τὸ κελλίον τῆς μητροπόλεως, καθάπερ τινὰ δεινὴν φυλακήν, ἀμέτοχος πάντη ἐνεργείας καὶ δουλείας ἀρχιερατικῆς, ὀχλήσεων δὲ καὶ σκανδάλων καὶ ταραχῶν μυρίων, ποῦ μὲν ἐκ τῶν χριστιανῶν, ποῦ δὲ ἐκ τῶν ἀθέων Ἀγαρηνῶν, καθάπερ πλοῖόν τι τυχὸν ἐν μέσῳ τῆς θαλάσσης καὶ κλυδονιζόμενον ὑπὸ ἀνέμων ἐναντίων, βιάζεται δὲ παντὶ τρόπῳ ὁ ἐπιστάτης τοῦ πλοίου τοῦ κυβερνῆσαι καὶ ἐλευθερῶσαι τὸ πλοῖον ἐκ τῆς τοιαύτης πολλῆς βίας καὶ ἀνάγκης, οἱ δὲ σὺν αὐτῷ ναῦται

ὄντες οὐ βοηθοῦσιν καὶ συντρέχουσιν αὐτῷ, ἀλλὰ μᾶλλον βιάζονται καὶ σκαιωροῦσι τοῦ ῥῖψαι κἀκεῖνον ἐν τῇ θαλάσσῃ καὶ πνῖξαι. τί ἔχει ποιῆσαι καὶ ἐργάσασθαι ὁ ἐλεῖνὸς καὶ ἄθλιος ἐκεῖνος ναύκληρος; τοὺς κακίστους ναύτας ἔχει δέξασθαι ἢ τὴν βίαν τῆς θαλάσσης; οὕτως γὰρ πεπόνθαμεν καὶ ἡμεῖς αὐτόθι. πλὴν δὲ κύριος οἶδεν ὁ τὰς καρδίας τῶν ἀνθρώπων γινώσκων μονώτατος, πολλὰ ἐγὼ ἡμᾶς ἐνθυμοῦμαι νυκτὸς καὶ ἡμέρας, πλέον δὲ πάντων σὲ, τὸν ἐμὸν ποθητὸν καὶ ἀγαπητόν μου υἱόν, καὶ ἤθελον πάλιν τοῦ καταλαβεῖν αὐτόθι μεθ' ὑμῶν καὶ διαβιβάσαι τὸν μικρὸν καιρὸν τῆς ἐμῆς ζωῆς, πλὴν δὲ τοῦτο οὐκ ἔχω ποιῆσαι ἢ πρᾶξαι διὰ τὰς γραφὰς τοῦ θεοφρουρήτου καὶ ἁγίου ἡμῶν βασιλέως τὰς ἐλθούσας πρὸς ἡμᾶς τοῦ τελέως καὶ συντόμως ἀπελθεῖν ἐν τῇ βασιλευούσῃ τῶν πόλεων, τὴν Κωνσταντινούπολιν, φημί. τὸ δὲ παρ' ἡμῶν βουλητὸν ἔχει οὕτως· ἐὰν δώῃ ὁ κύριος καὶ θεὸς ἡμῶν ὑγιείαν καὶ ἐν τῇ ὁδῷ εἰρήνην καὶ γαλήνην, μελετῶμεν καὶ μεριμνῶμεν τὸν φευρουάριον μῆνα τοῦ ἐξελθεῖν ἐκ τῆς νήσου Κύπρου, καὶ εὔχου καὶ δέου τοῦ θεοῦ ὑπὲρ ἡμῶν, ὅπως εὐοδοθῶμεν τοῦ διαπερᾶναι τοιαύτην πολλὴν καὶ μεγάλην ὁδὸν, πλὴν δὲ κἀγὼ ὑμᾶς, ὡς ἐκ θεοῦ δεξάμενος, ὀφείλω καὶ χρεωστῶ τοῦ λέγειν πρὸς ὑμᾶς τὰ ψυχωφελῆ καὶ σωτήρια· σπεῦδε καὶ ἀγωνίζου πλέον τῶν ἄλλων τῆς ψυχικῆς σου ὠφελείας καὶ σωτηρίας, ἵνα κληρονομήσῃς τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλὴμ, ἃ ὀφθαλμὸς οὐκ οἶδε καὶ οὓς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. πλὴν δὲ διὰ τὴν ἀγάπην τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὸ δυνατὸν πρόσεχε τὴν καθαρὰν εὐσέβειαν καὶ πίστιν, ἣν παρέλαβες πατροπαράδοτον, ὅτι ὁ παρὼν καιρὸς καὶ χρόνος πάντα διεφθαρμένος γέγονεν, οὐ μὴν δὲ ὁ χρόνος, ἀλλ' οἱ τοῦ χρόνου καὶ τοῦ καιροῦ τούτου ἄνθρωποι, πονηροὶ καὶ διαβολεῖς καὶ φθονεροὶ καὶ μισάνθρωποι, μᾶλλον δὲ τἀληθὲς εἰπεῖν, μισόχριστοι καὶ ἄθεοι καὶ ἄπιστοι καὶ τοῦ καλοῦ πάντη ἀμέτοχοι. βλέπε δὲ τοὺς προβατοσχήμους λύκους, οὓς ὁ παρὼν καιρὸς καὶ χρόνος πολλοὺς τρέφει καὶ ἔχει. γνωστὸν ἔστω σοι καὶ τοῦτο, ὅτι ἐκ τῆς Κωνσταντινουπόλεως ἀπεστάλησαν γραφαὶ εἰς τοὺς τρεῖς πατριάρχας, τὸν Ἀντιοχείας, τὸν Ἀλεξανδρείας καὶ τὸν Ἱεροσολύμων, καὶ ἐνταῦθα εἰς τὴν Κύπρον κατὰ τῶν ἀθέων καὶ πολυθέων Παλαμιτῶν, ἔφερον δὲ ταύτας τὰς γραφὰς οἱ ἐνταῦθα ὄντες χριστιανοὶ, καὶ οἴδαμεν καὶ

ἀνέγνωμεν καὶ ἔγνωμεν καὶ δέον ἐκρίναμεν, τινὰ ἐξ αὐτῶν γράψαι καὶ στεῖλαι αὐτόθι πρὸς ὑμᾶς, μήπως τις τοιαύτης αἱρέσεως αὐτόθι ἐλθὼν ὑμᾶς πλανήσῃ καὶ ἐρημώσῃ καὶ διαστρέψῃ ἐκ τῆς ἀληθείας, ὡς ἀμαθεῖς καὶ ἀμυήτους τῶν τοιούτων κακίστων δογμάτων· ἐάν σε τύχῃ ποτὲ καὶ ἔλθῃ αὐτόθι τις τῆς τοιαύτης κακίστης αἱρέσεως, εἴτε μοναχὸς εἴτε ἱερεὺς εἴτε καὶ ἐπίσκοπος, φεύγετε τοὺς κύνας ἐξ αὐτῶν, ὡς φεύγει τις ἀπὸ ὄφεως, καὶ διώξατε καὶ ἀπελάσατε ἀπὸ τῶν ὑμετέρων ὁρίων, ὡς νέον καὶ καινὸν δογματιστήν. διανάστητε τοίνυν, παρακαλῶ ὑμᾶς, διανάστητε, καὶ τοῖς πᾶσι διαλαλήσατε φεύγειν ὡς ἰὸν ὄφεως, καὶ ἀποσείσασθε τὴν πολύθεον πλάνην τῶν ἀθέων Παλαμιτῶν, φεύγετε τοὺς κύνας καὶ τοὺς κακοὺς σπαράκτας καὶ τὴν κατατομὴν τῆς τῶν χριστιανῶν πίστεως, κατὰ τὸν θεῖον ἀπόστολον, φεύγετε τούτους ὡς τάρταρον, ὡς σκότος ἐξώτερον, ὡς πυρὸς γέενναν, ὡς ὀδόντων βρυγμόν, ὡς ἀκοίμητον σκώληκα, οὐ γὰρ ἔστι τὸν αὐτὸν χριστιανὸν εἶναι καὶ τῆς κοινωνίας τῶν κακίστων Παλαμιτῶν. ἵνα δὲ καί τινα γνοίητε τῶν Παλαμναίων αἱρέσεως καὶ ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα, προσεχῶς καὶ καλῶς ἀκούσατε. λέγει γὰρ καθαρῶς δύο θεότητας τοῦ θεοῦ, μίαν οὐσίαν καὶ ἑτέραν ἀνουσίαν, τὴν γοῦν οὐσίαν λέγει καὶ ὑπερκειμένην, ἀόρατον καὶ ἀμέθεκτον, τὴν δ' ἀνουσίαν ὑφειμένην καὶ ὁρατὴν καὶ μεθεκτήν· εἶτα διαιρῶν ταύτην τὴν ὑφειμένην καὶ ὑπερκειμένην καὶ ἀόρατον εἰς πλῆθος μυριάριθμον πληθυντικῶς, φάσκει θεότητας μὴ νοουμένας μὲν τοῖς πολλοῖς, αὐτὸ διὰ πεῖρας ἀποκαλυπτομένας ἐν ταῖς γραφαῖς τῶν ἁγίων· τοῦτο δὲ τῆς πολυθέου πλάνης τῶν ἑλλήνων ἐστί. λέγει συμπροσκυνεῖσθαι ταύτας τὰς θεότητας ταῖς ὑποστάσεσι. λέγει θεὸν ὑφειμένον φωτοειδῆ σωματικοῖς ὀφθαλμοῖς ὁρατόν, ὃν καὶ μορφὴν εἶναί φησι τοῦ θεοῦ, ὃ τῶν Μανιχαίων καὶ Μασσαλιανῶν ἐστι καὶ εἰκονομάχων. λέγει θεοὺς ἀνάρχους, ὑφειμένους, ἀριθμὸν ὑπερβαίνοντας, ἐκ τῆς οὐσίας τοῦ θεοῦ προϊόντας, οὓς καὶ κυρίως λέγει θεοὺς καὶ θεότητας, τὴν δὲ τρισυπόστατον φύσιν κατὰ χάριν λέγει, καὶ οὐ κυρίως θεὸν καὶ θεότητα, ὡς ἐντεῦθεν δύο συνάγεσθαι τὰ αἴτια ἐπὶ θεοῦ, ἓν μὲν ὁ πατὴρ καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, ἕτερον δὲ ἡ φύσις τῶν ὑφειμένων θεῶν καὶ θεοτήτων. λέγει μερίζεσθαι τὰ φυσικὰ τοῦ θεοῦ εἰς μέρη καὶ μόρια, ἐκ τούτου δ' ἐξ ἀνάγκης συμβαίνει καὶ τὴν θείαν φύσιν ὥσπερ σῶμα μερίζεσθαι, τὰ γὰρ φυσικὰ κατάλληλα ταῖς φύσεσι. λέγει φῶς εἶναι ὁρατὸν τὴν

τοῦ θεοῦ φυσικὴν ἐνέργειαν, ὅθεν συμβαίνει, πῦρ εἶναι τὴν οὐσίαν τοῦ θεοῦ αἰσθητόν. λέγει τὸν θεὸν ὑπερκεῖσθαι τῆς ἑαυτοῦ δυνάμεως, ὃ τοῦ Εὐνομίου ἐστὶν ἡ αἵρεσις. λέγει τὴν ἄναρχον ἐνέργειαν ὑφειμένην τῆς φύσεως ἀπειράκις ἀπείρως καὶ ἑτεροφυᾶ καὶ ἀνόμοιον, καὶ ἐν τῇ φύσει τὸ εἶναι ἔχειν, ἀνυπόστατον οὖσαν καθ' ἑαυτὴν καὶ ἀνούσιον, ἔχειν δὲ λόγον πρὸς τὴν φύσιν, ὃν ὁ υἱὸς πρὸς τὸν πατέρα καὶ τὸ πνεῦμα τὸ ἅγιον, τοῦτο δὲ καθ' ἓν μέρος Ἀρείου καὶ Μακεδονίου ἐστὶν αἵρεσις, καθ' ἕτερον δὲ Σαβελλίου τοῦ Λίβυος. λέγει τοὺς ὑφειμένους θεοὺς ἐνεργεῖν τὰ πάντα, τὴν δὲ θείαν φύσιν μηδὲν τῶν ὄντων ἐνεργεῖν, ἀλλὰ περιγεγραμμένην εἶναι ἐκτὸς τοῦ παντός. λέγει τοὺς ὑφειμένους θεοὺς, μετέχοντας τῶν ὑφειμένων θεοτήτων, ἀνάρχους καὶ ἀκτίστους καὶ ἀιδίους γίνεσθαι. λέγει, ὅτι ἡ φυσικὴ καὶ οὐσιώδης ἐνέργεια τοῦ θεοῦ κοινή ἐστι τῶν τε ἀγγέλων καὶ τῶν ἀνθρώπων, ὡς ἐντεῦθεν συνάγεσθαι, καὶ τὴν οὐσίαν τοῦ θεοῦ κοινὴν εἶναι, ὧν γὰρ ἡ ἐνέργεια, φασὶν, ἐστὶ κοινὴ, τούτων καὶ ἡ οὐσία κοινή ἐστιν. λέγει ποίημα φυσικὸν καὶ ἔργον καὶ ἐνέργημα τὸν υἱὸν τοῦ θεοῦ καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὑφειμένα τε καὶ ὑποβεβηκότα καὶ ἐλάττονα τοῦ πατρὸς καὶ ἀλλήλων, τοῦτο δὲ Ἀρείου καὶ Εὐνομίου, Μακεδονίου καὶ πλείστων ἄλλων ἐστὶν αἱρετικῶν. λέγει, ὅτι ἡ σὰρξ προσείληφε τὴν ὑπόστασιν τοῦ θεοῦ λόγου, τοῦτο δὲ Νεστορίου ἐστὶν αἵρεσις, ὅπερ ἡ τρίτη ἀνεθεμάτισεν σύνοδος. λέγει, ὅτι τὸ φανὲν ἐν εἴδει περιστερᾶς τοῦ κυρίου βαπτιζομένου οὐκ ἦν ἡ φύσις καὶ ὑπόστασις τοῦ ἁγίου πνεύματος συμβολικῶς ὁρωμένη, ἀλλ' ἀνούσιος ἐνέργεια, ὡς ἐντεῦθεν συμβαίνειν, εἶναι καὶ τὸν Χριστὸν ἀνούσιον ἐνέργειαν κατὰ τὴν θεότητα, τὸ πνεῦμα γὰρ, φησὶν ὁ Μελφδὸς, συμπαρῆν τῷ ὁμοίῳ, τοῦτο δὲ Φωτινοῦ καὶ Σωφρονίου καὶ Μαρκέλλου ἐστὶν αἵρεσις. λέγει ἀποτελέσματα ἄναρχα, ὡς ἐντεῦθεν πᾶσαν τὴν κτίσιν ἄναρχον συνάγεσθαι, ὅπερ ἐστὶν ἑλληνικόν. λέγει, ὅτι τὸ τοῦ κυρίου τεθεωμένον σῶμα, οὗ νῦν μεταλαμβάνομεν, θείας γινόμεθα κοινωνοὶ φύσεως, οὐχ ἁγιάζει καὶ θεοῖ ἐκείνη ἡ θεότης, ἥτις ἡγίασεν ἐκεῖνο τὸ προσηλωθὲν ἐν τῷ σταυρῷ, ἀλλ' ἡ ἀνούσιος καὶ ὑφειμένη, ἐντεῦθεν οὖν συμβαίνει, ἕτερον εἶναι τοῦτο τοῦ προσληφθέντος ἐκείνου φυράματος, καὶ ψεύσεται λοιπὸν ὁ κύριος εἰρηκώς· τοῦτό ἐστι τὸ σῶμα. τραπᾶτο τοίνυν τὸ βλάσφημον εἰς τὴν κεφαλὴν τοῦ ταῦτα δυσσεβῶς δογματίζοντος. λέγει, ὅτι ὁ τοῦ θεοῦ λόγος φύσεως νόμῳ ἐτέχθη ἐκ τῆς πανά-

γνου θεοτόκου, καὶ οὐχ ὑπὲρ φύσιν. λέγει τὸ ἡτοιμασμένον ἄκτιστον, καὶ ἐντεῦθεν δοξάζει καὶ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ πῦρ ἄκτιστον. λέγει πολλὰς ὑποστάσεις καὶ διαφόρους δυνάμεις καὶ ἐνεργείας ἐπὶ θεοῦ, τοῦτο δὲ οὐδεὶς ἐτόλμησεν εἰπεῖν μέχρι τὴν σήμερον, τρεῖς γὰρ ὑποστάσεις ὁμολογεῖν ὡρισμένας παρελάβομεν ἐπὶ τῆς ἁγίας τριάδος, καὶ οὐ πολλὰς, τριὰς γὰρ, φησὶν ὁ θεῖος καὶ μέγας Μάξιμος, ἐστὶν ἡ μονὰς, καὶ οὐ πλῆθος. λέγει τὸ φῶς, ὅ φησιν ὁ θεόλογος Γρηγόριος, φῶς δὲ λέγω τὸ ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι θεωρούμενον τὸ ὑφειμένον καὶ ἀνούσιον εἶναι καὶ ἀνυπόστατον καὶ σωματικοῖς ὀφθαλμοῖς ὁρατόν. λέγει τὸ ἐν τῇ βάτῳ τῷ Μωσεῖ ὀφθὲν πῦρ καὶ τὸ ἁρπάγαν τὸν Ἠλίαν πύρινον ἅρμα ἀκτίστους θεοὺς καὶ θεότητας, ὅθεν καὶ πυρσολατρείαν δογματίζει καὶ ἵππους θεούς. καὶ ταῦτα μὲν οὕτως ἔχει. ἐγράφαμεν δὲ καὶ (πρὸς) ὑμᾶς ταῦτα πρὸς τὸ φεύγειν ἐκ τοὺς τὰ τοιαῦτα φρονοῦντας. ἀνάγνωθι δὲ ταῦτα καὶ πρὸς τοὺς ἱερεῖς καὶ ἃς προσέχουν, ὅσον δύνανται, ἐκ τῆς κοινωνίας τῶν Παλαμιτῶν. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἴη μετά σου †.

† Κἀγὼ ὁ ἐντελὴς καὶ ἐλάχιστος Ἰωσὴφ, τάχα δὲ καὶ μοναχὸς, μετάνοιος νέμω τὸν κύριον Νικόλαον, τὸν χαρτοφύλακα, καὶ νὰ τὸ ἐξεύρῃς, ὅτι ἡμεῖς, καθὼς εἴπομεν, θεοῦ εὐδοκοῦντος, μέλλομεν τοῦ ἀπελθεῖν εἰς τὴν Κωνσταντινούπολιν, καὶ ἐὰν εὕρωμεν τὴν ἐκκλησίαν εἰρηνεύουσαν καὶ ὀρθοτομοῦσαν, μέλλομεν καὶ ἡμεῖς τοῦ εἶναι εἰς τὸ μέσον, εἰ δὲ ἴδωμεν ἄλλως πως, θέλομεν καθέζεσθαι καταμόνας εἰς ἓν τῶν μοναστηρίων· ὑμεῖς δὲ βλέπετε ἑαυτοὺς ἐκ τοῦ κακίστου τούτου δόγματος, ὅτι τὴν σήμερον ἡμέραν ἡ ἐκκλησία καὶ οἱ ἀρχιερεῖς εἰς αὐτὸ μένουν καὶ εἶναι. ἠκούσαμεν δὲ, ὅτι οἱ γείτονές σας εἶπον, νὰ ἐπάρουν μιαροπολίτην, καὶ ἐὰν τύχῃ καὶ ἔλθῃ, βλέπετε, μὴ χρανθῆτε τῆς αὐτῶν κοινωνίας, καὶ ἐὰν λέγῃ τις, εἴπατε πρὸς αὐτόν· ἡμεῖς ἐκτὸς τοῦ μητροπολίτου ἡμῶν τοῦ γνησίου ἄλλον τινὰ οὐδὲν ἐπιστάμεθα, οὐδὲ δεχόμεθα. γνωστὸν ἔστω καὶ τοῦτο πρὸς ὑμᾶς, ὅτι τὸν κῦρ Σάββαν ἀπελογιάσαμεν τὸν ἐκ τῶν δικαιοτάτων τῆς πόλεως διὰ τὰς αἰτίας, ἅσπερ οἴδατε ὑμεῖς. φεύγετε, φεύγετε, ὅσον δύνασθε, ἐκ τοὺς Παλαμίτας. ἐμέλλομεν τοῦ γράψαι καὶ πρὸς τὸν πνευματικὸν υἱὸν ἡμῶν, κῦρ Μανουὴλ, τὸν οἰκονόμον, τὸν ἀδελφὸν τῆς σῆς ἀντιλήψεως, καὶ ἐμάθομεν, ὅτι λείπει. ὅταν δὲ ἔλθῃ, σὺ αὐτὸν ὡς ἐξ ἡμῶν χαιρέτισον †.

† Ὁ Ἰωάννης.

II. † Τοῦτο τῆς ἐκείνης ὁμολογίας ὕστερον ταῖς ἐκείνου χερσὶ γεγραμμένης ἀναφανείας ἐπὶ τῆς ἱερᾶς συνόδου καὶ συμφώνου οὔσης καὶ κατὰ πάντα ἑπομένης τοῖς ἀποστολικοῖς καὶ πατρικοῖς ἡμῶν θείοις δόγμασιν, τὸν δὲ Βαρλάαμον καὶ τὸν Ἀκίνδυνον ἀναθέματι σὺν τοῖς ὁμόφροσιν αὐτῶν καθυποβαλλούσης, ὡς ἐκ διαβολῆς καὶ ψεύδους καὶ συκοφαντίας ὑπό τινων χαιρεκάκων συμπλασθὲν καὶ συντεθὲν, πόρρῳ τῆς ἐκείνου διανοίας καὶ ἧς εἶχε πίστεως καὶ ὁμολογίας, ἠκυρώθη συνοδικῶς καὶ διεγράφη· ἐκεῖνος δὲ καὶ συγχωρήσεως ἠξιώθη συνοδικῶς, καὶ τοῖς ἀρχιερεῦσι τοῖς ὀρθοδόξοις συνηριθμήθη, τιμίας ἀπολυθείσης περὶ τούτου πατριαρχικῆς γραφῆς ψήφῳ συνοδικῇ, μὴ μόνον ὀρθόδοξος ἐκ τῆς οἰκειοχείρου αὐτοῦ ὁμολογίας ἀναφανείς, ἣν ὁ μαθητὴς ἐκείνου, ὁ ἱερομόναχος Ἰωσὴφ, ἐνεγκὼν ἐνεχείρισε τῇ συνόδῳ. ἀλλὰ καὶ ζηλωτὴς καὶ πῦρ πνέων κατὰ τῶν Ἀκινδύνου καὶ Βαρλαὰμ ἀτοπωτάτων δυσσεβημάτων †.

† Σὺν τούτῳ δὲ διεγράφησαν ὁρισμῷ δεύτερον καὶ τὰ πρὸς ἐκεῖνον καὶ τοὺς κληρικοὺς Σίδης πατριαρχικὰ γράμματα †.

CLXXVI. Sine anno.

Patriarcha Sidae metropolitam, Cyrillum, haereseos damnatum, restituit. Adduntur litterae quattuor eundem metropolitam spectantes.

I. † Ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Σίδης, κῦρ Κύριλλος ἐκεῖνος, διὰ τὰ λαληθέντα κατ' ἐκείνου ἐπὶ τοῦ πρὸ ἡμῶν πατριάρχου πρὸ χρόνων αἰτιάματα καὶ τὴν ἐμφανισθεῖσαν τῷ τότε ὡς ἀπὸ προσώπου δῆθεν αὐτοῦ πρὸς τὸν χαρτοφύλακα Σίδης γραφὴν, πλήρη οὖσαν πάσης δυσσεβείας καὶ τοῖς τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου συνηγοροῦσαν δόγμασιν, ἥτις ὑπό τινων χαιρεκάκων συνεσκευάσθη καὶ συνεπλάσθη, ἀπεχθῶς πρὸς ἐκεῖνον οὐκ οἶδ' ὅπως διατεθέντων, ἐξεκόπη τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας τῆς ἀποστολικῆς καὶ καθολικῆς, καὶ τοῦ τῶν ἀρχιερέων ἀπεσκορακίσθη χοροῦ καὶ ἀναθέματι καθυπεβλήθη καὶ καθῃρέθη, ἀρτίως δὲ τοῦ μαθητοῦ ἐκείνου, τοῦ ἱερομονάχου κῦρ Ἰωσὴφ, ἀναδραμόντος εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν ἱερὰν σύνοδον καὶ ἐμφανίσαντος τὴν ἐκείνου οἰκειόχειρον ὁμολογίαν, ἀνεφάνη οὐ μόνον ὁμόφρων ἀκόλουθος τῆς ἀποστολικῆς καὶ ὀρθοδόξου τοῦ Χριστοῦ ἐκκλησίας καὶ κήρυξ τῶν εὐσεβῶν καὶ

ὀρθοδόξων δογμάτων αὐτῆς καὶ τῆς ἀληθείας συνήγορος, ἀλλὰ καὶ πρόμαχος τῆς ἐκκλησίας καὶ τῶν κατ' εὐσέβειαν ὑγειῶν δογμάτων, αὐτὰ μὲν διατρανῶν καὶ συμφώνως τοῖς ἁγίοις ἡμῶν θεολόγοις πατράσι ὁμολογῶν καὶ φρονῶν καὶ πιστεύων ἐν ἅπασι, τὸν δὲ Βαρλαὰμ καὶ Ἀκίνδυνον, ὡς μάτην κατὰ τῆς ἐκκλησίας λυττήσαντας, ἀσεβεῖς καὶ ἀθέους ἀποκαλῶν σὺν τοῖς αὐτῶν περιλελειμμένοις ὀπαδοῖς καὶ διαδόχοις καὶ ταῖς φρικωδεστάταις καθυποβάλλων ἀραῖς καὶ τῷ ἀπὸ θεοῦ ἀναθέματι καὶ πῦρ μὲν κατ' αὐτῶν μετὰ τοῦ προσήκοντος ζήλου πνέων, τῶν δὲ δογμάτων τῆς ἐκκλησίας Χριστοῦ ἀντεχόμενος καὶ τοῖς κατ' αὐτῶν συνοδικῶς πεπραγμένοις, αἱρετικῶν, μᾶλλον δ' ἀθέων ἀναφανέντων, στοιχῶν καὶ ἐμμένων, ἡ μετριότης ἡμῶν σὺν τῇ περὶ αὐτὴν ἱερᾷ τῶν ἀρχιερέων ὁμηγύρει, ταῦτα ἰδόντες καὶ χαρᾶς ἀπείρου πλησθέντες, ἀπὸ τῆς δοθείσης αὐτῇ ἐξουσίας καὶ χάριτος παρὰ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος ἔχει ἐκεῖνον συγκεχωρημένως καὶ λελυμένον τοῦ ἐπενεχθέντος ἐκείνῳ ἀφορισμοῦ καὶ συντεταγμένον τῷ τῶν ἀρχιερέων χορῷ, καὶ παρακελεύεται καὶ πᾶσι διὰ τοῦ παρόντος αὐτῆς γράμματος, ψευδῆ πάντα τὰ κατ' ἐκείνου λαληθέντα ἔχειν, ἐκεῖνον δὲ ὁμόφρονα λογίζεσθαι τῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ μετὰ τῶν ὀρθῶν δογμάτων ἱστάμενον, καὶ μὴ μόνον ἕνα τῶν ὀρθοδόξων ἀρχιερέων, ἀλλὰ καὶ ζηλωτὴν καὶ πρόμαχον καὶ προασπιστὴν τῶν τῆς ἐκκλησίας δογμάτων, τὰ δὲ κατ' ἐκείνου γραφέντα ψεῦδος πάντα λογίζεσθαι καὶ συκοφαντίαν, φθόνῳ συσκευασθεῖσαν τοῦ πονηροῦ δαίμονος. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

II. † Ἱερώτατε μητροπολῖτα Σίδης καὶ ὑπέρτιμε. τὰ οἰκειόχειρά σου γράμματα, ἅπερ ἀπὸ τῆς Κύπρου εὑρισκόμενος ἐξέπεμψας πρὸς τὸν χαρτοφύλακα τῆς κατά σε ἁγιωτάτης μητροπόλεως Σίδης, διεκομίσθησαν τῇ ἡμῶν μετριότητι, εὐδοκίᾳ θεοῦ τοῦ τὰ κρυπτὰ φανερὰ καὶ δῆλα ποιοῦντος, καὶ ὑπανεγνώσθησαν τῇ τε ἡμῶν μετριότητι καὶ τῇ περὶ αὐτὴν θείᾳ καὶ ἱερᾷ συνόδῳ, καὶ γνόντες τὰ ἐμπεριειλημμένα τούτοις δυσσεβῆ νοήματα καὶ παραφθορὰν τῶν ὑγιῶν δογμάτων τῆς ἐκκλησίας, ἔτι δὲ καὶ διαβολὰς τὰς κατὰ τῶν ὀρθοδόξων, ἔτι δὲ καὶ ἃς προφέρεις, προτάσσεις, ὡς δῆθεν δογμάτων, δι' ὧν ἀσυλλογίστως καὶ ἀμαθῶς ἀποδεικνύεις τοὺς

ὀρθοδόξους διθείτας καὶ πολυθέους, τὴν τοῦ θεοῦ ἐκκλησίαν διαβάλλων, ὡς ταῦτα φρονοῦσαν, καὶ ἐδακρύσαμεν τὰ μέγιστα, γίνωσκε, καὶ ἠνιάθημεν ἐπὶ τῇ σῇ πλάνῃ καὶ παραφθορᾷ τῶν ὀρθοδόξων δογμάτων, καὶ ἐν θαύματι ἐποιησάμεθα, πῶς οὕτως ἀπερισκέπτως τῆς τοῦ θεοῦ ἐκκλησίας κατατρέχεις, μέλος καὶ ἀρχιερεὺς λογιζόμενος ταύτης, πρὶν ἢ γνῶναι τὰ ἐπισυμβάντα καὶ ἐπεισφρήσαντα δυσσεβῆ δόγματα εἰς τὴν τοῦ θεοῦ ἐκκλησίαν παρὰ τοῦ Καλαβροῦ καὶ λατινόφρονος Βαρλαὰμ ἐκείνου καὶ τοῦ μετ' ἐκείνου τὰ ἐκείνου διδάσκοντος Ἀκινδύνου, ἔτι δὲ καὶ τῶν περισωζομένων ὁμοφρόνων αὐτοῖς, ἔδει σε γὰρ πρότερον, ἀρχιερατικὸν περιβεβλημένον ἀξίωμα, ἀκριβῶς καταμαθεῖν καὶ γνῶναι, ὅπως ἠγωνίσατο ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία κατὰ τῆς δυσσεβοῦς ταύτης αἱρέσεως, τῆς ἀθετούσης καὶ βλασφημούσης κατὰ τοῦ φωτὸς τῆς τοῦ κυρίου μεταμορφώσεως καὶ τῆς κοινῆς καὶ οὐσιώδους ἐνεργείας τῆς τρισυποστάτου θεότητος, ἀνατρεπούσης προδήλως τὴν θείαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον, καὶ ὅπως ἐξήλασε διὰ ταῦτα τοῦ τῶν ὀρθοδόξων πληρώματος πάντας τοὺς προστιθεμένους τῇ κακοδόξῳ ταύτῃ τῶν αἱρετικῶν μοίρᾳ, καὶ τότε γράφειν καὶ ὑπομιμνήσκειν μετὰ τοῦ προσήκοντος πρὸς τὴν θείαν καὶ ἱερὰν σύνοδον, περὶ ὧν ἐδίσταζες ἴσως· σὺ δὲ ἐξ ἀλογίστου θρασύτητος ἐμπέπτωκας ἀπροόπτως εἰς τὸν τῆς αἱρέσεως βάθρον, μήτε ἃ λέγων εἰδὼς, μήτε περὶ ὧν διατείνῃ. καὶ διὰ τοῦτο ἐχρῆν, χρησαμένης τῆς τε ἡμῶν μετριότητος καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου τῇ κανονικῇ ἀκριβείᾳ, κανονικῇ καὶ νομίμῳ, ἐνδίκῳ δὲ καθυποβαλεῖν αὐστηρίᾳ καὶ διδάξαι ἔργοις, μὴ ὑπὲρ τὰ ἐσκαμμένα κατὰ τὴν παροιμίαν πηδᾶν. ἐπεὶ δὲ ἀεὶ ἡ τῶν εὐσεβῶν ὁμήγυρις, διὰ τῆς τοῦ Χριστοῦ χάριτος τὸ φιλανθρώπινον παντὶ τρόπῳ πραγματευομένη, συγκαταβαίνειν οἶδε ταῖς τῶν πολλῶν ἀσθενείαις, συγκαταβάσει πολλῇ χρησαμένη, καὶ ἡ μετριότης ἡμῶν ἔτι σε καὶ ἀρχιερέα ἀποκαλεῖ, καὶ ὡς μέλος τῆς ἐκκλησίας λογίζεται, καὶ ἤδη γράφει καὶ παραδηλοῖ σοι συνοδικῶς, ὡς ἂν, πᾶσαν σκέψιν καὶ ὑπέρθεσιν καὶ αἰτίαν ἀποσεισάμενος, καταλάβῃς ἀμεταθέτως ἐνταῦθα πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον, τὸ παρὸν γράμμα δεξάμενος, ἀπολογησόμενος, περὶ ὧν, ὡς εἴρηται, ἔγραψας, καὶ ὁμολογίαν ἐγγράφως τοῦ ὀρθοῦ ποιησόμενος δόγματος. εἰ μὲν οὖν καταλάβῃς, ὡς εἴρηται, καὶ ποιήσῃς κατὰ τὸν εἰρημένον τρόπον, λύεταί σοι τὸ τῆς δυσσεβείας ἔγκλημα,

συγκαταβατικώτερον διατεθησομένης τῆς τοῦ θεοῦ ἐκκλησίας· εἰ δ' οὖν, ἔσῃ ἀργὸς παντάπασι πάσης ἀρχιερατικῆς ἀξίας καὶ ἐνεργείας μετὰ βάρους συνοδικοῦ ἐκκλησίας, ἄτοπον γάρ ἐστι, ἀντὶ ποιμένος εἶναί σε μισθωτὸν, τὴν τοῦ Χριστοῦ λογικὴν ποίμνην σπαράττοντά τε καὶ διαλυμαινόμενον, ἣν ὁ Χριστὸς τῷ ἀχράντῳ καὶ οἰκείῳ ἐξηγόρασεν αἵματι, καὶ προφάσεις καὶ διαβολὰς καὶ πλάσματα κατὰ τῶν ὀρθοδόξων συμπλάττοντα. ἐκλεξάμενος τοιγαροῦν τὸ συνοῖσόν σοι καὶ ὠφέλιμον καὶ ἀποθέμενος πᾶν τὸ ψυχικόν σοι προξενοῦν κίνδυνον, πρόσελθε ἀδιστάκτως τῇ ἐκκλησίᾳ θεοῦ, ἧς αὐτὴν κακῶς καὶ ἀπερισκέπτως διέστησας, καὶ μεταβαλοῦ πρὸς τὸ κρεῖττον, ἵνα καὶ οὕτω τοῦ πράγματος ἐπ' ἀγαθῷ προχωρήσαντος τρόπῳ καὶ ἡ τοῦ θεοῦ χάρις εἴη μετά σου †.

III. † Οἱ ἐν τῇ ἐπαρχίᾳ τοῦ ἁγιωτάτου δεσπότου πατριάρχου Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς εὑρισκόμενοι ἱερώτατοι μητροπολῖται. χάρις, εἰρήνη, ἔλεος εἴη τῇ ἡμῶν μετριότητι ἀπὸ θεοῦ παντοκράτορος καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. οἶδεν ἡ μετριότης ἡμῶν καὶ ἐγνώρισεν, ὅπως πρὸ καιροῦ τινος ὑποδὺς ὁ τῶν ζιζανίων σπορεὺς, ὁ παμπόνηρος διάβολος, τὸν Καλαβρὸν ἐκεῖνον, τὸν ἐκ λατινικοῦ γένους ὁρμώμενον Βαρλαὰμ, εἰσήνεγκεν αἵρεσιν εἰς τὴν ἐκκλησίαν θεοῦ, καὶ ἐπεὶ πύλαι ᾅδου αὐτῆς οὐ κατισχύσουσι, κατὰ τὸν σωτήριον λόγον, συνόδου μεγαλοπρεποῦς συγκροτηθείσης ἐν τῷ οὐρανίῳ τεμένει τῆς τοῦ θεοῦ λόγου Σοφίας, προκαθημένου καὶ τοῦ ἀοιδίμου καὶ μακαρίτου τοῦ εὐσεβεστάτου καὶ θειοτάτου βασιλέως, τοῦ πατρὸς τοῦ ἁγίου καὶ κρατίστου μου αὐτοκράτορος, ἀνεφάνη ὁ Βαρλαὰμ ἐκεῖνος ἀπὸ τῶν θείων γραφῶν δυσσεβῆ καὶ ἀλλόκοτα δόγματα παρεισάγων, καὶ μὴ θελήσας μεταμελείᾳ χρήσασθαι καὶ ὑποταγῆναι τῇ ἐκκλησίᾳ, ἀλλ' εἰς τὸν ἴδιον ἔμετον ὥσπερ κυὼν ἐπιστρέψας καὶ γεγονὼς αὖθις λατῖνος. ἀναθέματι καθυπεβλήθη, καὶ ἐκκήρυκτος τοῦ τῶν πιστῶν πληρώματος γέγονε· τὰ αὐτὰ δὲ, ἱερᾶς συνόδου ἑτέρας γενομένης, πέπονθε καὶ ὁ Ἀκίνδυνος ἐκεῖνος, τὰ τοῦ Βαρλαὰμ φρονῶν καὶ διεκδικῶν. μεταδοσίμου τοίνυν τῆς δυσσεβοῦς ταύτης δόξης, ὡς λοιμώδους νόσου, καθεστηκυίας προσερρύησαν καί τινες τῶν τῆς ἐκκλησίας, τῆς ἀληθείας ἀποπλανηθέντες ὁδοῦ, ὅ τε χρηματίσας Ἐφέσου ἐκεῖνος καὶ ὁ Γάννου,

ἀλλὰ καὶ τῶν ἰδιωτῶν ἔνιοι, δι' οὓς καὶ συνεκροτήθησαν ἐν τῷ θεοφρουρήτῳ παλατίῳ σύνοδοι μεγαλοπρεπεῖς, παρόντων τῶν τῆς ἐπαρχίας πάντων ἀρχιερέων, ἀλλὰ καὶ τῶν Βαρλααμιτῶν τούτων ὑπεραπολογουμένων τῆς οἰκείας δυσσεβείας, καὶ γραφικῶν χρήσεων εἰς μέσον προτεθεισῶν τῶν θεολόγων καὶ ἁγίων ἀνθρῶν ἀνεφάνησαν οὗτοι κακόδοξοι καὶ αἱρετικοὶ πρόδηλοι, ἀθετοῦσι γὰρ τὴν θείαν καὶ φυσικὴν ἐνέργειαν τὴν κοινὴν τῆς τρισυποστάτου θεότητος καὶ πᾶσαν θείαν χάριν καὶ ἔλλαμψιν καὶ δόξαν αὐτῆς, μόνον οὐσίαν τὸν θεὸν εἶναι δογματίζοντες, ἐστερημένον τῆς φυσικῆς ἐνεργείας, ἧς ἐστέρηται τὸ μὴ ὄν, κατὰ τὸν τὰ θεῖα σοφὸν Μάξιμον, ἀκυροῦντες καὶ τὴν θείαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον, τὴν ὑπὲρ τῶν δύο φυσικῶν ἐνεργειῶν ἀγωνισαμένην λαμπρῶς, τῆς τε θείας, ἣν οὗτοι ἀρνοῦνται, καὶ τῆς ἀνθρωπίνης, βλασφημοῦσι κατὰ τοῦ θειοτάτου φωτὸς τῆς τοῦ κυρίου μεταμορφώσεως, ἴνδαλμα καὶ φάντασμα καὶ χεῖρον νοήσεως καὶ κατώτερον τῶν ἀγγέλων, χρωματίσαν τὸν ἀέρα, καὶ οὕτω διαλυθὲν ἀποκαλοῦσιν ἀθέως, καὶ ἡμᾶς τοὺς διάκρισιν θεοπρεπῆ θείας οὐσίας καὶ ἐνεργείας κατὰ τοὺς ἁγίους πατέρας καὶ θεολόγους, ἔτι δὲ καὶ κατὰ τὴν οἰκουμενικὴν ἕκτην σύνοδον δογματίζοντας καὶ τὸ φῶς τῆς θείας μεταμορφώσεως ἄστεκτον καὶ ἀπρόσιτον καὶ βασίλειαν θεοῦ καὶ βολίδα θεότητος ἀποκαλοῦντας διθεΐτας καὶ πολυθέους κατονομάζουσι. διὰ γοῦν τὴν τοιαύτην συκοφαντίαν καὶ διαβολὴν αὐτῶν καὶ τὸ βλασφημεῖν ἀνερυθριάστως ἐξηλάθησαν τοῦ τῶν ὀρθοδόξων πληρώματος, καὶ ἀναθέματι καθυπεβλήθησαν, εἰ μὴ γνησίως μετανοήσωσιν, καθηρέθησαν δὲ καὶ οἱ εἰρημένοι, ὅ τε Ἐφέσου καὶ ὁ Γάννου, οἵτινες καὶ τὸ ζῆν ἐξεμέτρησαν, στηριχθέντων τηνικαῦτα καὶ τῶν ὑγιῶν δογμάτων διὰ τοῦ προβάντος ἱεροῦ συνοδικοῦ τόμου, στηριχθέντος τε καὶ αὐτοῦ διὰ τῶν γραφικῶν καὶ θεολογικῶν χρήσεων. τῆς οὖν ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας εἰρηνευούσης, Χριστοῦ χάριτι, τινὲς τῶν εἰρημένων Βαρλααμιτῶν οὐ παύονται παρεισάγειν τὰ νόθα καὶ δυσσεβῆ δόγματα καὶ διιστᾶν τινας τῶν ἁπλουστέρων ἀπὸ τῆς ἐκκλησίας, τὰ αὐτὰ δὲ εὑρίσκεται ποιῶν καὶ ὁ μητροπολίτης Τύρου, διιστάμενος τῆς ἡμῶν μετριότητος, κοινωνῶν δὲ καὶ προστιθέμενος τοῖς δυσσεβέσσι τούτοις, ὅπερ ταράττει τὰ μέγιστα αὐτήν τε καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον, οὗ χάριν καὶ ἔγραψεν ἡ μετριότης ἡμῶν συνοδικῶς περὶ τούτου τῷ ἁγιωτάτῳ πατριάρχῃ

Ἀντιοχείας, γράφει δὲ ἤδη καὶ πρὸς τὴν ἱερότητα ὑμῶν, ὡς ἂν, ἀναλαβόντες καὶ ὑμεῖς ζῆλον πνευματικὸν, γράψητε κοινῶς μετὰ τοῦ ἁγιωτάτου πατριάρχου ὑμῶν πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, ὅπως ἔχητε γνώμης εἰς τοῦτο, ἵνα γνῶμεν, εἰ ἅπερ λέγει ὁ Τύρου, ἀληθῆ εἰσιν, εἴτε καὶ μή. γένηται δὲ καὶ ὑμετέρα γραφὴ πρὸς αὐτὸν, καὶ οὕτω τοῦ πράγματος προχωρήσαντος, καθὼς καὶ ὁ τοῦ δικαίου λόγος ἀπαιτεῖ, ἐπικρατήσει πάντοθεν ὁμόνοια καὶ εἰρήνη εἰς τὴν τοῦ θεοῦ ἐκκλησίαν. γενέσθω τοίνυν οὕτως ἀμεταθέτως, καθὼς παραδηλοῖ ὑμῖν ἡ μετριότης ἡμῶν, πεμφθησομένων γραμμάτων δι' ἐπιμελείας πρὸς αὐτὴν τῆς ὑμῶν ἱερότητος. ἡ χάρις τοῦ θεοῦ εἴη μεθ' ὑμῶν †.

IV. † Οἱ ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Σίδης εὑρισκόμενοι κληρικοί, ἱερωμένοι καὶ ὁ λοιπὸς ἅπας χριστώνυμος τοῦ κυρίου λαὸς, ἐν κυρίῳ τέκνα ἀγαπητὰ τῆς ἡμῶν μετριότητος. χάριν, εἰρήνην, ἔλεον καὶ ἄλλο πᾶν ἀγαθὸν καὶ σωτήριον ἐπεύχεται ὑμῖν ἅπασιν ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. ἀπὸ τῶν διακομισθέντων γραμμάτων τῇ ἡμῶν μετριότητι καὶ τῇ περὶ αὐτὴν θείᾳ καὶ ἱερᾷ συνόδῳ τοῦ μητροπολίτου ὑμῶν οἰκειοχείρων αὐτοῦ ἐγνώρισεν αὕτη, ὅσα βλάσφημα καὶ δυσσεβῆ παραφθέγγεται κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας καὶ τῶν ὀρθοδόξων αὐτῆς, προστιθέμενος ἀλογίστως καὶ ἀμαθῶς τοῖς δυσσεβέσσι, τῷ τε Καλαβρῷ Βαρλαὰμ, τῷ λατινόφρονι ἐκείνῳ, καὶ τῷ ὁμόφρονι ἐκείνῳ, Ἀκινδύνῳ, καὶ τοῖς τούτων ὀπαδοῖς καὶ ὁμόφροσιν, οἵτινες προδήλως ἀρνοῦνται τὴν θείαν χάριν καὶ ἐνέργειαν τὴν κοινὴν τῆς τρισυποστάτου θεότητος καὶ τὸ θειότατον φῶς τῆς τοῦ κυρίου μεταμορφώσεως· μεταλαβὼν τοίνυν τῆς τοιαύτης κακίας καὶ ὁ μητροπολίτης Σίδης καὶ ὅλως τῆς τοῦ κακοῦ μοίρας γενόμενος βλασφημεῖ καὶ διαβάλλει τὴν ἐκκλησίαν θεοῦ, ὡς πολλοὺς θεοὺς καὶ θεότητας πρεσβεύουσαν, ὅπερ ἐστὶ δόγμα τῶν ἀθέων ἑλλήνων. ὡς γοῦν προδήλως ἀναφανέντα συκοφάντην καὶ βλάσφημον ἔδει τὴν ἡμῶν μετριότητα συνοδικῶς ἀποκηρύξαι τοῦτον τῆς ἐκκλησίας θεοῦ· ἐπεὶ δὲ χαίρει φιλανθρωπίᾳ ἡ τῶν εὐσεβούντων ὁμήγυρις, μιμουμένη κἀν τούτῳ τὴν κεφαλὴν ταύτης, ἥτις ἐστὶν ὁ Χριστὸς, φιλανθρωπευσαμένη καὶ ἐν τούτῳ ἡ μετριότης ἡμῶν καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος, ἔγραψε πρὸς

αὐτὸν ἐλεγκτικῶς ἅμα καὶ φιλανθρώπως, τὴν τούτου κηδομένη μεταβολὴν πρὸς τὸ βέλτιον καὶ ψυχικὴν σωτηρίαν, ἵνα πᾶσαν ἀποσεισάμενος δυσσεβῆ πλάνην καταλάβῃ ἀνυπερθέτως πρός τε τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ τύχῃ τῆς ὀφειλομένης διορθώσεως, δοὺς καὶ οὗτος ὁμολογίαν ὀρθόδοξον εἰς τὰ εὐσεβῆ τῆς ἐκκλησίας δόγματα. εἰ μὲν οὖν, καθὼς εἴρηται, καταγνοὺς τῶν ὧν γράφει βλασφημῶν ἀμαθῶς καὶ ἀπερισκέπτως, προσέλθοι γνησίως ἐνταῦθα εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, καὶ τύχοι τῆς εἰρημένης διορθώσεως, εὖ ἂν ἔχοι· εἰ δὲ ἀμετακλήτως νοσεῖ τὴν πονηρὰν αἵρεσιν τοῦ Βαρλαὰμ ἐκείνου καὶ Ἀκινδύνου, ἔσται ἀπὸ τοῦ νῦν καθυποβεβλημένος τῇ ἐκ τῶν θείων καὶ ἱερῶν κανόνων ἐπιτιμήσει καὶ αὐστηρίᾳ καὶ ἀργὸς παντάπασι πάσης ἀρχιερατικῆς ἀξίας καὶ ἐνεργείας, καθὼς περὶ τούτου ἀποφαίνεται συνοδικῶς ἡ μετριότης ἡμῶν. παρακελεύεται δὲ καὶ ὑμῖν, ἐν ἁγίῳ πνεύματι τέκνα ἀγαπητά, ὡς ἀποδιώξητε τοῦτον, ὡς μισθωτὸν καὶ οὐ ποιμένα, ἀλλὰ φθορέα καὶ λύκον τῆς ἀγέλης Χριστοῦ, καὶ ἀποθῆσθε τὰς τούτου πονηρὰς διδασκαλίας, αἵτινες διαβάλλουσι μὲν καὶ συκοφαντοῦσι τὴν ἐκκλησίαν, συνηγοροῦσι δὲ τῷ λατινόφρονι ἐκείνῳ Βαρλαὰμ καὶ ταῖς τούτου δυσσεβέσσιν αἱρέσεσιν, ὥστε γὰρ ἀφίστασθαι ὑμᾶς τοῦ τοιούτου Σίδης, ἀμεταμελήτως νοσοῦντος, ὡς εἴρηται, τοιαύτην νόσον τῆς δυσσεβείας, καὶ βαρύτατον φρικώδη ἀφορισμὸν ἐκφωνεῖ συνοδικῶς καθ' ὑμῶν ἡ μετριότης ἡμῶν, ὃν ὑφορώμενοι σπεύσατε ἀποστῆναι τελείως τῆς ψυχοβλαβοῦς κακοδοξίας αὐτοῦ, εἰ μή, ὡς εἴρηται, καταλάβῃ ἐνταῦθα. ἡ χάρις τοῦ θεοῦ εἴη διαφυλάττουσα ὑμᾶς ἀβλαβεῖς καὶ ψυχῇ καὶ σώματι †.

V. † Ἁγιώτατε δέσποτα πατριάρχα θεουπόλεως μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. τὸν παντοδύναμον διὰ παντὸς ἱκετεύω θεὸν, ὅπως ὑγιαίνῃ ἡ ἁγιότης σου καὶ σωματικῶς, καὶ παντοίαν ἔχοι τὴν πρὸς τὸ κρεῖττον ἐπίδοσιν, εἰς καταρτισμὸν καὶ στηριγμὸν τοῦ ὑπὸ σὲ χριστωνύμου ποιμνίου καὶ ὑπερασπισμὸν τῆς ἀμωμήτου καὶ ὑγιοῦς πίστεως. οἶδεν ἡ ἁγιωσύνη σου, ὅπως οἱ προστασίαν καὶ ποιμανσίαν λογικοῦ ποιμνίου ἀναδεξάμενοι, ἔστι δίκαιον παντὶ τρόπῳ κατὰ

πᾶσαν δύναμιν σπεύσειν ὥστε παραφυλάττειν αὐτὸ ἀκλόνητον καὶ ἀπαρασάλευτον εἰς τὰ τῆς ἐκκλησίας ὀρθόδοξα καὶ ὑγιῆ δόγματα, καὶ εἴ τι που δυσχερὲς καὶ ἀλλόκοτον καὶ ξένον τῆς ὑγιοῦς ἡμῶν καὶ ὀρθοδόξου πίστεως ἐμπέσοι, παντοίαν τίθεσθαι τὴν σπουδὴν μακρὰν ἀπελαύνειν αὐτό, ἵνα μὴ λύμη τις ψυχικὴ ἐπιγένηται τῇ τοῦ Χριστοῦ ἀγέλῃ, καὶ τὸν λόγον ἡμεῖς οἱ προστάται τῆς ἐκκλησίας θεοῦ ἀποτίσωμεν. γινώσκει οὖν ἡ ἁγιωσύνη σου, ὅπως πρὸ καιροῦ τινος ὑποδὺς ὁ τῶν ζιζανίων σπορεύς, ὁ παμπόνηρος διάβολος, τὸν Καλαβρὸν ἐκεῖνον, τὸν ἐκ λατινικοῦ γένους ὁρμώμενον Βαρλαὰμ εἰσήνεγκεν αἵρεσιν εἰς τὴν ἐκκλησίαν θεοῦ κ. τ. λ. vide CLXXVI. III. pag. 407. †.

CLXXVII. (6869—1360) 4. decembris ind. XIV.

Nicolaus renunciat dioecesi Chimarrhae et Kozilae, fidemque profitetur.

I. †᾽ Ἐν ὀνόματι τοῦ κυρίου, ἀμήν. ἔτος τῆς ἐνσάρκου οἰκονομίας χίλιοι τριακόσιοι ἑξηκοντατρεῖς χρόνοι ὄντες ἐγὼ φρὰ Νικόλαος, θεοῦ χάριτι καὶ τοῦ ἀποστολικοῦ θρόνου ἐπίσκοπος Χιμάρρας καὶ Κοζίλης, ἐκ τῆς τάξεως τῶν κηρύκων, διὰ τῆς παρούσης ἡμῶν γραφῆς καὶ ὁμολογίας ἀποβάλλομεν αὐτὴν τὴν ἐκκλησίαν Χιμάρρας καὶ Κοζίλης ἔμπροσθεν τοῦ παναγιωτάτου πατρὸς καὶ κυροῦ Καλλίστου, τῆς ἁγιωτάτης ἐκκλησίας τῆς Κωνσταντινουπόλεως πατριάρχου ἀξιωτάτου, καὶ τῶν ἀρχιερέων, αὐτοῦ καθημένου ἐπὶ θρόνου καὶ τὴν δικαιοσύνην ἑκάστου ὑπουργῶν, ἐν ἡμέρᾳ παρασκευῇ τὸ πρωΐ, τετάρτῃ τοῦ δεκεβρίου μηνός, ἰνδ. ιδ΄. χάριν δὲ βεβαιώσεως ἐβουλλώθη τὸ παρὸν ἡμέτερον γράμμα μετὰ τῆς ἡμετέρας ἀρχιερατικῆς βούλλης †.

† Ἐγὼ Νικόλαος οἰκεία χειρὶ προσέταξα †.

II. † Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν καὶ βεβαίωσιν γεγονυῖα καὶ ἡ παροῦσα μου ἔγγραφος ὁμολογία, ἣν ἐποιησάμην ὑπὸ θεῷ μάρτυρι καὶ τοῖς ἁγίοις αὐτοῦ ἀγγέλοις, πιστωθεῖσα ἄνωθεν μὲν ἡμετέρᾳ οἰκειοχείρῳ προταγῇ, κάτωθεν δὲ ὑπογραφῇ, ἐπεδόθη τῇ ἁγιωτάτῃ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως κατὰ μῆνα δεκέβριον τῆς ιδ΄ ἰνδ. ἔτους ϛοο ωοο ἑξηκοστοῦ ἐννάτου †.

† Ἐγὼ Νικόλαος οἰκείᾳ χειρὶ ὑπέταξα †.

CLXXVIII. (6869—1361) ianuario ind. XIV.

Philotheus patriarcha litteris datis ad patriarcham Antiochiae conqueritur de episcopo Tyri et Germanipoleos.

† Πιττάκιον εἰς τὸν Ἀντιοχείας, κῦρ Παχώμιον, γραφὲν ἰανουναρίῳ τῆς ιδ' ἰνδ. †.

† Ἁγιώτατε δέσποτα πατριάρχα θεουπόλεως μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος. εὔχομαι τῷ θεῷ ὑγιαίνειν τὴν ἁγιωσύνην σου καὶ σωματικῶς εἰς σύστασιν καὶ ὠφέλειαν τοῦ ὑπ' αὐτὴν χριστωνύμου πληρώματος. ἀπὸ τῶν ἐλθόντων ἐνταῦθα πρέσβεων παρὰ τῆς ἁγιωσύνης σου καὶ τῆς περὶ σὲ ἱερᾶς συνόδου, τοῦ τε ἱερωτάτου μητροπολίτου Λαοδικείας καὶ ὑπερτίμου, ἀγαπητοῦ κατὰ κύριον ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ, καὶ τοῦ ἐντιμοτάτου χαρτοφύλακος πρεσβυτέρου κῦρ Ἰωσὴφ ἐγνώρισε καὶ ἡ μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν ἱερὰ καὶ μεγάλη σύνοδος τὰ περὶ τῆς ἁγιωσύνης σου· ἡμεῖς οὖν καὶ πρότερον πατριάρχην σε εἴχομεν Ἀντιοχείας, καὶ νῦν πάλιν, ἐπειδὴ ἐπληροφορήθημεν, ὅτι ἡ αὐτόθι σύνοδος τῶν ἀρχιερέων στέργει σε πατριάρχην, στέργομεν τοῦτο καὶ ἡμεῖς, καὶ ἔχομέν σε ἀδελφὸν καὶ συλλειτουργὸν, καὶ ἤδη, καθὼς ὁρᾷς, καὶ γράφομέν σοι τὰ περὶ τούτου, ἵνα γνωρίσῃς, τοῦτο μόνον γράφομεν τῇ ἁγιωσύνῃ σου, διὸ λυποῦμεθα, καὶ ἕνι ἀναγκαῖον, ἵνα διορθώσηται τοῦτο αὖτη μετὰ τῆς οἰκείας συνόδου ἀπὸ τῶν αὐτόθι ἀρχιερέων, πάσχομεν δεινὰ πολλὰ δι' ὅλου τοῦ χρόνου, καὶ τὰ μὲν προγεγονότα πολλὰ καὶ βαρέα ἀφίημι πρὸς τὸ παρὸν, λέγω δὲ νῦν τὰ παρὰ τοῦ Τύρου δι' ὅλου γινόμενα· περιπατεῖ γὰρ εἰς τὴν ἐνορίαν μου καὶ ἱερουργεῖ καὶ χειροτονεῖ καὶ συνάγει χρήματα καὶ πράττει πᾶσαν παρανομίαν, ἕνι γοῦν ἀναγκαῖον, ἵνα κρίνητε αὐτὸν αὐτόθι κανονικῶς, ἢ εἴπερ οὐδὲν δύνασθε ποιῆσαι τοῦτο, δότε ἡμῖν ἄδειαν καὶ προτροπὴν, ἵνα ποιήσωμεν τοῦτο. τί δὲ ὁ Γερμανιπόλεως; δύο ἐκκλησίας ἔλαβεν ἡμετέρας, τὴν Ἀττάλειαν καὶ τὸ Σίλαιον, τῇ ἐξουσίᾳ τοῦ εὑρισκομένου ἐκεῖ ἀμηρᾶ, καὶ κρατεῖ ταύτας, ὡς γνήσιος αὐτῶν μητροπολίτης· ἂς γράψῃ οὖν ἡ ἁγιωσύνη σου πρὸς ἐκεῖνον, καὶ ἂς τὸν ἀφορίσῃ, ἵνα ἀποστῇ τῆς παρανομίας ταύτης, δὸς δὲ καὶ ἡμῖν ἄδειαν, ἵνα ἀφορίσωμεν αὐτὸν, ἐὰν γὰρ γένηται διόρθωσις εἰς ταῦτα, οὕτω μέλλομεν διάγειν εἰρηνικῶς καὶ ἡνωμένοι εἶναι καὶ κοι-

νωνικοί. τί δὲ τὰ γινόμενα ἐν τῷ μοναστηρίῳ τῆς Ὁδηγητρίας; ἐρώτησον τὸν Λαοδικείας, ἵνα εἴπῃ, πῶς ἐφθάρη καὶ ψυχικῶς καὶ σωματικῶς, αὐτόθι γὰρ ἐπιμέλεια οὐδὲν γίνεται, ἡμεῖς καὶ οὐδὲν ποιοῦμέν τι, καὶ γινωσκέτω ἡ ἁγιωσύνη σου, ὅτι τέλεον ἐφθάρη, καὶ ἔνι ἀναγκαῖον, ἵνα γένηται καὶ εἰς τοῦτο διόρθωσις. τὸ παρὸν γράμμα ἀναγνωσθήτω ἐν πάσῃ τῇ ὑπὸ σὲ συνόδῳ καὶ τῷ κλήρῳ καὶ τῇ λοιπῇ ἐνορίᾳ, ἵνα γνωρίσωσι πάντες τὴν περὶ τῆς ἁγιωσύνης σου ἡμετέραν γνώμην, μόνον ἀπὸ τῶν ἐχθρῶν σου φύλαττε τοῦτο, μήποτε τὸ ἀπολέσῃς. ἔρρωσο ἐν κυρίῳ, ἁγιώτατε δέσποτα καὶ ἀδελφέ.

† Εἶχε καὶ τὸ· Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης, διὰ τῆς θείας πατριαρχικῆς χειρός †.

CLXXIX. 6871 (1362) septembri ind. I.

Synodus episcopum Cephalleniae transfert in metropolim Naupacti.

† Μέγα τι χρῆμα πρὸς τὴν τῆς ἐκκλησίας θεοῦ σύστασιν καὶ ἀσφαλῆ μονιμότητα τὸ τοὺς προστατεῖν χάριτας λαχόντας αὐτῆς καὶ τοὺς οἰκουμενικοὺς τῆς ποιμανσίας οἴακας κρίμασι θειοτέροις ἰθύνοντας ἐμμέριμνον ἔργον ἔχειν ἑκάστοτε, ὥστε φροντίζειν τῶν ἑκασταχοῦ τῆς οἰκουμένης ἐκκλησιῶν καὶ ταύταις ἐγκαθιστᾶν ποιμένας καὶ διδασκάλους ἐπὶ τῷ ποιμαίνειν τὰ λογικὰ τοῦ Χριστοῦ πρόβατα καὶ πρὸς νομὰς ὁδηγεῖν σωτηρίους, μεθ' ἑαυτῶν ἔχοντας αὐτὸν τὸν ἀληθῆ καὶ μέγαν ποιμένα τε καὶ σωτῆρα μέχρι καὶ τῆς τοῦ αἰῶνος συμπληρώσεώς τε καὶ τελειώσεως, οὐ μὴν ἀλλὰ καὶ μετ' αὐτῶν εἰς τοὺς ἀπειρήτους ἐκείνους αἰῶνας, ἔνθα καὶ τὰ βραβεῖα τοῖς ἐνταῦθα διηγωνισμένοις πολλαπλασίως ἡτοίμασται, νόμος γὰρ οὗτος παλαιὸς καὶ καλῶς ἔχων τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ἐπεκράτησεν εἰς τὴν ταύτης οἰκοδομὴν ὥστε καὶ τὰς τῶν ἐκκλησιῶν τε καὶ πόλεων περιφανεῖς καὶ ποιμένων εὐμοιρεῖν ἀξιολόγων καὶ τούτους αὐτοὺς πάλιν οἱονεί τινος ἐφαμίλλου γνώμης τῇ σφετέρᾳ φύσει μεμετρημένης ἐντεῦθεν πρὸς λόγων ἔχειν ἐφάπτεσθαι καὶ τὴν οἰκείαν ἐν τοῖς καλλίστοις ἐπιδείκνυσθαι δύναμιν, ἀμφοτέρωθεν γὰρ ἂν οὕτος ὁ τοῦ δικαίου διασώζοιτο λόγος, καὶ τὸ τῆς ἐκκλησίας πλήρωμα ὑπὸ θεῷ συμμάχῳ κατὰ τὸ προσαρμόζον

σχῆμα διατηροῖτο. ταῦτ' ἄρα καὶ ἡ μετριότης ἡμῶν τὴν ἁγιωτάτην μητρόπολιν Ναυπάκτου εἰς πλεῖστον ὅσον χρόνον εἰδυῖα στερουμένην ἀρχιερέως γνησίου καὶ τὸν ὑπ' αὐτὴν χριστώνυμον τοῦ κυρίου λαὸν τῇ τούτου ἐρημίᾳ περιπλανώμενον, ὡς οὐκ ἔδει, καὶ ὅσον τὸ ἐντεῦθεν κακὸν ἐννοήσασα, οὐ μὲν . . δίκαιον ᾠήθη ἀμελείᾳ καὶ εἰς τὸ ἑξῆς ὀπωσοῦν χρήσασθαι, εἰς τὴν ταύτης ἐπίσκεψιν καὶ προμήθειαν, χηρεύουσαν, ὡς διείληπται, ἀρχιερατικῆς ἐπιστασίας ἐπὶ τοσοῦτον, καὶ ταῦτα πλείστης δεομένην συνάρσεως καὶ κηδεμονίας, ἅμα μὲν διὰ τὸ συναριθμεῖσθαι ταῖς ἐκκρίτοις τῶν μητροπόλεων καὶ τὸ συγκεχωρηκὸς ἔχειν ἀπό τε θρόνου καὶ χρόνου καὶ τὸ πρεσβεύειν ἐντεῦθεν, ἅμα δὲ καὶ διὰ τὸ παραχωρήσει θεοῦ πλήθει ἁμαρτιῶν πρό τινων ἤδη χρόνων ἐπελθεῖν ἐκεῖσε τὴν τῶν πραγμάτων ἀνωμαλίαν καὶ σύγχυσιν καὶ ταύτης ἔργον γενέσθαι καὶ αὐτὴν δυστυχέστατα. καὶ δὴ σπούδασμα κατὰ τὸ εἰκὸς καὶ φροντίδα οὐ μικρὰν ποιησαμένη συνοδικῶς περὶ ταύτης, ἐπεὶ εὗρε τὸν θεοφιλέστατον ἐπίσκοπον Κεφαλληνίας, ζήλῳ θεοφιλεῖ καὶ πρώην ταύτης κηδόμενον καὶ τὰ ἐκκλησιαστικὰ δίκαια τῆς εἰρημένης ἁγιωτάτης μητροπόλεως Ναυπάκτου ἀναδεδεγμένον παρὰ τῆς ἡμῶν μετριότητος καὶ πολλὴν σπουδὴν εἰσενεγκάμενον ὑπὲρ ὠφελείας τοῦ ἐκεῖσε χριστωνύμου λαοῦ καὶ πάντα πράττειν καὶ ποιεῖν προθυμούμενον, ὅσα τε εἰς σύστασιν συντείνει τῶν εὐσεβῶν κτητόρων αὐτῆς καὶ εἰς εὐαρέστησιν τοῦ θεοῦ· ἡ μετριότης ἡμῶν κοινῇ ψήφῳ καὶ διασκέψει τῆς περὶ αὐτὴν θείας ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας, τοῦ Κυζίκου, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Ποντοηρακλείας, τοῦ Τραϊανουπόλεως, τοῦ Βρύσεως, τοῦ Ἀμάστριδος, τοῦ Σελυβρίας καὶ τὸν τόπον ἐπέχοντος Κοτολείου, τοῦ Σουγδαίας, τοῦ Χριστιανουπόλεως καὶ τοῦ Ῥωσίου, εἰδήσει καὶ εὐδοκίᾳ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ κοσμοῦντος καὶ ἑδράζοντος τὸ τῆς ἐκκλησίας στερέωμα ἀπὸ τῆς δεδωρημένης τῷ ἐνθέῳ κράτει αὐτοῦ ὑπερφυοῦς μεγαλονοίας καὶ τῆς πανταρίστης καὶ κηδεμονικῆς αὐτοῦ γνώμης καὶ φύσεως μετέθηκε τοῦτον εἰς τὴν τῆς Ναυπάκτου ἁγιωτάτην ταύτην μητρόπολιν, ὃς δὴ ἱερώτατος μητροπολίτης Ναυπάκτου, ὑπέρτιμος ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς ἡμῶν καὶ συλλειτουργός, ὥσπερ τῆς ἐπωνυμίας τοῦ θρόνου ταύτης καὶ τοῦ ὀνόματος, οὕτως ἔσται κἀν τῷ ἑξῆς ἀεὶ χρόνῳ μετέχων καὶ ἀπολαύων καὶ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἅτε γνήσιος ἤδη ἀρχιερεὺς διὰ τῆς τοῦ θεοῦ χάριτος

ἀποκαταστὰς τῆς ῥηθείσης ἁγιωτάτης μητροπόλεως Ναυπάκτου, καὶ κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ ὑποτύπωσιν τῆς ἀνηκούσης τιμῆς ἔν τε καθέδραις, στάσεσί τε καὶ συνελεύσεσιν, ἀναγνώστας τε σφραγίζων ἐκ τῶν ἐν αὐτῇ καὶ ὑποδιακόνους καὶ διακόνους προβιβάζων καὶ πρεσβυτέρους χειροτονῶν καὶ ἐπισκόπους εἰς τὰς ὑπ' αὐτὸν ἐκκλησίας ἐγκαθιστῶν, ἐφειμένων καὶ τούτῳ διαπράττεσθαι, ἐπιλαβόμενός τε καὶ πάντων τῶν ὁθενδήποτε διαφερόντων ταύτῃ δικαίων· ὅθεν ὀφείλουσιν οἵ τε ἐν αὐτῇ κληρικοὶ καὶ ἱερωμένοι μοναχοὶ καὶ λαϊκοὶ ὑποκεῖσθαι καὶ πειθαρχεῖν τούτῳ, ὅσα καὶ οἰκείῳ καὶ γνησίῳ αὐτῶν ποιμένι καὶ πατρὶ καὶ διδασκάλῳ καὶ μεσίτῃ καὶ διαλλακτῇ τὰ πρὸς τὸν θεὸν καὶ δέχεσθαι προθύμως καὶ ἀποπληροῦν, ὅσα μέλλει λέγειν καὶ εἰσηγεῖσθαι αὐτοῖς ψυχωφελῆ καὶ σωτήρια. αὐτὴ δὴ τούτου ἕνεκεν καὶ ἡ παροῦσα ἡμετέρα συνοδικὴ πρᾶξις γεγονυῖα τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῳ Ναυπάκτου καὶ ὑπερτίμῳ εἰς ἀσφάλειαν ἐπιδέδοται, ἀπολυθεῖσα κατὰ μῆνα σεπτέβριον τῆς ἐνισταμένης ατης ἰνδ. του ϛου ωου ουου αου' ἔτους, ἥτις καὶ ὑπεσημάνθη τῇ αὐτοχείρῳ ὑπογραφῇ τῆς ἡμῶν μετριότητος †.

CLXXX. Sine anno.

Patriarcha litteras Pachomio, patriarchae Antiochiae, contrarias subditicias esse dicit.

† Οἱ ὑπὸ τὴν ἐνορίαν τοῦ πατριαρχικοῦ θρόνου τῆς μεγάλης Ἀντιοχείας ἱερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι κ. τ. λ. ἐγνώρισεν ἡ μετριότης ἡμῶν, ὅτι διεκομίσθη παρά τινων αὐτόθι πρὸς ὑμᾶς γράμμα ψευδὲς καὶ πεπλασμένον, ὡς δῆθα παρ' ἡμῶν, διαλαμβάνον, ὅτι, ἐὰν γένηται πατριάρχης ὁ κῦρ Παχώμιος, ἡμεῖς οὐδὲν στέργομεν αὐτὸν, ἀλλὰ ἀφωρισμένον ἔχομεν καὶ αὐτὸν καὶ τοὺς κοινωνοῦντας αὖτῷ καὶ στέργοντας αὐτόν. διὰ τοῦτο ἔδοξε καλὸν τῇ ἡμῶν μετριότητι, ἵνα γράφῃ καὶ παραδηλώσῃ ὑμῖν περὶ τοῦ εἰρημένου ψευδοῦς γράμματος. γινώσκετε οὖν ἅπαντες, ὅτι τὸ γράμμα ἐκεῖνο οὐκ ἦν ἡμέτερον, οὐδὲ τῆς ἡμετέρας χειρὸς ἢ γνώμης, ἀλλὰ ψευδὲς καὶ ἐπίπλαστον καὶ πεφαλσευμένον. καὶ ἔχει τοῦτο ἡ μετριότης ἡμῶν καὶ ἀφωρισμένον καὶ ἀναθεματισμένον, καὶ τὸν πλάσαντα καὶ ἐργασάμενον τοῦτο ἔχω ἀσυγχώρητον, ὁποῖος ἂν εἴη, οὐδὲ γὰρ ἔχομεν συνήθειαν

ἡμεῖς ἐξετάζειν καὶ ἀνακρίνειν τὰς ὑμετέρας πράξεις, ἀλλὰ τὰ παρ' ὑμῶν αὐτόθι συνοδικῶς γινόμενα στέργομεν καὶ ἡμεῖς καὶ δεχόμεθα ἀναμφιβόλως καὶ ἀνεξετάστως, διὸ καὶ τοὺς παρ' ὑμῶν ἐνταῦθα πεμφθέντας πρέσβεις, τόν τε ἱερώτατον μητροπολίτην Λαοδικείας καὶ τὸν ἐντιμότατον χαρτοφύλακα, καὶ ἐδεξάμεθα καὶ ἀπεδεξάμεθα καὶ τὰ συνοδικὰ γράμματα, ἅπερ ἔφερον, καὶ ἐστέρξαμεν καὶ στέργομεν. διὰ τοῦτο καὶ γράφει πρὸς ὑμᾶς ἡ μετριότης ἡμῶν, ἵνα γινώσκητε τὴν ἡμετέραν γνώμην καὶ τῆς ἡμετέρας συνόδου. εἴ τις οὖν ἔλθοι πρὸς ὑμᾶς ἄλλα λέγων παρὰ ταῦτα, μηδὲν πιστεύσητε αὐτῷ, καὶ γράμματα ἐὰν φέρῃ παρ' ἐμοῦ δῆθεν, μηδὲν στέρξητε †.

CLXXXI. Sine anno.

Synodus mores pravos in matrimoniis abolet.

† Ὅσην μὲν σύστασιν καὶ ἀσφάλειαν τὸ τῆς εἰρήνης καὶ ὁμονοίας χρῆμα προξενεῖ τῇ ἐκκλησίᾳ θεοῦ καὶ ὅπως ἐπικρατεῖ διὰ τούτου εὐταξία καὶ κοσμιότης ἐν ἅπασι τοῖς ἐκκλησιαστικοῖς πράγμασιν, ἴσασι πάντες οἱ ταύτῃ ὅλως προσκείμενοι καὶ ὡς μέλη τῆς ἐκκλησίας μεθ' ἁρμονίας πνευματικῆς εἰς ἓν συνοδούμενοι σῶμα καὶ κεφαλὴν μὲν, κατὰ τὸν θεῖον ἀπόστολον, ἔχοντες τὸν Χριστὸν, ὑφ' ἑνὶ δὲ καθηγεμόνι, τῷ προστάτῃ τῆς ἐκκλησίας, ταττόμενοι· ὅσην δὴ πάλιν ταραχὴν κατ' αὐτῆς ἐπεγείρει καὶ ζάλην ἡ κακίστη διάστασις καὶ φιλονεικία καὶ τὰ ἐκ ταύτης ἐπιφυόμενα σκάνδαλα, καὶ ὅσην ἀπεργάζεται ἀκοσμίαν καὶ σύγχυσιν, γνώριμον καὶ τοῦτο καθίσταται τοῖς ἐχέφροσι καὶ τοῦ δικαίου ἐξεχομένοις, μαρτυρήσει δ' οὐχ ἧττον καὶ τὰ νῦν λεχθησόμενα. φθάνουσι πρὸ ὀλίγου ἐγκύψαντα σκάνδαλα εἰς τὴν ἐκκλησίαν θεοῦ, παρ' ὧν ἄρα καὶ ἐνέκυψαν, μεγάλην ταραχὴν ἐπεγείραντα τῇ πνευματικῇ ὁμονοίᾳ τοῦ ταύτης σώματος, ὡς μὴ ὤφελεν· τοῦ γοῦν ἐκ θεοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ὑπὸ τῆς ἐνούσης αὐτῷ μεγαλοψυχίας καὶ ἀγχινοίας καὶ περὶ τὰ καλὰ σπουδῆς τε καὶ συνδρομῆς τὰ τοιαῦτα σκάνδαλα διαλελυκότος καὶ ἐκποδὼν ἀπεληλακότος καὶ τὴν εἰρήνην τῆς τοῦ θεοῦ ἐκκλησίας φιλοθέως ἡμῖν χορηγήσαντος καὶ τοὺς διισταμένους τῶν ἱερωτάτων ἀρχιερέων συνάψαντος τῷ τε παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ περὶ αὐτὴν θείᾳ καὶ ἱερᾷ συνόδῳ, ἀπελύθη τηνι-

καῦτα καὶ θεῖον καὶ σεπτὸν πρόσταγμα τῆς ἁγίας βασιλείας αὐτοῦ, διοριζόμενον ἐξετασθῆναι κανονικῶς τὰ προτεινόμενα παρ' αὐτῶν κεφάλαια, εἴπερ ἄρα ταῦτα προέβησαν μηδόλως τινῶν καθαψάμενα, ἀλλὰ μετὰ εἰρήνης καὶ συμφωνίας πνευματικῆς, τηρουμένης τῆς εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ὀφειλομένης ὑποταγῆς, ἐξετασθησόμενα καὶ ληψόμενα ἐντεῦθεν ἀναλόγως τὴν θεραπείαν. ἐπεὶ γοῦν πρὸ ὀλίγου ὅ τε ἱερώτατος μητροπολίτης Χαλκηδόνος καὶ ὁ τιμιώτατος ὑποψήφιος Θεσσαλονίκης, ἱερομόναχος κῦρ Νεῖλος ὁ Καβάσιλας, ἐγχειρίσαντες κατάστιχον τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, κεφαλαιωδῶς περιλαμβάνον τὰς διαφόρως, νῦν τε καὶ πρότερον γενομένας παρὰ πᾶσαν εἴδησιν τῆς ἐκκλησίας θεοῦ τριγαμίας, τετραγαμίας καὶ ἀθεμιτογαμίας, ἔτι τε καὶ ἄλλα τινά, ὡς δῆθεν ζητήματα κανονικά, καὶ ἐδέοντο τῆς τούτων διορθώσεως. ὁ οὖν παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, καὶ πάλαι διόρθωσιν τὴν δυνατὴν ποιησάμενος ἐν τοῖς τοιούτοις καὶ ἐκδίκησιν τὴν προσήκουσαν, Χριστοῦ χάριτι, καὶ διατηρήσας τὸν τρόπον τῆς τούτων καὶ ἔτι μετὰ κινήσεως, ὅμως διὰ τὸ τῆς εἰρήνης, ὡς εἴρηται, κάλλιστον πρᾶγμα καὶ διὰ τὴν ἔγγραφον προσταγὴν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως προσκαλεσάμενος τόν τε ἁγιώτατον δεσπότην καὶ πατριάρχην Ἱεροσολύμων καὶ πάντας τοὺς ἱερωτάτους ἀρχιερεῖς τοὺς ἐπιδημοῦντας ἐν τῇ βασιλευούσῃ τῶν πόλεων, παρεκελεύσατο εἰς ἐπήκοον πάντων τούτων ἀναγνωσθῆναι τὸ εἰρημένον κατάστιχον, ὅπερ καὶ διελάμβανεν, ὅσα δῆτα καὶ διελάμβανεν. ἀναγνωσθὲν οὖν παρὰ τοῦ τιμιωτάτου μεγάλου σακελλαρίου καὶ διδασκάλου τῶν διδασκάλων οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς, συνεδριαζόντων τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, τοῦ τε ἁγιωτάτου δεσπότου καὶ πατριάρχου Ἱεροσολύμων καὶ τῶν ἱερωτάτων ἀρχιερέων πάντων, πλὴν τοῦ Χαλκηδόνος, ἐκρίθη περισσὸν καὶ σύγχυσιν μόνον ἐπάγον τὸ προκομισθὲν τοῦτο κατάστιχον, ἐπεὶ τὰ μὲν τῶν ἐμφερομένων αὐτῷ κεφαλαίων ἔφθασαν διεκδικηθῆναι ἱκανῶς καὶ μετὰ τὸν ἐγχωροῦντα τρόπον τῇ τε ἐκκλησίᾳ θεοῦ καὶ τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ἐγγράφως καὶ ἀγράφως προμηθευσαμένῳ καὶ σπουδάσαντι εἰς τὴν τούτων διόρθωσιν, εἰ καί τινες οἱ τολμήσαντες διαπράξασθαι τὰς τοιαύτας παρανομίας, ἀμεταμέλητα ἔτι νοσοῦντες, ἐξέχονται τούτων καὶ μετὰ τὴν ἔνδικον

ἐπιτίμησιν. τὰ δὲ ἔσχον ἑτέραν συνοδικὴν διόρθωσιν καὶ ἀποκατάστασιν, ἦγουν τὰ περὶ τοῦ Ἀλανίας, τοῦ Περιθεωρίου καὶ ἕτερά τινα τοιουτότροπα· ἕτερα δὲ τῶν τοιούτων ἀθεμίτων γάμων, γεγονότα παρὰ πᾶσαν γνώμην καὶ βούλησιν τῆς ἐκκλησίας θεοῦ, ἐπετιμήθησαν μὲν ὡς παράνομα, δέονται δὲ εἰς τὸ διασπασθῆναι καὶ τῆς παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως διεκδικήσεως. τῶν μέντοι δύο τούτων ἱερωτάτων ἀρχιερέων, τοῦ τε Χαλκηδόνος καὶ τοῦ Σουγδαίας, ἔτι δὲ καὶ τοῦ τιμιωτάτου ὑποφηφίου, ἀπαιτούντων καὶ ζητούντων πλείονα τὴν διόρθωσιν καὶ βαρυτέραν τὴν ἐπεξέλευσιν καὶ μὴ στοιχούντων ἐντεῦθεν τῇ εἰρημένῃ συνοδικῇ διαγνώσει καὶ κοινῇ ψήφῳ καὶ ὁμονοίᾳ, καὶ ζητήσεως συνοδικῆς γενομένης περὶ τοῦ, πῶς δεῖ ἀποκαταστῆναι τὰ ἐμφερόμενα τῷ τοιούτῳ καταστίχῳ καὶ λαβεῖν τελείαν τὴν διευλύτωσιν καὶ διαλυθῆναι ἐντεῦθεν καὶ τὰ ἐπιφυόμενα σκάνδαλα, ἀπῃτήθησαν καὶ γνῶμαι κοινῶς ἐπὶ τῇ τοιαύτῃ συνελεύσει τῶν ῥηθέντων ἱερωτάτων ἀρχιερέων διὰ τὴν ἐφεξῆς ἀσφάλειαν· καὶ δὴ πρῶτος ὁ Ἡρακλείας εἶπεν· ὅτι οὐ δεῖ περὶ τῶν τριγαμιῶν καὶ τετραγαμιῶν καὶ ἀθεμιτογαμιῶν κινεῖσθαι παρρησία, ἐπεὶ οὐδαμῶς μετὰ τῆς τυχούσης γνώμης καὶ ἐνδόσεως τῆς ἐκκλησίας γεγόνασιν, ἀλλ' ἵνα ἐπεκδικῶνται ἀλλαχόθι μὲν παρὰ τοῦ κατὰ χώραν ἐπισκόπου κανονικῶς, ἐνταῦθα δὲ ἰδίᾳ παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, παρ' οὗ καὶ ἐκδικήσεις ἐπὶ τούτοις ἐγεγόνεισαν διαφόρως· στέργω δὲ καὶ τὴν προβᾶσαν συγχώρησιν ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχητρίου. ὁ Κυζίκου εἶπεν· ὅτι δεῖ ταῦτα ὡς ἄτοπα διαλυθῆναι καὶ, ὡς δυνατόν, κωλύεσθαι, ὥσπερ δὴ καὶ ἀναχαιτίζονται καὶ κωλύονται κατὰ τὸ ἐγχωροῦν τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, μὴ μέντοι προστρίβειν ταῦτα τῇ ἐκκλησίᾳ, ἀλλ' ἀνατιθέναι τὴν τούτων ἐκδίκησιν τῷ προστάτῃ τῆς ἐκκλησίας, πλὴν μετὰ βασιλικῆς ἰσχύος· στέργω δὲ καὶ τὴν προβᾶσαν συγχώρησιν συνοδικὴν ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχητρίου. ὁ Ποντοηρακλείας εἶπεν· ὅτι στοιχῶ κατὰ πάντα ἐπὶ πᾶσι τούτοις τῇ γνώμῃ τοῦ δεσπότου τοῦ Ἡρακλείας, ὅτι οὐ δεῖ ταῦτα παρρησιάζεσθαι ἢ προστρίβεσθαι μῶμον τῇ συνόδῳ διὰ ταῦτα· στέργω καὶ τὴν ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχητρίου συνοδικὴν διάγνωσιν. ὁ Βιζύης εἶπεν· ὅτι ὅσα γίνονται παρὰ τὸν τόμον τῆς ἑνώσεως ἐπὶ τοῖς τοιούτοις ἀθεμίτοις γάμοις, ὀφείλει, ἵνα ἐπεκδικῶνται παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ

οἰκουμενικοῦ πατριάρχου, κατὰ τὸ δυνατὸν αὐτῷ, ὥσπερ δῆτα καὶ γίνεται παρ' αὐτοῦ, καὶ οὐ χρὴ παρρησιάζεσθαι ταῦτα καὶ κινεῖσθαι δι' ὅλου ἐν τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ· εἰ δ' ἴσως ἔλθῃ εἰς ἀδυναμίαν τοῦ ταῦτα δύνασθαι κωλύειν εἰς τέλος, ἵνα γένηται τὸ ἐλλεῖπον τῆς ἐκδικήσεως παρὰ τῆς βασιλικῆς δυνάμεως· στέργω δὲ καὶ τὴν ἁπλῶς γενομένην συνοδικὴν συγχώρησιν ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχητρίου. ὁ Βρύσεως εἶπεν· ὅτι κατὰ τῶν τοιούτων ἀθεμιτογαμιῶν καὶ πολυγαμιῶν ἐποίησεν ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ὅσον ἔδει κανονικῶς, μετὰ καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, καὶ ἐπεξῆλθε ταῦτα ἐγγράφως καὶ ἀγράφως· περισσὸν οὖν δοκεῖ καὶ οὐκ εὔλογον, ἵνα κινῶνται ταῦτα εἰς τὴν σύνοδον, ὡς προστρίβεσθαι ἐντεῦθεν ὕβριν καὶ κατηγορίαν τῇ ἐκκλησίᾳ θεοῦ, ὅπερ ἐστὶ ἀτοπώτατον. ἔχω δὲ τὰ τοιαῦτα ἀθέμιτα συνοικέσια καὶ ἐγὼ, καθὼς κατ' αὐτῶν οἱ θεῖοι καὶ ἱεροὶ κανόνες διαγορεύουσι καὶ ὁ τῆς ἑνώσεως τόμος, καὶ οὐκ ἄλλως· στέργω δὲ καὶ τὸ προβὰν τῆς συγχωρήσεως γράμμα συνοδικῶς ἀπὸ συμπαθείας ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχητρίου, πλὴν ἵνα οὐδὲν ἱερουργῇ ἢ ἐργάζηταί τι ἱερατικὸν ὅλως ἐν τῷ περιονύμῳ ναῷ τῆς τοῦ θεοῦ λόγου Σοφίας, ὃ δὴ πάντες οἱ ἀνωτέρω γνωματεύσαντες ἀρχιερεῖς ἔστερξαν. ὁ Χριστιανουπόλεως εἶπεν· τὰ περὶ τῶν τοιούτων ἀθεμιτογαμιῶν, ἔχω ταῦτα καὶ αὐτὸς αἰσχρὰ καὶ κακὰ, ὥσπερ καὶ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες τὴν ψῆφον περὶ τούτων προφέρουσιν, ἀλλὰ δὴ καὶ ὁ τῆς ἑνώσεως τόμος· ὅτι δὲ ἔλαβον τὴν δυνατὴν διόρθωσιν παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, οὐδέν μοι δοκεῖ παρρησιάζεσθαι ταῦτα, καὶ προστρίβεσθαι ἐντεῦθεν μέμφιν τῇ συνόδῳ, ὡς οὐ τελείως διελύθησαν, ἀλλὰ φροντίζειν μόνον τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, τῆς προσηκούσης διορθώσεως, ὥσπερ δῆτα καὶ ἐποίησε καὶ ποιεῖ, Χριστοῦ χάριτι· στέργω δὲ καὶ τὴν ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχητρίου γενομένην συνοδικὴν συγχώρησιν, πλὴν καθὼς ὁ δεσπότης ὁ Βρύσεως ἐγνωμάτευσεν. ὁ Κελτζηνῆς εἶπεν· ὅτι συμφωνῶ κατὰ πάντα τῷ δεσπότῃ τῷ Βρύσεως, καὶ στέργω τὰ ὑπὸ τούτου γνωματευθέντα κατὰ τῶν ἀθεμιτογαμιῶν, ἀλλὰ δὴ καὶ ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχητρίου. ὁ Σουγδαίας εἶπεν· ὅτι στέργω τοὺς θείους καὶ ἱεροὺς κανόνας, λέγοντας κατὰ τούτων, καὶ πλέον οὐδέν. ὁ Ῥωσίου εἶπε· στέργω κατὰ πάντα, εἰς ὅσα ἐγνωμάτευσαν ἀνωτέρω οἱ ἀδελφοί μου, οἱ ἀρχιερεῖς,

κατὰ τῶν ἀθεμιτογαμιῶν, ἀλλὰ δὴ καὶ ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχητρίου. ὁ Μηδείας εἶπεν· ὅτι ταῦτα τὰ ἀθέμιτα ἔργα ἐγένοντο, παρ' ὧν ἄρα καὶ ἐγένοντο, παρὰ τὸ εἰκὸς, ἔλαβον δὲ τὴν δυνατὴν καὶ προσήκουσαν διόρθωσιν παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ ὀφείλει, ἵνα ἀναστέλλωνται ταῦτα καὶ εἰς τὸ ἑξῆς, ὡς παράνομα, κατὰ τὸν δυνατὸν τρόπον τῇ τοῦ θεοῦ ἐκκλησίᾳ· στέργω δὲ καὶ τὴν ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχητρίου συνοδικὴν συγχώρησιν, καθὼς καὶ οἱ ἕτεροι ἀρχιερεῖς. ὁ Ἐξαμιλῶν συνεφώνησε τοῖς ἀνωτέρω πᾶσι κατὰ πάντα. ὁ ὑποψήφιος Θεσσαλονίκης εἶπεν· ὅτι τὰ περὶ τῶν τετραγαμιῶν καὶ τῶν λοιπῶν ἀθεμιτογαμιῶν ἐπεξεδικήθησαν, ὡς λέγετε, ψυχικῶς ἅμα καὶ πνευματικῶς ἐν ἐκκλησίᾳ θεοῦ, λείπεται δὲ ἐπεκδικηθῆναι ταῦτα καὶ σωματικῶς διὰ πλείονα τὸν σωφρονισμὸν καὶ τὴν τούτων ἐκκοπήν. τούτων δὲ πάντων οὕτω γνωματευσάντων, ὁ ἁγιώτατος δεσπότης καὶ πατριάρχης Ἱεροσολύμων εἶπεν· ὅτι ἐπεί, ὡς ἀνέμαθον ἀκριβῶς, τὰ ἐπεισφρήσαντα ταῦτα ἀθέμιτα καὶ παράνομα συνοικέσια παρὰ πᾶσαν βούλησιν καὶ γνώμην τῆς ἐκκλησίας θεοῦ διεκδικήθησαν παρὰ τοῦ παναγιωτάτου δεσπότου καὶ ἀδελφοῦ μου, τοῦ οἰκουμενικοῦ πατριάρχου, κανονικῶς διά τε τῶν προβάντων συνοδικῶν παρ' αὐτοῦ τόμων καὶ ἀλλοτρόπως, οὐ δίκαιόν ἐστι κινεῖσθαι καὶ πολυπραγμονεύεσθαι ταῦτα ἐπὶ τοῦ μέσου καὶ ἐπιφύεσθαι διὰ τοῦτο σκάνδαλα καὶ ὀχλήσεις, ὥσπερ ἂν εἰ ἐπράττετο ταῦτα κατὰ γνώμην τῆς ἐκκλησίας, ἀλλ' ἵνα ἀναστέλλωνται καὶ ἀναχαιτίζωνται καὶ αὖθις καὶ ἐπιτιμῶνται παρὰ τοῦ αὐτοῦ παναγιωτάτου δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, τηρουμένης ἐν τῇ ἐκκλησίᾳ θεοῦ καὶ μενούσης πάσης εἰρήνης καὶ ὁμονοίας· περὶ δὲ τοῦ ἱερέως τοῦ Μαχητρίου εἶπεν, ὅτι οὐ δίκαιόν ἐστιν, ὅπερ ἔστερξε πρὸ ὀλίγου ἡ σύνοδος μετὰ τοῦ παναγιωτάτου δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, νῦν ἀνατραπῆναι, ἀλλὰ στέργεσθαι κατὰ πάντα τὸ προγεγονὸς γράμμα ὑπὲρ τῆς ἀθῳώσεως ἱερέως τοῦ Μαχητρίου, καθὼς καὶ οἱ ἀρχιερεῖς περὶ τούτου ἀπεφήναντο· εἶτα προέτρεψε τοῦτον βαλεῖν καὶ ποιῆσαι μετάνοιαν εἰς τὴν θείαν καὶ ἱερὰν τούτων σύνοδον καὶ συγγνώμην καὶ συγχώρησιν καὶ συμπάθειαν αἰτήσασθαι, ὅπερ δῆτα καὶ ἐποίησεν, εὐβουλίας καὶ συγχωρήσεως παρ' αὐτῶν ἀξιωθείς, ἄνευ μέντοι τοῦ ἱερωτάτου μητροπολίτου Σουγδαίας. ὁ δὲ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἃ καὶ πρότερον πολλάκις καὶ

διαφόρως ἐξεῖπε καὶ συνοδικῶς διηγήσατο, τούτοις στοιχήσας καὶ ἐπιβεβαιῶν τὰ τοιαῦτα, οὕτωσὶ ἀπεφήνατο κατὰ πάντα τῆς προτέρας ἐξεχόμενα διανοίας. ἡ μετριότης ἡμῶν, κρίμασι θειοτέροις εἰς τὸν πατριαρχικὸν ἀναχθεῖσα θρόνον καὶ τὸ καταπιστευθὲν αὐτῇ ποίμνιον κανονικῶς ποιμαίνειν προελομένη, τό γε εἰς αὐτὴν ἥκον, περὶ πλείστου ἐποιήσατο, διόρθωσιν πρῶτον μὲν γενέσθαι τῆς πολιτείας καὶ ἀναστροφῆς τῶν τὰς ἐξαγορείας ἀναδεδεγμένων πνευματικῶν ἀνδρῶν, ὥστε εἶναι τούτους ἀνεπιλήπτους παντὶ τρόπῳ καὶ προκεῖσθαι εἰς καλὸν μίμημα καὶ ὠφέλειαν τοῦ λαοῦ, ἔπειτα τῆς τῶν ἱερέων εὐταξίας καὶ κοσμιότητος, ὡς ἂν διάγοιεν οὗτοι κατὰ τὸν ἀνήκοντα τούτοις ἐκ τῶν ἱερῶν καὶ θείων κανόνων τρόπον θεοφιλῶς ἅμα καὶ εὐλαβῶς, ἀπέχεσθαί τε καὶ καπηλείων καὶ πάσης ἄλλης φαύλης διαγωγῆς, μάλιστα δὲ τηρεῖν ἀκριβῶς, μὴ γίνεσθαι τοιαῦτα ἀθέμιτα συνοικέσια, ἅπερ κακῶς ἐπεισέφρησαν τῇ σεμνῇ τῶν χριστιανῶν πολιτείᾳ ἐκ τοῦ μὴ μετὰ ἐρεύνης καὶ ἐξετάσεως καὶ ἐμβριθείας ἀναστέλλεσθαι καὶ ἀναχαιτίζεσθαι παρὰ τῶν τὴν διεξαγωγὴν τούτων ἐπιτετραμμένων, οὗ χάριν καὶ τούτους μὲν συνοδικῶς ἐπεξήλθομεν, εἰς ἐκκοπὴν δὲ καὶ συντήρησιν τῶν τοιούτων ἐξάρχους ἐγκατεστήσαμεν ἀπὸ τῶν εὐλαβῶν ἱερέων, ὅσοι τῷ τότε ἐκρίθησαν τῶν ἄλλων προέχοντες, καθὼς πλατυκώτερον ἐν τοῖς ἱεροῖς κωδικίοις κατεστρώθησαν ταῦτα, εἰ καὶ τινες, τοῖς κακοῖς συνηγοροῦντες καὶ ἐπιχαίροντες, τὰ πλείω τούτων παρυφείλοντο καὶ μαχαίρᾳ ἀπέτεμον ἀναιδῶς ἅμα καὶ τολμηρῶς ἀπὸ τοῦ τοιούτου κωδικίου· προσέτι γε μὴν ἐπετιμήσαμεν καὶ εἰσηγησάμεθα μετ' αὐστηρίας πνευματικῆς δι' ἑτέρου γράμματος τοῦ πρὸς τοὺς αὐτοὺς ἐξάρχους τοῖς ἀθέμιτον ἔχουσι γάμον τελέως ἀποσχέσθαι αὐτοῦ, ἐπανατεινάμενοι καὶ κατὰ τῶν τολμώντων ταῦτα ἱερωμένων καθαίρεσιν ἔνδικον, ἀλλὰ καὶ τὴν εἰσκομάσασαν γοητείαν καὶ τὰ ταύτης αἰσχρὰ ἔργα σπουδάσαντες, ὡς οἷόν τε, ἀνεστείλαμεν, Χριστοῦ χάριτι, καθὼς εὕρηται καὶ τοῦτο διεξοδικωτέρως ἐν τοῖς αὐτοῖς κωδικίοις. μετὰ μέντοι τὸ ἐπανελθεῖν ἡμᾶς εἰς τὴν ἐκκλησίαν, ἧς ἐξηλάθημεν, ὡς ἴσασιν ἅπαντες, πλείονος φροντίσαντες τῆς εἰς ταῦτα ἀσφαλείας καὶ διορθώσεως, ἐπεὶ ἀπό τινων ἱερέων παρὰ τὸ προσῆκον αὐτοῖς σχῆμα πολιτευομένων συμβαίνουσιν ἐπιφύεσθαι αἱ τριγαμίαι, αἱ τετραγαμίαι καὶ τὰ ἀθέμιτα πάντα συνοικέσια, τῷ δοκεῖν ταῦτα συναπτόντων, ἅπερ μᾶλλον τῇ ἀληθείᾳ εἰσὶν ἀσύναπτα καὶ ἐπιτετιμημένα,

παρὰ τοὺς θεσμοὺς τῆς ἐκκλησίας προβαίνοντα, ἐξεθέμεθα ἐν τοῖς αὐτοῖς κωδικίοις ἔγγραφον ἑτέραν ἀσφάλειαν ἐπὶ τῷ ἀπέχεσθαι τούτων ἁπάντων καὶ μὴ ἐν καπηλείοις εἰσέρχεσθαι, ὑπογραφάντων τηνικαῦτα καὶ πάντων τῶν ἐν τῇ θεοδοξάστῳ καὶ θεομεγαλύντῳ Κωνσταντινουπόλει ἱερωμένων εἰς φυλακὴν τῶν ἱερῶν καὶ θείων κανόνων καὶ ἀναίρεσιν καὶ κατάλυσιν τῶν τοιούτων ἀτοπημάτων, οὐ μὴν ἀλλὰ καὶ εἴπερ ἐτολμήθη καὶ αὖθις τοιοῦτον ἀθέμιτον συνοικέσιον, παρὰ πᾶσαν βούλησιν τῆς ἐκκλησίας, ἐπετιμήθη μὲν, ὡς εἰκὸς, παρὰ τῆς ἡμῶν μετριότητος, δέεται δὲ εἰς τὸ διασπασθῆναι καὶ βασιλικῆς ἰσχύος καὶ δυνάμεως. οὕτως οὖν τῆς ἡμῶν μετριότητος ἐπισπευδούσης εἰς ταῦτα καὶ κατὰ τῶν ἀθεμίτων πράξεων ὅλῃ προθυμίᾳ χωρούσης ψυχῇ καὶ κοινῇ καὶ ἰδίᾳ τὴν διόρθωσιν ἐγγράφως τε καὶ ἀγράφως πραγματευομένης, οὐ συνορᾶν ἔχομεν, ὅπως διὰ ταῦτα προεκομίσθη τὸ τοιοῦτον κατάστιχον εἰς τὴν ἡμῶν μετριότητα, τὴν μάλιστα πάντων, θεοῦ συναιρομένου, ὑπὲρ τῆς αὐθεντίας τῶν ἱερῶν κανόνων ἀγωνιζομένην τε καὶ σπουδάζουσαν· εἰ δέ τις εἴποι, ὅτι διὰ τὸ ἀποταχθῆναι σεπτῷ προστάγματι τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τὴν τούτων γενέσθαι ἀνάπτυξίν τε καὶ ζήτησιν, ἣν ἀναγκαῖον προκομισθῆναι ταῦτα ἐπὶ τοῦ μέσου, φαμὲν πρὸς αὐτὸν, ὡς εἰ μὲν οὐκ ἔφθασε πολλάκις καὶ διαφόρως προβῆναι καὶ γενέσθαι ἐξέτασιν συνοδικὴν παρὰ τῆς ἡμῶν μετριότητος καὶ ἀναστολὴν τὴν προσήκουσαν καὶ ἐκδίκησιν ἐπὶ τούτοις καὶ πρότερον, ὡς ἱκανῶς ἀποδέδεικται, καὶ νῦν ἤδη εἶχε χώραν ὁ διὰ τοῦ τοιούτου καταστίχου κινούμενος λόγος, δι' ὃ καὶ τὰ σκάνδαλα γέγονε πρὸ ὀλίγου. ἐπεὶ δὲ τοσούτου ἀγῶνος παρ' ἡμῶν μετὰ τῶν τοιούτων ἀθεμίτων ἔργων γεγονότος καὶ ἀξίας καὶ ἐγχωρούσης τῆς ἐπεξελεύσεως γενομένης καὶ τῆς ἐκκλησίας θεοῦ ἐν οὐδενὶ καιρῷ καὶ πράγματι τοσαύτην γνώμην καὶ κοινωνίαν καὶ βούλησιν εἰς ταῦτα ἐχούσης, μᾶλλον μὲν οὖν ἀποτρεπομένης ταῦτα καθάπαξ καὶ ἐπιτέμησιν τῶν τοιούτων ἐπανατεινομένης, οὐκ ἀναγκαῖα φαίνεται οὐδὲ συμβαίνουσα τῇ τῆς ἐκκλησίας ὁμονοίᾳ ἡ τούτων ζήτησις καὶ πολλὴ ἔρευνα, ὡς ταύτης δὴ τῆς ἐκκλησίας προθυμουμένης ἀεὶ τὰ τοιαῦτα ἐκκόπτειν καὶ ἀναστέλλειν, ὡς ἀθέμιτα καὶ παράνομα· τὸ γὰρ παρρησιάζεσθαι ταῦτα καὶ ἀεὶ παρεισάγεσθαι, λαβόντα, καθ' ὃν εἴρηται τρόπον, τὴν θεραπείαν, καὶ μὴ συγχωρούμενα γίνεσθαι καὶ προβαίνειν, ἀλλὰ καθάπαξ ἀναστελλόμενα οὐ μόνον ταραχὴν ἐπεγείρει, ἀλλὰ καὶ μῶμον

καὶ ὕβριν τῇ ἐκκλησίᾳ προστρίβει θεοῦ. κατὰ τὰς ἐξενηνεγμένας γνώμας τῶν ἱερωτάτων ἀρχιερέων, ἔτι γε μὴν καὶ τοῦ ἁγιωτάτου δεσπότου καὶ ἀδελφοῦ μου, τοῦ πατριάρχου Ἱεροσολύμων. οἷς κατὰ πάντα στοιχοῦσα καὶ ἡ μετριότης ἡμῶν τὴν παροῦσαν ἤδη ἀπόφασιν ἐποιήσατο, στέργουσά καὶ ἣν ἐποιήσατο συνοδικῶς ὑπὸ συμπαθείας συγχώρησιν ὑπὲρ τοῦ ἱερέως τοῦ Μαχητρίου, θεὸς δὲ ἄνωθεν ἐπιβραβεύσειε τῇ ἐκκλησίᾳ αὐτοῦ εἰρήνην ἐν παντὶ καὶ ὁμόνοιαν πνευματικήν, τῶν σκανδάλων πάντων γεγονότων ἐκ μέσου, καθὼς ἀεὶ ἐπευχόμεθα †.

CLXXXII. (6869—1361) februario ind. XIV.

Synodus monasterium Varangiotissae committit Alexio Sophiano patrono.

† Ἐπεὶ τὸ ὄπισθεν τοῦ ἱεροῦ βήματος τοῦ παμμεγίστου καὶ θειοτάτου ναοῦ τῆς τοῦ θεοῦ λόγου Σοφίας διακείμενον μονύδριον, τὸ εἰς ὄνομα τιμώμενον τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένον τῆς Βαραγγιωτίσσης, ἔσχε πρὸ ἱκανῶν ἤδη χρόνων Γουραιὸς ὁ Μικροκέφαλος ἐκεῖνος δι' ἐκδοτηρίου γράμματος παρὰ τοῦ μέρους τῆς σεβασμίας μονῆς τῶν Πλουαρείων, ἐφ' ᾧ συστῆσαι καὶ βελτιῶσαι αὐτό, ὅστις δῆτα καὶ τὰ κατὰ δύναμιν ἐπεδείκνυτο καὶ πρὸς βουλήσεως μετ' ἐκείνῳ καὶ μείζονα τὴν ὑπὲρ τούτου σύστασιν καὶ ἐπιμέλειαν ἐνδείξασθαι, προϊόντος τοῦ χρόνου, μήπω δὴ τούτου φθάσαντος τὰ κατὰ γνώμην καὶ βούλησιν ἐκπληρῶσαι, τὸν βίον ἀπολιπόντος, εἴληφε τὸ τοιοῦτον μονύδριον μοναχὴ κυρᾶ ἡ Μαρουλίνα, ὥστε τὸ δέον αὖτη ἀναπληρῶσαι, ὡς ἐφικτόν, βελτιῶσαι καὶ συστῆσαι αὐτὸ ἐξ οἰκείων αὐτῆς πραγμάτων, τοῦτο ἐπὶ τῆς ἡμῶν μετριότητος πολυτρόπως ὑποσχεθεῖσα, ὅτε δὴ καὶ οἱ ἐκ γένους τῷ διαληφθέντι Μικροκεφάλῳ προσήκοντες οὐ μικρὰν τὴν ὄχλησιν προεξένησαν, ἀναζητοῦντες τὸ τοιοῦτο μονύδριον λόγῳ παντελεῖ δεσποτείας ἰδιοποιήσασθαι, προβαλόμενοι δῆθεν κτητορικὸν δίκαιον ἔχειν ἐπὶ τούτῳ ἀπὸ τῆς διαδοχῆς τοῦ πάππου αὐτῶν, τοῦ Μικροκεφάλου ἐκείνου· ὧν δῆτα καὶ ἀποπεμφθέντων, ὡς οὐ μόνον σύστασίν τινα καὶ βελτίωσιν τούτου ἐπιδεικνυμένων καὶ πειρωμένων οὐχ ὑγιαινούσῃ καὶ πλεονεκτικῇ γνώμῃ ἀφαιρεῖσθαι καὶ παρενοσφίζεσθαι κατ' ἐξουσίαν τὰ περιερχόμενα ὀλίγα πάνυ καὶ ἀνήκοντα τῷ ναῷ, ἐδόθη ἡ τούτου ἐφορεία καὶ διοίκησις καὶ διεξαγωγὴ πρὸς τήνδε τὴν Μαρουλίναν διὰ γράμματος τῆς ἡμῶν μετριότητος, ὑποσχεθεῖσαν, ὡς διείληπται, φροντίζειν. ὡς εἰκὸς, τῆς

τούτου ἐπιμελείας καὶ τῆς ἐπὶ τὸ κρεῖττον βελτιώσεως καὶ ἐπαυξήσεως, πρὸς δὲ προσκυρῶσαι καὶ ἀφιερῶσαι καὶ τὰ προσόντα αὐτῇ ἐργαστήρια πρὸς τόδε τὸ μονύδριον, ἥτις καὶ ἐπιλαβομένη τούτου οὐ μόνον τι τῶν ὑπηρχημένων δεόντως ἐνεδείξατο, ἀλλὰ καὶ τοῖς κακοῖς δόγμασι τῆς τοῦ Βαρλαάμ τε καὶ Ἀκινδύνου συνδιαφθαρεῖσα καὶ ἀνθ' ὧν ἔδει ταύτην καταρτίζειν ἐπὶ τὸ βέλτιον τὰς ἐν τῷ τοιούτῳ μονυδρίῳ ἀσκουμένας μοναχὰς, αὕτη μᾶλλον τἀναντία εἰργάζετο, εἰς βόθρον ψυχικῆς λώβης οὐ μόνον ἑαυτὴν, ἀλλὰ καὶ ταύτας ἀκοντίζουσά τε καὶ ἐπιρρίπτουσα, βουλομένη μεταδοῦναι καὶ ταῖς ὑγιῶς ἐχούσαις τῆς ψυχοβλαβοῦς ταύτης λύμης, πρὸς ἣν καὶ εἰσηγήσεσι διαφόρως χρησαμένη ἡ μετριότης ἡμῶν τρόπῳ οἰκονομίας, ὥστε χειραγωγῆσαι ταύτην εἰς τὰ τῆς ἀληθείας ὀρθὰ καὶ σωτήρια δόγματα καὶ .... ἀπὸ τοῦ πονηροῦ τούτου δόγματος καὶ μεταμαθεῖν τὴν ἀλήθειαν, ἡ δὲ καὶ αὖθις ἐνέμεινεν τοῖς τοιούτοις, ἀνιάτως ἔχουσα καὶ μὴ πεισθεῖσα ταῖς εἰσηγήσεσι καὶ ταῖς διδασκαλίαις τῆς τοῦ θεοῦ ἁγίας ἐκκλησίας, τῆς κανονικῆς τῶν ψυχῶν ἰατρείας, καὶ διὰ τοῦτο ὡς σεσηπὸς μέλος ἀπεκόπη καὶ ἀπελάθη ἀπὸ τῆς τοῦ θεοῦ ἐκκλησίας, καὶ τῆς τοῦ τοιούτου μονυδρίου ἐφορείας καὶ προστασίας ἐξέστη, ὡς καὶ μηδαμῶς λυσιτέλειαν ἐν αὐτῷ ἐργαζομένη, μήτε σωματικὴν μήτε μὴν ψυχικὴν ὅλως. τούτου οὖν οὕτω προχωρήσαντος, ἠξίωσε καὶ ἐζήτησεν ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι γνησιώτατος υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Ἀλέξιος ὁ Σοφιανὸς, ὑπὸ τῆς ἐνούσης αὐτῷ φιλοθέου γνώμης καὶ ἀγαθῆς προαιρέσεως τὴν τοῦ τοιούτου μονυδρίου δέξασθαι ἐφορείαν, βούλησιν κατὰ ψυχὴν ἀγαθὴν κεκτημένος καὶ τρέφων, ὥστε τὸν ἐνόντα τρόπον αὐτῷ συστῆσαι καὶ βελτιῶσαι· ἡ μετριότης ἡμῶν, τὸν θεάρεστον αὐτοῦ τρόπον καὶ θεοφιλῆ σκοπὸν ἀποδεξαμένη, καὶ δι' ἀποδοχῆς ὅτι μάλιστα ποιουμένη καὶ τὸ τὰ τοιαῦτα βελτιοῦσθαι καὶ εἰς τὸ κρεῖττον προάγεσθαι καὶ προκόπτειν παρὰ φιλοθέων ἀνδρῶν, μνηστευομένων διὰ τούτων ἑαυτοῖς τὴν ψυχικὴν σωτηρίαν, τὴν δέησιν αὐτοῦ προσδεξαμένη, πολὺ τὸ εὔλογον ἔχουσαν, τὸ παρὸν ἀπολύει, δι' οὗ δὴ καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, ὡς ἂν ἐπιλαβῆται οὗτος τοῦ εἰρημένου μονυδρίου, ὡς ἔχῃ διὰ πάσης αὐτοῦ τῆς ζωῆς τὴν ἐφορείαν καὶ διακράτησιν αὐτοῦ, καὶ μνημονεύηται ἐν αὐτῷ καθὼς κτήτωρ ἐπιμελούμενος καὶ φροντίζων κατὰ τὸν ἐνόντα αὐτῷ τρόπον θεάρεστον τῆς καλῆς διεξαγωγῆς καὶ συστάσεως αὐτοῦ καὶ τῆς ἐπὶ

τὸ κρεῖττον προχωρήσεως, ὥστε καὶ τὸν θεῖον ναὸν ἔχειν διηνεκῆ τὴν ἱερατικὴν ὑπηρεσίαν καὶ λυχνοκαΐαν καὶ λοιπὴν εὐκοσμίαν τε καὶ εὐπρέπειαν καὶ τὰς μοναχὰς ἀπολαύειν τῆς ἐντεῦθεν δυνατῆς κυβερνήσεως καὶ ζωαρκείας· ὅσον γὰρ ἂν ἐνδείξηται ὑπὲρ αὐτοῦ τὸ κηδεμονεῖν, τοσοῦτον ἕξει καὶ παρὰ θεοῦ ἀξίας τὰς μισθαποδόσεις, μετὰ δέ γε τὴν αὐτοῦ ἀποβίωσιν ὑποστρέφηται πάλιν πρὸς τὴν τοῦ θεοῦ ἁγίαν ἐκκλησίαν, ὡς κεφαλὴν καὶ προστάτην οὖσαν, ἵνα διάθηται καὶ οἰκονομῆται τὰ κατὰ τὸ τοιοῦτον μονύδριον, καθὼς ἂν διακρίνοι. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολύεται αὐτῷ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος.

† Εἶχε καὶ ὑπογραφὴν τὸ· μηνὶ φεβρουαρίῳ ἰνδ. ιδ' διὰ τῆς θείας καὶ πατριαρχικῆς χειρός †.

CLXXXIII. 6869 (1361) iulio ind. XIV.

Synodus statuit de mittendis in Russiam legatis, qui diiudicent dissensionem ortam inter metropolitas Kioviae et Lithuaniae.

† Πρᾶξις τῆς Ῥωσίας καὶ τοῦ μητροπολίτου Λιτβῶν †.

† Ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ἄνωθεν ἐξ ἀρχῆς τῇ δοθείσῃ αὐτῇ, Χριστοῦ χάριτι, ἀηττήτῳ ἰσχύι τε καὶ δυνάμει συνήθως ἔχουσα ἐπὶ τὸ λυσιτελέστερον πάντα διοικονομεῖσθαι, τοῦτο δὴ καὶ ποιεῖ· οὐχ ἧττον δ' ἐνδείκνυται τὴν φροντίδα ταύτης καὶ ἐπιμέλειαν ὑπὲρ τῶν ἑκασταχοῦ εὑρισκομένων πασῶν ἁγιωτάτων ἐκκλησιῶν, ὅπως ἂν αὗται κατὰ τὸν τοῦ κυρίου νόμον καλῶς διοικοῖντο καὶ διεξάγοιντο· φθάνει τοιγαροῦν πρό τινος ἤδη καιροῦ ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ὁ κῦρ Ἀλέξιος, ἐπίσκοπος ὢν τῷ τότε Βολοδιμοίρου, τὸν βίον ἀπολιπόντος τοῦ ἱερωτάτου μητροπολίτου Ῥωσίας, κῦρ Θεογνώστου ἐκείνου, παραγενόμενος ἐνταῦθα εἰς τὴν καθ' ἡμᾶς θείαν καὶ ἱερὰν σύνοδον, ὅστις καὶ μαρτυρηθεὶς παρά τε τοῦ διαληφθέντος ἱερωτάτου μητροπολίτου καὶ παρὰ τῶν εὐγενεστάτων ῥηγῶν τῆς Ῥωσίας, ἀντιποιεῖσθαι ἀρετῆς καὶ εὐλαβείας, καὶ κριθεὶς ἄξιος, μετετέθη καὶ ἀποκατέστη κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν τάξιν τε καὶ συνήθειαν γνήσιος ἀρχιερεὺς Κυέβου καὶ πάσης Ῥωσίας, καὶ δι' ἐπιμελείας πολλῆς ποιεῖσθαι κατὰ

τὴν τῶν θείων καὶ ἱερῶν κανόνων ἀκρίβειαν ποιμαίνειν καλῶς καὶ κατὰ τὸν προσήκοντα λόγον τὴν κατ' αὐτὸν ἁγιωτάτην ἐκκλησίαν, ἅτε δὴ πολυάνθρωπον οὖσαν καὶ πολλοὺς τοὺς πλησιοχώρους ἔχουσαν τοὺς μὴ πειθομένους τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. τούτου οὖν τὸν τρόπον τοῦτον ἀναχθέντος καὶ ἀποκαταστάντος εἰς τέλειον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας καὶ ἐκπεμφθέντος καλῶς, καταλαμβάνει μετὰ μικρὸν καὶ ὁ ἱερώτατος μητροπολίτης Λιτβῶν, κῦρ Ῥωμανὸς, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸς, καὶ χειροτονεῖται καὶ οὗτος μητροπολίτης Λιτβῶν, ὅστις καὶ εἰς τὴν δοθεῖσαν αὐτῷ ἐπαρχίαν ἐπαναστραφείς, πλειόνων ἔτι ἀντιποιούμενος, καὶ διὰ τοῦτο δι' ὄχλου γινόμενος τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυέβου καὶ πάσης Ῥωσίας, τῷ κῦρ Ἀλεξίῳ, καὶ τοῖς ἀνήκουσι δικαίοις αὐτῷ, καὶ σκανδάλων μεταξὺ αὐτῶν μεσολαβησάντων, καταλαμβάνει ἐνταῦθα πρός τε τὸν ἐκ θεοῦ κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα καὶ πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον, ζητῶν, ἅπερ ἐβούλετο καὶ ἐπειρᾶτο κατέχειν, δι' ἃ συνέβη καὶ τὸ μεταξὺ αὐτῶν σκάνδαλον· μετακλήτου τοίνυν γινομένου καὶ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, τοῦ κῦρ Ἀλεξίου, καὶ ἐνταῦθα ἐπιδεδημηκότος εἰς τὴν θεοδόξαστον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν, καὶ πάντων τῶν εὑρισκομένων τηνικαῦτα ἱερωτάτων ἀρχιερέων ἐπὶ τὸ αὐτὸ συνελθόντων καὶ ἱερᾶς συγκροτηθείσης συνόδου, προκαθημένου τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, πολλῆς ἐξετάσεως γενομένης χάριν τῶν παρ' ἀμφοτέρων τούτων τῶν ἀρχιερέων κινηθέντων λόγων, προηγουμένως μὲν ἐτάχθη εἶναι καὶ εὑρίσκεσθαι ὁ ἱερώτατος μητροπολίτης κῦρ Ἀλέξιος, ὥσπερ ἐχειροτονήθη τὴν ἀρχὴν Κυέβου καὶ πάσης Ῥωσίας κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν συνήθειαν· περὶ μέντοι τοῦ ἱερωτάτου μητροπολίτου κῦρ Ῥωμανοῦ, ὡς χειροτονηθέντα καὶ αὐτὸν Λιτβῶν, διωρίσατο ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ συγκαταβάσεως λόγῳ καὶ ἅμα διὰ τὴν ἀνενοχλησίαν καὶ εἰρήνην τοῦ ἐκεῖσε τόπου ἔχειν σὺν ταῖς οὔσαις τῇ τῶν Λιτβῶν ἐπαρχίᾳ δυσὶν ἐπισκοπαῖς, τὸ Πωλότζικον καὶ τὸ Τούροβον μετὰ καὶ τοῦ Νοβογραδοπουλίου, τοῦ καθίσματος τοῦ μητροπολίτου, καὶ τὰς τῆς μικρᾶς Ῥωσίας ἐπισκοπὰς, ὅπερ διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, ἀλλὰ δὴ καὶ ἡ περὶ αὐτὴν θεία καὶ ἱερὰ σύνοδος, ἔχειν τὸ στέργον καὶ βέβαιον κατὰ τὴν ἐπὶ τούτῳ

ἐπίκρισιν καὶ εὐνομίαν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, προμήθειαν ποιησαμένη καὶ αὐτὴ τοῦ τοιούτου ἱερωτάτου μητροπολίτου Λιτβῶν, κῦρ Ῥωμανοῦ, προβάσης καὶ ἑτέρας συνοδικῆς πράξεως, ὡς ἂν ὁ μὲν ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλέξιος, ἐπιλάβηται καὶ κατάσχῃ πᾶσαν τὴν ὑπ' αὐτὸν ἐνορίαν μετὰ καὶ τῶν ἐν αὐτῇ ἐπισκοπῶν ἀνενοχλήτως παντάπασιν καὶ ἀδιασείστως, καὶ οὐδὲν εὑρίσκῃ παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Λιτβῶν, κῦρ Ῥωμανοῦ, ἐπὶ τῇ κατοχῇ καὶ διεξαγωγῇ καὶ διοικήσει τῆς εἰρημένης ἐνορίας τῆς μητροπόλεως Κυέβου μετὰ πασῶν τῶν ἐπισκοπῶν αὐτοῦ τὴν τυχοῦσαν καταδυναστείαν ἢ ἐπήρειαν, ἀρκουμένου τοῦ τοιούτου ἱερωτάτου μητροπολίτου Λιτβῶν, κῦρ Ῥωμανοῦ, εἰς ὅπερ αὐτῷ ἐδόθη συνοδικῇ διαγνώσει ἐνώπιον τῆς ἡμῶν μετριότητος ὕστερον, ὡς δεδήλωται, ἐμπεδωθείσης τῆς τοιαύτης πράξεως τῇ ἐκ τῶν θείων καὶ ἱερῶν κανόνων ἐπηρτημένῃ καταδικῇ τοῖς ἀνατρέπουσι τούτους, ὡς ἂν ὅστις ἐξ ἀμφοτέρων μὴ ἐφησυχάζῃ, ἀρκούμενος τῷ οἰκείῳ δικαίῳ, καὶ εἰρήνην ἔχῃ εἰς ἑαυτόν, ὡς ὁ τοῦ κυρίου βούλεται νόμος καὶ τὸ ἐπάγγελμα, καὶ καθὼς ἐστι μάλιστα ὀφειλόμενον τοῖς πνευματικὴν προστασίαν λαχοῦσι, μετὰ τὴν τοιαύτην συνοδικὴν διάγνωσιν πρᾶξίν τε καὶ κατάστασιν, ἀλλὰ χωρήσῃ εἰς ἀθέτησιν ὁπωσοῦν ταύτης, καὶ τολμήσῃ παρὰ τὴν ἐνορίαν αὐτοῦ διαπράξασθαί τι ἀρχιερατικὸν ἢ ἱερατικὸν ἢ ἐκκλησιαστικὸν ὅλως ἐπὶ ἀνατροπῇ τῆς ἐκκλησιαστικῆς καταστάσεως, ὡς ἐντεῦθεν παρεισαχθῆναι πάλιν σκάνδαλα καὶ ὀχλήσεις, ὁ τοιοῦτος ἀξίαν ὑποστήσεται τὴν κανονικὴν τιμωρίαν καὶ ἐπεξέλευσιν παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς συνόδου, ὡς ἀθετητὴς καὶ ἐναντία φρονῶν τῇ ἁγίᾳ τοῦ Χριστοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ καὶ βουλόμενος ἐντεῦθεν σύγχυσιν καὶ ταραχὴν καὶ φθορὰν προξενεῖν τῷ τῶν Ῥώσων χριστιανικῷ γένει. ἀλλὰ τούτων οὕτω γενομένων καὶ ἀποκαταστάντων, ὃν εἴρηται τρόπον, ὁ μὲν ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, ὁ κῦρ Ἀλέξιος, εὑρίσκεται κατὰ πάντα πειθόμενος τοῖς διαγνωσθεῖσι συνοδικῶς, ὁ δὲ ἱερώτατος μητροπολίτης, κῦρ Ῥωμανός, οὐ μόνον ἐξερχόμενος τῶν ἐνταῦθα ἠθέλησε λαβεῖν γράμματα τῆς ἡμῶν μετριότητος εἰς πίστωσιν καὶ ἀσφάλειαν τῶν οὕτως ἀποφανθέντων, οὔτε τὴν ὀφειλομένην ὑποταγὴν ἐνδείξασθαι εἰς τὴν ἡμῶν μετριότητα, ἀλλ' ἀπιὼν ᾤχετο εἰς τὴν λαχοῦσαν αὐτὸν, κἀκεῖσε παραγενόμενος, ὡς ἀνηνέχθη τῇ ἡμῶν με-

τριότητι, πολλὰ τῶν ἀκανονίστων εἰργάσατο· ἀπελθὼν γὰρ εἰς τὸ Κύεβον ἀμετόχως ἱερούργησεν ἐν αὐτῷ καὶ χειροτονίας διεπράξατο, καὶ ἑαυτὸν Κυέβου καὶ πάσης Ῥωσίας καθολικὸν μητροπολίτην ἀδεῶς ὀνομάζει, ὅπερ προεξένησε σύγχυσιν καὶ ταραχὴν τῇ ἐπαρχίᾳ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, καὶ παρεκίνησε καὶ τὸν αὐθέντην Λιτβῶν κατὰ τῶν Χριστιανῶν κατεξαναστῆναι καὶ οὐκ ὀλίγην φθορὰν καὶ χύσεις αἱμάτων ἐργάσασθαι, ἅπερ ἔδειξαν ἀκριβέστερον οἱ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλεξίου, ἀποκρισιάριοι, καταλαβόντες ἐνταῦθα καὶ ἐξ ἄλλων μὲν πολλῶν, μάλιστα δὲ καὶ ἀφ' ὧν διεκόμισαν γραμμάτων τοῦ ἱερωτάτου μητροπολίτου, κῦρ Ῥωμανοῦ, ὑπὲρ ὧν καὶ ὥσπερ ἐγκαυχώμενοι οἱ τοῦ ἱερωτάτου μητροπολίτου Λιτβῶν ἄνθρωποι, πρότερον καταλαβόντες ἐνταῦθα, διεκήρυττον, ὡς τοσοῦτον ὁ ἱερώτατος μητροπολίτης κῦρ Ῥωμανός ἐστιν ἰσχυρὸς καὶ δύναται τὴν ἐπαρχίαν ἅπασαν τῆς μητροπόλεως ἔχειν Ῥωσίας, ὅτι καὶ εἰς τὸ Κύεβον ἀπῆλθε καὶ ἐλειτούργησε, καὶ ἐπισκοπὰς πολλὰς προσελάβετο, καὶ τὸν αὐθέντην Λιτβῶν κατὰ τοῦ κῦρ Ἀλεξίου διήγειρε, καὶ πάντα ἔξεστιν ἐκείνῳ ποιεῖν ἀδεῶς, δύναμιν οὐ μικρὰν ἔχοντι, εἰς τοῦτο παρακινοῦσαν τὸν αὐθέντην Λιτβῶν· διὰ γοῦν τὴν τοιαύτην (κατάστασιν) ἐπισφαλῆ παντάπασιν οὖσαν καὶ ἔξω τῆς τῶν θείων καὶ ἱερῶν κανόνων διαταγῆς καὶ ἅμα διὰ τὸ μὴ προβαίνειν κατὰ τοῦ χριστιανικοῦ τῆς Ῥωσίας γένους φόνους καὶ συγχύσεις καὶ μάχας καὶ ταραχάς, ὡς λέγεται, ἅπερ ἐστὶ τοῖς ἔθνεσιν ἴδια τοῖς μὴ φόβον ἐν ἑαυτοῖς ἔχουσι τοῦ θεοῦ, καὶ οὐ τοῖς ἀρχιερεῦσι, καὶ πρῶτον μὲν ἐγγράφως παρεκελεύσατο πρὸς αὐτὸν δὴ τὸν κῦρ Ῥωμανὸν ἡ μετριότης ἡμῶν, εἰσηγουμένη τούτῳ, ὡς ἂν ἀποστῇ τῶν τοιούτων ἀκανονίστων πράξεων, ὡς ἐγράψαμεν, στέργειν ἀπαραβάτως τὰ διεγνωσμένα συνοδικῶς καὶ μὴ περαιτέρω τούτων προβαίνειν καὶ κατὰ τοῦ κῦρ Ἀλεξίου κατεξανίστασθαι, καὶ τὴν μείζονα ἐπισκοπὴν τῆς Ῥωσίας, τοῦ Μπριανίσκου, ἰδιοποτήσατο, ἀνήκουσαν τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυέβου καὶ πάσης Ῥωσίας, τῷ κῦρ Ἀλεξίῳ, ἀφ' οὗ δηλονότι ὑφορῶνται καὶ ἔτι μείζονα τὰ κακὰ προχωρήσειν καὶ καθολικὴ τις φθορὰ καὶ καινοτομία τῶν ἐκκλησιαστικῶν πραγμάτων ἐν τῇ ὅλῃ ἐπαρχίᾳ τῆς Ῥωσίας· ἡ μετριότης ἡμῶν, ὃν εἴρηται τρόπον, κηδομένη καὶ φροντίζουσα, Χριστοῦ χάριτι, τῆς εἰρήνης καὶ ὁμονοίας τοῦ τῆς ἐκκλησίας ὅλου πληρώματος, ὀφείλοντος ἓν σῶμα εἶναι, καὶ

συνδεῖσθαι τῷ τῆς ἀγάπης ἀρρήκτῳ δεσμῷ καὶ ἔχειν ἐντεῦθεν τὸν ἀκρογωνιαῖον λίθον Χριστὸν κεφαλήν, ἅμα δὲ ἀναχαιτίσαι πειρωμένη καὶ τὰ μεσολαβήσαντα σκάνδαλα μεταξὺ τῶν δύο ἀρχιερέων, συνδιασκεψαμένη τὰ περὶ τούτου τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, κατὰ κύριον ἀγαπητοῖς ἀδελφοῖς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῖς, τῷ Κυζίκου, τῷ Χαλκηδόνος, τῷ Ποντοηρακλείας, τῷ Βιζύης, τῷ καὶ τὸν τόπον τοῦ Σταυροπόλεως ἐπέχοντι, τῷ Βρύσεως, τῷ Κελτζηνῆς, τῷ Χριστιανουπόλεως, τῷ Σουγδαίας, τῷ Ῥωσίου, τῷ Μάκρης, τῷ Γάνου καὶ τῷ τιμιωτάτῳ ὑποψηφίῳ τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης, ἐπευδοκήσαντος εἰς τοῦτο τοῦ ἐκ θεοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ὡς ἀποδεχομένου τῇ ἐμφύτῳ αὐτοῦ περὶ τὰ καλὰ χρηστότητι τὸ τῆς εἰρήνης καὶ ὁμονοίας καλὸν καὶ διεκδικεῖν σπεύδοντος πάντα τὰ ἐκκλησιαστικὰ δίκαια καὶ προνόμια καὶ ἐκλεξαμένου τὸν τιμιώτατον σακελλίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ συλλειτουργὸν καὶ τὸν τιμιώτατον σακελλίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ δικαιοφύλακα, ἐν ἁγίῳ πνεύματι γνησιώτατον υἱὸν τῆς ἡμῶν μετριότητος, κῦρ Γεώργιον διάκονον τὸν Περδίκην, καὶ ὡς εὐλαβεῖς καὶ χρησίμους καὶ ἀναγκαίους ἀνθρώπους καὶ εἴδησιν οὐκ ὀλίγην κεκτημένους τῶν θείων καὶ ἱερῶν κανόνων, ἔχοντας δὲ καὶ ἄλλως πολὺ τὸ ἀξιόπιστον ἀπὸ τοῦ τρόπου καὶ τῆς συνέσεως αὐτῶν, ἐξαπέστειλεν ἀποκρισιαρίους, ὥστε ποιήσασθαι τὴν τοιαύτην ἐξέτασιν, οἵτινες καὶ ὀφείλουσιν ἀπελθεῖν εἰς τὴν Ῥωσίαν καὶ προσκαλέσασθαι τοὺς ἐκεῖσε θεοφιλεστάτους ἐπισκόπους, ὅσους οὐ κωλύει τὸ πολὺ τῆς ὁδοῦ μῆκος εἰς ταὐτὸ συνελθεῖν, ἀλλὰ δὴ καὶ τοὺς εὐγενεστάτους μεγάλους ῥῆγας, ὀφείλοντος ὁμοίως ἐπιδημῆσαι δι' ἑαυτοῦ εἰς τὴν τοιαύτην σύνταξιν καὶ τοῦ ἱερωτάτου μητροπολίτου κῦρ Ῥωμανοῦ ἢ ἐξαποστεῖλαι οἰκείους ἀνθρώπους ἀντ' αὐτοῦ, ἵνα ἐξετάσεως γενομένης παρὰ τοῦ τοιούτου ἀποκρισιαρίου ἀπροσπαθῶς, ὡς τοῦ θεοῦ ἄνωθεν ἐφορῶντος, παρόντος καὶ τοῦ μέρους τοῦ κῦρ Ῥωμανοῦ ἐνώπιον τῶν μελλόντων συνελθεῖν θεοφιλεστάτων ἐπισκόπων καὶ εὐγενεστάτων ῥηγῶν ἕνεκεν τῆς τοιαύτης ὑποθέσεως, γένηται ἔγγραφος κατησφαλισμένη μαρτυρία καὶ παρασημείωσις πάντων τῶν λαληθησομένων καὶ ἐξετασθησομένων χάριν τῶν τοιούτων αἰτιαμάτων, πιστωθησομένη καὶ ὑπογραφαῖς οἰκειοχείροις τῶν τε θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν εὐγενεστάτων

ρηγῶν καὶ ἑτέρων ἀξιοπίστων, ὡς ἂν ταύτης διακομισθείσης πρός τε τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα καὶ πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον παρὰ τῶν τοιούτων ἀποκρισιαρίων, ἀκινδύνως σὺν βοηθείᾳ θεοῦ ἐπαναστραφέντων, χένηται τὸ δόξαν τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ κατὰ τὴν τῶν θείων καὶ ἱερῶν κανόνων διαταγὴν, καὶ ἀφαιρεθῇ ἐντεῦθεν ἡ ἐπερχομένη ὄχλησις κατὰ τοῦ χριστιανικοῦ τῆς Ῥωσίας γένους. εἴπερ οὖν οὐκ ἐθελήσει ὁ ἱερώτατος μητροπολίτης κῦρ Ῥωμανὸς δι' ἑαυτοῦ παραγενέσθαι εἰς τὴν γενησομένην ἐξέτασιν, παρὰ τῶν τοιούτων ἀποκρισιαρίων μηνυμάτων γενομένων κανονικῶς πρὸς αὐτὸν, ἢ οἰκείους ἐκπέμψαι ἀνθρώπους ἀντ' αὐτοῦ, ὀφείλουσιν οὗτοι δὴ οἱ ἀποκρισιάριοι κατὰ τὴν ἐνοῦσαν αὐτοῖς ἐμπειρίαν καὶ εἴδησιν τῶν θείων καὶ ἱερῶν κανόνων, καθὼς ἀνετέθησαν, ποιήσασθαι ἀκολούτως τὴν τοιαύτην ἐξέτασιν ἐνώπιον τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν εὐγενεστάτων ῥηγῶν, ὡς ἂν καὶ οὕτως τὸν τρόπον τοῦτον ἐκκοπῇ πᾶσα πρόφασις καὶ αἰτία ἡ προξενοῦσα κακῶς καὶ ἀκανονίστως τὰ τοιαῦτα σκάνδαλα. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις, καταστρωθεῖσα ἐν τῷ ἱερῷ κωδικίῳ κατὰ μῆνα ἰούλιον τοῦ ,ϛου ωου ξ θου ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουλίῳ ἰνδ. ιδ' †.

CLXXXIV. Sine anno.

Patriarchae litterae ad imperatorem, consilium ei dantis in rebus Ianuensium et Venetorum.

Πιττάκιον πατριαρχικὸν πρὸς τὸν βασιλέα.

† Κράτιστε, θεόσεπτε, θεοδόξαστε, θεοπρόβλητε, θεοκυβέρνητε, θεομεγάλυντε, ἅγιέ μου δέσποτα βασιλεῦ. ὑγείαν καὶ εὐθυμίαν ψυχῆς, τοῦ θείου σου καὶ βασιλικοῦ σώματος ῥῶσιν καὶ εὐεξίαν, τῶν ἀνὰ χεῖρας προκειμένων κοινωφελῶν ἔργων εὐόδησιν καὶ πᾶν ἄλλον, ὅ τι ἀγαθὸν καὶ σωτήριον, ἐπεύχεται τῇ ἁγίᾳ βασιλείᾳ ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. εἰδέναι βουλόμεθα τὴν ἐκ θεοῦ ἁγίαν βασιλείαν σου, ὅτι κατὰ τὸν θεῖον καὶ σεπτὸν ὁρισμὸν διαμηνυθεῖσα ἡ μετριότης ἡμῶν παρεγένετο εἰς τὴν κρατίστην καὶ ἁγίαν μου δέσποιναν. συναθροισθέντων οὖν καὶ τῶν τῆς συγκλήτου ἀρχόντων, ἐλέχθη-

σαν τὰ περὶ τῆς συμφωνίας καὶ καταστάσεως τῶν τε Γεννουιτῶν καὶ Βενειτῶν, ὅπως τε προσήκει προχωρῆσαι αὐτὴν καὶ κατὰ ποῖον δὴ τρόπον ἀποκαταστῆναι, ἐφ' ᾧ οὐδεμίαν ὄχλησιν καὶ ζημίαν γενέσθαι τοῖς Ῥωμαίοις. τούτων οὖν οὕτω λεχθέντων διωρίσατο καὶ ἀπελογήσατο καὶ ἡ ἁγία μου δέσποινα, ἅτε δὴ διανοίας ὀξυτάτης οὖσα καὶ συνδρομῇ πασῶν τῶν χαρίτων καὶ φρονήσεως ἐπ' ἀκρὸν ἥκουσα, τῇ τοῦ θεοῦ χάριτι, ὅσαπερ ἔμελλε καὶ ἡ ἁγία βασιλεία σου παροῦσα ἐνταῦθα διορίσασθαι, ἃ δῆτα καὶ ἔστερξαν καὶ οἱ τῆς συγκλήτου ἄρχοντες. πρὸς τοὺς οὖν τοὺς τοιούτους λόγους, ἅπερ ἀπελογήσατο ἡ μετριότης ἡμῶν, συντείνοντα εἰς σύστασιν καὶ ὠφέλειαν, σὺν θεῷ, τῆς βασιλείας καὶ τῶν Ῥωμαίων, ταῦτά ἐστι· πρῶτον μέν, διαμένειν τὴν τοῦ θεοῦ ἐκκλησίαν ἀτάραχον καὶ ἔξω πάσης ἡστινοσοῦν ἐπηρείας τῆς ἀπὸ τῶν λατινικῶν κινουμένης δογμάτων· τοῦτο δὲ εἴρηκεν ἡ μετριότης ἡμῶν οὐχ ὅτι ἄλλως ἡγεῖται τὴν ἁγίαν βασιλείαν σου περὶ τούτων ἔχειν, πάλαι γὰρ οἶδε ταύτην ἐμμένουσαν μὲν τοῖς πατρῴοις δόγμασι καὶ ἐστηριγμένην ἐν τούτοις παγίως, ἀποδιώκουσαν δὴ πᾶν ἀλλότριον δόγμα καὶ νόθον τῆς τοῦ θεοῦ ἐκκλησίας, ἀλλὰ διὰ τὰς ὑπολήψεις τε καὶ ὑποψίας, ἃς ἔχουσιν οἱ πολλοί. δεύτερον, ἐπὶ τούτοις μηδὲν τῶν ὑποκειμένων τῇ βασιλείᾳ καὶ τοῖς Ῥωμαίοις πραγμάτων ὑπὸ ἐξουσίαν ἑτέρων ποιῆσαι. τρίτον, μηδὲν ἕτερον προσθεῖναι κεφάλαιον μεῖζον, ἐπειδήπερ ἐν πολλῇ καὶ μεγάλῃ ἐνδείᾳ καὶ ταλαιπωρίᾳ καὶ στενοχωρίᾳ τὰ τῶν Ῥωμαίων εἰσίν. πρὸς τούτοις γενέσθαι καὶ τὴν ἀγάπην ἁπλῶς ἄνευ ὅρκου τινός, οἱ γὰρ τῆς ἁγίας βασιλείας σου λόγοι καὶ ὁρισμοὶ διὰ τῆς τοῦ θεοῦ χάριτος τὸ ἰσχυρὸν καὶ βέβαιον ἔχουσι, καὶ οὐκ ἀσφαλείας ὅρκων δέονται. ταῦτα συνεβούλευσε καὶ στέργει ἡ μετριότης ἡμῶν, ἡγεῖται δὲ καὶ πάντα χριστιανόν, τὰ τῶν Ῥωμαίων βουλόμενον συνίστασθαι πράγματα καὶ τὴν ἀλήθειαν ἀσπαζόμενον, ἐπαινέσαι τε ταῦτα καὶ ἀποδέξασθαι. κύριος ὁ θεὸς εἴη διατηρῶν καὶ περιφρουρῶν τὴν ἁγίαν βασιλείαν σου ὑγιαίνουσαν καὶ εὐθυμοῦσαν καὶ ἀνωτέραν παντὸς ἀνιαροῦ συναντήματος εἰς κοινὸν τῶν Ῥωμαίων ὄφελος, καὶ χαρίσαιτο αὐτὴν μετὰ καὶ τῆς παρούσης καὶ τὴν ἐν οὐρανοῖς καὶ εἰς ἀεὶ διαμένουσαν βασιλείαν †.

CLXXXV. 6863 (1355) 17. augusti ind. VIII.

Actio synodalis de matrimonio contrahendo inter Andronicum, filium imperatoris Ioannis Palaeologi et Kyratzam, filiam Ioannis Alexandri, Bulgarorum regis.

† Πρᾶξις συνοδικὴ ἡ γεγονυῖα περὶ τῆς συμπενθερίας τοῦ αὐτοκράτορος τῶν Ῥωμαίων, Ἰωάννου τοῦ Παλαιολόγου, καὶ τοῦ βασιλέως τῶν Βουλγάρων, κῦρ Ἰωάννου Ἀλεξάνδρου τοῦ Ἀσάνη, ἐπί τε τῷ βασιλεῖ κῦρ Ἀνδρονίκῳ, τῷ υἱῷ τοῦ βασιλέως Παλαιολόγου, καὶ τῇ θυγατρὶ τοῦ βασιλέως τῶν Βουλγάρων †.

† Μηνὶ αὐγούστῳ, ιζ' ἡμέρᾳ, δευτέρᾳ, ἰνδ. ηης, ἔτους ,ϛου ωου ξ γου συνήλθομεν πάντες οἱ κατὰ τὴν Θεοδόξαστον, Θεοφύλακτον καὶ Θεομεγάλυντον Κωνσταντινούπολιν ἀρχιερεῖς συνοδικῶς μετὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὁρισμῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, καὶ κοινῶς συνδιεσκεψάμεθα περὶ τῆς συμπενθερίας καὶ πράξεως, ἔτι δὲ καὶ λοιπῆς καταστάσεως τῆς γεγονυίας μεταξὺ τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας αὐτοῦ, ἀλλὰ δὴ καὶ τοῦ ὑψηλοτάτου βασιλέως τῶν Βουλγάρων, κῦρ Ἰωάννου Ἀλεξάνδρου τοῦ Ἀσάνη, ἐπί τε τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, κῦρ Ἀνδρονίκῳ τῷ Παλαιολόγῳ, καὶ τῇ θυγατρὶ τοῦ ὑψηλοτάτου βασιλέως τῶν Βουλγάρων, κυρᾷ Κυράτζᾳ· ἔνθεν τοι καὶ ἰδόντες τοὺς προβάντας ὅρκους παρ' ἀμφοτέρων καὶ ἀναλογισάμενοι καὶ κρίναντες, εἰς ὅσην ἀφορᾷ τοῦτο κοινὴν σύστασιν καὶ ὠφέλειαν τῶν χριστιανῶν, Ῥωμαίων καὶ Βουλγάρων, καὶ βλάβην τῶν ἀσεβῶν, ἤδη ἀπὸ κοινῆς γνώμης καὶ ψήφου συμφωνοῦμεν καὶ ἀποφαινόμεθα, ἵνα γένηται τοῦτο ἀκολύτως καὶ ἀνεμποδίστως μετὰ τοῦ ἐλέους τοῦ θεοῦ καὶ τῆς εὐχῆς καὶ εὐλογίας ἡμῶν· εἴ τις δὲ βουληθῇ ἀπὸ τούτων εἰς κατάλυσιν χωρῆσαι καὶ ἀθέτησιν τῆς τοιαύτης συνοδικῆς πράξεως καὶ συμπλάττειν προφάσεις τινὰς εἰς κατάλυσιν τῶν γενομένων ὅρκων παρ' ἀμφοτέρων, ὡς δεδήλωται, ἵνα ἕνι ἔξω τοῦ Χριστοῦ καὶ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας αὐτοῦ· εἴπερ δὴ καὶ ὁ ὑψηλότατος βασιλεὺς τῶν Βουλγάρων στέργει καὶ ἀποπληροῖ ἀπαραβάτους τοὺς ὅρκους, οὓς ὤμοσε διὰ τοῦ ὁρκωμοτικοῦ αὐτοῦ τοῦ γεγονότος καὶ ἀποσταλέντος εἰς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα καὶ εἰς τὴν

ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, ὡς ἂν καὶ ἔτι περισσοτέρως ἔχῃ πρότερον μὲν τὴν ἀπὸ τοῦ θεοῦ βοήθειαν, ἔπειτα δὲ καὶ περισσοτέρας καὶ θερμοτέρας τὰς παρ' ἡμῶν εὐχάς τε καὶ εὐλογίας. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσα ἡμετέρα συνοδικὴ πρᾶξις, πιστωθεῖσα καὶ ταῖς οἰκειοχείροις ἡμῶν ὑπογραφαῖς, ἥτις ἀπεστάλη ἰδοὺ πρὸς τὸν διαληφθέντα ὑψηλότατον βασιλέα τῶν Βουλγάρων διὰ βεβαίωσιν καὶ ἀσφάλειαν †.

† Εἶχε διὰ τῆς τιμίας πατριαρχικῆς χειρὸς καὶ τὸ· Κάλλιστος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †. † Ὁ Ἡρακλείας ὑπέρτιμος Μητροφάνης †. † Ὁ Νικαίας μητροπολίτης καὶ ὑπέρτιμος Μανασσῆς †. † Ὁ Ῥόδου μητροπολίτης καὶ ὑπέρτιμος Ἰωάννης †. † Ὁ Σηλυβρίας μητροπολίτης καὶ ὑπέρτιμος Ἡσαΐας †. † Ὁ Βρύσεως μητροπολίτης καὶ ὑπέρτιμος Θεοδώρητος †. † Ὁ Λιτβῶν μητροπολίτης καὶ ὑπέρτιμος Ῥωμανός †. † Ὁ Περιθεωρίου μητροπολίτης καὶ ὑπέρτιμος Δωρόθεος †. † Ὁ Θεσσαλονίκης μητροπολίτης καὶ ὑπέρτιμος Γρηγόριος †. † Ὁ Χαλκηδόνος μητροπολίτης καὶ ὑπέρτιμος Ἰάκωβος †. † Ὁ Χριστουπόλεως μητροπολίτης Μακάριος καὶ ὑπέρτιμος †. † Ὁ ταπεινὸς μητροπολίτης Μιτυλήνης καὶ ὑπέρτιμος Ἰωσήφ †. † Ὁ Ῥωσίου μητροπολίτης καὶ ὑπέρτιμος Θεόδουλος †. † Ὁ Γαρέλλης μητροπολίτης καὶ ὑπέρτιμος Ἰωαννίκιος †. † Ὁ Βιζύης μητροπολίτης καὶ ὑπέρτιμος Νεόφυτος †. † Ὁ Ἀγαθοπόλεως μητροπολίτης καὶ ὑπέρτιμος Μακάριος †.

CLXXXV. (6869 – 1361) iulio. ind. XIV.

Patriarcha metropolitae Lithuaniae scribit, se in Russiam mittere duos legatos, qui componant controversiam exortam inter dictum metropolitam et metropolitam Kioviae.

† Ἱερώτατε μητροπολῖτα Λιτβῶν, ὑπέρτιμε, ἀγαπητὲ κατὰ κύριον ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. οἶδας, ὅπως συνέβησαν τὰ μεταξὺ τῆς σῆς ἱερότητος καὶ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλεξίου, ἀγαπητοῦ κατὰ κύριον ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν, καὶ ὅπως διεκρίθη ψήφῳ βασιλικῇ καὶ συνοδικῇ τῆς ἡμῶν μετριότητος, ἔχειν τὴν μὲν ἱερότητά σου σὺν ταῖς οὔσαις τῇ τῶν Λιτβῶν ἐπαρχίᾳ δυσὶν ἐπισκοπαῖς τὸ Πολούτζικον καὶ Τούροβον μετὰ καὶ τοῦ Νοβογραδοπουλ . . . καὶ τὰς τῆς Μικρᾶς Ῥωσίας ἐπισκοπάς, τὸν δέ γε ἱερώτατον μητροπολίτην, κῦρ Ἀλέξιον, τὸ Κύεβον καὶ πάσας τὰς τῆς Ῥωσίας ἐπισκοπάς, καθὼς καὶ τὴν ἀρχὴν ἐχειροτονήθη. καὶ αὐτὸς μὲν καὶ ὡς ἀνήνεγκεν ἐγγράφως καὶ ἀπὸ τοῦ πράγματος ἀναφαίνεται, στέργει καὶ ἐμμένει ἀπαραβάτως τοῖς διαγνωσθεῖσι τούτοις, ὡς εἴρηται· ἡ δὲ ἱερότης σου, ὡς πολλάκις ἀνηνέχθη τῇ ἡμῶν μετριότητι, παρ' οὐδὲν θέμενος τὴν γεγονυῖαν τηνικαῦτα συνοδικὴν ἔγγραφον πρᾶξιν, κυρωθεῖσαν καὶ ψήφῳ βασιλικῇ, καθὼς ἀνωτέρω δεδήλωται, παρεισήχθης εἰς τὸ Κύεβον, καὶ ἱερούργησας, διαπραξάμενος καί τινα ἕτερα ἀνήκοντα γνησίῳ ἀρχιερεῖ, καὶ οὐ μόνον ἐκεῖσε, ἀλλὰ καὶ τὸ Μπριάνισκον, ἐπισκοπὴν οὖσαν τοῦ αὐτοῦ κῦρ Ἀλεξίου, καὶ ἁπλῶς εἰπεῖν, δι' ὄχλου ἀεὶ γίνῃ αὐτῷ, ἐπιτιθέμενος ἐπὶ πᾶσι τοῖς ἐκκλησιαστικοῖς αὐτοῦ δικαίοις, πρᾶγμα ποιῶν ἔξω τῆς ἀκριβείας τῶν θείων καὶ ἱερῶν κανόνων, οὓς ἐνεγράψω φυλάσσειν ἀνοθεύτους καὶ ἀπαρεγχειρήτους, δι' ἣν αἰτίαν καὶ ἔγραφεν ἡ μετριότης ἡμῶν πρὸς τὴν ἱερότητά σου πρό τινος ἤδη καιροῦ καὶ ἅπαξ καὶ δίς, ὡς ἂν, εἴπερ τολμῶνται ταῦτα παρά σου, ἀποστῇς τοῦ μηκέτι τοιαῦτα ποιεῖν, προξενοῦντά σοι καὶ ψυχικὴν βλάβην καὶ ὄφεσιν τῆς τιμῆς σου. ἀρτίως δὲ πάλιν ὡς ἐγνώρισεν ἡ μετριότης ἡμῶν ἀπὸ τῶν αὐτόθι ἐρχομένων, ὡς οὐ μόνον ἐργάζῃ τὰ εἰρημένα ἀκανόνιστα, ἐπὶ βλάβῃ οἰκείᾳ, ἀλλὰ καὶ τὸν αὐθέντην Λιτβῶν ἐκίνησας κατεξαναστῆναι κατὰ τοῦ οὕτω πως ὀνομαζομένου κάστρου Ἀλεξίνου καὶ φθεῖραι τοὺς ἐκεῖσε χριστιανούς,

πρᾶγμα ποιήσας ἀτοπώτατον, εἴπερ γέγονεν οὕτως, ὡς ἀνηνέχθη. ἤδη ἡ μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν θεία καὶ ἱερὰ σύνοδος, ὁμοῦ μὲν φροντίζουσα τῆς φυλακῆς καὶ συντηρήσεως τῶν θείων καὶ ἱερῶν κανόνων καὶ σπεύδουσα πᾶσι τρόποις τούτους διεκδικεῖν, ὁμοῦ δὲ καθαρώτερον τὰ τοῦ πράγματος γνωρίσαι βουλόμενη καὶ εἰρήνην οἰκονομῆσαι καὶ διαπράξασθαι κανονικῶς μέσον ὑμῶν καὶ τοῦ τῆς Ῥωσίας πάσης χριστιανικοῦ γένους, ἐπευδοκήσαντος εἰς τοῦτο τοῦ ἐκ θεοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος τῷ προσόντι αὐτῷ ἐνθέῳ ζήλῳ ὑπὲρ τῶν ἐκκλησιαστικῶν πραγμάτων καὶ διοικήσεων, ἐξέπεμψεν ἐκλεξαμένη ἀποκρισιαρίους τόν τε ἱερώτατον μητροπολίτην Κελτζηνῆς, ὑπέρτιμον, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, καὶ τὸν τιμιώτατον σακελλίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ δικαιοφύλακα, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν υἱὸν τῆς ἡμῶν μετριότητος, κῦρ Γεώργιον διάκονον τὸν Περδίκην, ὥστε ποιήσασθαι τὴν ἐξέτασιν πάντων τῶν λαληθέντων καὶ προσκαλέσασθαι τούς τε θεοφιλεστάτους ἐπισκόπους καὶ τοὺς εὐγενεστάτους ῥῆγας, ἐφ' ᾧ παραγενέσθαι ἐπὶ τῇ τοιαύτῃ ἐξετάσει ἀσφαλείας ἕνεκεν. ὀφείλει οὖν παραγενέσθαι καὶ τὴν σὴν ἱερότητα ἀπαραιτήτως, ἐπειδὴ οὕτως ἀνετέθησαν οἱ τοιοῦτοι ἀποκρισιάριοι, ἵνα διαμηνύσωνται πρὸς σὲ τούτου χάριν· διὰ τοῦτο καὶ παραδηλοῖ τῇ ἱερότητί σου ἡ μετριότης ἡμῶν, ὡς ἂν, πᾶσαν καὶ παντοίαν ἀποσεισάμενος πρόφασιν, παραγένῃ διὰ σαυτοῦ πρὸς τὴν γενησομένην σύναξιν παρὰ τῶν τοιούτων ἀποκρισιαρίων, καὶ γένηται ἐντεῦθεν ἀπροσπαθῶς, ὡς ἐφορῶντος ἄνωθεν τοῦ θεοῦ, ἡ τῶν λαληθέντων συνοδικῶς ἐξέτασις, ὅπερ ἐστὶ καὶ ἐγκάνονον ποιῆσαί σε. εἴπερ δὲ ἐπισυμβῇ διά τινα ἐμποδισμὸν σωματικῆς ἀσθενείας, καὶ οὐκ ἔχεις εὔκολον διὰ σαυτοῦ παραγενέσθαι, παρακελευόμεθα, ἵνα χωρὶς τῆς τυχούσης προφάσεως ἐκπέμψῃς ἀντὶ σαυτοῦ οἰκείους σου ἀνθρώπους, ὥστε γενέσθαι ἐνώπιον αὐτῶν πᾶσα ἡ τῶν λαληθέντων ἐξέτασις, ὥσπερ ἔμελλε γενήσεσθαι καὶ ἐνώπιον τῆς σῆς ἱερότητος. γινωσκέτω γὰρ ἡ ἱερότης σου, ὡς οὕτως ἐτάχθη καὶ διεκρίθη συνοδικῶς, καὶ οὕτω ἀνετέθησαν οἱ τοιοῦτοι ἀποκρισιάριοι, ὡς, εἴπερ οὐ ποιήσῃς ἓν ἐκ τῶν δύο, ὡς οὔτε διὰ σαυτοῦ καταλάβῃς, οὔτε ἀνθρώπους σου ἐκπέμψῃς, ποιήσασθαι αὐτοὺς δὴ τοὺς ἀποκρισιαρίους ἐνώπιον τῶν μελλόντων συνελθεῖν θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν εὐγενεστάτων ῥηγῶν τὴν τοιαύτην ἐξέτασιν,

καὶ ὅσον ἂν εὕρωσι, τοῦτο ποιήσωσι ἐγγράφως, πιστωθὲν οἰκειοχείροις ὑπογραφαῖς τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν εὐγενεστάτων ῥηγῶν, καὶ διακομίσωσι τοῦτο πρός τε τὸν ἐκ θεοῦ κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα, πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον, ἵν' ἐντεῦθεν ἐπενεχθῇ τελεία ἀπόφασις, καὶ ἀφαιρεθῇ πᾶσα πρόφασις ἡ προξενοῦσα .... τὰ σκάνδαλα, ἐπὶ γὰρ τῆς τοῦ θεοῦ ἐκκλησίας πύλαι ᾅδου οὐκ ἀντισχύσουσι, κατὰ τὸν σωτήριον λόγον, προσήκει ἔχειν καὶ τὴν ἱερότητά σου τὴν προσήκουσαν στοργὴν καὶ ὑποταγὴν πρὸς αὐτὴν καὶ μὴ κατεξανίστασθαι κατ' αὐτῆς, μηδὲ ἀπειλεῖν καὶ ἀντιπίπτειν καὶ ἐναντιοῦσθαι τοῖς δεδογμένοις αὐτῇ, ὅπερ ἐστὶ πόρρω τοῦ ἀρχιερατικοῦ σεμνώματος καὶ τῆς χριστιανικῆς πολιτείας· γινωσκέτω γὰρ ἡ ἱερότης σου, ὡς εἴπερ οὐ ποιήσεις κατὰ τὴν ἐξενηνεγμένην συνοδικὴν διάγνωσιν καὶ ἀπόφασιν, ἣν ἐπιφέρονται οἱ τοιοῦτοι ἀποκρισιάριοι, ἐπενεχθήσεταί τελεία κατὰ σοῦ καταδίκης ἀπόφασις. ἵν' οὖν μὴ τοῦτο γένηται, ποίησον, ὅσον παρακελεύεται πρὸς σὲ συνοδικῶς ἡ μετριότης ἡμῶν. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε δι' ὑπογραφῆς πατριαρχικῆς καὶ τὸ· μηνὶ ἰουλίῳ ἰνδ. .ιδ' †.

CLXXXVI. (6864—1355) decembri. ind. IX.

Exhortatio Callisti patriarchae ad clerum in Trinovo de patriarcha Trinovi et de ritu baptizandi.

† Παραίνεσις, διδασκαλία καὶ ἀπολογία τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, κῦρ Καλλίστου, καὶ τῆς περὶ αὐτὸν θείας καὶ ἱερᾶς συνόδου περὶ τοῦ ἁγίου βαπτίσματος, γενομένη πρὸς τοὺς ἐν τῷ τόπῳ τοῦ Τρινόβου εὑρισκομένους τιμιωτάτους μοναχοὺς καὶ λοιποὺς ἱερεῖς †.

† Τιμιώτατε ἐν ἱερομονάχοις, κῦρ ..... καὶ σύ, τιμιώτατε ἐν μοναχοῖς, κῦρ .... ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος. χάριν, εἰρήνην, ἔλεον καὶ πᾶν ἄλλο, εἴ τι ἀγαθὸν καὶ σωτήριον, ἐπεύχεται ὑμῖν ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. ἡ ὑμετέρα ἔγγραφος ἀναφορὰ διεκομίσθη καὶ ὑπανεγνώσθη συνοδικῶς τῇ ἡμῶν μετριότητι, παρόντων πάντων τῶν ἐπιδημούντων ἱερωτάτων ἀρχιερέων τῇ βασιλευούσῃ τῶν πόλεων, καὶ ἐγνώρισεν ἡ μετριότης

ἡμῶν ἐξ αὐτῆς, ὅσα καὶ περὶ ὧν ἐδηλοῦτε, καὶ περὶ μὲν τοῦ πατριάρχου Τρινόβου, ὅπως οὐ μέμνηται ἐν ταῖς ἱεραῖς τελεταῖς καὶ ποιεῖται ἀναφορὰν τοῦ ὀνόματος τῆς ἡμῶν μετριότητος καὶ τῶν ἑτέρων ἁγιωτάτων πατριαρχῶν, καὶ οὐδὲ ἡ μετριότης ἡμῶν μέμνηται τοῦ ὀνόματος τούτου κατὰ τὸν ὅμοιον τρόπον, εἰδέναι βουλόμεθα τὴν ὑμετέραν εὐλάβειαν, ὅτι τὸ παρὰ μὲν τῆς ἡμῶν μετριότητος γινόμενον εἰς τοῦτον ἔχει τὸν προσήκοντα καὶ δίκαιον λόγον, τὸ δὲ τελούμενον παρ' αὐτοῦ, ἤγουν τὸ μὴ μεμνῆσθαι τῆς ἡμῶν μετριότητος ἐν ταῖς ἱεραῖς, ὡς εἴρηται, τελεταῖς ἐστι πάμπαν παραλογώτατόν τε καὶ ἀδικώτατον δι' αἰτίαν τοιαύτην· ὁ πατριάρχης Τρινόβου ἦν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐπισκόπου ὄνομα φέρων, ὑποτασσόμενος τῇ ἁγίᾳ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, εἶθ' ὕστερον παρακλήσεως γεγονυίας πολλῆς καὶ δεήσεως εἰς τὴν καθ' ἡμᾶς ταύτην μεγάλην καὶ ἱερὰν σύνοδον παρὰ τοῦ τότε τὰ τῆς βασιλείας τῶν Βουλγάρων διιθύνοντος σκῆπτρα, διὰ τιμὴν ἐκείνου καὶ τοῦ τοιούτου ἔθνους, ὑποτεταγμένου φανέντος τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, ἐδωρήθη συγκαταβάσεως λόγῳ πρὸς τὸν Τρινόβου τὸ ὀνομάζεσθαι πατριάρχην Βουλγαρίας, οὐ μέντοι εἶναι καὶ συναρίθμιον τοῖς λοιποῖς ἁγιωτάτοις πατριάρχαις, καὶ διὰ τοῦτο μηδὲ μνημονεύεσθαι ἐν τοῖς ἱεροῖς διπτύχοις κατὰ τὸν θεῖον καὶ ἱερὸν κανόνα τῆς δ' συνόδου, λέγοντα ἐπὶ λέξεως οὕτω· „πανταχοῦ τοῖς τῶν ἁγίων πατέρων ὅροις ἑπόμενοι καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ρν' θεοφιλεστάτων ἐπισκόπων, γνωρίζοντες τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομεν καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα. καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ρν' θεοφιλέστατοι ἐπίσκοποι τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς Νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν. „ὁμοίως καὶ κατὰ τὸν τῆς ἕκτης συνόδου κανόνα διαγορεύοντα διαρρήδην ἐπὶ λέξεως οὑτωσίν· „ἀνανεούμενοι τὰ παρὰ τῶν ρν' ἁγίων πατέρων τῶν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ καὶ βασιλίδι πόλει συνελθόντων καὶ τῶν χλ τῶν ἐν Χαλκηδόνι

συνελθόντων νομοθετηθέντα, ὁρίζομεν, ὥστε τὸν Κωνσταντινουπόλεως θρόνον τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρόνου καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα, μεθ' ὃν ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχείας καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως. „ἐπειδὴ πέντε πατριάρχαι ἐτάχθησαν τὸ κατ' ἀρχὰς παρὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας Χριστοῦ, μέχρις ἂν συνῇν ἡμῖν καὶ ὁ πάππας Ῥώμης, ἔκτοτε δὲ μέχρι τοῦ νῦν εἰσιν ἡνωμένοι οἱ τέσσαρες, οἵτινες κοινωνίαν ἔχοντες ἀδιασπάστως μνημονεύονται παρ' ἀλλήλων ἐν ταῖς ἐκκλησιαστικαῖς πάσαις συνάξεσιν. ἔδει γοῦν τὸν Τρινόβου πατριάρχην, ἅμα μὲν δι' ἣν ὤφειλεν ἔχειν ὑποταγὴν εἰς τὴν καθ' ἡμᾶς ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν, παρ' ἧς εἴληφε καὶ τὸ εἶναι καὶ τὸ ὀνομάζεσθαι πατριάρχης, ἅμα δὲ καὶ διὰ τὸ περιποιεῖσθαι ἑαυτῷ τιμὴν καὶ κοινωνίαν τῆς ἡμῶν μετριότητος καὶ τῶν ἄλλων πατριαρχῶν, ἀνάγκην ἔχειν ἀναφέρειν ἀεὶ τήν τε ἡμῶν μετριότητα καὶ τοὺς ἄλλους πατριάρχας ἐν τοῖς ἱεροῖς διπτύχοις καὶ οὕτως ἀποσώζειν καὶ αὐτὸν ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ τὸν τύπον τῆς ἐκκλησιαστικῆς καταστάσεως, κἀντεῦθεν φαίνεσθαι ἡνωμένος καὶ συναρίθμιος ἡμῖν· οὗτος δὲ ἀθετῶν οὐ καλῶς τὸν τοιοῦτον ἐκκλησιαστικὸν θεσμὸν καὶ ἀποσκιρτῶν τῆς ὑποταγῆς τῆς ἡμῶν μετριότητος καὶ τῆς καθολικῆς ἐκκλησίας θεοῦ, ἐξ ἧς, ὡς διείληπται, τὸ εἶναι πατριάρχης κατὰ συγκατάβασιν ἔχει, οὐδεμίαν ποιεῖται μνήμην τῆς ἡμῶν μετριότητος, πρᾶγμα ποιῶν ἀτοπώτατον καὶ ἔξω τῶν ἐξ ἀρχῆς συμφωνιῶν τῶν ἀποταχθεισῶν διὰ τοῦ τόμου τοῦ ἁγιωτάτου πατριάρχου κῦρ Γερμανοῦ, φησὶ γὰρ ὁ αὐτὸς πατριάρχης ἔν τινι τῶν ἑαυτοῦ συγγραμμάτων ἀπολογούμενος περὶ τούτων· „τὸ δὲ ἡμέτερον οὐχ οὕτως ἔχει, οὐχ οὕτως, ἀλλὰ κοσμικὴν τὴν κοινωφέλειαν ἐπαγγελόμενον τῷ τετιμημένῳ τοῦ τῶν Βουλγάρων ἔθνους ἀρχιερεῖ, τὸ αὐτοκέφαλον εἶναι ὁλόκληρον οὐκ ἐτομογράφησεν, ἀλλὰ δεσμοφορήσει πάλιν, τοῦτ' ἔστι, δώσει τέλη καὶ φόρους τῷ τιμήσαντι πατριάρχῃ καὶ τὴν τοῦ ὀνόματος αὐτοῦ ἐπ' ἐκκλησίας ἀναφορὰν, ὡς συνεισφορὰν, ὡς εἷς τῶν ὑπὸ τὴν Κωνσταντινούπολιν μητροπολιτῶν, καὶ εἰς λογιστεύσεις καὶ εὐθύνας, τοῦτ' ἔστι, κρίσεις ἀχθήσεται, ἐπάν ποτέ τις παρατραπεὶς τῆς δεσμοφορίας ἐξελεγχθῇ. οὕτω μὲν ἡ ὑπόσχεσις καὶ ἡ συμφωνία τῆς τῶν Βουλγάρων ἐκκλησίας πρὸς τὴν Κωνσταντινούπολιν. καὶ χωρὶς δὴ τούτου, εἰ

ὁ τῆς Κωνσταντινουπόλεως θρόνος καὶ τὰς τῶν ἄλλων πατριαρχῶν κρίσεις, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων καὶ ἐπανακρίνει καὶ διευθετεῖ καὶ ἐπιψηφίζεται καὶ τὸ κῦρος δίδωσιν, ὡς οἱ θεῖοι κανόνες διαγορεύουσι καὶ αἱ πράξεις ἐπεμαρτύρησαν, πῶς οὐ πολλῷ μᾶλλον τῆς τῶν Βουλγάρων ἐκκλησίας ὁ θρόνος οὗτος κύριος ἔσται, παρ' οὗ καὶ τὸ ὀνομάζεσθαι πατριάρχης τετίμηται; ἀλλὰ γινώσκετε σαφῶς, ὅτι εἴπερ οὐκ ἦν ἡ πρὸς τὸν ὑψηλότατον βασιλέα τῶν Βουλγάρων, ἐν ἁγίῳ πνεύματι γνησιώτατον υἱὸν τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννην τὸν Ἀσάνη, εἰλικρινὴς σχέσις καὶ διάθεσις αὐτῆς καὶ τὸ μὴ λυπηθῆναι τοῦτον διὰ τὴν τοιαύτην αἰτίαν, εἶχεν ἀπὸ δικαίου ἡ μετριότης ἡμῶν ὡς οἰκουμενικὸς πατριάρχης, διὰ τῆς τοῦ Χριστοῦ χάριτος, ἀνακρῖναι τὰ κατ' αὐτὸν καὶ ἐξετάσαι ταῦτα εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ μεγάλην σύνοδον, ὡς μέχρι τοῦ νῦν μὴ γινωσκόμενα, καὶ ἢ λαβεῖν τοῦτον διόρθωσιν ἢ κανονικῶς εὐθῦναι, ὡς ἀθετοῦντα τὴν ἐκκλησίαν προδήλως, ἐξ ἧς, ὡς πολλάκις εἴρηται, τὸ εἶναι πατριάρχης κεκλήρωται, ἢ τό γε δεύτερον ἀποστερῆσαι τοῦτον τοῦ τοιούτου ὀνόματος· ἡ δὲ τοῦ τοιούτου βασιλέως ἀγάπη καὶ διάθεσις πείθει ἐὰν ἀπολυπραγμόνητα ταῦτα, μέχρις ἂν διόρθωσιν λάβοιεν παρὰ τοῦ αὐτοῦ πατριάρχου Τρινόβου· καὶ ταῦτα μὲν περὶ τοῦ ἑνὸς κεφαλαίου. τὸ δὲ δὴ βαπτίζειν τοὺς ἱερεῖς τῶν Βουλγάρων εἰς μίαν κατάδυσιν καὶ περιρραντίζειν αὐτούς, ὡς ἔτυχεν, ὕδατί ἐστι πρᾶγμα ἀτοπώτατον καὶ δυσσεβείας ἀνάμεστον· ἡ γὰρ διάταξις τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων καὶ οἱ ἱεροὶ τούτων κανόνες πάντας τοὺς βαπτιζομένους εἰς μίαν κατάδυσιν, ὡς μὴ βαπτισθέντας, κατὰ τὴν τοῦ σωτῆρος παράδοσιν, ἀναβαπτίζεσθαι παρακελεύονται. καὶ ἐπεὶ πᾶς ὁ μὴ ἀναγεννηθεὶς δι' ὕδατος καὶ πνεύματος, κατὰ τὴν εὐαγγελικὴν τοῦ σωτῆρος ἀπόφασιν, οὐκ εἰσελεύσεται εἰς τὴν τῶν οὐρανῶν βασιλείαν· δῆλον, ὡς ὁ μὴ βαπτιζόμενος κατὰ τὴν τοιαύτην παράδοσιν εἰς τρεῖς καταδύσεις ἐκτός ἐστι τῆς βασιλείας τῶν οὐρανῶν· αἱ γὰρ τελούμεναι ἐν τῷ ἁγίῳ βαπτίσματι τρεῖς καταδύσεις οὐχ ἁπλῶς καὶ, ὡς ἔτυχε, γίνονται, ἀλλ' ὑπεμφαίνουσι μυστήρια θεῖά τε καὶ οὐράνια, τοῦ γὰρ σωτῆρος ἡμῶν τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις παραγγείλαντος βαπτίζειν πάντας εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ὡς εἰς τὴν τρισυπόστατον θείαν καὶ μακαρίαν καὶ ὑπερούσιον τριάδα βαπτιζόμενοι ἡμεῖς εἰς τὰς τρεῖς καταδύσεις

τὰς τρεῖς ἐπιβοῶμεν ὑποστάσεις τῆς τρισυποστάτου θεότητος, καθ' ἕκαστον τῶν ἁγίων τούτων ὀνομάτων καταδυόμενοι ἅπαξ ἐν τῷ ὕδατι καὶ ἀναδυόμενοι, κατὰ τὸν πολὺν τὰ θεῖα καὶ τῶν τοιούτων ἐκφάντορα Διονύσιον τὸν Ἀρεοπαγίτην· ἅμα δὲ, ἐπειδὴ τὸ θεῖον τοῦτο βάπτισμα τοῦ σωτῆρος τὸν θάνατον εἰκονίζει, (ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθημεν, κατὰ τὸν θεῖον ἀπόστολον, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν) ἔστι δὲ ἡ ταφὴ τοῦ σωτῆρος τριήμερος, βαπτιζόμεθα καὶ ἡμεῖς ἀναγκαίως εἰς τὰς τρεῖς ταύτας καταστάσεις, διὰ τῶν τριῶν τούτων καταδύσεων τὴν τριήμερον ταφὴν καὶ ἀνάστασιν τοῦ σωτῆρος αἰνιττόμενοι. οὐκοῦν οἱ μὴ βαπτιζόμενοι κατὰ τὸν τοιοῦτον τρόπον ἀτελείωτοι πάντως εἰσὶ καὶ ἐλλιπεῖς, καὶ μὴ κατὰ τὴν εἰκόνα τῆς ὑφηλῆς τοῦ βαπτίσματος θεωρίας· φησὶ γὰρ ἐπὶ λέξεως οὗτος ὁ ἱερὸς Διονύσιος· „τὸν ἱερῶς βαπτιζόμενον ἡ συμβολικὴ διδασκαλία μυσταγωγεῖ ταῖς ἐν τῷ ὕδατι τρισὶ καταδύσεσι καὶ ἀναδύσεσι τὸν θεαρχικὸν τῆς τριημερονύκτου ταφῆς Ἰησοῦ τοῦ ζωοδότου μιμεῖσθαι θάνατον, ὡς ἐφικτὸν ἀνδράσι τὸ θεομίμητον. ἔστι τοίνυν τὸ βάπτισμα εἰς τὸν θάνατον τοῦ κυρίου διδόμενον, τὸ δὲ ὕδωρ ἀντὶ τῆς ταφῆς, τὸ δὲ ἔλαιον ἀντὶ πνεύματος ἁγίου, ἡ σφραγὶς ἀντὶ σταυροῦ, τὸ δὲ μύρον βεβαίωσις τῆς ὁμολογίας." ὅτι δὲ οὐδὲ χρῶνται ἁγίῳ μύρῳ, κατὰ τὴν νενομισμένην τῆς ἐκκλησίας παράδοσιν, τῷ τελουμένῳ ἐν τῇ ἁγιωτάτῃ τοῦ θεοῦ καθ' ἡμᾶς μεγάλῃ ἐκκλησίᾳ, καθὼς τοῦτο διασαφεῖ καὶ παραδίδωσιν ὁ τοιοῦτος μέγας Διονύσιος γίνεσθαι διὰ συναγωγῆς εὐπνόων καὶ εὐόσμων ὑλῶν καὶ εἰδῶν, καὶ τοῦτο παραλογώτατον καὶ ἔξω πάνταπασι τῆς ἐκκλησιαστικῆς νομοθεσίας· ἐπειδὴ γὰρ ἡ αἰσθητὴ τῆς εὐωδίας τοῦ ἁγίου μύρου ἀντίληψις εἰς νοητὴν εὐωδίαν τοῦ πνεύματος ἀνάγει τὸν βαπτιζόμενον, καὶ τελειοῖ τοῦτον, καὶ βεβαιοῖ ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως, ὁ μὴ χριόμενος τῇ συνθέσει τοῦ τοιούτου μύρου ἀτελείωτος μένει ἐν τῇ τοῦ καλοῦ παγιότητι, στερούμενος διὰ τὸ μὴ μετασχεῖν ταύτης τῆς εὐωδίας καὶ τῆς θεαρχικῆς εὐωδίας ἐκείνης καὶ θειοτάτης τροφῆς, φησὶ γὰρ ὁ αὐτὸς ἱερὸς θεολόγος· „ἡ τοῦ μύρου συμβολικὴ σύνθεσις ὡς ἐν μορφώσει τῶν ἀμορφώτων αὐτὸν ἡμῖν ὑπογράφει τὸν Ἰησοῦν, πηγαῖον ὄντα τῶν θείων εὐώδων ἀντιλήψεων ἔργων, ὡς αὐτὸ τὸ μύρον σημαίνει τὸν εὐώδη Ἰησοῦν, πηγὴν ὄντα τῶν θείων χαρισμάτων καὶ τοὺς πιστοὺς πάντως εὐωδιάζοντα, κατὰ τὸν θεῖον ἀπόστολον, φάσκοντα, ὅτι ὑμεῖς

ἐστε εὐωδία Χριστοῦ. τοῦ γοῦν θείου βαπτίσματος οὕτω παραδοθέντος καὶ τελουμένου παρὰ τῆς ἐκκλησίας Χριστοῦ, ὁ παρὰ τὴν τοιαύτην ὑποτύπωσιν βαπτίζων ἢ βαπτιζόμενος εἰς μίαν κατάδυσιν ἢ περιραντιζόμενος ὕδατι καὶ οὕτως ἁπλῶς καὶ, ὡς ἔτυχε, τελῶν τὸ τοιοῦτο μυστήριον καὶ χρίων ἢ καὶ χριόμενος ἀντὶ τοῦ ἁγίου τούτου μύρου μύρον τῶν λειψάνων τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Δημητρίου ἢ τοῦ ἁγίου Βαρβάρου, ὁ τοιοῦτος ὡς ἀθετῶν προδήλως τὴν ἐκκλησιαστικὴν παράδοσιν οὐκ οἶδα ποίαν ἀπολογίαν δώσει ἐν ἡμέρᾳ κρίσεως τῷ θεῷ, ἢ πῶς ἐκφεύξεται τῆς κολάσεως, περὶ τῶν κυριωτάτων τῆς πίστεως ἁμαρτών. διὰ τοῦτο καὶ ἐπειδὴ ἐκ θεοφιλοῦς γνώμης ἀναφορὰν ἐποιήσατε περὶ τούτων εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον, ὡς ἄνδρες εὐλαβείας καὶ ἀρετῆς ἀντιποιούμενοι ἱκανῶς, καὶ χρῄζοντες μάλιστα τῆς ὠφελείας τῶν αὐτόθι χριστιανῶν Βουλγάρων, καὶ ἤδη ἐλάβετε ἐγγράφως πληροφορίαν ἐναργεστάτην συνοδικῶς παρὰ τῆς ἡμῶν μετριότητος καὶ ὡς ἐν κεφαλαίῳ ἐπιτομωτάτην διδασκαλίαν τοῦ σεπτοῦ μυστηρίου τοῦ σωτηριώδους βαπτίσματος, εἴπερ μέλει ὑμῖν, ὥσπερ δὴ καὶ μέλει, τῆς τῶν πολλῶν σωτηρίας, διεγέρθητε πρὸς νουθεσίαν καὶ διδασκαλίαν τὴν περὶ τούτου εἴς τε τοὺς ὄντας αὐτόθι ἀρχιερεῖς καὶ εἰς πάντας τοὺς ἱερεῖς τῶν Βουλγάρων, καὶ διδάξατε τούτους ἐκτελεῖν τὸ μυστήριον τοῦ βαπτίσματος κατὰ τὴν ὑποτύπωσιν τῆς ἐκκλησίας θεοῦ, καὶ καθὼς ἐνταῦθα ὡς ἐν ἐπιτομῇ γέγραπται, καὶ βαπτίζειν τοὺς τελουμένους τῷ θείῳ λουτρῷ εἰς τρεῖς καταδύσεις καὶ ἐν ἀγγείῳ πλήρει ὕδατος μετὰ ἐλαίου, περιχρίειν τε αὐτοὺς ἐν ὅλοις τοῖς μέλεσι τῷ θείῳ τούτῳ καὶ σεπτῷ μύρῳ καὶ οὕτως ἀπαρτίζειν καὶ τελειοῦν κατὰ τὴν τῶν θείων ἀποστόλων καὶ ἱερῶν κανόνων παράδοσιν, τὰ μέντοι ἀγγεῖα, ἐν οἷς ἐκπληροῦται τὸ βάπτισμα, παραφυλάττειν μόνον εἰς τὴν τοιαύτην ὑπηρεσίαν καὶ μὴ καταχρῆσθαι ὅλως εἰς ἑτέραν τινὰ χρείαν, ἐπεὶ καὶ τοῦτο ἄθεσμόν ἐστι καὶ ἀνευλαβές. ἐπεὶ δὲ ἡ τοῦ ἁγίου σύνθεσις μύρου ἐν τῇ τῶν Βουλγάρων ἐκκλησίᾳ οὐκ ἐκτελεῖται, ἔστι δὲ παράδοσις ἐκτελεῖσθαι τοῦτο ἐν τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, ὀφείλει, ἵνα κατὰ τὸν καιρὸν τῆς ἁγίας τεσσαρακοστῆς ἐκλεγῶσι τῶν ἀπ' αὐτόθι ἱερωμένων, τινὲς εὐλαβείας ἀντιποιούμενοι, μετ' ἐξόδου τῆς προσηκούσης ἐπὶ τῇ τούτου κατασκευῇ, καὶ τελεσθέντες κατὰ τὴν νενομισμένην παράδοσιν, λήψονται καὶ οὗτοι τὸ μέγα τοῦτο

καὶ θεῖον μύρον εἰς τελείωσιν τῶν βαπτιζομένων, ὡς εἴρηται. ταῦτα μὲν οὖν παρακελεύεται ὑμῖν ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς συνόδου εἰς τὴν ἐφεξῆς διόρθωσιν τῶν πραττομένων ἀκανονίστως εἰς τὴν αὐτόθι τῶν Βουλγάρων ἐκκλησίαν. καὶ εἰ μὲν εἰς αἴσθησιν ἔλθοιεν τοῦ καλοῦ καὶ μεταμάθοιεν τὴν κακίαν, ἐπειδὴ εἰς τὸ βάπτισμα, τὸ τῆς σωτηρίας κεφάλαιον, ἐστὶν ἡ καινοτομία καὶ ἡ παράβασις, χαρισθείη ἴσως αὐτοῖς συγγνώμη παρὰ θεοῦ, ὡς μὴ γινώσκουσιν ἀκριβῶς ταύτην τὴν ἱερὰν ὑποτύπωσιν· εἰ δὲ καὶ νῦν μετὰ τὴν πεῖραν καὶ γνῶσιν τοῦ πράγματος, ἔτι δὲ καὶ τὴν ἡμετέραν νουθεσίαν καὶ διδασκαλίαν, ὑμῶν τῶν εὐλαβῶν καὶ τιμίων μοναχῶν παρακινησάντων εἰς τοῦτο αὐτούς, μείνειαν ἀδιόρθωτοι, ἡ μὲν μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν θεία καὶ ἱερὰ σύνοδος ἐκπεπληρώκαμεν, μηδὲν παραλιπόντες τῆς ὀφειλῆς, ἧς ἔχομεν εἰς θεὸν ὑπὲρ τοῦ διδάσκειν καὶ δῆλα τιθέναι τοῖς πιστοῖς τὰ τούτου μυστήρια· οὗτοι δὲ πείσονται τὴν ἐσχάτην δίκην καὶ μάλιστα οἱ τῶν ἐκκλησιῶν προϊστάμενοι καὶ οἱ ἱερεῖς, καὶ λήψονται μεγάλην παρὰ θεοῦ τὴν ἀγανάκτησιν καὶ ὀργήν, ἀνθ' ὧν οὐκ ἐπείσθησαν τῇ παραδόσει καὶ διδασκαλίᾳ τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. ἀλλ' εὐχόμεθα τῷ θεῷ, μηδαμῶς τοῦτο γενέσθαι, ἀλλὰ καὶ σπουδάσαι καὶ διεγερθῆναι τὴν ἐκκλησίαν ταύτην καὶ κατὰ τὴν θείαν παράδοσιν τὸ μέγα καὶ οὐράνιον τοῦτο τοῦ βαπτίσματος δῶρον καὶ τοὺς ἱερεῖς τῷ λαῷ διδόναι καὶ τὸν λαὸν παρ' ἐκείνων δέχεσθαι, ὡς εἴη τὸ δῶρον ἀληθῶς δῶρον καὶ ἐλευθερία καὶ ἀπαλλαγὴ τοῦ προγονικοῦ ἁμαρτήματος καὶ υἱοθεσίας πρόξενον καὶ μηδαμῶς κατακρίσεως ἀφορμή, πρεσβείαις τῆς πανυπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ πάντων τῶν ἁγίων, ἀμήν †.

Μηνὶ δεκεβρίῳ ἰνδ. θ'.

CLXXXVII. Sine anno.

Monachi duo libidinosi puniuntur.

† Ἐπεὶ ὁ τοῦ Τύρου ἀνεψιός, ὁ Ἀνανίας, καὶ ἄλλα μὲν ἄτοπα καὶ μὴ ἀνήκοντα ὅλως μοναχικῇ πολιτείᾳ καὶ ἱερατικῷ σεμνώματι ἀπειργάσατο, ἑάλω δὲ ἐπ' αὐτοφώρῳ ἐν μιᾷ τῶν νυκτῶν συνευναζόμενος καὶ συγκοιμώμενος καὶ συνδιαφθειρόμενος πόρνῃ γυναικί, ἐφ' οἷς καὶ πολυθρύλου τῆς τοιαύτης ὕβρεως γενομένης, καθ' ἣν ἐκρατήθη

ἐν τῷ κελλίῳ αὐτοῦ ὅδε ὁ Ἀνανίας μετὰ τῆς τοιαύτης φαύλης γυναικὸς καὶ τῆς ἡμῶν μετριότητος εἰς τὴν σεβασμίαν τῶν Ὁδηγῶν μονὴν παραγενομένης καὶ πάντων τῶν ἐν αὐτῇ ἀσκουμένων μοναχῶν ἐπὶ τῷ αὐτῷ συνελθόντων καὶ τὴν τοιαύτην ἀτοπίαν τοῦ μοναχοῦ Ἀνανίου οἰκείοις ὄμμασι θεασαμένων, ὑπὲρ μὲν τοῦ τοιούτου Ἀνανίου, ὡς προδήλως τοῦ πάθους αὐτοῦ γενομένου καὶ τῆς ἀναισχύντου καὶ ἐκδεδιητημένης καὶ φαύλης προαιρέσεως ἐπ' ὀφθαλμοῖς πάντων ἀποδειχθείσης, οὐκ ἐδέησε λοιπὸν γενέσθαι ἐξέτασίν τινα, ὡς μήτινος οὔσης ἀμφιβολίας. ἐλαλήθησαν δὲ, ὡς εἰσὶ καὶ ἕτεροί τινες ἐνισχημένοι τοῖς τοιούτοις ἀτοπήμασιν, ἀφ' ὧν καὶ ὁ μοναχὸς Ἰωάσαφ, δι' ἃ καὶ ἐξεφωνήθη παρὰ τῆς ἡμῶν μετριότητος βάρος ἀφορισμοῦ, ὡς ἂν ὁμολογήσαιεν οἱ μοναχοὶ, ὅσον ἐπίστανται περί τε τοῦ τοιούτου μοναχοῦ Ἰωάσαφ καὶ περὶ τῶν ὑποπτευομένων ἑτέρων προσώπων. κἀντεῦθεν καὶ διωμολόγησαν, ὡς ἔστιν ὑφορώμενος ὅδε ὁ Ἰωάσαφ συνδιαφθείρας τῇ γυναικὶ τῇ Μοσχονοῦ λεγομένῃ, φαύλῃ καὶ ἐκδεδιητημένῃ οὔσῃ καὶ ταύτῃ. ὁ δέ γε πορτάριος τῆς αὐτῆς μονῆς ἔδειξεν, ὡς εἰσήρχετο συνεχῶς ἡ τοιαύτη Μοσχονοῦ, καὶ ἀπείρχετο ἐν τῷ κελλίῳ τοῦδε τοῦ μοναχοῦ Ἰωάσαφ, συνῳδὰ δὲ τούτῳ εἰρηκὼς καὶ ὁ ..... ἔφη, ὡς εἶδεν αὐτὸν δὴ τὸν μοναχὸν Ἰωάσαφ νυκτὸς, τῆς ἐκκλησίας φαλλούσης, συνομιλοῦντα τῇ τοιαύτῃ γυναικὶ καὶ προπορευόμενον μετ' αὐτῆς. ἤδη ὡς τῆς τοιαύτης ὑποθέσεως οὕτω προβάσης, διέγνω ἡ μετριότης ἡμῶν, εἶναι τὸν τοιοῦτον μοναχὸν Ἰωάσαφ ἀργὸν καὶ ἐπισχημένον εἰς τὴν ἱερωσύνην αὐτοῦ †.

CLXXXVIII. (6871—1363) martio.

Metropolita Sugdaeae et Phullorum (Φούλλων), *quem hostes sede sua expulerunt, in metropolim Aeni transfertur.*

CLXXXIX. (6871—1363) martio. ind. I.

Monachus quidam Maximus pollicetur, se mulierem quandam amplius non esse visurum.

† Ἐγὼ ὁ ἐν μοναχοῖς Μάξιμος ὑπόσχομαι ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὡς ἂν, ἐπειδὴ ἔφθασα καὶ περιέπεσα εἰς πάθος μετά τινος γυναικὸς, ἣν ὕστερον ἐποίησα καλογραίαν, καὶ πάλιν ἐπικρατεῖ ὑποψία τις εἰς ἐμὲ, ὅτι πε-

ριπίπτω καὶ νῦν τῷ προτέρῳ ἀτοπήματι, οὐ μὴ ἐπιπλέον ἴδω ἐκείνην, ἢ τὴν τυχοῦσαν αὐτῆς μνήμην ποιήσω· εἰ δ' οὐ γένηται οὕτω, καθὼς ὑπόσχομαι διὰ τοῦ παρόντος μου γράμματος, ἵνα ἦμαι ὑπεύθυνος καὶ ὑπόδικος εἰς τὸ παθεῖν ἀνελεῶς τὴν μεγαλοτέραν ποινήν τε καὶ τιμωρίαν, καὶ ἐξέρχωμαι τοῦ μοναστηρίου μου, καὶ χαώσω καὶ τὸ ἀδελφάτον μου, καὶ ἀνάξιος εὑρίσκωμαι τῆς τυχούσης συγγνώμης καὶ συμπαθείας. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις ἐν μηνὶ μαρτίῳ τῆς α' ἰνδ. †

† Μάξημος μοναχός †.

CXC. (6871—1363) martio. ind. I.

Monachus quidam excommunicatur.

Μηνὶ μαρτίῳ ἰνδ. α'.

† Προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τοῦ Ποντοηρακλείας καὶ τοῦ Τραϊανουπόλεως, ἀπηλέγχθη ὁ μοναχὸς .... χωρὶς προτροπῆς καὶ παρακελεύσεως ἐκκλησιαστικῆς διενεργῶν τὸ τοῦ πνευματικάτου λειτούργημα, ὅστις καὶ ἀπαναισχυντήσας εὐλόγησε τὸν χορηγήτην τρίγαμον, καὶ διὰ ταῦτα καθυπεβλήθη ἐνδίκῳ καὶ κανονικῇ καθαιρέσει †.

CXCI. (6871—1363) aprili. ind. I.

Patriarcha episcopum Platamonis absolvit.

† Ἐπεί τινες, φθόνῳ καὶ κακίᾳ συνελαθέντες, ἐχρήσαντο κατηγορίᾳ κατὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Πλαταμῶνος, λέγοντες, ποιήσασθαι τοῦτον χειροτονίας πρεσβυτέρων καὶ καθιερώσεις ναῶν παρὰ τὴν λαχοῦσαν αὐτὸν ἐνορίαν, οὐκ ἔφθασαν μέντοι ἐπὶ τοῦ μεγάλου παρρησιάσασθαι καὶ ἀπελέγξαι τοῦτον προδήλως τοῖς τοιούτοις ἐνισχημένον οὔτε μὴν τοπικῶς, ἀλλ' οὐδὲ ἐνταῦθα εἰς τὴν καθ' ἡμᾶς θείαν καὶ ἱερὰν σύνοδον, κἀντεῦθεν καὶ ἀναδραμὼν ὁ δηλωθεὶς θεοφιλέστατος ἐπίσκοπος εἰς τὴν ἡμῶν μετριότητα ἐνήνεγκε τὰ περὶ τούτου, ἐμφανίσας καὶ γράμμα τοῦ ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης, κῦρ Γρηγορίου ἐκείνου, διεξιὸν, εἶναι τοῦτον ἐν κατασχέσει τῆς ἁγιωτάτης ἐπισκοπῆς Λιτῆς, καὶ ἐδεήθη τῆς ἀπὸ τῶν θείων καὶ ἱερῶν κανόνων συνάρσεως καὶ βοηθείας ἐπιτυχεῖν, ἡ μετριότης ἡμῶν, συνδια-

σκεψαμένη τὰ περὶ τούτου τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Ἡρακλείας, τῷ Θεσσαλονίκης, τῷ Χαλκηδόνος, τῷ Ποντοηρακλείας, τῷ Βρύσεως καὶ τῷ Ῥωσίου, διέγνω καὶ ἀπεφήνατο συνοδικῶς, ὡς ἐπείπερ οἱ προαχθέντες τὴν τοιαύτην κατηγορίαν κατὰ τοῦδε τοῦ θεοφιλεστάτου ἐπισκόπου ποιήσασθαι οὔτε τοπικῶς κατὰ πρόσωπον τούτῳ κατέστησαν, ἀλλ' οὐδὲ ἐνταῦθα παρεγένοντο, ἐφ' ᾧ τὴν τοιαύτην κατηγορίαν ἐναργῆ ἀποδεῖξαι, ἵνα εἴη ὁ τοιοῦτος θεοφιλέστατος ἐπίσκοπος Πλαταμῶνος ἀνώτερος τῆς προστριβείσης αὐτῷ τοιαύτης ἀπαραστάτου κατηγορίας καὶ ἱερουργῶν ἀκολύτως καὶ ἀνεμποδίστως, ὡς καὶ πρότερον, μηδεμίαν ὑφιστάμενος παρά τινος τῶν ἁπάντων ἐνόχλησιν ἢ ἐπήρειαν, τοὺς γὰρ ἀπαραστάτως κατηγοροῦντας καὶ μηδὲ ἀπὸ τοῦ τρόπου τὸ ἀξιόλογον ἔχοντας ἡ τῶν θείων καὶ ἱερῶν κανόνων διαταγὴ οὐ παραδέχεται ὅλως. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται τῷ εἰρημένῳ θεοφιλεστάτῳ ἐπισκόπῳ Πλαταμῶνος καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. α' †.

CXCII. Sine anno.

Metropolita Caesareae transfertur in Thessalonicensium metropolim.

CXCIII. (6871—1363) aprili. ind. I.

Patriarcha metropolitam Smyrnae monet, ut in suam metropolim proficiscatur.

† Ἱερώτατε μητροπολῖτα Σμύρνης, ὑπέρτιμε, ἀγαπητὲ κατὰ κύριον ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ σῇ ἱερότητι. οἶδεν ἡ ἱερότης σου ἀκριβῶς, ὅπως οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις παρεδηλώσαμεν πρὸς αὐτὴν, ὡς ἂν, πᾶσαν καὶ παντοίαν ἀποσεισάμενος πρόφασιν, καταλάβῃς εἰς ἣν ἔλαχες ἐκκλησίαν, καὶ ποιῇς κατὰ τὸ ἐγκάνονον χρέος, καθὼς ἐνεγράφω, εἰς ἀρχιερέα προβιβασθείς, εἰς τὴν περιοχὴν καὶ διακράτησιν τῆς κατά σε ἁγιωτάτης μητροπόλεως πάντα τὰ δεόμενα ἀρχιερατικῆς ἐπιστασίας καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, ἅτε δὴ πολλῶν ὄντων τῶν χριστιανῶν εἰς τὴν τοιαύτην περιοχὴν τῶν ἐκδεχομένων τὴν σὴν παρουσίαν. σὺ δὲ, ἄλλα ἐπ' ἄλλοις προβαλλόμενος, ἦσθα παρακρουόμε-

νος τὸν καιρὸν, μηδόλως φροντίδα περὶ τούτου ποιούμενος, ἀλλὰ λογιζόμενος, ὥσπερ ἂν εἰ Καμπανίας ὑπῆρχες, καὶ οὐκ εἰς τὴν ἀγιωτάτην μητρόπολιν Σμύρνης προεβιβάζου· εἰ γὰρ ἐβούλου διηνεκῶς ἐν τῇ θεοσώστῳ πόλει Θεσσαλονίκης εὑρίσκεσθαι καὶ ἀπολαύειν ἀναπαύσεως καὶ ἄλλων πολλῶν, ὧν ἕνεκα ποθεῖς αὐτόθι παραμένειν, οὐκ ἔδει σε μετάθεσιν ζητῆσαι καὶ ταύτην ἀναδέξασθαι, ἀλλὰ μένειν εἰς ὃ ἔλαχες ἐξ ἀρχῆς, ἀκριβῶς γὰρ ἐπίστασαι, ὁπόση ἔνστασις ἐγεγόνει παρὰ τῶν ἱεροτάτων ἀρχιερέων, ὁπηνίκα τῶν ἐνταῦθα ἐξήρχου ἐπὶ τῷ καταλαβεῖν σε αὐτόθι, λεγόντων, δοῦναί σε ἐγγράφην, ὥστε ἀμεταθέτως παραγενέσθαι εἰς τὴν κατά σε ἐκκλησίαν, πρὸς οὓς τεχναζόμενος ὥσπερ ἔφθης εἰπών, ὡς μετ' ὀλίγον μέλλεις ἐκεῖσε ἀφίξεσθαι. σὺ δὲ πάντων τῶν τοιούτων ἀμνημονήσας, πρὸς δὲ καὶ τὴν ἐκ τῶν θείων καὶ ἱερῶν κανόνων ἐπηρτημένην σοι ἀνάγκην καὶ ὑφορώμενος κάθησαι, τοῦ μὲν ὀνόματος τῆς ἁγιωτάτης μητροπόλεως ἀπολαύων Σμύρνης, τῶν δὲ ἐκ τούτου σοι ὀφειλομένων ἔργων καὶ πόνων πόρρω που ἀφιστάμενος, ἀσθένειαν δῆθεν καὶ ἄλλα δοκοῦντά σοι ὑποκρινόμενος. ἡ γοῦν μετριότης ἡμῶν, καίπερ ὀφειλομένως ἔχουσα, μὴ ὅλως ἀναβολῇ ταῦτα δοῦναι, ἀλλὰ μετὰ τὸ παραδηλῶσαί σοι περὶ τούτου δὶς καὶ τρὶς καὶ πολλάκις, ποιήσασθαι τὸ τοῖς θείοις καὶ ἱεροῖς κανόσι δοκοῦν, ὅμως γε μέντοι, συγκαταβατικωτέρως διακειμένη, ἀπέβλεπε πρὸς τὴν σὴν προαίρεσιν, οἰομένη προαιρεθήσεσθαί σε εἰς τὸ ἐξελθεῖν τῶν αὐτόθι καὶ εἰς τὴν ἐνορίαν τῆς λαχούσης σε ἐκκλησίας ἐπιδημῆσαι, οὐ γὰρ τὴν μετάθεσιν ἔσχες, ὥστε ἱερουργεῖν καὶ πάντα τὰ τοῖς ἀρχιερεῦσι προσήκοντα ἐν τῇ θεοσώστῳ πόλει Θεσσαλονίκῃ διενεργεῖν, ἀλλ' ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Σμύρνης, ὡς ταύτης τὴν κλῆσιν λαβών. ἐπεὶ δὲ σοῦ εἰς τοῦτο μὴ προσηρτημένου οἱ μὲν χριστιανοὶ οἱ ὑπὸ τὴν ἐπίσκεψιν τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης εὑρισκόμενοι συνεχῶς εἰς τὴν καθ' ἡμᾶς θείαν καὶ ἱερὰν σύνοδον ἀναφορὰς ἐγγράφους ποιούμενοι δέονται ἀρχιερατικῆς ποιμανσίας ἐπιτυχεῖν, ἡ δέ γε μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν θεία τῶν ἱερωτάτων ἀρχιερέων ὁμήγυρις οὐκ ἀνέχεται ἐπὶ πλέον τῆς σῆς εἰς τοῦτο ἀναβολῆς καὶ ὑπερθέσεως καὶ τῶν πολλῶν προφάσεων, ἃς πολλάκις καὶ διαφόρως ὑπάρχεις προφασιζόμενος, δέον ἔκρινε ψήφῳ καὶ γνώμῃ καὶ τῶν τοιούτων ἀρχιερέων ὑπερτίμων, ἀγαπητῶν κατὰ κύριον ἀδελφῶν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῶν, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Χαλκηδό-

νος, τοῦ Ποντοηρακλείας, τοῦ Τραϊανουπόλεως, τοῦ Βρύσεως, τοῦ Ἀμάστριδος, τοῦ Ῥωσίου καὶ τοῦ Σουγδαίας, δηλῶσαί σοι ταῦτα καὶ ἀναμνῆσαί σε καὶ τῆς τῶν θείων καὶ ἱερῶν κανόνων διαταγῆς καὶ παρακελεύσεως· φησὶ γὰρ ὁ τριακοστὸς ἕκτος κανὼν τῶν ἁγίων ἀποστόλων οὕτωσὶ κατὰ ῥῆμα· „εἴ τις χειροτονηθεὶς ἐπίσκοπος μὴ καταδέχηται τὴν λειτουργίαν καὶ τὴν φροντίδα τοῦ λαοῦ τὴν ἐγχειρισθεῖσαν αὐτῷ, τοῦτον ἀφωρισμένον τυγχάνειν, ἕως ἂν καταδέξηται·“ συνῳδὰ τούτῳ τοίνυν καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ συνόδου ιη', ἔτι γὲ μὴν καὶ ὁ τῆς οἰκουμενικῆς ς' συνόδου λζ', ὡσαύτως καὶ ὁ τῆς πρώτης καὶ δευτέρας συνόδου ἑκκαιδέκατος καὶ ὁ τῆς οἰκουμενικῆς δευτέρας συνόδου δεύτερος φθέγγεται, ἵν' ἐντεῦθεν μάθῃς θεληματαίνων, ὁπόση σοι ἀνάγκη ἐπήρτηται παρ' αὐτῶν τῶν θείων καὶ ἱερῶν κανόνων καὶ ἐπεξέλευσις, μὴ προαιρουμένῳ, μηδὲ εὐλόγως ἀπειργομένῳ πρὸς τὴν τῆς σῆς ἐκκλησίας ἄφιξιν· εἰ γὰρ ἔχεις προβαλέσθαι τὴν τυραννικὴν γνώμην τοῦ Καλοθέτου, ἔστιν ἡ Νέα Ῥώμη χρήσιμον καὶ ἄριστον κατάντημα, εἰς ἣν, εἴπερ βουληθείης μόνον, μέλλεις εὑρήσειν ἀξίαν τὴν ὑποδοχὴν καὶ ἐκεῖθεν πάλιν ἀλλαχοῦ εἰς πᾶσαν τὴν περιοχὴν καὶ διακράτησιν τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, πολλῶν καὶ ἀναριθμήτων ὄντων τῶν ἐν αὐτῇ χριστιανῶν. ὅθεν καὶ συνοδικῶς παραδηλοῦμεν τῇ σῇ ἱερότητι διὰ τῆς παρούσης ἐγγράφου παρακελεύσεως, ὡς πρώτης ἤδη λογιζομένης καὶ δευτέρας καὶ ὑστάτης, ὡς εἰ μὲν, δεξάμενος ταύτην, ἐξέλθῃς ἐκ τοῦ ἀπ' ἐντεῦθεν τῶν αὐτόθι, καὶ καταλάβῃς εἰς τὴν λαχοῦσάν σε ἐκκλησίαν, εὖ ἂν ἔχοι καὶ λόγος οὐδείς. εἰ δ' οὖν, ἔχει σε ἡ μετριότης ἡμῶν γνώμη καὶ ψήφῳ τῶν εἰρημένων ἱερωτάτων ἀρχιερέων ἀργὸν καθάπαξ τοῦ τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης ὀνόματος καὶ τῆς ἐντεῦθεν ἐπιγενομένης σοι ἀξίας, μέλλει δὲ καὶ ἀντί σου χειροτονήσεσθαι ἕτερος Σμύρνης, ὥστε ἀπελθεῖν ἐκεῖσε εἰς ἐπίσκεψιν τοῦ ἐν αὐτῇ εὑρισκομένου χριστωνύμου λαοῦ. διὰ δὴ τὸ περιαιρεθῆναι πᾶσαν πρόφασιν καὶ αἰτίαν τοῦ μὴ ἀπελθεῖν τὴν ἱερότητά σου πρὸς τὴν ἰδίαν ἐκκλησίαν αὐτῆς, ἅμα μὲν ἀξιώσει τῶν δηλωθέντων ἱερωτάτων ἀρχιερέων χρησαμένων πρὸς τὴν ἡμῶν μετριότητα, ἅμα δὲ καὶ ἀφ' ἑαυτῆς κινηθεῖσα καὶ τῇ περὶ τὴν σὴν ἱερότητα κηδεμονίᾳ εἰς τοῦτο συνελαθεῖσα, παραδηλοῖ ταύτῃ, ὡς ἂν, εἴπερ τῶν δυσχερῶν δοκεῖ τοῦτο, τὸ πρὸς τὴν Φώκεαν ἀφικέσθαι καὶ ἐν αὐτῇ τὸ κατάντημα ἔχειν, λάβῃ ἡ ἱερότης σου τὴν σεβασμίαν μο-

νὴν τοῦ Κροίτζους, καὶ ἔχουσα ἐν αὐτῇ τὴν οἴκησιν καὶ καταμονήν, διενεργῇ εἰς τὴν ἐκκλησίαν αὐτῆς ἅπαντα τὰ προσήκοντα καὶ οὕτως ἀπολαύειν καὶ τοὺς ἐκεῖσε εὑρισκομένους χριστιανοὺς ἀρχιερατικῆς ἐπιστασίας καὶ ποιμανσίας καὶ τοῦ ἐκ ταύτης ἁγιασμοῦ. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. α' †.

VI.

† Ἡμέρᾳ τρίτῃ, τῇ ὀγδόῃ τοῦ ὀκτωβρίου †.

† Μηνὶ ὀκτωβρίῳ ἰνδ. γ' τοῦ ,ϛοθ ωοθ ογου ἔτους ἐπανῆλθεν ὁ παναγιώτατος δεσπότης ἡμῶν καὶ οἰκουμενικὸς πατριάρχης, κῦρ Φιλόθεος, καὶ ἀνελήλυθε τὸ δεύτερον εἰς τὸν πατριαρχικὸν θρόνον, καὶ ἤρξαντο καταστρώννυσθαι ἐν τῷ παρόντι κωδικίῳ αἱ συνοδικαὶ πράξεις καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων ἔγγραφα σημείωματα †.

CXCIV. Sine anno.

Matthaeus Cantacuzenus iurat se imperatori esse obtemperaturum.

† Ὑπὲρ τοῦ βασιλέως †.

† Ἐπεὶ διὰ τὰ συμβάντα καὶ γεγονότα σκάνδαλα πρὸ καιροῦ ὑπὸ τῆς ἐπιφυείσης τοῖς πράγμασιν ἀνωμαλίας τε καὶ συγχύσεως μεταξὺ τῶν βασιλέων, κατασχεθῆναί τε ἐν φυλακῇ τὸν περιπόθητον ἀδελφὸν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κῦρ Ματθαῖον τὸν Καντακουζηνόν, κινηθεὶς οὗτος δὴ ὁ ἐκ θεοῦ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ ὑπὸ τῆς ἐμφύτου καὶ συνουσιωμένης αὐτοῦ τῇ ψυχῇ μακροθυμίας τε καὶ χρηστότητος καὶ καλογνωμίας ὑπερβαλλούσης, ἠλευθέρωσε τοῦτον τοῦ δεσμοῦ καὶ τῆς φυλακῆς, ἀξιώσας αὐτὸν καὶ προμηθείας, ὅσον τὸ δυνατόν, ἐδέησε δὲ διὰ ταῦτα γενέσθαι καὶ ἀσφάλειαν ἔνορκον, ὡς ἔθος τοῖς βασιλεῦσι ἐν τοῖς τοιούτοις, καὶ ἐγένοντο ὅρκοι παρά τε αὐτοῦ καὶ τοῦ πατρὸς αὐτοῦ, τοῦ ἁγίου βασιλέως τοῦ Καντακουζηνοῦ, ἔγγραφοι καὶ κατησφαλισμένοι καὶ πολὺ τὸ ἰσχυρὸν καὶ βέβαιον ἔχοντες, ἐν οἷς διαβεβαιοῦται καὶ ἐφικτοῖς καὶ μὲ-

γάλοις ὅρκοις ἐμπεδοῖ τὰ ὑπεσχημένα, ὥστε μηδέποτε κατεξαναστῆναι τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μηδ' ἐπιθέσθαι κατὰ μηδένα τρόπον τῇ ἐκ θεοῦ βασιλείᾳ αὐτοῦ, ἀλλὰ δὴ καὶ τοῦ ἐρασμιωτάτου υἱοῦ αὐτοῦ, τοῦ κρατίστου βασιλέως Ῥωμαίων, κῦρ Ἀνδρονίκου τοῦ Παλαιολόγου, μήτε παρ' ἑαυτοῦ φανερῶς ἢ ἀφανῶς κινηθεὶς, μήτε προσκληθεὶς ἢ παρακινηθεὶς ὑφ' ἑτέρων εἰς αὐτὸ τοῦτο, ὃν δὴ ὅρκον· ἐκύρωσε καὶ ἐβεβαίωσε καὶ ὁ πρὸ ἡμῶν πατριάρχης ἐκεῖνος, ἐκφωνήσας καὶ βάρος ἀφορισμοῦ κατὰ τοῦ ἀθετήσαντος τὸν τοιοῦτον ὅρκον, ἡμεῖς δὲ, ὅτε ταῦτα ἐγένετο, ἰδιάζομεν ἐν τῷ κελλίῳ ἡμῶν, τοῖς τότε πραττομένοις οὐ παρόντες, εἰς τήν τινων φιλονεκτικὴν ὄρεξιν· ἀρτίως δὲ ἐλέει καὶ εὐδοκίᾳ θεοῦ, λαλήσαντος εἰς τὴν θεοκίνητον καρδίαν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐπανήλθομεν εἰς τὸν πατριαρχικὸν θρόνον, καὶ ἐδέησε γενέσθαι καὶ παρ' ἡμῶν βεβαίωσιν καὶ ἀσφάλειαν τοῦ τοιούτου ὅρκου διὰ τὴν ὑποπτευομένην ἐπιορκίαν καὶ τὴν ταύτης ἀναγκαίαν καὶ δικαιοτάτην κατάλυσιν· ἡμεῖς λαβόντες ἐξουσίαν ἀπὸ τῆς τοῦ παναγίου πνεύματος χάριτός τε καὶ δωρεᾶς λύειν, ἃ δεῖ λυθῆναι, καὶ δεσμεῖν, ἃ δεῖ δεσμευθῆναι, λέγομεν καὶ ἀποφαινόμεθα ἔχειν τὸ στέργον τὸν τοιοῦτον ὅρκον κατὰ πάντα τὰ κατὰ μέρος ἐμπεριειλημμένα αὐτῷ, καὶ τὸν χωρήσαντα πρὸς ἀνατροπὴν καὶ ἀθέτησιν τῶν τοιούτων ὅρκων, ἐπεὶ ἡ τοῦ ὅρκου ἀθέτησις ἐπιορκία ἐστὶν, ἡ δὲ ἐπιορκία ὁμολογουμένως ἀθέτησίς ἐστι καὶ ἄρνησις τοῦ θεοῦ, καθυποβάλλομεν καὶ ἡμεῖς τοῦτον ἀφορισμῷ φρικωδεστάτῳ, καὶ ἔχομεν ἀφωρισμένον καὶ ἀποκεκομμένον τῆς ἐκκλησίας ὡς ἀθετητὴν τῶν ὅρκων αὐτοῦ καὶ αὐτοῦ δὴ τοῦ θεοῦ καὶ τοῦ ῥυσαμένου καὶ σεσωκότος αὐτὸν ἁγίου βασιλέως καὶ ἀδελφοῦ ἐκ τοῦ χαλεποῦ ἐκείνου καὶ βιαίου θανάτου ἐπίβουλον καὶ πολέμιον. ἔδει μὲν γὰρ μηδὲ ὅρκων ὅλως γίνεσθαι χρείαν, μηδὲ ὀμνύναι τοὺς χριστιανοὺς ὅλως, κατὰ τὴν Χριστοῦ ἐντολήν· ἐπεὶ δὲ καὶ τοῦτο τοῖς βασιλεῦσιν ἐκ μακρῶν εἴθισται χρόνων διὰ τάς τινων ἐπιβουλὰς καὶ τὰς συμπιπτούσας ἀνάγκας, ἡ τοῦ θεοῦ ἐκκλησία τούτους ἐπέχειν μὴ δυναμένη, κατὰ πᾶσαν ἀνάγκην τοῖς οἰκείοις ἀφορισμοῖς καὶ τοῖς ἱερατικοῖς δεσμοῖς ἐμπεδοῖ τοὺς γεγονότας ὅρκους δικαίως καὶ κατὰ σκοπὸν τῆς θείας νομοθεσίας, τοῖς τε ἁγίοις βασιλεῦσι τὸ ἀσφαλὲς περιποιουμένη καὶ τοῖς τοῦ Χριστοῦ νόμοις τὸ σέβας καὶ τὸ ἄλυτον ἀπονέμουσα· ἐπειδὴ γὰρ τὸ ὀμνύειν κεκώλυται κατὰ τοὺς ἱεροὺς διδασκάλους, ὡς τοῦ ὅρκου τὴν

ἐπιορκίαν τίκτοντος, ἡμεῖς ἄρα τὴν ἐπιορκίαν ἰσχυρῶς ἀναιροῦντες διὰ τῶν ἱερῶν δεσμῶν τε καὶ ἀφορισμῶν, τῷ σκοπῷ τοῦ μεγάλου νομοθέτου καὶ δεσπότου κατὰ τὸ ἡμῶν ὀφειλόμενον συνεργοῦμεν ἅμα καὶ τοῖς ἁγίοις βασιλεῦσιν ὅπερ ἔφη τὸ τῆς βασιλείας κράτος καὶ τὸ ἀκίνδυνον δικαιότατα καὶ κατὰ γνώμην θεοῦ συνεργοῦντες †.

† Εἶχε καὶ ὑπογραφὰς ἀρχιερέων· τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Φιλαδελφείας, τοῦ Χαλκηδόνος, τοῦ Ποντοηρακλείας, τοῦ ....., τοῦ Λαοδικείας, τοῦ Τραϊανουπόλεως, τοῦ Βρύσεως, τοῦ Μύρων, τοῦ Σηλυβρίας, τοῦ Ἀμάστριδος, τοῦ Σωζοπόλεως, τοῦ Τραπεζοῦντος, τοῦ Αἴνου †.

CXCV. 6873 (1364) octobri. ind. III.

Actio synodalis de patriarcha Callisto.

† Ὑπὲρ τοῦ πατριάρχου †.

† Τὸ προοίμιον τοῦ πρωτονωταρίου τοῦ Πεπαγωμένου †.

† Καὶ νέφος μικρὸν πολλάκις ἐν τῷ μεγάλῳ καὶ ἀπείρῳ χύματι τοῦ ἀέρος ὑποδραμὸν τὸν μέγαν φωστῆρα καὶ τὴν σύμπασαν συγκαταλάμποντα ταῖς τῶν ἀκτίνων μαρμαρυγαῖς ἀπέκρυψεν ἥλιον, καὶ ψεῦδος ἐν καιρῷ, συγχύσει τε καὶ ἀνωμαλίᾳ πραγμάτων παρρησίας μετειληφὸς τὴν τῆς ἀληθείας ἔδοξεν αἴγλην καλύπτειν· ἀλλ' οὐκ εἰς μακρὰν ἐλέγχονται, τοῦτο μὲν παρελθὸν καὶ μηκέτι τὰς ἡλιακὰς διακόπτον αὐγάς, ἐκεῖνο δὲ χωρῆσαν εἰς τὸ μὴ ὂν καὶ ἀπογενόμενον. ὅποι δὲ τείνει τὰ τοῦ παρόντος λόγου καὶ τίς ὁ σκοπὸς αὐτῷ, λέγομεν ἤδη· τοῦ γὰρ κρατίστου καὶ θεοσέπτου καὶ θεοτιμήτου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως εἰς τὴν θεοφρούρητον, θεοδόξαστον καὶ θεομεγάλυντον Κωνσταντινούπολιν, τὴν τῶν πόλεων βασιλίδα, εἰσελθόντος, ἐπιδημήσαντός τε καὶ τοῦ ἀοιδίμου πατριάρχου ἐκείνου, κῦρ Καλλίστου, εἰς ταύτην, εἶτα καὶ ἀνελήλυθότος εἰς τὸν πατριαρχικὸν θρόνον, ὡς ἀνελήλυθε, προέβη καὶ ἐγένετο ζητήσει καὶ πειθοῖ καὶ ἀνάγκῃ ἐκείνου γράμμα κατὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, κῦρ Φιλοθέου, μηδέν τι δεδωκότος ὅλως αἰτίαμα

καθαπτόμενον αὐτοῦ, ἀλλὰ κατὰ τὰς τῶν θείων καὶ ἱερῶν κανόνων ἀκριβεῖς παρατηρήσεις καὶ παραδόσεις ἐκλεγέντος ὑπὸ τριάκοντα καὶ ταῦτα ἀρχιερέων ὁμονοησάντων ἁπάντων καὶ μηδενὸς ἀντειπόντος καὶ ἀναβεβηκότος εἰς τὸν ὑψηλὸν τῆς πατριαρχείας θρόνον, σεσημασμένον καὶ ὑπογραφαῖς ἀρχιερέων οὐ πάντων, ἀλλ' ἐνίων, καὶ ταῦτα βεβιασμέναις, διὰ τὸ γενέσθαι τούτου ἕνεκεν τοῦ μὴ προβῆναι δηλονότι τὸ γράμμα κανονικῶς διάστασιν ἀπ' ἀλλήλων καὶ σκάνδαλον οὐ μικρὸν, μὴ συμφωνησάντων ἁπάντων τηνικαῦτα τῇ μεγαλοπόλει ἐπιδημούντων ἀρχιερέων, μηδ' εἰς ταὐτὸ γνώμης ἐληλυθότων, οὐδὲ τὸν δωδέκατον γοῦν διασωζόντων ἀριθμὸν, κατὰ τὰς ἀκριβεῖς κανονικὰς παραδόσεις ἐν τοῖς τοιούτοις, ἀλλὰ συνθολωθέντων καὶ ταραχθέντων κατὰ συνείδησιν, καὶ τῶν μὲν παροραθέντων κἀπὶ πολὺν χρόνον κακουχουμένων καὶ προσταλαιπαρουμένων, τῶν δὲ ἀναπεισθέντων, τῶν δὲ βιασθέντων, ἐκείνου δὲ μετὰ παραδρομὴν ἱκανοῦ χρόνου τῷ χρεὼν λελειτουργηκότος καὶ δεῆσαν προστάτην γενέσθαι τῆς ἐκκλησίας, ὁ πάντα πρὸς τὸ συμφέρον λόγοις ἀρρήτοις οἰκονομῶν θεὸς, μετατρέπων τε καὶ μετασκευάζων ἐπὶ τὸ βέλτιον, ἐλάλησεν εἰς τὴν θεοκίνητον καὶ ἁγίαν ψυχὴν τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, καὶ διέγνω καὶ ἠθέλησε καὶ ἀπεδέξατο, κινούμενος ὑπὸ τῆς ἐμφύτου καὶ συνουσιωμένης αὐτοῦ τῇ ψυχῇ φρονήσεως ἄκρας, καὶ εἰλικρινέστατα καὶ καθαρώτατα, χρηστότατά τε καὶ καλοκαγαθίας καὶ θερμοῦ καὶ διαπύρου τοῦ ζήλου, οὗπερ ἔχει περὶ πάντα ἁπλῶς εἰπεῖν τὰ βέλτιστα καὶ μάλιστα περὶ τὸ δίκαιον αὐτὸ καὶ λυσιτελοῦν, μὴ μόνον τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, ἀλλὰ καὶ συμπάσῃ τῇ καταστάσει τῆς πολιτείας, ὑπὲρ οὗ καὶ ἡμεῖς πολλάκις ἐδεήθημεν τοῦ κρατίστου καὶ ἁγίου καὶ ἀπὸ θεοῦ βασιλέως αὐτοῦ ἰδίᾳ τε καὶ κοινῇ, καὶ ἐπανῆλθεν αὖθις ὁ παναγιώτατος ἡμῶν δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης, κῦρ Φιλόθεος, εἰς τὸν πατριαρχικὸν θρόνον αὐτοῦ μετὰ τῆς προσηκούσης μεγάλης προπομπῆς καὶ τιμῆς· τοῦ γοῦν πράγματος τοῦτον ὡς ἐχρῆν προκεχωρηκότος τὸν τρόπον, ἐλέει καὶ εὐδοκίᾳ θεοῦ, ἀρτίως συνελθόντες ἡμεῖς ἅπαντες ὁμοθυμαδὸν, οὓς τὸ αὐτὸ καὶ ἓν πνεῦμα συνῆψεν ἀδελφικῶς, καὶ κοινῇ συνδιασκεφάμενοι τὰ περὶ τούτου ἀκριβεῖ βασάνῳ καὶ δοκιμασίᾳ, τοῖς ἱεροῖς κεχρημένοι κανόσι, διέγνωμεν καὶ ἀπεφηνάμεθα, ἵνα τὸ τοιοῦτον γράμμα εἴη παντελῶς ἄκυρον καὶ ἀβέβαιον, ὡς προβὰν καὶ γεγονὸς οὐκ ἐνθέσμως καὶ κανονικῶς, ἀλλ'

ἀνάγκῃ καὶ βίᾳ, διὰ μόνην ὄρεξιν καὶ μικροψυχίαν καὶ τὴν τοῦ τότε καιροῦ περιπέτειαν, διὸ καὶ ἔχομεν τοῦτο κοινῇ πάντες παντάπασιν ἀργόν τε καὶ ἄκυρον, καὶ ὥσπερ ἂν εἰ μηδὲ ὅλως τὴν ἀρχὴν προέβη γενέσθαι, τοῦτο μὲν καὶ διὰ τὸ πραχθῆναι τοῦ πατριάρχου, κῦρ Φιλοθέου, ἀπόντος καὶ μὴ παρόντος καὶ ἀντεπάγοντος τοῖς λόγοις ἐκείνου τῷ τότε, τοῦτο δὲ καὶ διὰ τὸ μὴ προβῆναι τὸ γράμμα κανονικῶς, ὡς διείληπται, καὶ μηδέν τι τῶν ὧν αἰτιαμάτων προύφερε κατ' αὐτοῦ, ὅλως τἀληθὲς ἔχειν, τοῦτο δὲ καὶ διὰ τὸ τοὺς πλείονας τῶν ἀρχιερέων μὴ τούτῳ στοιχῆσαί τε καὶ συνθέσθαι· εἰ δὲ καὶ ἑτέραν ἀνάγκην προσθεῖναι δεῖ τῆς ἀληθείας καὶ ταύτην ἐξεχομένην καὶ διὰ τὸ τοὺς ὑπογεγραφότας βεβιασμένως ὑπογράψαι καὶ ἀναγκαστικῶς, ὅθεν καὶ ἐπεὶ ἐν τῷ γεγονότι γράμματι συμβέβηκε ἐμπεριειλῆφθαι καὶ τὸ τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ὄνομα καὶ τὸ τοῦ πατριάρχου, κῦρ Καλλίστου, προσέτι γε μὴν καὶ τὸ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, κῦρ Φιλοθέου, λέγομεν, ὅτι τὸν ἀπὸ θεοῦ ἅγιον ἡμῶν βασιλέα στέργομεν, ὡς εὐδοκίᾳ καὶ νεύσει θεοῦ τῶν τῆς βασιλείας σκήπτρων ἐπειλημμένον καὶ τὴν βασίλειαν διαδεξάμενον ἄνωθεν ἀπὸ πατέρων καὶ προγόνων κατὰ διαδοχὴν καὶ ὑπὲρ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ τῶν εἰλικρινῶν δογμάτων ὑπερμαχοῦντά τε καὶ ἀγωνιζόμενον, καὶ πάντα τὸν ὅλως ποτὲ ἐπιχειρήσαντα τῇ ἁγίᾳ καὶ ἀπὸ θεοῦ βασιλείᾳ αὐτοῦ ἐπιβουλεῦσαι ἢ τῷ ἐρασμιωτάτῳ υἱῷ αὐτοῦ καὶ διαδόχῳ καὶ κληρονόμῳ τῆς βασιλείας αὐτοῦ καθυποβάλλομεν τῷ ἀναθέματι καὶ ἔχομεν ἐκκήρυκτον καὶ ἀλλότριον τῆς ἐκκλησίας αὐτοῦ, τὸν δὲ παρελθόντα ἐκεῖνον πατριάρχην, κῦρ Κάλλιστον, ἔχομεν πατριάρχην καὶ μετὰ θάνατον συγκατειλεγμένον τῷ τῶν ἁγίων ἀρχιερέων χορῷ, ὡς τὰ μεσολαβήσαντα μεταξὺ τοῦ καιροῦ ἐμποδίζοντα μηδαμῶς, ἐπεὶ καὶ ἐν τοῖς πάλαι πατράσιν ἡμῶν καὶ ἁγίοις ταῦτα συνέβη, ἔν τε ἄλλοις καὶ δὴ καὶ τῷ μεγάλῳ Κυρίλλῳ καὶ τῷ οἰκουμενικῷ φωστῆρι καὶ διδασκάλῳ τῷ χρυσορρήμονι, ὡσαύτως καὶ τὸν παναγιώτατον δεσπότην ἡμῶν καὶ οἰκουμενικὸν πατριάρχην στέργομεν ἔννομον καὶ κανονικὸν ἀπὸ τῆς τοῦ Χριστοῦ χάριτος καὶ οἰκουμενικὸν πατριάρχην. διὰ γοῦν τὴν ὑπὲρ τούτου μὲν βεβαίωσιν καὶ μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἀνατροπὴν δὲ παντελῆ καὶ κατάλυσιν τοῦ κατὰ τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ γράμματος ὑπεσημηνάμεθα τὸ παρὸν καὶ οἰκειοχείροις ἡμετέ-

ραις ὑπογραφαῖς κατὰ μῆνα ὀκτώβριον τῆς ἐνισταμένης γ΄ ἰνδ. τοῦ ,ϛωογ΄ ἔτους.

† Εἶχε καὶ ὑπογραφὰς τῶν ἀναγεγραμμένων ἀρχιερέων ὀνομαστὶ καὶ ἔτι τοῦ Νικαίας, τοῦ Ἀθηνῶν †.

CXCVI. Sine anno.

Patriarcha Bulgariae regem monet, ut maneat in pacto cum imperatore facto.

Πιττάκιον.

† Ὑψηλότατε βασιλεῦ τῶν Βουλγάρων, ἐν ἁγίῳ πνεύματι ποθεινότατε υἱὲ τῆς ἡμῶν μετριότητος, χάριν, εἰρήνην, ἔλεον, ζωὴν εἰρηνικὴν καὶ πολυετῆ, ψυχῆς ὑγείαν, σώματος εὐεξίαν καὶ ῥῶσιν, ἀπαλλαγὴν παντὸς λυπηροῦ, καὶ εἴ τι ἄλλο ἀγαθὸν, ψυχωφελές τε ὁμοῦ καὶ σωτήριον, ἐπεύχεται τῇ βασιλείᾳ σου ἀπὸ θεοῦ παντοκράτορος ἡ μετριότης ἡμῶν. οἶδεν ἡ βασιλεία σου, ὅτι πρὸ καιροῦ ἱκανοῦ μεταξὺ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ ἀδελφοῦ τῆς βασιλείας σου, καὶ αὐτῆς ἐγένετο συμφωνία καὶ κατάστασις, ἥτις δὴ καὶ ἐγένετο, περὶ ὧν εἴχετε ζητημάτων. ἔχει οὖν διακρῖναι ἡ βασιλεία σου, ὡς φρονιμώτατος καὶ συνετώτατος βασιλεὺς, ὅτι ἐὰν αἱ ἁπλῶς συμφωνίαι καὶ ὑπὸ τῶν τυχόντων ἀνθρώπων γινόμεναι ἔχουσι τὸ στέργον καὶ ἀπαρασάλευτον, πολλῷ μᾶλλον ὀφείλουσιν ἔχειν τὸ βέβαιον καὶ ἀκατάλυτον αἱ παρ' αὐτῶν τῶν βασιλέων γινόμεναι, καὶ ταῦτα ἐπὶ συστάσει καὶ ὠφελείᾳ οὖσαι κοινῶς τῶν χριστιανῶν, ὅτι καὶ ἡ πρὸς ἀλλήλους ὑμῶν τῶν δύο ὁμόνοια καὶ ἀγάπη καὶ τῶν Ῥωμαίων καὶ τῶν Βουλγάρων ἐστὶ σύστασις καὶ ὠφέλεια, ἡ δὲ διάστασις πάλιν καὶ διαμάχη προξενεῖ μὲν βλάβην καὶ εἰς τὰ δύο ταῦτα γένη ὁμολογουμένως· ἀλλὰ ἡ ἁμαρτία οὕτως κατεσκεύασε διὰ τὴν ὀλιγότητα τῶν Ῥωμαίων καὶ τὴν στενοχωρίαν ὅτι πλέον μᾶλλον, ἵνα βλαβῶσιν οἱ Βούλγαροι παρ' ἢ οἱ Ῥωμαῖοι, ἐὰν παραχωρήσῃ ὁ θεός τι, ἵνα γένηται σκανδάλου πρόξενον μέσον ὑμῶν. διὰ τοῦτο γοῦν καὶ ἡ τοῦ θεοῦ ἁγία ἐκκλησία τὴν ἕνωσιν καὶ εἰρήνην πάντοτε ἀσπαζομένη καὶ ἀποδεχομένη, ἐπεὶ καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ θεὸς ἐνδιαθήκως ταύτην ἀφῆκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις καὶ δι' αὐτῶν πᾶσιν ἡμῖν, εἰπών, ὅτι εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, ἔχει χρέος ἀπαραίτητον διδάσκειν τὴν εἰρήνην καὶ συμβουλεύειν, πᾶν γὰρ

ἀγαθὸν ἀπὸ τῆς ἀγάπης γεννᾶται, ὥσπερ πᾶν κακὸν τίκτεται ἀπὸ τῆς μάχης. γράφει οὖν ἡ μετριότης ἡμῶν καὶ πρὸς τὴν βασιλείαν σου καὶ παρεγγυᾶται καὶ συμβουλεύει, ὡς τοῦ εἰρηνικοῦ Χριστοῦ τοῦ εὐαγγελισαμένου εἰρήνην τοῖς ἐγγὺς καὶ τοῖς μακράν, τῇ αὐτοῦ χάριτι καὶ μαθητὴς καὶ κήρυξ καὶ ἀκόλουθος, ἵνα μηδὲν γένηταί τι μέσον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ τῆς βασιλείας σου πρόξενον καὶ αἴτιον σκανδάλου, ἀλλὰ παντοιοτρόπως, ἂν καὶ ὡσί τινα μέσον ὑμῶν τὰ ταραχὴν ποιοῦντα, ἐκβάλῃ ταῦτα ἡ βασιλεία σου, καὶ προβῇ καὶ γένηται τὸ πρᾶγμα οὕτως ὥστε μὴ καταλυθῆναι τὴν μεταξὺ ὑμῶν εἰρήνην. ἡ χάρις τοῦ θεοῦ εἴη διατηροῦσα τὴν βασιλείαν σου ἄνοσον, εὔθυμον, ὑγιαίνουσαν, πολυχρόνιον καὶ ἀνώτερον παντὸς ἀνιαροῦ συναντήματος †.

CXCVII. Sine anno.

Metropolita Keltzenes transfertur in metropolim Myrorum.

CXCVIII. Sine anno.

Episcopus Tzarules fit metropolita Berrhoeae.

CXCIX. (6873—1365) ianuario. ind. III.

Metropolita Heracleae Ponticae transfertur in archiepiscopatum Dercus.

CC. (6873—1365) ianuario. ind. II.

Monacha Martha fit patrona monasterii Pausolype.

† Ἐπεὶ ἡ μοναχὴ Μάρθα ἡ Πυριάνα ὑπὸ φιλοθέου σκοποῦ καὶ προαιρέσεως κινουμένη εἰσῆλθεν εἰς τὴν σεβασμίαν μονὴν τὴν ἐπ' ὀνόματι τιμωμένην τῆς ὑπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένην τῆς Παυσωλύπης καὶ ἀποκαρεῖσα ἐν αὐτῇ κατὰ μοναχὰς καὶ τὸν μονήρη βίον προελομένη συνέθετο ζῆσαι ἐν αὐτῇ ἀμεταστρεπτεὶ μέχρι τελευτῆς αὐτῆς, ἐποιήσατο δὲ βελτιώσεις καὶ ἀνακτίσεις τὰς φαινομένας ἐν τῇ μονῇ κατὰ τοὺς τὰ κτητορικὰ δίκαια ἔχοντας ἐν ταῖς μοναῖς καὶ σπουδάζοντας πᾶσι τρόποις συνιστᾶν ταύτας καὶ βελτίους ἐξ οἰκείων ἀναλωμάτων καὶ ἐξόδων αὐτῆς, προβάσης ἐγγράφου συμφωνίας παρὰ τῆς μοναχῆς ἐκείνης καὶ κτητορευούσης ἐν αὐτῇ

τῆς Καλλινίκης ἐκείνης καὶ τῶν ἐνασκουμένων ἐν αὐτῇ ἁπασῶν μοναζουσῶν ἐπὶ τούτῳ, ἀνήνεγκε δὲ ἤδη ἡ μοναχὴ Μάρθα τῇ ἡμῶν μετριότητι περὶ τούτου, καὶ ἐδεήθη τυχεῖν γράμματος αὐτῆς εἰς στερι-γμὸν καὶ ἀνενοχλησίαν αὐτῆς, προσηκαμένη τὴν αὐτῆς δέησιν ἀπολύει τὸ παρὸν γράμμα, δι' οὗ καὶ παρακελεύεται ἔχειν τὴν τοιαύτην μοναχὴν Μάρθαν τὴν ἐφορίαν καὶ διοίκησιν τῆς τοιαύτης μονῆς καὶ τὰ ἐν αὐτῇ κτητορικὰ δίκαια ἐφ' ὅρῳ τῆς ἑαυτῆς ζωῆς, καὶ προηγουμένως μὲν ἐπιμελεῖσθαι πᾶσι τρόποις κατὰ τὸ δυνατὸν καὶ φροντίζειν ὑπὲρ τῶν ψυχῶν τῶν ἐνασκουμένων ἐν αὐτῇ μοναζουσῶν καὶ τῆς σωτηρίας αὐτῶν, ὅπως εὐσέμνως, καὶ ὡς φίλον θεῷ καὶ εὐάρεστόν ἐστι, πολιτεύοιντο καὶ τῆς τοῦ ἱεροῦ ναοῦ συ(στάσεως) ἔπειτα τὴν δὲ καὶ τῶν αὐτῇ δὴ τῇ μονῇ προσόντων κτημάτων, ὥστε οἰκονομεῖν πάντα τὰ εἰς βελτίωσιν αὐτῶν ἐπὶ τὸ κρεῖττον ..... συντείνοντά τε καὶ ἀφορῶντα μετὰ πολλῆς τῆς ἐπιμελείας, ὀφειλουσῶν καὶ τῶν εἰρημένων μοναζουσῶν ὑπείκειν αὐτῇ καὶ ὑποτάττεσθαι καὶ στέργειν, ἐφ' οἷς ἂν αὐτὴ δύναιτο εἰσηγεῖσθαι αὐταῖς εἰς ψυχικὴν αὐτῶν λυσιτέλειαν ἀφορῶσι τὴν τῆς μονῆς σύστασιν. ἐπὶ τούτῳ γὰρ ἀπολέλυται καὶ τὸ παρὸν τῆς ἡμῶν μετριότητος γράμμα ἐπὶ τῷ προσεῖναι αὐτῇ δι' ἀσφάλειαν †.

† Μηνὶ ἰανουαρίῳ, ἰνδ. γ' †.

CCI. (6873—1365) ianuario. ind. III.

Patriarcha cathegumeno monasterii Serapionis committit iura patriarchalia curanda in insula Chio.

† Ἡ μετριότης ἡμῶν ἀνατίθησι τῷ τιμιωτάτῳ ἱερομονάχῳ καὶ καθηγουμένῳ τοῦ πατριαρχικοῦ μονυδρίου τοῦ ἁγίου μεγάλου μάρτυρος Γεωργίου καὶ ἐπικεκλημένου τοῦ Σεραπίωνος, κῦρ Λαζάρῳ, τὴν διεξαγωγὴν καὶ διοίκησιν τῶν πατριαρχικῶν πάντων δικαίων τῶν ἐν τῇ νήσῳ Χίῳ, ἔν τε τοῖς αὐτόθι πατριαρχικοῖς μοναστηρίοις πᾶσι καὶ μονυδρίοις, ὅστις καὶ ὀφείλει διοικεῖν ταῦτα κατὰ τὴν κανονικὴν καὶ νόμιμον παρατήρησιν μετὰ πολλῆς συντηρήσεως καὶ προσοχῆς, λαμβάνῃ τε καὶ τὸ σύνηθες καὶ ἀποτεταγμένον δίκαιον καὶ τὰ λοιπὰ πάντα πατριαρχικὰ ἐξαρχικὰ δίκαια, ὀφείλουσι δὲ καὶ οἱ ὑπὸ τὴν ἐνορίαν αὐτῶν δὴ τῶν πατριαρχικῶν δικαίων ἱερωμένοι καὶ λοιποὶ μονάζοντες ἀπονέμειν αὐτῷ αἰδῶ καὶ εὐπείθειαν τὴν προσήκουσαν καὶ

πείθεσθαι αὐτῷ, ἐφ' οἷς ἂν λυσιτελέσιν εἰσηγεῖσθαι ἔχοι αὐτοῖς. ἐπὶ τούτῳ γὰρ ἀπολέλυται καὶ τὸ παρὸν παρενταλτηριῶδες γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Μηνὶ ἰανουρίῳ, ἰνδ. γ' †.

CCII. (6873—1365) ianuario. ind. III.

Presbyter Georgius Probatianus condemnatur.

† Μηνὶ ἰανουαρίῳ, κ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κατὰ τὸν . . . κελλίοις αὐτοῦ, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἐφέσου, τοῦ Κυζίκου, τοῦ Φιλαδελφείας, τοῦ Νικαίας, τοῦ Μύρων, τοῦ Τυάνων, τοῦ Βιζύης, τοῦ Τραϊανουπόλεως, τοῦ Τραπεζοῦντος, τοῦ Χαλκηδόνος, τοῦ Ἀθηνῶν καὶ τοῦ Αἴνου, ἐκινήθησαν αἰτιάματα κατὰ τοῦ πρεσβυτέρου Γεωργίου τοῦ Προβατιανοῦ, ὅπως παραγγελθεὶς ὑπὸ τοῦ ἐντιμοτάτου ἐπὶ τῶν κρίσεων μηδέν τι πράττειν παρείσπρακτα ἐπὶ τῇ ταβουλλαρικῇ, ἐπεὶ ἐποίησε πολλὰ καὶ διάφορα, ἐποίησε δὲ καὶ ἱερολογίας ἐκτὸς τῆς συνήθως διδομένης βούλλης, ἐχρήσατο τραχυτέροις λόγοις καὶ σκληροῖς πρὸς αὐτὸν, ὡς ὁρμῆσαι κατ' αὐτοῦ πλῆξαι αὐτὸν, εἶπε δὲ καὶ λόγον κατὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, ὅτι γὰρ ἕως πότε; ἵνα ᾖ πατριάρχης δηλονότι. ἀποφάνσεως δὲ ἐξενηνεγμένης κατ' αὐτοῦ, ὥσπερ ἐκτραπεὶς καὶ ἔξω γενόμενος ἑαυτοῦ, θρασύτερον ἀπεκρίνατο ἐνώπιον τῆς θείας καὶ ἱερᾶς συνόδου, ὅτι ἐγὼ ἐξελεύσομαι ἀπὸ τῶν ἐνταῦθα καὶ ἀπελεύσομαι εἰς Φράγγους ἢ Τούρκους. βάρυ γοῦν ἔδοξε τοῦτο, καὶ δόξαν τελεῖαν ἐπενεχθῆναι καθαίρεσιν αὐτοῦ, ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, φιλανθρωπίᾳ τῇ συνήθει χρησάμενος, ὥρισε γενέσθαι ἐπίσχεσιν τῆς ἱερωσύνης αὐτοῦ, μέχρι διέτεινεν, καὶ ἐστέρχθη οὕτως ἀπρακτεῖν αὐτόν· τὸ δὲ τοῦ ταβουλλαρίου λειτούργημα διενεργεῖν εἰς τὸ ἑξῆς ψήφῳ συνοδικῇ παντελῶς κεκώλυται, ὥστε μηδόλως ἐπιχειρῆσαι διενεργῆσαι, μὴ μόνον ὡς ἰδιώτης καὶ ἀμαθέστατος πάντη, ἀλλὰ καὶ ὡς μὴ μετ' ὀρθῆς συνειδήσεως, ἧς μάλιστα δεῖται τὸ ὑπούργημα, τὰ πλεῖστα πεποιηκώς †.

CCIII. 6873 (1365) ianuario. ind. III.

Actio synodalis de sacrilegia committentibus.

† Πρᾶξις συνοδικὴ κατὰ τῶν ἀποσπώντων τὰ προσήκοντα ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις κτήματά τε καὶ πράγματα καὶ κατὰ τῶν ..... καὶ λοιδορούντων τοῖς ἱερωτάτοις ἀρχιερεῦσιν †.

† Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς, τὸ ἑαυτοῦ πλάσμα μὴ φέρων ὁρᾶν διὰ τὴν παράβασιν ὑπὸ τὴν ἁμαρτίαν δουλούμενον, τοῖς οἰκείοις σπλάγχνοις ἐπικαμφθεὶς καθ' ἡμᾶς, εὐδόκησεν χωρὶς ἁμαρτίας ὀφθῆναι, ὅθεν καὶ διὰ τῆς ἐνσάρκου ἐπὶ γῆς παρουσίας αὐτοῦ κατέλυσε τοῦ διαβόλου τὸ κράτος, καὶ τὴν οὐρανίαν φύσιν πρὸς τὸν πατέρα κατήλλαξεν, εἰς τὸ ἀρχαῖον κάλλος καταστήσας καὶ ἀναμορφώσας αὐτὴν πρὸς ὑποδοχὴν τῆς τοῦ ἁγίου πνεύματος χάριτος, ἧς ἀπεστέρηται· πρῶτα μὲν καὶ τοὺς ἀγγέλους ἐδημιούργησεν, ἄπαυστον ἐν οὐρανοῖς τὴν εἰς αὐτὸν δοξολογίαν ὑμνοῦντας, ἐπεὶ δὲ δι' ἄκραν ἀγαθότητα καὶ τοὺς ἀνθρώπους ἐδημιούργησεν, καὶ τῆς ἐπουρανίου πανηγύρεως καὶ δόξης εἰκόνας αὐτοῖς ἐδωρήσατο, τοὺς οἰκείους ἐξαπέστειλε μαθητὰς, τοὺς θεηγόρους ἀποστόλους, ὡς σκεύη ἐκλογῆς καὶ πληρωτὰς τῆς χάριτος καὶ ἐλλάμψεως τοῦ ἀγαθοῦ καὶ τελειοποιοῦ πνεύματος, ἀληθῶς τούτους ἐκκλησίαν εἰς τὴν ὑπ' οὐρανὸν καὶ ναὸν ἐποίησεν ἑαυτοῦ, οἵτινες θεοκήρυκες ἀπόστολοι διὰ τοῦ εὐαγγελίου τὴν οἰκουμένην πᾶσαν διαλαβόντες τε καὶ καταφωτίσαντες καὶ τοῖς θαύμασι τὰς πλάνης καὶ ἀπιστίας (νόσον) νοσούσας ψυχὰς θεραπεύοντες ἐθέσπισαν καὶ ἐδίδαξαν τοὺς ἀνθρώπους, ἵνα καὶ πανσέπτους ναοὺς καὶ εὐκτηρίους οἴκους ἀνοικοδομῶσι καὶ ἀνεγείρωσιν εἰς ὑμνῳδίαν καὶ δοξολογίαν αὐτοῦ τοῦ θεοῦ, καὶ παραδεδώκασι πρὸς τοὺς τὸ μέγα καὶ θαυμαστὸν ὄνομα τοῦ Χριστοῦ κεκληρωμένους, ὡς ἂν ἐν αὐτοῖς προεδρεύωσι καὶ τὰ πάνσεπτα τοῦ κυρίου πάθη διὰ μνήμης ἄγοντες, ἱλασμὸν ποιῶσι τῶν ἰδίων ἁμαρτημάτων, καὶ κληρονόμοι γένωνται τῆς ἀιδίου βασιλείας αὐτοῦ, οὐ μὴν ἀλλὰ καὶ ἐπὶ συστάσει καὶ διαμονῇ τῶν ἑκασταχοῦ κατὰ πόλεις καὶ χώρας τῶν ἁγιωτάτων μητροπόλεων καὶ ἐκκλησιῶν καὶ κτήματα καὶ πράγματα ταύταις προσεκυρώθησαν παρά τε τῶν φιλοχρίστων καὶ ἀοιδίμων βασιλέων

καὶ παρ' ἑτέρων τῶν ἀποβλεπόντων πρὸς τὴν αἰωνίαν καὶ ἀτελεύτητον καὶ μέλλουσαν ἀποκληρωθήσεσθαι τοῖς δικαίοις κατάστασιν, ἅτινά εἰσιν ἀνακείμενα καὶ ἀφιερωμένα θεῷ. διὰ ταῦτα καὶ οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι καὶ ἱεροὶ κανόνες μετὰ πολλῆς τῆς αὐθεντίας ὁρίζονται, ἵνα τὰ ταῖς ἐκκλησίαις θεοῦ ἀφιερωθέντα πράγματα μένωσιν ἀνυφαίρετα καὶ ἀναπόσπαστα ἐς τὸ διηνεκὲς, οἷς ἀφιέρονται. καὶ τοὺς παρὰ ταῦτα τολμῶντας ποιεῖν ἐπιτιμίοις ἀλύτοις καθυποβάλλουσιν. αὐτίκα γὰρ οἱ μὲν φιλευσεβεῖς νόμοι διαγορεύουσιν. ἀλλ' οὐδὲ ὑπέρ τινος χρηματικῆς ἢ ἐγκληματικῆς αἰτίας ἐπίσκοπον πρὸς ἄρχοντα πολιτικὸν ἢ στρατιωτικὸν ἄκοντα ἢ διάγεσθαι ἢ παρίστασθαι δίχα βασιλικῆς κελεύσεως συγχωρούμενοι, ἀλλὰ τὸν ἄρχοντα τὸν τοῦτο εἴτε ἐγγράφως εἴτε ἀγράφως τολμήσοντα προστάξαι μετὰ τὴν τῆς ζώνης ἀφαίρεσιν εἴκοσι χρυσίου λιτρῶν ποινὴν καταβαλεῖν κελεύομεν τῇ ἐκκλησίᾳ, ἧς ὁ ἐπίσκοπος διαχθῆναι ἢ παραχθῆναι προσετάχθη, δοθησομένην, καὶ τοῦ ἐκ τοῦ βιαστοῦ ὁμοίως μετὰ τὴν τῆς ζώνης ἀφαίρεσιν καὶ βασάνοις ὑποβαλλομένου καὶ ἐξορίᾳ παραπεμπομένου. καὶ πάλιν ὡς ὁ τὰ ἀνατεθειμένα τῷ θεῷ κλέπτων, κἂν ἐξ ἰδιωτικοῦ τόπου κλέψῃ, ὡς ἱερόσυλος ἐνέχεται, καὶ αὖθις τὸ περὶ ἱεροσυλίας ἔγκλημα ὅμοιόν ἐστι τῷ τῆς καθοσιώσεως, καὶ ὅτι ὁ ἱερόσυλος ἐν νυκτὶ τῷ θυσιαστηρίῳ ἐπιβαίνων καὶ τὰ ἀνατεθειμένα τῷ θεῷ μολύνων ἢ ἀφαιρούμενος ξίφει τιμωρείσθω. ὁ δὲ Νύσσης μέγας Γρηγόριος ἐν τῷ ὀγδόῳ κανόνι, ἡ ἱεροσυλία, φησὶ, παρὰ μὲν τῇ ἀρχαίᾳ γραφῇ οὐδὲν ἐνομίσθη τῆς φονικῆς κατακρίσεως ἀνεκτοτέρα, ὁμοίως γὰρ ὅ τε φόνῳ ἁλοὺς καὶ ὁ τὰ ἀνατεθέντα τῷ θεῷ ὀφελόμενος τὴν διὰ τῶν λίθων τιμωρίαν ὑπέσχον, ἀλλὰ καὶ οἱ εὐσεβέστατοι καὶ ἀοίδιμοι καὶ ἀξιομνημόνευτοι μεγάλοι βασιλεῖς, ὅ τε κῦρ Ἀλέξιος καὶ ὁ κῦρ Μανουὴλ, ἀκολούθως δι' οἰκείων χρυσοβούλλων (μετὰ) ἀσείστων καὶ ἀτρέπτων λόγων παντάπασι φρικώδη τὴν ἀγανάκτησιν ἀπειλούντων οὕτως ὁρίζονται, ἵνα οὐ μόνον ἔτι ζώντων τῶν ἀρχιερέων καὶ παρόντων, ἀλλὰ καὶ τελευτησάντων οὐδαμῶς ἔχῃ τις ἐπ' ἀδείας τῶν τὰς βασιλικὰς ὑπηρεσίας καὶ ἐνεργείας ὑπηρετούντων ἐπιβαλεῖν χεῖρα ἢ πόδα αὐτοῖς ἐπὶ ἐκκλησιαστικοῖς πράγμασιν, κινητοῖς ἢ ἀκινήτοις, κατ' οὐδεμίαν πρόφασιν, εἰ μὴ βούλοιτο ὁ τοιοῦτος τὴν τοῦ θεοῦ ὀργὴν εἰς ἑαυτὸν ἐπισπάσασθαι, κἂν ὁποῖος ἄρα καὶ ᾖ. τῷ λόγῳ τῷδε σκοπὸς, ὡς κατὰ τὸν παρόντα καιρόν τινες τῶν ἀναδεχομένων κεφαλαττίκια καὶ δημο-

σιακὰς δουλείας πλεονεκτικῷ τρόπῳ κινούμενοι καὶ τῶν ἐκκλησιαστικῶν ἅπτονται πραγμάτων ἀναίδην, ἁρπάζοντες ἐκ τῶν ἀφιερωμένων τῷ θεῷ κτημάτων εἰσόδους καὶ τὰ εὑρισκόμενα χρειώδη ἐν τοῖς κελλίοις τῶν ἀρχιερέων ἀφαιρούμενοι καὶ ζημίας ποιοῦντες ἐν τοῖς πράγμασιν καὶ ὕβρεις καὶ δυναστείας κατά τε τῶν ἁγιωτάτων ἀρχιερέων καὶ τῶν εὐλαβεστάτων κληρικῶν, οἷα δὴ καὶ εἰς τὴν ἁγιωτάτην συνέβη μητρόπολιν Φιλαδελφείας καὶ εἰς τὸν ἱερώτατον αὐτῆς ποιμένα, ἀδελφὸν καὶ συλλειτουργὸν τῆς ἡμῶν μετριότητος, οὐ μόνον καὶ εἰς τὰ προσκεκυρωμένα τῇ τοῦ θεοῦ ἐκκλησίᾳ πράγματα καὶ κτήματα διαφθορὰν καὶ ζημίαν ἐποιήσαντο, ἁρπάσαντες τὸ ἐκ τούτων εἰσόδημα, ἀλλὰ καὶ εἰς τὰ εὑρεθέντα ἐκτὸς τῶν οἰκημάτων τῆς ἁγιωτάτης μητροπόλεως χρειώδη καὶ ἀναγκαῖα χεῖρα πλεονεκτικὴν ἐμβαλόντες, ἀφήρπασαν αὐτὰ καὶ διέφθειραν, καὶ τὸ δὴ μεῖζον καὶ πάντων ἀνοσιώτατον, καὶ εἰς αὐτὸν ἐξύβρισαν τὸν ἀρχιερέα καὶ διδάσκαλον, πλεῖστα κακωτικὰ ἐπενεγκόντες αὐτῷ τε καὶ πολλοῖς τῶν σὺν αὐτῷ εὐλαβεστάτων κληρικῶν καὶ θεοσεβεστάτων ἱερομονάχων καὶ ἐξορίσαντες, μετὰ δόλου πολλὴν καὶ ἀφόρητον ζημίαν τε καὶ συντριβὴν καὶ κινδύνους καὶ κάθειρξιν χρονίαν καὶ ἄλλα πολλὰ λυπηρὰ προσήνεγκαν. ταῦτα ἐποίησαν οἱ κακῶς καὶ ἀθέως διακείμενοι, ἀθετήσαντες τοὺς τοῦ θεοῦ νόμους καὶ καταφρονήσαντες τῶν ἱερῶν κανόνων καὶ ὅλως εἰς τὴν ἐναντίαν χριστιανοῖς καὶ διαβολικὴν ἀποκλίναντες διάθεσιν. ἀλλ' ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία καὶ τῶν τοιούτων ἀνθρώπων τὴν σωτηρίαν προνοουμένη καὶ τῶν ἁγιωτάτων ἐκκλησιῶν τὴν σύστασιν προνοουμένη καὶ ὅλως τὴν χριστιανικὴν εὐταξίαν καὶ κατὰ Χριστὸν πολιτείαν βεβαιοῦσα, εἰς κοινὴν πάντων ἀνθρώπων σωτηρίαν, πρῶτον μὲν πᾶσι φανερὰν ποιεῖται τὴν τοιαύτην ἁμαρτίαν καὶ τὸ ἐξ αὐτοῦ αἰώνιον κρίμα, ἔπειτα δὲ καὶ τὴν ἐπικειμένην τοῖς τῶν θείων ὕβρισταῖς δείκνυσι τιμωρίαν, καὶ οὕτως εἰς μετάνοιαν προσκαλεῖται τοὺς τῶν κακίστων ἐργάτας. ταῦτά τοι καὶ συνδιασκεψαμένη τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἐφέσου, τῷ Κυζίκου, τῷ Νικαίας, τῷ Χαλκηδόνος, τῷ Τυάνων, τῷ Βιζύης, τῷ Τραϊανουπόλεως, τῷ Βρύσεως, τῷ Ἀθηνῶν, τῷ Τραπεζοῦντος, τῷ Αἴνου, τῷ Μύρων, τὴν παροῦσαν συνοδικὴν ποιεῖται διάγνωσιν καὶ ἀπόφασιν· ἐπεὶ οὖν οἵ τε φιλευσεβεῖς νόμοι καὶ ἱεροὶ κανόνες τοὺς τοιούτους διὰ μὲν τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων φθορὰν καὶ διαρπαγὴν ἀλύτοις ἐπιτιμίοις καθυποβάλ-

λουσι, διά τε τὴν εἰς τοὺς ἀρχιερεῖς παροινίαν καὶ ὕβριν ἐμπαροινοῦντας οὕτω κατὰ τῶν ἱερῶν καὶ ἀναθέματι καθυπείγουσι διαγορεύοντες· εἴ τι τῶν λαϊκῶν αὐθεντήσας, καταφρονήσας μὲν τῶν θείων καὶ βασιλικῶν προσταγμάτων, καταγελάσας δὲ καὶ τῶν φρικτῶν τῆς ἐκκλησίας θεσμῶν τε καὶ νόμων τολμήσει ἐπίσκοπόν τινα τύψαι ἢ φυλακίσαι ἢ χωρὶς αἰτίας ἢ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. ἔνθεν τοι καὶ ἡμεῖς ἀκολούθως τοὺς τὰ τοιαῦτα πράξαντας καὶ τοὺς αὐτοῖς συνεργήσαντας ἐπὶ τοῖς δυσσεβέσι καὶ παρανόμοις, μὴ κατὰ νοῦν βαλόντας τὸ τοῦ Ἀνανίου τε καὶ Σαπφείρας, μηδὲ τὴν ἐπενεχθεῖσαν καταδίκην ἐκείνοις τοῖς περὶ Δαθὰν καὶ Ἀβειρών, μηδὲ τὸν Ἄχαρ παγγενῆ καταλευσθέντα, οὐκ ἀφορισμῷ μόνῳ καθυποβάλλομεν, ἀλλὰ καὶ ἀνάθεμα ποιοῦμεν αὐτούς, ἕως ἂν τὴν προσήκουσαν καὶ ὀφειλομένην αὐτοῖς μετάνοιαν ἐνδείξωνται εἰς τοὺς ἀνοσίως παρ' αὐτῶν τὰ μέγιστα λυπηθέντας ἱερωτάτους ἀρχιερεῖς, καὶ ἀντιστρέψωσι καὶ ἀποδώσωσι τὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν πράγματα, ὅσαπερ ἀφείλοντο καὶ διέφθειραν κατὰ τὸν ἀναγεγραμμένον τρόπον, εἴ γε βούλοιντο ταῖς ψυχαῖς ἑαυτῶν περιποιεῖσθαι σωτηρίαν, οὐ μὴν δὴ ἀλλὰ καὶ οἱ εἰς τὸ ἑξῆς εἰς κεφαλάδας ἀποταττόμενοι κατὰ τὰ βασιλικὰ καὶ δημόσια διενεργοῦντες ὀφείλουσι καὶ αὐτοὶ κατ' οὐδένα τρόπον λυμαίνεσθαι τὰ τῶν ἐκκλησιῶν πράγματα, ἀρκούμενοι μόνοις τοῖς ἀνήκουσι τούτοις δημοσιακοῖς δικαίοις, καὶ τοὺς κατὰ τόπον ἀρχιερατικῶς προϊσταμένους, ἀποστολικὴν εἰκόνα φέροντας, τῇ τοῦ Χριστοῦ χάριτι, διὰ πάσης εὐλαβείας καὶ τιμῆς ἄγοντες. καὶ ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, προμηθευομένη τε καὶ φροντίζουσα, ἵνα μὴ οἱ τοιοῦτοι ἀπολέσωσι τὰς ψυχὰς αὐτῶν, ὧν ἅπας κόσμος οὐκ ἰσοστάσιος, ταῦτα διασκήπτει καὶ διατάττεται. εἰ μὲν οὖν καὶ αὐτοὶ στέργουσι καὶ ἐμμένουσιν ὀφειλομένως εἰς τήνδε τὴν κανονικὴν καὶ νόμιμον συνοδικὴν διάταξίν τε καὶ διατύπωσιν, ἤδη καλόν· εἰ δ' οὖν, ἔστωσαν καὶ αὐτοί, ὡς περιφρονεῖν τὰ θεῖα βουλόμενοι, ὑπὸ τὸν αὐτὸν ἀφορισμὸν καὶ τὸ ἐπιτίμιον, ὡς δεδήλωται. διὰ ταῦτα παραινοῦμεν πατρικῶς καὶ συμβουλεύομεν τοῖς τὰ κοσμικὰ ταῦτα διενεργοῦσιν, ἵνα ὡς οἱ φιλευσεβεῖς νόμοι καὶ θεῖοι καὶ ἱεροὶ κανόνες ἐμβριθῶς οὕτω παρακελεύονται, ἀπέχωσι καθόλως ἀπὸ τῶν ἐκκλησιαστικῶν πραγμάτων. τί καὶ ὀφελεῖται, φησί, ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἀσφαλείας καὶ ἕνεκεν τοῦ μηκέτι τὰ

τοιαῦτα τολμᾶσθαι καὶ ἡ παροῦσα ἡμετέρα νόμιμος καὶ κανονικὴ συνοδικὴ ἔγγραφος ὑποτύπωσις ἐγένετο, σημανθεῖσα καὶ κατασφαλισθεῖσα ταῖς ἡμετέραις οἰκειοχείροις ὑπογραφαῖς. κατὰ μῆνα ἰαννουάριον τῆς τρίτης ἰνδ. τοῦ ,ϛωογ′ ἔτους †.

† Εἶχε καὶ τὸ· Φιλόθεος, ἐλέῳ θεοῦ, καὶ τὰς ὑπογραφὰς τῶν εἰρημένων ἀρχιερέων †.

CCIV. 6873 (1365) februario. ind. III.

Actio synodalis, qua statuitur, episcopatum Pyrgii esse metropoleos Ephesi.

CCV. (6873—1365) ianuario. ind. III.

Monachus Theophilus excommunicatur.

† Καθαίρεσις τοῦ ποτὲ πνευματικοῦ τοῦ Θεοφίλου †.

† Προκαθημένης τῆς ἡμῶν μετριότητος συνοδικῶς, συνεδριαζόντων αὐτῇ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ τε Ἐφέσου, τοῦ Κυζίκου, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Τυάνων, τοῦ Βιζύης, τοῦ Τραϊανουπόλεως, τοῦ Τραπεζοῦντος, τοῦ Βρύσεως, τοῦ Ἀθηνῶν, τοῦ Αἴνου καὶ τοῦ Μύρων, ἐλαλήθησαν αἰτιάματα κατὰ τοῦ ἱερομονάχου καὶ πνευματικοῦ Θεοφίλου ἐπὶ τρισὶν ἐγκλήμασιν· ἑνὶ μὲν, ὅπως γυναῖκά τινα πόρνην συνοῦσαν ἐφ' ἱκανοῖς χρόνοις ἀνδρί τινι, ἔπειτα καταγνοῦσαν τοῦ τοιούτου πάθους καὶ πρός τινα μοναχὴν εὐλαβῆ καταφυγοῦσαν καὶ παρ' ἐκείνης εἰς τὸ μοναχικὸν σχῆμα καταστᾶσαν, φθόνῳ δὲ τοῦ δαίμονος αὖθις παλινδρομήσασαν εἰς τὸ αὐτὸ πάθος, ἐπελθὼν οὗτος δὴ ὁ μοναχὸς συνεχώρησε καὶ ἐγένετο ἐνδόσει τούτου ἱερολογία γάμου εἰς αὐτούς· ἑτέρῳ δὲ, ὅτι ὃν ἀνέθρεψεν οὗτος καὶ . . . ἔκειρε κατὰ μοναχοὺς, καὶ μετ' ὀλίγον ᾠκονόμησε γενέσθαι τοῦτον διάκονον, καὶ εἶχε μεθ' ἑαυτοῦ ἐν τῷ κελλίῳ αὐτοῦ, ἐν μιᾷ τῶν ἡμερῶν κατέλαβε τοῦτον ἐπ' αὐτοφώρῳ μετὰ γυναικὸς ἀσελγαίνοντα, καὶ σκώψας αὐτὸν ἐκράτησε τοῦ ἱερουργεῖν, ποιήσας εἰς πολλοὺς κατάδηλον τὸ τούτου πάθος, ἔπειτα συνεχώρησε τούτῳ καὶ ἱερούργει· τὸ δὲ τρίτον ἔγκλημα, ὅτι μετὰ τὸ ἐπισχεθῆναι τοῦτον παρὰ τῆς ἡμῶν μετριότητος τῆς τε ἱερωσύνης αὐτοῦ καὶ τοῦ πνευματικοῦ λειτουργήματος, δι' ἅπερ ἐλαλοῦντο κατ' αὐτοῦ, ἀπέκειρε μοναχήν τινα ἐν τῷ μόναστηρίῳ Πιγκέρν . . . τοῦ Θεοφιλοπούλου. παρὼν δὲ αὐτὸς καὶ ἐρωτη-

θεὶς παρὰ τῆς συνόδου ἀπολογήσασθαι πρὸς ταῦτα, περὶ μὲν τῆς γυναικὸς, ᾗ συνεχώρησε καὶ εὐλογήθη, εἶπεν, ὅτι, ἐρωτήσαντος αὐτοῦ πρότερον τὴν τοιαύτην γυναῖκα, εἰ ἐκείρητο κατὰ μοναχὰς, καὶ ἐνεδύσατο ῥάκος, καὶ ταύτης ἀρνησαμένης, ἀρκεσθεὶς οὗτος τῷ λόγῳ ταύτης προέτρεψε καὶ εὐλογήθη αὕτη· περὶ δὲ τοῦ καλογήρου αὐτοῦ . . . . . εἶπεν, ὅτι ταῖς ἀληθείαις ἔδειξε τὰ κατ' αὐτοῦ πρὸς πολλοὺς, ὅτι δηλονότι κατελήφθη παρ' αὐτοῦ ἐπ' αὐτοφώρῳ, διὸ καὶ ἐκράτησεν αὐτὸν τοῦ μὴ ἱερουργεῖν, ἔπειτα συνεχώρησεν αὐτῷ καὶ ἐλειτούργει, προεβάλλετο δὲ αἰτίαν τῆς συγχωρήσεως, ὅτι ὑπὸ φθόνου καὶ κακίας κινηθεὶς εἶπε κατ' αὐτοῦ, ὅσα εἶπε· παρὰ δὲ τοῦ τρίτου συνωμολόγησεν, ἀληθὲς μὲν εἶναι, ὅτι αὐτὸς ἀπέκειρε τὴν μοναχὴν ἐν τῷ μοναστηρίῳ τοῦ Πιγκέρν . . ., ἔλεγε δὲ αἰτίαν, ὡς πρό τινων ἡμερῶν ἐλθὼν εἰς τὴν ἡμῶν μετριότητα καὶ τυχὼν εὐλαλίας παρ' αὐτῆς τῆς συνήθους, ἐντεῦθεν ἐνόμισεν, ὅτι μέλλει τυχεῖν καὶ τελείας συγχωρήσεως παρ' ἐμοῦ, καὶ κατὰ τοῦτο ἐποίησε τὴν τοιαύτην πρᾶξιν. τούτων οὕτω παρ' αὐτοῦ λαληθέντων ἐγνωμοδότησεν ἕκαστος τῶν ἀρχιερέων περὶ μὲν τοῦ πρώτου ἐγκλήματος, ὅτι τε οὐκ ἔδει τοῦτον δέξασθαι λόγον γυναικὸς φαύλης καὶ ἐνδοῦναι γενέσθαι ἱερολογίαν, καὶ ὅτι οὐκ ἦν αὐτοῦ τὸ ταῦτα συγχωρεῖν· περὶ δὲ τοῦ δευτέρου, ὅτι εἰ μὲν ἀληθῶς εὗρεν ἐπ' αὐτοφώρῳ τὸν καλόγηρων αὐτοῦ, διὰ τί συνεχώρησεν αὐτῷ, πράξαντι μὲν τὴν ἁμαρτίαν, αὐτῷ δὲ ὑπ' εὐθύνῳ καταστάντι κολάσεως ἐπ' ἀλλοτρίῳ ἐγκλήματι; εἰ δὲ διέβαλλε τοῦτον, καὶ τοῦτο πάλιν ἔργον κολάσεως αἰωνίου· περὶ δὲ τοῦ τρίτου ἐγκλήματος· ὅτι τῶν ἱερῶν κανόνων θεσπιζόντων, μὴ ἐξεῖναι ὅλως τῷ ἐπισχεθέντι τῆς αὐτοῦ ἱερωσύνης παρὰ ἀρχιερέως πράττειν οὐδετιοῦν ἔργον ἱεροπραξίας, ἐπεὶ οὗτος ἀπέκειρε τὴν εἰρημένην μοναχὴν, κακῶς κἀνταῦθα ἐποίησε, τὸ γὰρ δὴ πρὸς ἀπολογίαν παρ' αὐτοῦ εἰρημένον, ὅτι διὸ ἔτυχεν εὐλογίας παρὰ τῆς ἡμῶν μετριότητος ταύτης δὴ τῆς συνήθους, ἐνόμισεν εἶναι καὶ τῆς ἐπισχέσεως τελούμενος, ἀλλ' οὐχ ὡς συγχωρηθεὶς, ἐφ' οἷς ἠτιάθη καὶ ἐπεσχέθη, ἔτυχε τῆς εὐλογίας, ἀλλ' ὡς τυγχάνουσι ταύτης πάντες οἱ χριστιανοὶ, εὐλογήθη καὶ αὐτός. διὰ γοῦν ταῦτα κοινῇ γνώμῃ πάσης τῆς ἱερᾶς καὶ θείας συνόδου, ἐπιψηφισάσης καὶ τῆς ἡμῶν μετριότητος, καθῃρέθη οὗτος δὴ ὁ μοναχὸς Θεόφιλος τῆς τε ἱερωσύνης αὐτοῦ καὶ τοῦ τῶν πνευματικῶν λειτουργήματος, καὶ ἐνεγράφη τῷ κωδικίῳ τὰ τῆς τοιαύτης καθαιρέσεως, ὡς μηδέποτε ἀνα-

σχεθῆναι τοῦτον ἢ εἰς ἱερωσύνην ἢ εἰς ἐνέργειαν τοῦ πνευματικάτου λειτουργήματος. ἐγένετο ἡ τοιαύτη καθαίρεσις κατὰ τὸν ἰανουάριον μῆνα τῆς γ' ἰνδ. †.

CCVI. (6873—1365) martio ind. III.

Metropolitae Bizyae confertur metropolis Methymnae per adiunctionem.

CCVII. Sine anno.

Synodus Antiochiae confirmat, Pachomium rite electum esse patriarcham.

† Τοῦ μητροπολίτου τοῦ Ἀντιοχείας πατριάρχου πρὸς τὸν παναγιώτατον δεσπότην ἡμῶν, τὸν οἰκουμενικὸν πατριάρχην, καὶ τὴν θείαν καὶ ἱερὰν ὑπ' αὐτὸν μεγάλην σύνοδον †.

† Τῷ παναγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικῷ πατριάρχῃ καὶ ἡμετέρῳ αὐθέντῃ καὶ δεσπότῃ σὺν πᾶσιν ἀρχιερεῦσι καὶ ἐκκλησιαστικοῖς ἄρχουσι τῆς ἁγιωτάτης καὶ οἰκουμενικῆς συνόδου τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῖς ἀδελφοῖς καὶ συλλειτουργοῖς τῆς ἡμῶν ταπεινότητος, οἱ ταπεινοὶ πάντες ἀρχιερεῖς τῆς ἁγιωτάτης τοῦ θεοῦ ἀποστολικῆς ἐκκλησίας Ἀντιοχείας σὺν τῷ ἁγιωτάτῳ ἡμῶν πατριάρχῃ θεουπόλεως, μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, κῦρ Παχωμίῳ, τὸν ἐν Χριστῷ προσήκοντα ἀσπασμὸν σὺν τῇ ὀφειλομένῃ εὐλαβείᾳ ἀποδιδόντες, ἐπευχόμεθα τὴν ὑμῶν ὑγιαίνειν ἱερότητα ἐπὶ ἀσφαλείᾳ τῶν ἱερῶν τῆς ἐκκλησίας δογμάτων καὶ εὐοδώσει καὶ στηριγμῷ τῶν πατρικῶν ὅρων τῆς Ἀντιοχείας, ἣν καὶ δεόμεθα τοῦ πανοικτίρμονος θεοῦ μένειν ἀκλόνητον ἐπὶ διεξαγωγῇ καὶ κυβερνήσει τοῦ κρείττονος καὶ ἡμεῖς ἔπεσθαι κατ' ἴχνος αὐτῆς ἐπηρεισμένους ἐπ' ἀσφαλεῖ λίθῳ, τῷ ἀκρογωνιαίῳ Χριστῷ, καὶ τεθεμελισμένους ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ τοῖς τῶν πατέρων ἀκινήτοις ὅροις. γνωστὸν ἔστω τῇ ὑμῶν ἁγιότητι, ὅτι τοῦ μακαρίτου ἐκείνου πατριάρχου ἡμῶν, κῦρ Ἰγνατίου, τὸ κοινὸν ἀποδόντος χρέος ἔμεινε τὰ τῆς ἐκκλησίας ἀποίμαντα· κατὰ γοῦν τὴν ἐπικρατήσασαν ἔκπαλαι συνήθειαν καὶ κανονικὴν παράδοσιν συνεκροτήθη καὶ νῦν παρ' ἡμῖν ἁγία σύνοδος, καὶ κοινῇ συνδιασκεψάμενοι, εὐδοκίᾳ θεοῦ, τὸν πανιερώτατον μη-

τροπολίτην τῆς μεγάλης πόλεως Δαμάσκου, κῦρ Παχώμιον, ἀδελφὸν καὶ συλλειτουργὸν ἡμῶν, εἰς τὸν ὑψηλὸν τοῦτον θρόνον τοῦ πατριάρχου τῆς θεουπόλεως, μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, προεχειρίσαμέν τε καὶ προεβιβάσαμεν, ὥσπερ ἔθος ποιεῖν τῇ καθ' ἡμᾶς ἁγίᾳ συνόδῳ, ἔπειτα ἀναφέρειν ταῦτα πρὸς τὴν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, καὶ ἡμεῖς παρεδηλώσαμεν τοῦτο τῇ ὑμῶν ἱερότητι διὰ τοῦ ἐν ἁγίῳ πνεύματι ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν κῦρ Γερμανοῦ καὶ καθολικοῦ (τῆς) ὁμηγύρεως καὶ ἐξάρχου πάσης Ἰβηρίας, ὅστις ἐπεφέρετο γράμματα τῆς καθ' ἡμᾶς ἁγίας συνόδου πρὸς τὴν ὑμῶν ἱερότητα, πρὸς δὲ καὶ τὴν ὑπὸ θεοῦ εὐσεβῆ ὁμολογίαν πρός τε ἡμᾶς καὶ τὴν τῶν πατέρων ἀκριβῆ δόγματα συμφωνίαν, καὶ ἐμάθομεν παρ' αὐτοῦ, ὅτι ἡ ἱερότης ὑμῶν ἐδέξατο αὐτὸν ἀσπασίως καὶ ὡς γνήσιον ἀδελφὸν τὴν προσήκουσαν ἀγάπην ἐνεδείξασθε εἰς αὐτόν· ἐλθὼν δὲ μετ' αὐτοῦ ὁ οἰκεῖος τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, κῦρ Θεόδωρος ὁ Πεπλεγμένος, ἐπιφερόμενος πρὸς ἡμᾶς θεῖα καὶ προσκυνητὰ προστάγματα, καὶ ἐμάθομεν παρ' αὐτοῦ τοὺς λόγους καὶ ὁρισμοὺς τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, καὶ ὅτι ἐλαλήθησαν λόγοι εἰς τὰς ἀκοὰς ὑμῶν, ὅτι οὐκ ἐγένετο εἷς πατριάρχης Ἀντιοχείας, ἀλλὰ τρεῖς, καὶ ὅτι ὁ γενόμενος οὐ κανονικῶς προέβη, διὰ τοῦτο καὶ ..... πάλιν παραδηλοῦμεν ἐκ δευτέρου τῇ ὑμῶν ἁγιότητι διὰ τοῦ παρόντος ἡμῶν συνοδικοῦ γράμματος, ὅτι παρ' ἡμῶν εἷς ἐγένετο πατριάρχης Ἀντιοχείας, ὁ δηλωθεὶς κῦρ Παχώμιος, καὶ οὐ τρεῖς, κατὰ τὸν τοῦ Τύρου καινὸν λόγον, καὶ ὅτι κανονικῶς προέβη καὶ προεχειρίσθη· ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν ἡμῶν γράμμα ἐγεγόνει καὶ ὑπεγράφη κάτωθεν δι' οἰκειοχείρων ὑπογραφῶν, καὶ ἀπεστάλη πρὸς τὴν ὑμῶν ἱερότητα καὶ πρὸς τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, καὶ δεόμεθα αἰτούμενοι τῆς ὑμῶν εὐλαβείας καὶ ἁγιότητος, μὴ περαιτέρω προβῇ ἡ ἀργία, ἀλλ' ἵνα γένηται σύνδεσμος ταῖς τοῦ θεοῦ ἁγίαις ἐκκλησίαις, καὶ ὅπερ πατροπαραδότως ἄνωθεν κατάγηται ἡ ἐν τοῖς ἱεροῖς διπτύχοις μνήμη τοῦ πατριάρχου ἡμῶν, καθὼς καὶ ἡμεῖς τὸ τοῦ δεσπότου ἡμῶν καὶ οἰκουμενικοῦ πατριάρχου μνημόσυνον ἐν τοῖς ἱεροῖς διπτύχοις ἀναφέρομεν. ἐστάλη γοῦν παρ' ἡμῶν εἰς προσκύνησιν τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ τῆς ὑμῶν ἱερότητος ὁ ἱερώτατος μητροπολίτης Ἀπαμείας, κῦρ Νίφων, καὶ ὑπέρτιμος, ἐν κυρίῳ ἀγαπητὸς ἀδελφὸς καὶ συλ-

λειτουργὸς ἡμῶν, ἐπιφερόμενος καὶ τὰ παρόντα ἡμῶν γράμματα, ὥστε καὶ ἐτάχθη παρὰ τοῦ παναγιωτάτου ἡμῶν πατριάρχου τοῦ διέπειν καὶ διοικεῖν τὰ δίκαια καὶ τῆς σεβασμίας μονῆς τῆς πανυπεράγνου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἐπικεκλημένης τῶν Ὁδηγῶν, καὶ (ὑμεῖς) δέξασθε αὐτὸν ἀσμένως καὶ ἐνδείξασθε εἰς αὐτὸν τὴν προσήκουσαν φιλίαν καὶ πνευματικὴν στοργήν. τὸν γὰρ ἱερώτατον μητροπολίτην καὶ πρωτόθρονον Τύρου, κῦρ Ἀρσένιον, καὶ ὑπέρτιμον παρεδηλώσαμεν, ὅπως καταλάβῃ πρὸς ἡμᾶς ἐν συντόμῳ εἰς ἐπίσκεψιν καὶ ἐπιστασίαν τῆς ἑαυτοῦ ποίμνης, καὶ ὅτι χρῄζομεν αὐτὸν ἀναγκαίως. εὐχόμεθα οὖν διηνεκῶς, ὅπως τὴν ἡμῶν μετριότητα κρατύναι κύριος ἐπ' ἀσφαλείᾳ καὶ σωτηρίᾳ τοῦ χριστιανικοῦ πληρώματος εἰς αἰῶνας μακρούς. εἶχε καὶ ὑπογραφὴν ταύτην· Ὁ ταπεινὸς Γερμανὸς καὶ καθολικὸς (τῆς) ὁμογύρεως καὶ ἔξαρχος πάσης Ἰβηρίας †. † Ὁ ταπεινὸς μητροπολίτης Ἀπαμείας καὶ ὑπέρτιμος Νίφων †. † Ὁ ταπεινὸς μητροπολίτης Πομπηϊουπόλεως Γρηγόριος καὶ ὑπέρτιμος †. † Ὁ ταπεινὸς μητροπολίτης Ἡλιουπόλεως Σωφρόνιος καὶ ὑπέρτιμος †. † Ὁ ταπεινὸς μητροπολίτης Βόστρας Ἀρσένιος καὶ ὑπέρτιμος †. † Ὁ ταπεινὸς μητροπολίτης Μομφουγίας καὶ ὑπέρτιμος Σωφρόνιος †. † Ὁ ταπεινὸς μητροπολίτης Βηρυτοῦ Παῦλος καὶ ὑπέρτιμος †. † Ὁ ταπεινὸς μητροπολίτης Ἐμέσης Συμεών †. † Ὁ ταπεινὸς μητροπολίτης Τριπόλεως ὁ Μέλχης †. † Ὁ ταπεινὸς μητροπολίτης Ἐδέσσης Εὐθύμιος καὶ ὑπέρτιμος.

† Εἶχε καὶ ἑτέρας ὑπογραφὰς συρικοῖς γράμμασιν· Παχώμιος, ἐλέῳ θεοῦ πατριάρχης θεουπόλεως μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς †.

CCVIII. (6873—1365) iunio. ind. III.

Metropolita Traianupoleos transfertur in metropolim Lacedaemoniae.

† Πρᾶξις ἐπὶ τῷ Τραιανουπόλεως μεταθέσεως. Τὸ προοίμιον τοῦ πρωτονωταρίου τοῦ Πεπαγωμένου †.

† Αἱ ἀπὸ ἐκκλησιῶν εἰς ἐκκλησίας καὶ μητροπόλεων εἰς μητροπόλεις γινόμεναι μεταθέσεις καὶ μεταβάσεις καλῶς ἄρα καὶ κατὰ τὸν προσήκοντα καὶ δίκαιον λόγον ἐξ ἀρχῆς ἐτάχθησαν γίνεσθαι. καλὸν δὲ καὶ δίκαιον ἅπαξ ἀρχὴν εἰληφὸς τῇ ἐφεξῆς διαδοχῇ καὶ

ἀλληλουχίᾳ συμπαρατείνεται, διαμένον ἀεὶ τὸ αὐτὸ καὶ διασωζόμενον καὶ αὐτῶν γινόμενον τῶν τοῦ χρόνου ῥευμάτων καὶ πάντα παρασυρόντων ὑπερανεστηκὸς καὶ ὑπέρτερον, θεὸς μὲν γὰρ τέλειος ὢν καὶ προτέλειος καὶ ὑπερτελὴς καὶ παντέλειος μόνος αὐτός, τἄλλα δὲ πάντα τὰ κράτει σοφίας ἀνυπερβλήτῳ καὶ δυνάμεως ἀνεκδιηγήτῳ καὶ ἀπείρῳ μεγέθει δεδημιουργηκὼς κἀκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τῆς ἁρμοζούσης ἑκάστῳ μεταδίδωσι τελειότητος, ὅσα τε ἐν ἀψύχοις αὐτοῖς καὶ ἐμψύχοις, ὅσα τε ἐν ἀλόγοις καὶ ὅσα ἐν λογικοῖς θεωρεῖται, διήκει γὰρ καὶ διατέταται ἀγαθὸν ἄνωθεν κάτω ῥυὲν ἀπὸ τοῦ πρώτου καὶ ἀμηχάνου κάλλους ἐκείνου ἐπὶ πᾶσαν γενετὴν φύσιν. ἕκαστον οὖν τῶν παρηγμένων κατὰ τὰ οἰκεῖα μέτρα καὶ τὰς ἀναλογίας πολλῶν κρείττονας ἢ κατὰ τὰς ἐπιστημονικὰς ἀναλογίας τελειοῦται παρὰ τοῦ στήσαντος τὰς νάπας ζυγῷ καὶ τὰ ὄρη σταθμῷ, προφητικῶς εἰπεῖν, καὶ τὸν οὐρανὸν κεκοσμηκότος ἀμυθήτῳ καὶ ποικίλῃ φώτων μαρμαρυγῇ καὶ παναρμονίῳ κινήσει καὶ ἑλιγμῷ, ταῦτά τοι καὶ ἡ καθ' ἡμᾶς ἱεραρχία καὶ σύμπασα ἱερὰ τῆς ἐκκλησίας εὐκοσμία, τάξις τε καὶ κατάστασις τὴν ὑψηλὴν καὶ ἄχραντον καὶ οὐρανίαν ἱεραρχίαν φαίνεται μιμουμένη ταῖς κατὰ μικρὸν προκοπαῖς καὶ προόδοις καὶ ἀναβάσεσι δίκην ἀλληλενδέτου καὶ χρυσοπλόκου σειρᾶς, εἰκόνα γὰρ ἔστησεν ὁ θεὸς τὰ ὁρώμενα ταῦτα τῶν ἀοράτων ἐκείνων, ἵνα διὰ τούτων ἀναγώμεθα πρὸς τὰ θεῖα καὶ ὑψηλὰ καὶ ὄντως ὑπερφυῆ, τὰς ψυχὰς καθαιρόμενοί τε καὶ λαμπρυνόμενοι, καὶ ὅσῳ τις ἀδιαλώβητον τὸ κατ' εἰκόνα τηρήσει, καὶ σκεῦος δεκτικὸν τῶν θείων ἐλλάμψεων καὶ ἐνεργειῶν ἑαυτὸν παρασκευάσει, τοσούτου καὶ τοῦ φωτισμοῦ ἀναλόγως μεταλαμβάνει. ἡ δὲ παροῦσα τῶν ἄρτι λεγομένων παρασκευὴ καὶ οἰκονομία καὶ ὁ σύμπας ταύτῃ σκοπὸς καὶ πρὸς τὸν ἱερώτατον μητροπολίτην Τραϊανουπόλεως, ὑπέρτιμον, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸν τείνει καὶ ἀφορᾷ, ὃς τὴν στενὴν ἐξ ἀρχῆς ἑλόμενος καὶ τεθλιμμένην ὁδὸν τὴν ἀπάγουσαν εἰς τὴν ζωὴν καὶ τοῖς τοῦ βίου τερπνοῖς καὶ ἡδέσιν ὁλοσχερῶς ἀποταξάμενος ἐκ ψυχῆς, εἰς τὴν σεβασμίαν μονὴν τῆς ἁγίας τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἀναστάσεως εἰσέρχεται, νέαν ἄγων τὴν ἡλικίαν. ἐν αὐτῇ γοῦν ἀποκαρεὶς κατὰ μοναχοὺς καὶ τὸν σκληρὸν καὶ ἐπίπονον βίον, ταπεινοφροσύνην τε καὶ ὑποταγήν, εἰ δή τις καὶ ἄλλος, καὶ αὐτὸς ἐξασκήσας καὶ ταύτας καθάπερ ἀρραγεῖς κρηπίδας πηξάμενος ἢ

ἀσφαλεῖς θεμελίους ὑποβαλών τε καὶ ὑποστήσας τῇ ὅλῃ οἰκοδομίᾳ τῆς ἀρετῆς, ἔν τε ἄλλαις χρείαις ἄλλοτε ἄλλαις τῆς μονῆς οὐκ ἐντὸς μόνον, ἀλλὰ καὶ ἐκτὸς, ὁπότε καλοίη καιρὸς, ἀόκνως ὑπηρετήσας, ὡς καὶ προκινδυνεῦσαι πολλάκις, καὶ ἐν πολλοῖς πολλοὺς ἐτρύγησε καὶ τοὺς τῆς ἀρετῆς καρπούς. ὕστερον δεδωκώς τε ἑαυτὸν ἀναγνώσει τῆς θεοπνεύστου γραφῆς καὶ εἰς τὰ ταύτης ἐγκύψας βάθη, ἐκεῖθεν ἠρύσατο ποτιμώτατα καὶ ἥδιστα νάματα, καὶ φωτὶ φῶς προσέλαβε γνώσεως, τοὺς ἱεροὺς βαθμοὺς κατὰ τάξιν ἀμείψας καὶ μετιὼν, ὡς κριθεὶς ἄξιος τῇ μετουσίᾳ τῆς ἀρετῆς τῷ ἀρχιερατικῷ ὕστερον χαρίσματι τελειοῦται, καὶ οὕτω καὶ οὗτος ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζω προβαίνει καὶ τελεώτερα κατὰ τὸν ἄνω τοῦ λόγου σκοπὸν, καὶ μητροπολίτης καθίσταται Τραϊανουπόλεως, καλῶς δ' ἐν αὐτῇ ποιμάνας τὸ αὐτοῦ ποίμνιον καὶ ὡς φίλον θεῷ καὶ διαπρέψας ἐν ἅπασιν, ἐπείπερ ὑπὸ τῆς τῶν πραγμάτων ἀνωμαλίας τε καὶ συγχύσεως ἁλωτὴ καὶ αὐτὴ γέγονε τοῖς ἀθέοις ἐχθροῖς, διὰ πλῆθος ἁμαρτιῶν, ἣν δὲ ἀνάγκη πᾶσα τὸν ποιμένα καὶ ποίμνιον ἔχειν· εἰ δὲ μὴ, πῶς ἂν εἰκότως καὶ ποιμὴν ὀνομάζοιτο; τὰ γὰρ τοιαῦτα ὄντα τῶν πρός τι συνεισάγουσιν ἄλληλα καὶ συναιροῦσιν ἄλληλα, οὕτω γὰρ πατέρα λέγοντες συνεισάγομεν καὶ υἱὸν, καὶ διδάσκαλον εἰπόντες συνεπινοοῦμεν καὶ μαθητὴν, καὶ δεσπότην ἂν φάσκοντες καὶ δοῦλον συνεισφέρομεν. στερεῖται δὲ καὶ ἡ ἁγία ἐκκλησία Λακεδαιμονίας νῦν γνησίου ἀρχιερέως χρόνον ἱκανὸν ἤδη· νεύσαντος τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος, συνδιασκεψαμένων τῇ ἡμῶν μετριότητι τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Φιλαδελφείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Ποντοηρακλείας, τοῦ Μύρων, τοῦ Βιζύης, τοῦ Βρύσεως, τοῦ Ἀθηνῶν, τοῦ Ἀμάστριδος, τοῦ Ῥωσίου καὶ τοῦ Αἴνου καὶ τοῦ ὑποψηφίου Ἀδριανουπόλεως, ὁμονοησάντων ἁπάντων καὶ εἰς ταὐτὸ γνώμης ἐληλυθότων, μετετέθη εἰς τὴν ἁγιωτάτην μητρόπολιν Λακεδαιμονίας, ὡς ἂν μὴ τοσοῦτοι ζημιωθῶσιν, ὅσοιπερ ἂν εἶχον ἀπόνασθαι τῶν αὐτοῦ διδαχῶν, καθάπερ ἂν εἰ πῦρ μεγάλης ὕλης ἐπιλαβόμενον, καὶ διαθερμᾶναι καὶ διαθάλψαι πολλοὺς ἱκανὸν ὄν, εἶτα ἀπείργοιτο καὶ μὴ ἐφῶτο πάντας, ὁπόσους ἂν καὶ δύναιτο, ἀλλ' ὀλίγους διαθερμαίνειν· καθέξει τοίνυν ὁ ἱερώτατος μητροπολίτης ὅδε Λακεδαιμονίας, ὑπέρτιμος, τὴν ἁγιωτάτην μητρόπολιν Λακεδαιμονίας, ἀπολαύων τοῦ

ταύτης ὀνόματος ἔν τε στάσεσι καὶ καθέδραις καὶ ταῖς ἄλλαις τιμαῖς καὶ τοῦ ἐν τοῖς ἱεροῖς διπτύχοις, ὡς εἴθισται, μνημοσύνου, κατὰ τὴν κανονικὴν ἀκρίβειάν τε καὶ παρατήρησιν, ὀφείλων ἐγκαθιδρυθῆναι καὶ τῷ ἱερῷ συνθρόνῳ τῆς κατ' αὐτῶν ταύτης ἐκκλησίας, ἐπέχειν τε καὶ τὸν τόπον τοῦ Τραϊανουπόλεως, σφραγίζειν τε ἀναγνώστας καὶ ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν καὶ πάντα τὰ ἱερὰ πράττειν ἀκωλύτως ἐν ἁπάσῃ τῇ εἰς αὐτὸν ἐνορίᾳ, ὡς γνήσιος ἀρχιερεὺς καὶ ὢν καὶ ὀνομαζόμενος καὶ διδάσκαλος καὶ φροντιστὴς καταστὰς τῶν ψυχῶν αὐτῶν καὶ ὁδηγῶν αὐτοὺς ἐπὶ τὰ κρείττω καὶ σωτηρίας ἐχόμενα, εἰδὼς, ὡς λόγον δώσει καὶ αὐτὸς τῷ θεῷ ἐν ἡμέρᾳ ἐτάσεως, ὀφειλόντων καὶ αὐτῶν ὑπείκειν καὶ ὑποτάσσεσθαι τούτῳ ὡς ποιμένι καὶ φροντιστῇ τῶν ψυχῶν αὐτῶν καταστάντι. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος †.

† Μηνὶ ἰουνίῳ ἰνδ. γ' †.

CCIX. Sine anno.

Synodus metropolim Caesareae Cappadociae confert Methodio.

CCX. Sine anno.

Synodus Methodio, metropolitae Caesareae, confert metropoles Tyanorum et Mocesi et archiepiscopatum Nazianzi per adiunctionem.

CCXI. Sine anno.

Synodus Methodio, metropolitae Caesareae, confert metropoles Sebasteorum et Iconii per adiunctionem.

CCXII. Sine anno.

Ioanninorum ecclesia, in metropolim evecta, confertur Sebastiano.

† Πρᾶξις συνοδικὴ ἐπὶ τῷ Ἰωαννίνων. Τὸ προοίμιον τοῦ αὐτοῦ πρωτονωταρίου (τοῦ Πεπαγωμένου) †.

† Ἐκκλησιαστικαῖς ἑπόμενοι πράξεσι, ταῖς τε ἄλλαις καὶ δὴ καὶ ταῖς ἐπὶ βασιλέων διαταγαῖς καὶ θεσπίσμασι πάλαι γεγενημέναις,

συνοδικαῖς τε ψήφοις καὶ γνώμαις ἐξακολουθοῦντες τὴν παροῦσαν συνοδικὴν πρᾶξιν διαπραττόμεθα καὶ ἡμεῖς καὶ τὰ πάλαι κατὰ διαφόρους καιροὺς, χρείας κινούσης, τῶν πραγμάτων ἀπαιτούντων, δι' εὐλόγους αἰτίας καὶ ἀπαραιτήτους ἀνάγκας διαπεπραγμένα κρατύνειν καὶ ἐπικυροῦν κρίνομεν, ὡς εἰκὸς, ἔστιν ἃ καὶ μετρίας τινὸς δεόμενα τοῦ καλοῦ προσθήκης διὰ τὴν ἐνεστῶσαν χρείαν ἀναπληροῦντες. ὅποι δὲ τείνει τὰ τοῦ παρόντος λόγου, καὶ τίς ὁ σκοπὸς αὐτῷ, λέγομεν ἤδη· ἡ περί που τὰ ἑσπέρια μέρη κειμένη ἁγιωτάτη μητρόπολις Ναύπακτος ἦν μὲν καὶ αὕτη τούτῳ δὴ τῷ μεγάλῳ θρόνῳ κατὰ τὰς ἄλλας τὰς ἀπὸ θείων βασιλικῶν κελεύσεών τε καὶ διαγνώσεων κατ' ἐκλογὴν καὶ μερισμὸν ἀπονενεμημένας καὶ προσκεκυρωμένας τῇ βασιλίδι ταύτῃ τῶν ὑφ' ἥλιον πόλεων ἁπασῶν καὶ ὑπὸ τὴν ἐπικράτειαν καὶ ἐπαρχίαν τῆς μείζονος τῶν ἐπὶ γῆς ἡγεμονιῶν καὶ ἀρχῶν ἡγεμονίας τε καὶ ἀρχῆς ταύτης δὴ τῆς ῥωμαϊκῆς. τῶν δ' ἐν βίῳ πραγμάτων ἀστάτων ὄντων καὶ ἀνωμάλων, ἄλλοτε ἄλλως φερομένων καὶ μετατιθεμένων, καθάπερ κύβων μεταπιπτόντων ἢ δίκην σάλου καὶ κλύδωνος καὶ μηδόλως ἐπὶ ταὐτοῦ ἱσταμένων, ἥψατο καὶ ταύτης δὴ τῆς Ναυπάκτου μεταβολὴ, οἷα δὴ τὰ ἀνθρώπινα, κατὰ γάρ που τὸ ἑξακισχιλιοστὸν ἑπτακοσιοστὸν ἐνενηκοστὸν τρίτον ἔτος ἀπεσπάσθη καὶ αὕτη ἀπὸ τῆς ῥωμαϊκῆς ἐξουσίας ὑπὸ τῶν ἀλαζόνων καὶ ἀγερώχων τούτων καὶ πλεονεκτῶν Ἰταλῶν. ὁ δέ γε τρισμακάριστος καὶ ἀοίδιμος καὶ περιβόητος ἐν βασιλεῦσιν, κῦρις Ἀνδρόνικος ὁ Παλαιολόγος, ὁ πρόπαππος τοῦ ἀπὸ θεοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, θερμόν τινα καὶ διάπυρον ζῆλον ἐν καρδίᾳ βαστάζων ἀεὶ ὑπέρ τε τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ τῶν ὀρθῶν ταύτης δογμάτων, ὑπέρ τε τῆς χριστιανικῆς πολιτείας καὶ καταστάσεως καὶ τοῦ ταύτης πλατυσμοῦ, διωρίσατο καὶ ἐθέσπισε, τὴν πρότερον εἰς ἐπισκοπὴν οὖσαν τῆς Ναυπάκτου, τὰ Ἰωάννινα, καὶ ὑπὸ ταύτην τελοῦσαν μετατεθῆναι εἰς μητρόπολιν, τοῦτο μὲν, ἵνα τὸ τῆς ἀποσπασθείσης μητροπόλεως ἐν αὐτῇ διασώζοιτο καὶ διατηροῖτο σχῆμα, καὶ μὴ καυχῷτο τὸ γένος τῶν Ἰταλῶν μειῶσαν τὸν τὰς ὅλας συμπληροῦντα ἀριθμὸν μητροπόλεις τὰς ὑπὸ τὸν τῆς Νέας Ῥώμης τελούσας καὶ οἰκουμενικὸν, καὶ τὸ φρύαγμα τούτων ἐντεῦθεν φαίνοιτο καταστορεννύμενον, τοῦτο δ' ἵνα καὶ αἱ ὑπ' αὐτὴν οὖσαι ἐπισκοπαὶ ὑπὸ μίαν μητρόπολιν ὡσανεὶ μητέρα ἢ κεφαλὴν τάττοιντο, ὡς εἴς τινα ἀρχὴν ἄλλην ἀναφερόμεναι,

διὰ τὸ τῆς τάξεως καὶ ἀρχῆς καλόν· πᾶν γὰρ τὸ μὴ ὑπεῖκον τῷ μείζονι μηδ' ὑπὸ ἀρχὴν ὂν οὐκ ἄτακτον μόνον καὶ ἀστάθμητον καὶ ἀνώμαλον, ἀλλὰ καὶ ῥᾷστα διολλύμενον τύχης περιπετείᾳ καὶ χρόνου φορᾷ. καὶ δὴ μεγάλης καὶ θαυμαστῆς φύσεως βασιλεὺς ἐκεῖνος μεταλαχὼν καὶ οὕτω διανοηθεὶς καὶ καταπραξάμενος ἄξιον ἔκρινεν, ὡς εἴθισται καὶ νενόμισται, ταύτην δὴ τὴν μετάθεσιν καὶ συνοδικῶς κυρωθῆναι· χρόνων δ' ἐξ ἐκείνου μέχρι νῦν παρῳχηκότων ἐγγύς πού τῶν ὀγδοήκοντα καὶ διαμέσων τῶν τοσούτων χρόνων οὐ πλειόνων ἢ τριῶν μητροπολιτῶν χειροτονηθέντων καὶ τῶν μὲν δύο κατειληφότων τὸν τόπον καὶ τῆς μητροπόλεως ἐπειλημμένων, θατέρου δὲ μηδ' ἀπελθεῖν ἐκεῖσε δεδυνημένου διὰ τὰς ἐπιφυείσας τοῖς ἐκεῖ πράγμασι τηνικαῦτα συγχύσεις καὶ περιστάσεις, εἶχεν οὕτω τὰ κατ' ἐκεῖνον τὸν τόπον γνησίου ἀρχιερέως καθάπαξ ἀπροστάτευτα καὶ ἀποίμαντα. ἐπεὶ δ' ἀρτίως, νεύσει θεοῦ, τῇ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος θελήσει καὶ ἀποδοχῇ καὶ ἀρεσκείᾳ καὶ γνώμῃ τῆς περὶ ἡμᾶς θείας καὶ ἱερᾶς καὶ μεγάλης συνόδου ἐπανῆλθεν αὖθις ἡ μετριότης ἡμῶν εἰς τὸν πατριαρχικὸν θρόνον, ἀναδεδεγμένη τὴν τῶν ὅλων φροντίδα, δίκαιον ἔκρινε καὶ πρόσῆκον καὶ ταύτης δὴ τῆς ἁγιωτάτης ἐκκλησίας προμηθεύσασθαι καὶ τοῦ ἐκεῖ φροντίσαι χριστωνύμου λαοῦ, καὶ δὴ διὰ πάνυ τοι πλείστης σπουδῆς καὶ ἐπιμελείας θεμένη, ὥστε εὑρεῖν ἄνδρα δυνάμενον ποιμάναι τὸν τοῦ κυρίου λαὸν καὶ τὰ εὐγενῆ καὶ εἰλικρινῆ καὶ καθαρὰ τοῦ εὐαγγελίου σπέρματα καὶ τῶν ὀρθῶν δογμάτων ταῖς τῶν ἀνθρώπων ἐναποθέσθαι ψυχαῖς, πλάνην τε ῥιζοτομῆσαι καὶ ἐκτεμεῖν καὶ τὴν εἰς Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν γεωργῆσαι, εὕρηκεν ἁρμοδιώτατον πάνυ καὶ ἐπιτηδειότατον, τῇ αὐτοῦ τοῦ Χριστοῦ χάριτι, εἰς τὸ μέγα τοῦτο καὶ ἀποστολικὸν ἀξίωμα καὶ λειτούργημα, ζητηθέντα καὶ ἀπὸ τῶν ἐκεῖ μετὰ σφοδροῦ καὶ ζέοντος πόθου, τὸν ἐν μοναδικῷ καὶ σεμνῷ τῷ σχήματι διαπρέφαντα ἐκ πάνυ τοι νέας τῆς ἡλικίας καὶ ἱερωσύνῃ τετιμημένον, ἀρετῆς τε καὶ εὐλαβείας καὶ τῆς κατὰ θεὸν πολιτείας ἀντιποιούμενον, κῦριν Σεβαστειανόν, συνοδικῇ τοιγαροῦν δοκιμασίᾳ καὶ βασάνῳ παραπεμφθεὶς κατὰ τὴν τῶν θείων καὶ ἱερῶν κανόνων ἀκριβῆ παρατήρησιν ἐψηφίσθη καὶ ἐχειροτονήθη οὗτος εἰς γνήσιον ἀρχιερέα Ἰωαννίνων. διά τοι τοῦτο, τῇ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος νεύσει, συνδιασκεφαμένη ἡ μετριότης ἡμῶν τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, ἐν ἁγίῳ πνεύ-

ματι ἀγαπητοῖς ἀδελφοῖς αὐτῆς καὶ συλλειτουργοῖς, τῷ μεγάλης Καισαρείας Καππαδοκίας, ὑπερτίμῳ τῶν ὑπερτίμων καὶ ἐξάρχῳ πάσης Ἀνατολῆς, τῷ Ἐφέσου καὶ ἐξάρχῳ πάσης Ἀσίας, τῷ Ἡρακλείας, προέδρῳ τῶν ὑπερτίμων καὶ ἐξάρχῳ πάσης Θράκης καὶ Μακεδονίας, τῷ ὑποψηφίῳ Ἀγκύρας καὶ ἐξάρχῳ πάσης Γαλατίας, τῷ Κυζίκου καὶ ἐξάρχῳ πάσης Ἑλλησπόντου, τῷ Φιλαδελφείας καὶ τὸν τόπον ἐπέχοντι τοῦ Σάρδεων καὶ ἐξάρχῳ πάσης Λυδίας, τῷ Νικαίας, τῷ Χαλκηδόνος καὶ ἐξάρχῳ πάσης Βιθυνίας, τῷ Ποντοηρακλείας καὶ τὸν τόπον ἐπέχοντι τοῦ Σίδης τῷ Βιζύης καὶ τὸν τόπον ἐπέχοντι τοῦ Σταυρουπόλεως, τῷ Βρύσεως, τῷ Μύρων, τῷ Ἀθηνῶν, τῷ ὑποψηφίῳ Ἀδριανουπόλεως, τῷ Τραπεζοῦντος, τῷ Μιλήτου, τῷ Ῥωσίου, τῷ Ἀμάστριδος, τῷ Αἴνου, καὶ τοῖς ἀρχιεπισκόποις, τῷ Μαρωνείας, τῷ Λήμνου καὶ τῷ Δέρκου, διέγνω καὶ κατεπράξατο, ὡς ἂν ἡ εἰρημένη ἁγιωτάτη μητρόπολις, τὰ Ἰωάννινα, ἐπέχῃ τὸν τόπον τοῦ Ναυπάκτου, καὶ πᾶσαι αἱ τελοῦσαι ἐπισκοπαί, αἵ τε ὑπὸ τὴν Ναύπακτον καὶ αἱ ὑπὸ τὰ Ἰωάννινα, αἱ διαιρεθεῖσαι μετὰ τὸ ἀποσπασθῆναι τὴν Ναύπακτον ὑπὸ τῶν Ἰταλῶν τὸν τρόπον δν εἴρηται, μετὰ τὴν ἀπόστασιν τοῦ νῦν ὅπως ποτὲ εὑρισκομένου ἐκεῖσε Ναυπάκτου, τελῶσιν ἀπάρτι ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν, τὰ Ἰωάννινα, μέχρις ἂν ἡ τοιαύτη Ναύπακτος ὑπὸ τῶν Λατίνων κατέχηται, καὶ ὀφείλει ὅδε ὁ ἱερώτατος μητροπολίτης Ἰωαννίνων καὶ τὸν τόπον ἐπέχων τοῦ Ναυπάκτου, ὑπέρτιμος, ἀγαπητὸς κατὰ κύριον ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κῦρ Σεβαστειανός, ἐν πάσαις ταῖς τοιαύταις ἐπισκοπαῖς, ταῖς ὑπὸ τὴν Ναύπακτον καὶ τὰ Ἰωάννινα, ἔχειν ἐπὶ πάσης ἀδείας καὶ ἐξουσίας ἐπισκόπους χειροτονεῖν, ἔτι τε πρεσβυτέρους, διακόνους καὶ ὑποδιακόνους προχειρίζεσθαι, ἀναγνώστας σφραγίζειν, πνευματικοὺς πατέρας ἀποκαθιστᾶν, ναοὺς ἱεροὺς καθιεροῦν καὶ πάντα ποιεῖν ἀπροκριματίστως, ὅσα ἐφεῖται γνησίῳ ἀρχιερεῖ, μετὰ τῆς προσηκούσης ἐρεύνης καὶ ἀκριβείας, κατὰ τὴν τῶν θείων καὶ ἱερῶν κανόνων ἀκριβῆ δοκιμασίαν καὶ παρατήρησιν, ποιμαίνειν τε καὶ διδάσκειν τὸν ἐν αὐταῖς χριστώνυμον τοῦ κυρίου λαόν, ὀφειλόντων πάντων ὑποδέξασθαι τοῦτον μετὰ μεγάλης τιμῆς καὶ πολλῆς τῆς περιχαρείας, ὡς ἄγγελον ἀπεσταλμένον παρὰ θεοῦ, καὶ στέργειν τοῦτον καὶ πείθεσθαι, ὡς ποιμένι καὶ φροντιστῇ τῶν ψυχῶν αὐτῶν. ἐπὶ τούτῳ γὰρ ἐπιδέδοται ἡ παροῦσα συνοδικὴ πρᾶξις τῷ εἰρημένῳ κῦρ Σεβαστειανῷ, ἔπειτα δὲ καὶ τοῖς μετ' αὐτὸν διαδεξομέ-

νοις τὴν ἁγιωτάτην μητρόπολιν, τὰ Ἰωάννινα, γνησίοις ἀρχιερεῦσιν ἐπὶ τῷ συνίστασθαι ἀκατάλυτον τὴν παροῦσαν συνοδικὴν πρᾶξιν, ἕως ἂν, ὡς εἴρηται, ὑπὸ τοῖς Ἰταλοῖς ἡ Ναύπακτος ᾖ, εἰς διηνεκῆ τὴν ἀσφάλειαν †.

CCXIII. (6873—1365) maio. ind. III.

Archiepiscopatus Leucadis per adiunctionem confertur metropolitae Ioanninorum.

† Τῷ αὐτῷ Ἰωαννίνων πρᾶξις ἐπὶ τῇ ἀρχιεπισκοπῇ Λευκάδι †.

† Ἡ μετριότης ἡμῶν παρακελεύεται διὰ τοῦ παρόντος γράμματος ἐπιλαβέσθαι τὸν ἱερώτατον μητροπολίτην Ἰωαννίνων, ὑπέρτιμον καὶ τὸν τόπον ἐπέχοντα τοῦ Ναυπάκτου, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν αὐτῆς καὶ συλλειτουργὸν, καὶ τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς τῆς Λευκάδος, ἐπεὶ αὕτη χηρεύει νῦν γνησίου ἀρχιερέως. ὀφείλει οὖν ἐν αὐτῇ ἀπροκριματίστως ποιεῖν πάντα, ὅσα ἐφεῖται γνησίῳ ἀρχιερεῖ, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ποιμαίνειν τε καὶ διδάσκειν τὸν ἐν αὐτῇ χριστώνυμον τοῦ κυρίου λαὸν καὶ ὁδηγεῖν αὐτοὺς ἐπὶ πάντα τὰ ψυχωφελῆ καὶ σωτηριώδη. τούτου γὰρ ἕνεκεν ἀπολέλυται καὶ ἡ παροῦσα πρᾶξις τῆς ἡμῶν μετριότητος τῷ Ἰωαννίνων δι' ἀσφάλειαν †.

† Μηνὶ μαΐῳ ἰνδ. γ' †.

CCXIV. (6873—1365) iunio. ind. III.

Litterae patriarchales de stauropegio in Mizisthra.

† Σιγίλλιον πατριαρχικὸν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ περὶ τὴν Πελοπόννησον ἐν τῷ Μιζισθρᾷ τῷ ἀνεγερθέντι παρὰ τοῦ πανευτυχεστάτου δεσπότου κυροῦ Μανουὴλ τοῦ Καντακουζηνοῦ †.

† Τὸ προοίμιον τοῦ ἐπὶ τῶν ἀναμνήσεων τοῦ Περιώτου †.

† Φθάνει δήπου καὶ τοῦτο τοῖς ἱεροῖς κανόσι πάλαι προτεθεσπισμένον, τὸ ἐξεῖναι δηλαδὴ τοῖς βουλομένοις φροντιστήρια καὶ θείους οἴκους ἀνεγείρειν ἐπὶ τῶν ἑκασταχοῦ μητροπόλεων, καὶ τούτους μὴ ὑπάγειν τῇ ἐπικρατείᾳ τῶν ἐν αὐτοῖς προέδρων, ἀλλ' ἀξιοῦν τελεῖν αὐτοὺς ὑπὸ

τῷ οἰκουμενικῷ πατριάρχῃ διὰ τῶν κατ' ἔθος γινομένων ἐν αὐτοῖς σταυροπηγίων, καὶ μηδαμὴ τοὺς τῶν πόλεων μητροπολίτας καὶ προέδρους μνήμην ἔχειν τοῦ ὀνόματος αὐτῶν ἐν ταῖς ἱεροτελεστίαις ταῖς ἐν αὐτοῖς δήπου τοῖς ναοῖς καὶ τοῖς φροντιστηρίοις γινομέναις. καὶ γοῦν ἀρχαίου ὄντος τούτου δὴ τοῦ ἔθους καὶ κανονικοῦ, δόξαν ἤδη καὶ τῷ περιποθήτῳ αὐταδέλφῳ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, πανευτυχεστάτῳ δεσπότῃ κυρῷ Μανουὴλ τῷ Καντακουζηνῷ, ἐν ἁγίῳ πνεύματι ἠγαπημένῳ καὶ ποθεινοτάτῳ υἱῷ τῆς ἡμῶν μετριότητος, ἐκ βάθρων ἀνεγεῖραι θεῖον καὶ σεβαστὸν ναὸν ἐν τῇ κατὰ τὴν Πελοπόννησον ἁγιωτάτῃ μητροπόλει Λακεδαιμονίας περὶ τὴν ἐκεῖ πόλιν τὴν Μιζηθρᾶν, εἰς ὄνομα τιμώμενον τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ζωοδότου, ἔπειτα τοῦτον ἀποκαταστῆσαι καὶ εἰς ἀνδρῶν μονύδριον, μὴ μέντοι ὑποκεῖσθαι τῇ ῥηθείσῃ ἁγιωτάτῃ μητροπόλει Λακεδαιμονίας, ἀλλ' εἶναι πατριαρχικὸν, καὶ μνημονεύεσθαι τὸν κατὰ καιρὸν τοὺς τῆς ἐκκλησίας οἴακας ἰθύνοντα οἰκουμενικὸν πατριάρχην, διδόναι τε ἐτησίως καὶ πρὸς τὸν διέποντα τὰ κατὰ τὴν Πελοπόννησον πατριαρχικὰ ἐξαρχικὰ δίκαια ὑπὲρ τοῦ συνήθους κανονικοῦ φλωρίννου, κἀντεῦθεν ἐδέησε προβῆναι ἐπὶ τοῦτο γράμμα σιγιλλιῶδες τῆς ἡμῶν μετριότητος τοῖς ἐνασκουμένοις τῷδε τῷ μονυδρίῳ, ὥστε εἶναι τοῦτο κατὰ τὸ διηνεκὲς εἰς τοὺς ἑξῆς χρόνους πατριαρχικόν· ἡ μετριότης ἡμῶν ἀπολύουσα τὸ παρὸν σιγιλλιῶδες γράμμα παρακελεύεται ἐν ἁγίῳ πνεύματι, εἶναι καὶ εὑρίσκεσθαι τοῦτο δὴ τὸ μονύδριον καθ' ἑαυτὸ, ὡς πατριαρχικὸν, κατὰ τὴν βούλησιν τοῦ πανευτυχεστάτου δεσπότου, καὶ μηδαμῶς ἔχειν ἤντινουν ἀνάκρισιν παρὰ τῶν κατὰ καιροὺς προεδρεύειν λαχόντων τῆς ἁγιωτάτης ταύτης μητροπόλεως Λακεδαιμονίας, μήτε μήν τινα τῶν τοῦ κλήρου ταύτης εἰσέρχεσθαι εἰς αὐτὸ καὶ ἀπαιτεῖν οἴακα ἤ τινας ἀπαιτήσεις καὶ ζημιοῦν αὐτὸ, οὐ μὴν ἀλλ' οὐδὲ τοὺς διέποντας τὰ ἐν τῇ Πελοποννήσῳ πατριαρχικὰ ἐξαρχικὰ δίκαια ποιεῖν καταμονὴν ἑαυτῶν ἐν τῷδε τῷ μονυδρίῳ καὶ κατατρίβειν αὐτόθι, ἀλλὰ τοῦτο μόνον λαμβάνειν ἐξ αὐτοῦ τὸ ἐπέτειον κανονικὸν, τὸ ἓν δηλονότι φλωρὶν, ὀφειλομένως ἐνεργουμένου καὶ ἀποδιδομένου τοῦ πατριαρχικοῦ μνημοσύνου ἐν τῷ αὐτῷ μονυδρίῳ, τάς γε μὴν διορθώσεις τῶν ψυχικῶν σφαλμάτων ποιείτω ὁ εὑρισκόμενος κατὰ καιροὺς ἔξαρχος, καὶ διορθούσθω κανονικῶς, πλὴν μὴ λάβῃ τι ἀπὸ τῆς τοιαύτης ἀνακρίσεως σχὼν προχωρείτω εἰς τὰ

κατατρίβειν καὶ ζημιοῦν τὸ μονύδριον, ἀλλὰ ποιείτω τὴν διόρθωσιν, ὡς εἴρηται, τῶν ψυχικῶν σφαλμάτων ἄνευ ζημίας καὶ κατατρίβης τινός. εἰς γὰρ τὴν περὶ τούτου δήλωσιν ἀπολέλυται τὸ παρὸν σιγιλλιῶδες γράμμα τῷ διαληφθέντι μονυδρίῳ τοῦ σωτῆρος Χριστοῦ τοῦ ζωοδότου ἐπὶ τῷ προσεῖναι εἰς διηνεκῆ τὴν ἀσφάλειαν †.

† Μηνὶ ἰουνίῳ ἰνδ. γ' †.

CCXV. (6873—1365) ianuario. ind. III.

Patriarcha monacho Lucae committit patronatum monasteriorum patriarchalium in Pteleo.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος ἀνατίθησι τῷ τιμιωτάτῳ ἐν μοναχοῖς, κῦρ Λουκᾶ, ἀγαπητῷ κατὰ πνεῦμα ταύτης υἱῷ, τὴν κτητορικὴν δικαίωσιν καὶ ἐφορείαν καὶ οἰκονομίαν τῶν ἐν τῷ Πτελέῳ εὑρισκομένων πατριαρχικῶν τριῶν μονυδρίων, ὅστις καὶ ὀφείλει ἐπιλαβέσθαι τούτων καὶ προηγουμένως μὲν καὶ παρὼν καὶ ἀπὼν διὰ γραμμάτων καὶ διδασκαλιῶν, ὡς ἱκανὸς εἰς τοῦτο ὤν, χάριτι Χριστοῦ, νουθετεῖν καὶ εἰσηγεῖσθαι αὐτοῖς τὰ κρείττονα καὶ σωτηρίαν ἐχόμενα καὶ παντὶ τρόπῳ χειραγωγεῖν καὶ ὁδηγεῖν αὐτοὺς ἐπὶ τὴν κατόρθωσιν τῆς ἀρετῆς, εἶτα συνιστᾶν καὶ βελτιοῦν πάντα τὰ αὐτοῖς προσόντα κτήματά τε καὶ πράγματα καὶ, ὃν ἂν ἀποκαταστήσῃ δικαίῳ καὶ ἡγούμενον, ἔχειν αὐτὸν τὸ βέβαιον καὶ ἀσφαλὲς, ὡς ἐκλελεγμένον παρ' αὐτοῦ καλῶς καὶ εἰδότος καὶ ἐκλεξαμένου, ἐπεὶ καὶ ἡ μετριότης ἡμῶν ἑτέρῳ γράμματι τὸν ὑπ' αὐτοῦ καταστάντα δικαίῳ ἐκύρωσε, καὶ ἐνετείλατο διάγειν σεμνῶς καὶ διδάσκειν οὕτω τοὺς ὑπ' αὐτὸν διάγειν καὶ τῶν αὐτοῖς προσόντων πάντων ἐπιμελεῖσθαι ὥστε ἐπὶ τὸ βέλτιον προχωρεῖν. διὸ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται †.

† Μηνὶ ἰανουαρίῳ ἰνδ. γ' †.

CCXVI. Sine anno.

Episcopatus Polystyli per adiunctionem confertur archiepiscopo Maroneae.

CCXVII. Sine anno.

Archiepiscopo Maroneae per adiunctionem confertur episcopalis administratio insulae Thasi.

CCXVIII. (6873—1365) iulio. ind. III.

Presbyter quidam sacrilegii condemnatur.

† Μηνὶ ἰουλίῳ ἰνδ. γ' προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς τοῦ ἀοιδίμου καὶ ἁγιωτάτου πατριάρχου Ἀρσενίου κελλίοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τῶν ἱερωτάτων ἀρχιερέων τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Ἀδριανουπόλεως καὶ τοῦ ἀρχιεπισκόπου Μαρωνείας, ὁ πρεσβύτερος ὁ υἱὸς τοῦ ἐν τῷ Ἀετῷ ἱερομονάχου καὶ πνευματικοῦ, τοῦ ὄντος πρότερον ἐξάρχου ..... ἁλοὺς ἐπὶ ἱεροσυλίᾳ καὶ παραστὰς ἐξεῖπεν ἀπὸ στόματος καὶ ἀνωμολόγησεν, ὅτι ἐπὶ τρισὶν ἡμέραις διαμείνει ἄσιτος καὶ αὐτὸς καὶ ἡ γυνὴ καὶ τὰ παιδία αὐτοῦ, ἀναγκασθεὶς ἀπέσπασεν ἀπὸ τῆς ἱερᾶς καὶ σεβασμίας εἰκόνος τῆς θεοτόκου τὸ φεγγεῖον τῆς οὔσης ἐν ᾧ ναῷ ἱερατικῶς ἐξυπηρετῶν ἦν, καὶ τὸ ἀπὸ τούτου τίμημα δέδωκεν εἰς ἐξώνησιν τῶν τροφίμων. οὕτως εἶπεν αὐτοστομάτως. διεγνώσθη τοίνυν συνοδικῶς καθῃρημένον τὸ ἀπὸ τοῦδε εἶναι αὐτὸν καὶ ἀποτετμημένον τοῦ τῶν ἱερέων χοροῦ. ἣν δὴ καταδίκην ἀκούσας ἔστερξε, καὶ ὑπέσχετο αὖθις αὐτοστομάτως, μηδὲν ὅλως ἁπάρτι τῶν ἱερῶν ἅψασθαι καὶ ἱερατικῶς ἐξυπηρετῆσαι. καὶ εἰς δήλωσιν κατεστρώθη ἐνταῦθα ἡ τῆς καθαιρέσεως ἀπόφανσις †.

CCXIX. (6873—1365) iulio. ind. III.

Ignatius, episcopus Nysae, in metropolim Chersonis transfertur.

CCXX. (6873—1365) augusto. ind. III.

Episcopus Polystyli transfertur in ecclesiam Christupoleos.

† Πρᾶξις συνοδικὴ ἐπὶ τῇ μεταθέσει τῇ ἀπὸ Πολυστύλου εἰς Χριστούπολιν †.

† Ἐπεὶ τῆς ἁγιωτάτης μητροπόλεως Χριστουπόλεως χηρευούσης ἀρχιερέως ὁ πρὸ ἡμῶν πατριάρχης, κῦρ Κάλλιστος, ἀπερχόμενος εἰς τὴν Σερβίαν ἐπί τινι δουλείᾳ, ἧς ἕνεκεν καὶ ἀπήρχετο, προεβίβασε τὸν θεοφιλέστατον ἐπίσκοπον Πολυστύλων εἰς μητροπολίτην Χριστουπόλεως, ἐπράχθη δὲ τοῦτο παρὰ τῆς τῶν ἱερῶν κανόνων ἀκριβείας, ἀπαγορευόντων, μὴ ἰδίᾳ γίνεσθαι παρὰ τοῦ πατριάρχου τὰ ὀφειλόμενα γίνεσθαι γνώμῃ καὶ ψήφῳ συνοδικῇ, ὥσπερ οὐ μηδὲ τὰ ἴδια τούτου κοινῇ παρὰ

πάντων. μετὰ δὲ τὴν εἰς τὸν πατριαρχικὸν θρόνον ἐπάνοδον τῆς ἡμῶν μετριότητος μηνυθεὶς παρ' αὐτῆς οὗτος δὴ ὁ Πολυστύλου ἔγραψεν ἡμῖν ὡς μητροπολίτης, κἀντεῦθεν κινηθείσης ἐπὶ τῇ θείᾳ καὶ ἱερᾷ συνόδου τῇσδε τῇς εἰς αὐτὸν γεγοντίας μεταθέσεως, οὐκ ἔδοξε τοῖς ἱερωτάτοις ἀρχιερεῦσιν ἔχειν τὸ στέργον τήνδε τὴν πρᾶξιν ἀκανονίστως προβᾶσαν, ἀλλ' ἐγνωμοδότησαν ἅπαντες, εἶναι αὐτὸν ἐπίσκοπον Πολυστύλου καὶ οὐ μητροπολίτην. εἶτα μετὰ τήνδε τὴν κανονικὴν ἀκριβῆ παρατήρησιν καὶ ἐκπλήρωσιν πάλιν ἔδοξε τῇ ἡμῶν μετριότητι ἅμα τῇ περὶ αὐτὴν ἱερᾷ συνόδῳ καὶ ὁμηγύρει τῶν ἀρχιερέων, προβιβασθῆναι τοῦτον αὖθις εἰς τὴν ῥηθεῖσαν ἁγιωτάτην μητρόπολιν Χριστουπόλεως, τοῦτο μὲν διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν, ἐνασκήσας γὰρ τῇ μοναδικῇ πολιτείᾳ καὶ εἰς γῆρας δεδουλευκὼς τῷ θεῷ ἐστιν ἱκανὸς ποιμαντικῶς λαοῦ χριστωνύμου προΐστασθαι, τοῦτο δὲ καὶ διὰ τὴν ἀξίωσιν τὴν ὑπὲρ αὐτοῦ τῶν ἀρχόντων, οἵτινες ἄρχουσι τῆς Χριστουπόλεως, τοῦ τε οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι μεγάλῳ στρατοπεδάρχῳ καὶ τοῦ αὐταδέλφου αὐτοῦ, τοῦ περιποθήτου γαμβροῦ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μεγάλου πριμμικερίου, ἀγαπητῶν κατὰ πνεῦμα υἱῶν τῆς ἡμῶν μετριότητος, τῶν Ἀλεξίων, στεργόντων αὐτὸν καὶ ἀγαπώντων καὶ παντὸς τοῦ ἐκεῖ λαοῦ· ὡς ἐξ ἀρχῆς ἤδη προάγει τοῦτον δὴ τὸν θεοφιλέστατον ἐπίσκοπον Πολυστύλου, καὶ μετατίθησιν εἰς τὴν ἁγιωτάτην ταύτην μητρόπολιν Χριστουπόλεως· ὅθεν καὶ ἀπολύουσα ἡ μετριότης ἡμῶν τὴν παροῦσαν ταύτην συνοδικὴν πρᾶξιν, κοινῇ πάντων ἐπ' αὐτῇ συμψηφισαμένων τε καὶ γνωμοδοτησάντων τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ τε Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Κυζίκου, τοῦ Φιλαδελφείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Ἀλανίας καὶ Σωτηροπόλεως καὶ τὸν τόπον ἐπέχοντος Μελιτήνης, τοῦ Ποντοηρακλείας, τοῦ Ἀδριανουπόλεως, τοῦ Μύρων, τοῦ Βρύσεως, τοῦ Μιλήτου, τοῦ Ἀθηνῶν, τοῦ Ζηχίας, τοῦ Ἀμάστριδος, τοῦ Ῥωσίου καὶ τοῦ Μαρωνείας καὶ τοῦ Λήμνου, ἀποκαθίστησι τόνδε τὸν θεοφιλέστατον ἐπίσκοπον Πολυστύλου μητροπολίτην Χριστουπόλεως, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, κῦρ Πέτρον, ὀφείλοντα ποιμαίνειν καὶ διεξάγειν τὸν ὑπ' αὐτῷ λαὸν κανονικῶς κ. τ. λ. †.

† Μηνὶ αὐγούστῳ ἰνδ. γ' †.

CCXXI. (6873—1364) septembri. ind. III.

Metropolita Alaniae et Soteropoleos confirmatur in ecclesiis ei collatis.

Περὶ τοῦ Ἀλανίας καὶ Σωτηροπόλεως, ὅπως ἡγῶνται αἱ βασιλικαὶ ἐκκλησίαι.

† Ἔφθασε μὲν ἤδη πρὸ χρόνων πολλῶν ἡ ἁγιωτάτη ἐπισκοπὴ Σωτηροπόλεως ἑνωθεῖσα τῇ ἁγιωτάτῃ μητροπόλει Ἀλανίας κατὰ λόγον ἐπιδόσεως, καὶ διέμεινεν ἡ ἕνωσις αὕτη τῶν ἁγιωτάτων ἐκκλησιῶν μέχρι τοῦ νῦν, καὶ ἐτέλουν αἱ βασιλικαὶ ἐκκλησίαι ὑπὸ ἑνὶ μετροπολίτῃ· ἐπεὶ δὲ τοῦ πρὸ ἡμῶν πατριάρχου διά τινα μεσολαβήσαντα σκάνδαλα μεταξὺ ἐκείνου καὶ τοῦ Ἀλανίας, κῦρ Συμεών, ἠθέλησεν ἐκεῖνος καὶ ἐχειροτόνησεν ἐν τῇ Ἀλανίᾳ ἰδίως μητροπολίτην, τούτου περιόντος, κἀντεῦθεν καταλαβὼν οὗτος ἐνταῦθα καὶ κινήσας τὰ τῆς ὑποθέσεως ἐνώπιον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ ἐπὶ τῆς θείας καὶ ἱερᾶς συνόδου κατὰ τὸ ἐνδεδομένον αὐτῷ, καὶ ἐξετασθέντων τῶν κατ' αὐτὸν ἀκριβῶς πολλάκις, ἐδικαιώθη δι' ἐγγράφου ψήφου συνοδικῆς, ὥστε εἶναι μὲν τὸν αὐτὸν πάλιν μητροπολίτην Ἀλανίας καὶ Σωτηροπόλεως, καὶ ἔχειν πάντα τὰ δίκαια καὶ προνόμια αὐτοῦ, τὰ ἐντὸς δηλονότι τῆς Τραπεζοῦντος, ἤγουν τὴν ἁγιωτάτην ἐκκλησίαν τὴν εὑρισκομένην ἐντὸς αὐτῆς ἐπ' ὀνόματι τιμωμένην τῆς θεοτόκου τῆς παραμυθίας καὶ τοὺς ὑπ' αὐτὴν κληρικοὺς καὶ τὰ ἄλλα πάντα δίκαια καὶ προνόμια, ὅσα κέκτηται ἡ μητρόπολις αὕτη ἔν τε τῇ πόλει Τραπεζοῦντος καὶ ταῖς ὑπ' αὐτὴν χώραις καὶ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ Σωτηροπόλεως, ἤγουν τῆς ὑπεράγνου θεοτόκου τῆς Ἀθηνιωτίσσης τῆς καὶ Λαζικῆς, ἔτι τε καὶ τὰ περὶ Ἀλανίαν καὶ Καυκασίαν καὶ Ἀχωχίαν, τὸν δέ γε ἀκανονίστως χειροτονηθέντα ἐκεῖνον ἔχειν τὴν κατεπέκεινα τούτων. καὶ οὕτω τούτων προβάντων φθάνει ἐκστὰς τοῦ βίου ἐκεῖνος, ὡσαύτως δὲ καὶ ὁ πρὸ ἡμῶν πατριάρχης, καὶ τῆς ἡμῶν μετριότητος ἐπανελθούσης, εὐδοκίᾳ θεοῦ, εἰς τὸν πατριαρχικὸν θρόνον, κατέλαβεν ἀρτίως εἰς τὴν ἡμῶν μετριότητα ὅδε ὁ μητροπολίτης Ἀλανίας, καὶ ἀνήνεγκε ταῦτα πάντα. συνδιασκεψαμένη τοίνυν ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ αὐτὴν ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Κυζίκου, τοῦ Φιλαδελφείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Ποντοηρακλείας, τοῦ Ἀδριανουπόλεως, τοῦ Μύρων, τοῦ Ἀθηνῶν, τοῦ Βρύσεως, τοῦ Ματρά-

χων καὶ Ζηχίας, τοῦ Ἀμάστριδος, τοῦ Ῥωσίου, τοῦ Χερσῶνος καὶ τοῦ Μαρωνείας, διέγνω καὶ ἀπεφήνατο, εὑρίσκεσθαι πάλιν κατὰ τὴν ἐκκλησιαστικὴν ἐκείνην ἀρχαίαν κατάστασιν καὶ συνήθειαν κατὰ τὰς ἐμφανισθείσας παρ' αὐτοῦ συνοδικὰς παλαιγενεῖς πράξεις καὶ τὰς ἐπ' αὐταῖς τῶν ἀοιδίμων βασιλέων διὰ χρυσοβούλλων καὶ τὰς ὕστερον γεγονυίας ἐπὶ τοῦ ἀοιδίμου πατριάρχου, κῦρ Ἰσιδώρου, καὶ τοῦ ἐπ' αὐτῷ προβαίνοντος σεπτοῦ χρυσοβούλλου τοῦ βασιλέως τοῦ ἁγίου τοῦ Καντακουζηνοῦ, ἔνθεν τοι καὶ καθέξει οὗτος δὴ ὁ ἱερώτατος μητροπολίτης Ἀλανίας καὶ Σωτηροπόλεως καὶ τὸν τόπον ἐπέχων τοῦ Μελιτηνῆς, ὑπέρτιμος καὶ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, πάντα τὰ ἀνωτέρω εἰρημένα δίκαια τῆς αὐτοῦ μητροπόλεως Ἀλανίας καὶ Σωτηροπόλεως, καθὼς εἶχε ταῦτα καὶ πρώην, ποιῶν ἐπ' αὐταῖς τὰ ἀνήκοντα αὐτῷ ἐκκλησιαστικὰ ἔργα καὶ τὰς πράξεις καὶ ἀποφερόμενος πάντα τὰ ἀνήκοντα αὐτῆς δίκαια. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις, μηνὶ σεπτεβρίῳ ἰνδ. γ' †.

CCXXII. 6874 (1365) decembri. ind. IV.

Patriarcha concedit, ut vinea infantis cuiusdam vendatur.

† Τὸ ἴσον τοῦ εἰς τὰς Σέρρας γράμματος ἐπὶ ἐκποιήσει κτημάτων παιδί.. τοῦ Βαϊοφόρου †.

† Ἐπεὶ ὁ ἀπὸ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου Μανουὴλ ὁ Βαϊοφόρος καὶ ὁ γυναικάδελφος αὐτοῦ, Ἀθανάσιος ὁ Κούπιστας, ἀνήνεγκαν, τῇ ἡμῶν μετριότητι, ὅτι ἀποθανούσης τῆς γυναικὸς τοῦ Βαϊοφόρου ἐπὶ παιδὶ τριετεῖ καὶ καταλιπούσης οἴκημα καὶ εἰ δή τινα καὶ ἀμπέλια τῆς οἰκείας προικὸς περὶ τὰς Σέρρας, βούλονται οὗτοι διαπράσαι ταῦτα πρὸς τὸν βουλόμενον ἐξωνήσασθαι, διὰ δὲ τὸ εἶναι τὸ παιδίον ἀτελοῦς ἡλικίας καὶ φρονήματος, μήποτε ἐμποδισθῇ ἥδε ἡ πρᾶσις, ἐδεήθησαν οὗτοι τῆς ἡμῶν μετριότητος, ἀπολυθῆναι γραφὴν αὐτῆς εἰς τὴν ἑξῆς ἀνενοχλησίαν τοῦ ἐξωνησομένου· τὴν τούτων προσηκαμένη δέησιν αὕτη τὸ παρὸν ἀπολύει, δι' οὗ καὶ παρακελεύεται, ἀπεμποληθῆναι ταῦτα χωρὶς δισταγμοῦ καὶ ἀμφιβολίας, οὐδὲ γὰρ εἴπερ τὸ παιδίον ἀνδρωθὲν κινήσειέ ποτε ἀγωγὴν ἴσως ἀφηλικιότητος, ζημιωθήσεται ὁ ἐξωνήσας καὶ ἄκυρος ἡ πρᾶσις γενήσεται, ὅτι προτροπῇ τῆς ἡμῶν ἐγένετο μετριότητος, καὶ οὕτως, ὥστε μετακομισθῆναι τὸ τίμημα

τὰ ὑπέρπυρα πρὸς τὴν ἡμῶν μετριότητα καὶ ἀγορασθῆναι ἐνταῦθα κατὰ τὴν μεγάλην πόλιν, ἐν ᾗ καὶ τὸ παιδίον εὑρίσκεται, κτήματα λόγῳ τοῦ παιδίου. ὀφείλει δὲ καὶ ὁ Ἀμνσέλης Βαντιμοίρης ὁ ἀπερχόμενος ἐκεῖσε διακομίσαι τὰ ὑπέρπυρα τοῦ τιμήματος πάντων, τοῦ ἀμπελίου, τοῦ οἰκήματος καὶ τῶν εἰδῶν, ἀκαινοτόμητα καὶ ἀμείωτα, καὶ ὁ πρὸς μητρὸς θεῖος τοῦ παιδίου, ὁ Κούπιστας, ποιῆσαι τὴν πρᾶσιν ἀδολιεύτως καὶ καθαρῶς, ὡς ἐπιτιμίου ἐκκλησιαστικοῦ ἐπενεχθέντος κατὰ τοῦ δολιευσαμένου ἐπὶ τῇ τοιαύτῃ πράσει, ἀγαγεῖν δὲ καὶ τὸ πρατήριον ἐνταῦθα, τὸ ἴσον δηλονότι, ὑπογεγραμμένον παρὰ τοῦ τοπικοῦ ἀρχιερέως, διὰ τὸ ἀδιάβλητον, ἐκτρέφειν δὲ τὸ παιδίον, τὸν Βαϊσφόρον, ὡς ὁ φυσικὸς καὶ γραπτὸς ἀπαιτεῖ νόμος, διαγορεύων· οἱ πατέρες ἐξ ἀνάγκης ὀφείλουσι τοὺς οἰκείους παῖδας ἐκτρέφειν. τούτου ἕνεκεν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα, μηνὶ δεκεμβρίῳ ἰνδ. δ΄ †.

CCXXIII. 6874 (1366) maio. ind. IV.

Iura monasterii Brontochii in Peloponneso confirmantur.

† Σιγίλλιον ἐπὶ τῇ εἰς τὴν Πελοπόννησον σεβασμίᾳ μονῇ τοῦ Βροντοχίου †.

Προοίμιον τοῦ Χλωροῦ.

† Εἰ δὲ διὰ τὸ πάντα νοεῖν ἀφ' ἑαυτοῦ τινα κἀκεῖνα ποιεῖν, δι' ἃ καὶ εἰς τὸ ἑξῆς (τὰ) ἑαυτοῦ τε καὶ πολλῶν ἄλλων ἔσται βελτιῶν ὁ ταῦτα ποιῶν, τῇ πρώτῃ τάξει τῶν ἐγκωμίων ἐγκαταλέγουσι παῖδες Ἑλλήνων σοφίαν ἀσκήσαντες κοσμικήν, πανάριστον οὕτω πως ὀνομάσαντες τοῦτον, δευτέρας δὲ πάλιν ἀξιοῦσι τῆς τάξεως τὸν ἀφ' ἑαυτοῦ μὲν μὴ νενοηκότα ποιῆσαι ταυτί, πεισθέντα δὲ τῷ μηνύσαντι καὶ εἰπόντι, ἐσθλὸν καὶ τὸν τοιοῦτον εἰπόντες, πόσων εἰκὸς ἀξιωθῆναι τῶν ἐγκωμίων παρὰ τῶν τὴν πνευματικὴν μετιόντων σοφίαν, μᾶλλον δὲ τῶν ζερῶν, παρ' αὐτῆς τῆς αὐτοσοφίας Χριστοῦ, τοὺς οἴκοθεν καὶ παρ' ἄλλων πεισθέντας ἑλέσθαι τὸ μέγιστον τῶν καλῶν, ὅπερ ἐστὶ τὸ δόξαν τινὰ καὶ τιμὴν ἐθελῆσαι τῷδε δοξασμένῳ καὶ σεβασμίῳ ὀνόματι περιθεῖναι τῆς ἀειπαρθένου καὶ θεομήτορος διὰ τὸν ἐξ αὐτῆς ἀρρήτως καὶ ὑπὲρ φύσιν βλαστήσαντα Χριστὸν καὶ θεόν, ᾗ δῆλον, ὅτι τῶν κοσμικῶν ὅσῳ τὰ πνευματικὰ τιμιώτερα, καὶ τούτων πάλιν αὐτῶν τὰ θειότερά τε καὶ ὑψηλότερα, τοσούτῳ μειζόνων εἰκὸς ἀξιωθῆναι τού-

τους καὶ τῶν ἐπαίνων καὶ τῶν γερῶν. ἐπεὶ τοίνυν προθυμουμένη τῇ ἡμῶν μετριότητι τιμήν τινα περιθεῖναι τῇ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῇ κατὰ τὴν Πελοπόννησον διακειμένῃ, διὰ τὸ εἰς ὄνομα ταύτην τιμᾶσθαι τῆς παναχράντου θεομήτορος καὶ ἐπικεκλημένης τοῦ Βροντοχίου, ἀνηνέχθη ταύτῃ, ὅτι προεβιβάσθη καὶ ἐτιμήθη ἡ τοιαύτη μονὴ ἐπὶ τῶν ἡμερῶν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου πατριάρχου, ἔτι δὲ καὶ παρὰ τῶν λοιπῶν ἁγιωτάτων πατριαρχῶν εἰς τὴν τοῦ ἀρχιμανδρίτου καὶ μεγάλου πρωτοσυγκέλλου τιμήν, καὶ ὅτι ἐξεδόθη αὐτῇ λόγῳ μετοχίου διὰ σιγιλλιώδους ἐκείνου γράμματος καὶ μονύδριον τὸ εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου περὶ τοὺς Καφαλοὺς διακείμενον, προέβησαν δὲ ἐπὶ τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ καὶ ἕτερα δικαιώματα οὐκ ὀλίγα, σεπτὰ δῆτα χρυσόβουλλα καὶ πατριαρχικαὶ γραφαί, ἔτι δὲ καὶ ἀπογραφικαὶ ἀποκαταστάσεις πολλαὶ καὶ διάφοροι ἐπικυροῦσαι πᾶσαι καὶ βεβαιοῦσαι, εὑρίσκεσθαι τὸ εἰρημένον μονύδριον τοῦ θεολόγου εἰς μετόχιον τῆς τοιαύτης τοῦ Βροντοχίου μονῆς εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, ναὶ μὴν καὶ περὶ τῶν ἑτέρων κτημάτων καὶ μετοχίων αὐτῆς, ὥστε κατέχειν ταῦτα καὶ νέμεσθαι αὐτὴν ἀκωλύτως καθάπαξ, ἡ μετριότης ἡμῶν μετὰ πολλῆς προθυμίας τὰ εἰρημένα δικαιώματα πάντα ἐπικυροῦσα καὶ οἷον εἰπεῖν σφραγίδα τούτοις ἐπιτιθεῖσα, διὰ βεβαίωσιν καὶ ἀσφάλειαν, τὸ παρὸν σιγίλλιον ἀπολύει, δι' οὗ καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, πάντα ταῦτα τὸ στέργον ἔχειν καὶ ἀμετάθετον ἐν πᾶσιν, εἰς ὅσα δηλονότι κατὰ μέρος διαλαμβάνουσί τε καὶ περιέχουσι, καὶ κατέχειν καὶ νέμεσθαι τοὺς ἐνασκουμένους αὐτῇ μοναχοὺς τὸ εἰρημένον τοῦ θεολόγου μονύδριον καὶ πάντα τὰ αὐτῶν μετόχιά τε καὶ κτήματα κατὰ τὰς δυνάμεις καὶ περιλήψεις τῶν ὑπαρχόντων αὐτοῖς δικαιωμάτων ἀναφαιρέτως τε καὶ ἀναποσπάστως εἰς αἰῶνα τὸν ἅπαντα. ἐπεὶ δ' ἀνηνέχθη καὶ τοῦτο τῇ ἡμῶν μετριότητι, παρὰ τοῦ εἰς ἡγούμενον, ἀρχιμανδρίτην καὶ μέγαν πρωτοσύγκελλον ἀρτίως εὑρισκομένου τῆς τοιαύτης σεβασμίας βασιλικῆς καὶ πατριαρχικῆς μονῆς, τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Κυπριανοῦ καὶ τῶν ἐνασκουμένων αὐτῇ μοναχῶν, ὡς ἦν ποτε χρόνος, πρὸ τοῦ γενέσθαι δηλαδὴ τὴν τοῦ Πέλοπος νῆσον ὑπὸ τὴν χεῖρα τῶν Ἰταλῶν, ὅτε τὸ εἰρημένον τοῦ θεολόγου μονύδριον ἐτέλει καθ' ἑαυτὸ ἐν αὐτονομίᾳ καὶ ἐξουσίᾳ ἰδίᾳ, μονή τις ὁλόκληρος οὖσα καθ' ἑαυτὴν καὶ

μεγάλη, εὐεργετηθεῖσα τὴν τοιαύτην ἔχειν αὐτονομίαν παρὰ τοῦ τότε πατριαρχεύοντος διὰ σιγιλλιώδους γράμματος, ἐπηρτημένου ὄντος καὶ βάρους ἐπιτιμίου διὰ τούτου κατὰ τοῦ θελήσοντός ποτε τὴν τοιαύτην αὐτονομίαν αὐτῆς καθελεῖν καὶ ἑτέρους ταύτην (τὴν) μονὴν εἰς μετόχιον προσκυρῶσαι· ἡ δὲ τῶν Ἰταλῶν ἐπικράτεια τὰ πλείω τῆς τοιαύτης μονῆς τῷ τότε ἀφείλετο κτήματα, καὶ ἀντὶ μονῆς μόλις μονύδριον εἶναι πεποίηκεν, οὗτινος, ὡς δεδήλωται, σιγιλλίου τότε μὲν ἀφανοῦς ὄντος καὶ κεκρυμμένου, ἡνίκα παρὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου πατριάρχου εἰς μετόχιον ἐξεδίδοτο, ἀρτίως δὲ τούτου φανέντος πολλή τις κατὰ τὸ εἰκὸς ἐπέπεσε τοῖς δηλωθεῖσι μοναχοῖς ἡ δειλία, μή ποτε (τὸ) δι' αὐτοῦ δηλούμενον ἐπιτίμιον βλάβην ἐπαγάγῃ ψυχαῖς ταῖς αὐτῶν, καὶ ἀνέφερον τῇ ἡμῶν μετριότητι περὶ τούτου, λύσιν ἐξαιτούμενοι τοῦ εἰρημένου ἐπιτιμίου τοῦ περιεχομένου καὶ δηλουμένου, ὡς εἴρηται, τῷ τότε προβάντι σιγιλλίῳ, ὅτε δηλονότι μονὴ μεγάλη καὶ καθ' ἑαυτὴν ἦν ἡ τῶν Καφαλῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου. διασκεψαμένη καὶ περὶ τούτου ἡ μετριότης ἡμῶν καὶ διὰ πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ διὰ τὸ συμφέρον ὑπάρχον κατὰ ψυχήν, ἐπικρίνασα δίκαιον εἶναι, τελεῖν τὸ εἰρημένον μονύδριον οὐ καθ' ἑαυτό, ἀλλ' ὑπὸ τὴν ἐξουσίαν καὶ τὸ θέλημα τῆς τοιαύτης σεβασμίας μονῆς τῆς τοῦ Βροντοχίου, ἔχει τοῦτο ἡ μετριότης ἡμῶν ἐν ἁγίῳ πνεύματι συγκεχωρημένον καὶ λελυμένον διὰ τῆς δοθείσης αὐτῇ ἐξουσίας ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ τῶν ἁγίων αὐτοῦ μαθητῶν τε καὶ ἀποστόλων, κελεύσαντος μὲν πρὸς ἐκείνους λύειν τε καὶ δεσμεῖν ἁμαρτίας ἐπὶ τῆς γῆς καὶ ὅπερ ἂν λύσωσιν ἐπὶ γῆς, εἶναι λελυμένον καὶ ἐν τοῖς οὐρανοῖς, ὅπερ δὲ δεσμεύσωσιν, εἶναι καὶ ἐκεῖ δεδεμένον, φιλανθρώπως δὲ δι' ἐκείνων καὶ εἰς ἡμᾶς τὴν τοιαύτην διαβιβάσαντος χάριν. ἐπεὶ δ' ἔτι ἀνέφερον οἱ δηλωθέντες μοναχοί, ὅτι καὶ ἕτερα κτήματα ἔχει ἡ τοιαύτη σεβασμία μονὴ καὶ παροίκους, τὰ μὲν ἐξ ἀγορασίας περιελθόντα αὐτῇ, τὰ δὲ ἀπὸ προσενέξεως τινῶν, ἀφ' ὧν, ὡς ἀνήνεγκαν, τὰ μὲν ἐξ ἀγορασίας εἰσὶ ταῦτα· περὶ τὴν Βρύσιν πάνσεπτον καὶ θεῖον ναὸν τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου καὶ τὸν ἐν αὐτῷ ἱερατικῶς ἐξυπηρετούμενον ἱερέα τὸν Ὀφαρὰν καὶ τὴν αὐτοῦ ἐξαδέλφην, μεθ' ὧν ἔχουσι κτημάτων γονικῶν τε καὶ ἀγοραστικῶν, οὕτως ἐξωνησαμένης αὐτοὺς τῆς τοιαύτης μονῆς παρὰ Ἀγγέλου Νικολάου τοῦ Φαγομόθη, καὶ ἀμπέλιον περὶ

τὸν ἅγιον Στέφανον ἀπὸ τῆς γυναικὸς τοῦ πρωτεκδίκου ἐκείνου τοῦ Καμνῆ, καὶ μυλοτόπιον περὶ τὴν Βάρσοβαν ἀπὸ Νίκωνος τοῦ Φιλοσόφου, ἕτερον ἀμπέλιον ἀπὸ τῆς Λασκαρίνης, καὶ χωράφια περὶ τοὺς Καλυβίτας ἀπὸ τοῦ ἐναρέτου ἐκείνου κῦρ Κωνσταντίνου, ἐξ ἀγορασίας ἔχουσα ταῦτα πάντα, ὡς εἴρηται· ἀπὸ δὲ προσενέξεως ταῦτα· ἀμπέλιον ἀπὸ τοῦ Μαγκαφᾶ ἐκείνου, ἕτερον ἀμπέλιον ἀπὸ τοῦ κῦρ Λέοντος τοῦ Κλαδᾶ περὶ τὴν Τρύπην, καὶ χωράφιον εἰς τὴν Καλογωνίαν καὶ πάροικον τὸν Παρδογέρην ἀπὸ τοῦ ἄρχοντος ἐκείνου, κῦρ Νικολάου· ἀλλὰ καὶ πάροικοι τῆς τοιαύτης μονῆς ἐξωνήσαντο ἐρείπια περὶ τὸν Θεολόγον ἀπὸ τῶν Σταματοπουλίων, ἃ καὶ μετεποίησαν εἰς ἀμπέλια, καὶ ἤδη κατέχουσιν ὅ τε Μπόχαλης καὶ ὁ Πλείσταρης, καὶ ἑτέρους δὲ παροίκους, ὧν τοὺς μὲν ἡ τοιαύτη μονὴ ἀνεθρέψατο, οἵτινες καὶ εἰσὶν οὗτοι· Ἰωάννης ὁ Λεονταρίτης ὁ Μάσταλης, Ἰωάννης ὁ Νικολιτζόπουλος, Γεώργιος ὁ τῆς Ἀνυφαντῶ καὶ Ἰωάννης ὁ τοῦ Χειλᾶ· ἐκ δὲ προσενέξεως καὶ παραδόσεως τῶν κατὰ καιροὺς κεφαλαττικευσάντων καὶ ἑτέρων εἰσὶν οὗτοι· Χριστοφόρος ὁ Κουρτέσης, Νικόλαος ὁ Τρίκωλος, Νικόλαος ὁ Φράγκος καὶ ὁ ἀδελφὸς αὐτοῦ καὶ Γεώργιος ὁ Βινάτος. καὶ ἐδεήθησαν οἱ δηλωθέντες μοναχοὶ ῥητῶς καὶ ταῦτα καταγραφῆναι ἐν τῷ παρόντι σιγιλλίῳ τῆς ἡμῶν μετριότητος, καθὰ δὴ καὶ δεδήλωται, ὡς ἂν ἀναφαίρετα καὶ ἀναπόσπαστα καθάπαξ διατηρῶνται ἀπὸ τῆς τοιαύτης μονῆς· τῇ τοιαύτῃ καὶ πάλιν παρακλήσει αὐτῶν προσχοῦσα ἡ μετριότης ἡμῶν παρακελεύεται αὖθις, ὡς ἂν, εἴπερ ἔχοι ταῦθ' οὕτως, δηλαδὴ ὡς ἀνήνεγκαν οἱ δηλωθέντες μοναχοί, ἔχῃ καὶ ταῦτα ἡ δηλωθεῖσα μονὴ κυρίως, δεσποτικῶς καὶ ἀναφαιρέτως εἰς αἰῶνα τὸν ἅπαντα, μήτε παρὰ τῶν ἐκκλησιαστικὴν περιεζωσμένων ἰσχὺν, ἀρχιερέων δῆτα καὶ ἱερέων καὶ κληρικῶν, μήτε παρὰ τῶν τὰ κοσμικὰ καὶ δημόσια διενεργούντων ἢ καὶ εἰς τὸ κεφαλαττίκιον εὑρισκομένων τὴν τυχοῦσαν εὑρήσουσά ποτε τῶν καιρῶν διενόχλησιν καὶ ἐπήρειαν ἕνεκα τούτων, ὁ γὰρ ἐνοχλήσων αὐτῇ ἢ ἀφαιρήσων τι, ἀφ' ὧν ἡ σεβασμία αὕτη μονὴ κέκτηται μετοχίων καὶ κτημάτων καὶ ἄλλων δικαιωμάτων καὶ προνομίων, ὁποῖος ἂν καὶ εἴη ὁ τοῦτο τολμήσων, εἴ τε τοπικὸς ἀρχιερεύς, ὡς δεδήλωται, ἢ κληρικὸς ἢ ἄρχων ἢ καὶ δημόσιος, ἔστω, ὡς καὶ ἀπὸ Θεοῦ ἕξει κατάκριμα καὶ παρὰ τῆς ἡμῶν μετριότητος ἐκκλησιαστικὸν καὶ κανονικὸν βάρος, ὡς τὰ καλῶς δεδογμένα τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ καὶ τὰ

ἀφιερωμένα καὶ ἀνατεθειμένα τῷ θεῷ δι' αὐτῆς τῆς μονῆς μετόχιά τε καὶ λοιπὰ κτήματά τε καὶ πράγματα διασπᾶν καὶ διαχοπάζειν πειρώμενος. ἐπὶ τούτῳ γὰρ γεγονὸς καὶ τὸ παρὸν σιγίλλιον τῆς ἡμῶν μετριότητος ἀνετέθη τῇ δηλωθείσῃ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῆς πανάγνου καὶ θεομήτορος καὶ ἐπικεκλημένῃ τοῦ Βροντοχίου εἰς διηνεκῆ τὴν ἀσφάλειαν καὶ βεβαίωσιν, ἐν μηνὶ μαΐῳ ἰνδ. δ' τοῦ ,ϛωοδ' ἔτους †.

CCXXIV. Sine anno.

Hieromonacho Neophyto committuntur metropoles Athenarum et Euripi.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος ἀνατίθησι τῷ εὐλαβεστάτῳ ἐν ἱερομονάχοις ἀγαπητῷ κατὰ πνεῦμα υἱῷ τῆς ἡμῶν μετριότητος, κῦρ Νεοφύτῳ, καταστάντι πρότερον πνευματικῷ πατρὶ παρ' αὐτῆς καὶ ἀπὸ προτροπῆς καὶ ἐνδόσεως αὐτῆς ἀναδεξαμένῳ τὸ ἱερὸν τοῦτο τῆς πνευματικῆς πατρότητος λειτούργημα ἀρτίως, διεξάγειν καὶ διοικεῖν τὰ δίκαια τῆς ἁγιωτάτης μητροπόλεως Ἀθηνῶν, ἔτι τε καὶ τῆς Εὐρίπου, καὶ ἔχειν ἐπ' ἀδείας θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν ἐν αὐταῖς καὶ ἀναγνώστας προβιβάζειν ἀπροκριματίστως κατὰ τὴν κανονικὴν ἀκρίβειαν καὶ παρατήρησιν, πάντα διαπραττόμενον καὶ διενεργοῦντα μετὰ πολλῆς συντηρήσεως καὶ προσοχῆς, ὥστε μηδέν τι φωραθῆναι ἄτοπόν τι καὶ παρείσπρακτον ἐργασάμενον, ἐπιτηρεῖν τε καὶ τοὺς πνευματικοὺς πατέρας τοὺς ἐν αὐταῖς καὶ τοὺς εὑρισκομένους ἱερεῖς καὶ ὑποτιθέναι αὐτοῖς καὶ νουθετεῖν τὰ πρὸς οἰκοδομὴν καὶ σύστασιν τῆς σωτηρίας τῶν ψυχῶν αὐτῶν, ὡσαύτως καὶ τὸν ἕτερον λαὸν τὸν χριστώνυμον τοῦ κυρίου διδάσκειν καὶ ἐπιστρέφειν ἀπὸ τῶν ἀτόπων καὶ κακῶν ἔργων ἐπὶ τὴν ἐπίγνωσιν τοῦ καλοῦ καὶ τῆς ἀρετῆς καὶ τῆς σεμνῆς πολιτείας καὶ χριστιανικῆς εὐκοσμίας καὶ καταστάσεως, ὥστε ἀπέχειν ἀθεμιτογαμίας, τριγαμίας, ἀνηβότητος καὶ τῶν ἄλλων κεκωλυμένων γάμων καὶ πάντων ἁπλῶς τῶν ἄλλων παρανόμων ἔργων τῶν προξενούντων τοῖς ταῦτα ἐργαζομένοις ψυχικὴν βλάβην τε καὶ ἀπώλειαν. ὀφείλει οὖν ὁ εἰρημένος ἱερομόναχος καὶ δικαίῳ τῶν εἰρημένων ἐκκλησιῶν ποιεῖν πάντα συντετηρημένως καὶ προσεκτικῶς κατὰ τὴν παρακέλευσιν τῆς ἡμῶν μετριότητος. ἐπὶ τούτῳ γὰρ ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν ἐνταλτηριῶδες γράμμα τῆς ἡμῶν μετριότητος, ἐπὶ τῷ προσεῖναι αὐτῷ δι' ἀσφάλειαν,

ὡς μὴ οὕτω ποιοῦντι, ὡς αὕτη παρακελεύεται, ἔσται αὐτῷ κατὰ πᾶσαν ἀνάγκην δοῦναι λόγον εὐθύνης πρὸς τὴν ἡμῶν μετριότητα. ταύτην δὲ τὴν ἀνάθεσιν καὶ προτροπὴν οὕτως δίδωσιν αὐτῷ ἡ μετριότης ἡμῶν, μέχρις ἂν σὺν θεῷ χειροτονηθῇ ἀρχιερεὺς Ἀθηνῶν, μετὰ ταῦτα γὰρ οὐδεμίαν οὐδόλως ἕξει ἄδειαν καὶ ἐξουσίαν ἐν ταύταις τοιοῦτό τι ποιεῖν, ἀλλ' ἀργὸς διαμενεῖ καὶ ἀνενέργητος, ὑποτασσόμενος καὶ αὐτὸς τῷ γενησομένῳ ἀρχιερεῖ Ἀθηνῶν κατὰ πάντα καὶ ὑπείκων αὐτῷ χωρὶς λόγου τινὸς καὶ τῆς τυχούσης προφάσεως, μένων μέντοι πνευματικὸς κατὰ τὸ ἔνταλμα, ὃ ἔχει παρὰ τῆς ἡμῶν μετριότητος †.

CCXXV. (6874—1366) maio. ind. IV.

Excommunicatio Basilii cuiusdam.

† Καθαίρεσις τοῦ Βασιλείου τοῦ ἀπατήσαντος καὶ γενομένου διακόνου †.

† Ἔτι περιόντος τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου, κῦρ Καλλίστου, καὶ συνοδικῶς προκαθημένου, συνεδριαζόντων ἐκείνῳ καὶ τῶν τότε ἱερωτάτων ἀρχιερέων, παραστὰς τῇ συνόδῳ ἱερεύς τις, ὀνόματι Παγκράτιος, μετὰ τῆς γυναικὸς αὐτοῦ, ἔχοντες μεθ' ἑαυτῶν καὶ τὸ θυγάτριον αὐτῶν, ἔγκλησιν ἐποιήσαντο κατὰ τοῦ Βασιλείου τοῦ ὕστερον γενομένου διακόνου, εἰπόντες, ὡς τῆς θυγατρὸς αὐτῶν τῷ τοιούτῳ Βασιλείῳ μνηστευθείσης οὗτος ἀθετεῖ τὴν μνηστείαν, καὶ βούλεται διάλυσιν ταύτης ποιήσασθαι· παραστὰς οὖν καὶ ὁ Βασίλειος καὶ ἔτι ὁ τούτου πατὴρ ἠρωτήθησαν, εἰ οὕτως ἔχοι τὰ τῆς ὑποθέσεως, οἱ δὲ μνηστείαν μὲν εἶπον γενέσθαι, ζητεῖν δὲ τούτους τὴν τῆς μνηστείας διάλυσιν δι' αἰτίας τοιαύτας· ὅτι τε οὐκ ἔχει ὁ τῆς παιδὸς πατὴρ ἀποδοῦναι, ὅσην συνεφώνησε προῖκα, καὶ ὅτι πᾶσαι αἱ τῆς κεφαλῆς τῆς τοιαύτης παιδὸς τρίχες ἔπεσον, τοῦτο δὲ ὑπελάμβανον σημεῖον εἶναι τῆς λεγομένης ἱερᾶς νόσου. περὶ μὲν οὖν τοῦ πρώτου αἰτιάματος εἶπεν ἡ τῆς παιδὸς μήτηρ, ὅτι μόνον λαβέτω ταύτην κατὰ τὴν μνηστείαν εἰς γυναῖκα ὁ Βασίλειος, καὶ ἐγὼ ἀποδώσω πᾶσαν τὴν προῖκα, ὅσην συνεφώνησα αὐτῷ· περὶ δὲ τοῦ δευτέρου παρὼν ἐκεῖσε ὁ ἰατρὸς ἐκεῖνος, ὁ Χρυσοκόκκης, καὶ προτραπεὶς ἰδεῖν τὴν τῆς παιδὸς κεφαλήν, εἰ ἄρα τοιαύτην ἀπειλεῖ νόσον ἡ τῶν τριχῶν πτῶσις, εἶπεν, ὅτι ἐξ ἀμελείας μὲν αἱ τρίχες ἔπεσον τῆς κεφαλῆς, εἰ δὲ ἐπιμελείᾳ χρήσαιντο οἱ τοιαύτης πατέρες, ἐγὼ ποιήσω, ὥστε πάλιν ἐκφῦσαι τρί-

χας, οὐ γὰρ φόβος τοιοῦτος, τῆς ἱερᾶς δηλαδὴ νόσου τῇ τῶν τριχῶν πτώσει περιγίνεται. τούτων οὕτω λαληθέντων ὁ πατριάρχης εἶπε τῷ τοῦ Βασιλείου πατρί, ὅτι, ἴδε, οὐδεμίαν αἰτίαν ἔχεις, ὥστε διαλῦσαι τὴν ἐπὶ τῷ σῷ υἱῷ μετὰ τῆς τοιαύτης παιδὸς μνηστείαν· οἱ δὲ σφόδρα ἀντέκειντο, τὴν διάλυσιν αἰτούμενοι. εἶτα ἠρώτησεν ἡ σύνοδος, ποταπὴ μνηστεία ἐγένετο; καὶ εἶπον, ὅτι τοῦ ἱερέως σταθέντος ἔμπροσθεν τοῦ εἰκονοστασίου καὶ βαλόντος ἐπιτραχήλιον καὶ μνημονεύσαντος τῶν βασιλέων καὶ τοῦ πατριάρχου καὶ εὐχὴν εἰπόντος ἐπὶ μνηστείᾳ ἐγένετο ἀλλαγὴ ἐγκολπίων. ἐρωτηθέντες οὖν συνήθως οἱ ἱερώτατοι ἀρχιερεῖς, τίνα γνώμην ἔχουσι περὶ τῆς τοιαύτης ὑποθέσεως, ἐπεὶ ἀναγνώστης ἦν ὁ Βασίλειος καὶ κληρικὸς τῆς μεγάλης ἐκκλησίας; ἀπεφήναντο, ὅτι εἰ μὲν λάβοι τὴν τοιαύτην θυγατέρα τοῦ ἱερέως τοῦ Παγκρατίου εἰς γυναῖκα κατὰ τὴν ἣν ἐποιήσαντο μνηστείαν, οὕτως ἀναχθήσεται καὶ εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα· εἰ δὲ τοῦ τοιούτου συνοικεσίου διαλυθέντος ἑτέραν οὗτος ἀγάγοιτο, οὐδέποτε ἐπὶ τὴν ἱερωσύνην προβιβασθήσεται. εἶχε μὲν οὕτω ταῦτα. εἶτα τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐπὶ τὸν ὑψηλὸν τῆς πατριαρχείας ἐπανελθόντος θρόνον, ἑτέραν ἀγαγόμενος ὁ Βασίλειος γυναῖκα καὶ λαθὼν καὶ ἀπατήσας πάντας ἐχειροτονήθη διάκονος, ὕστερον δὲ τὰ περὶ τῆς ὑποθέσεως μαθὼν ὁ παναγιώτατος δεσπότης ἡμῶν, ὁ οἰκουμενικὸς πατριάρχης, τοῦτον μὲν ἐπέσχε τῆς διακονίας, μέχρις ἂν ἐξετασθῇ τὰ τῆς ὑποθέσεως, μετακαλεσάμενος δὲ τὸν ἱερώτατον μητροπολίτην Βρύσεως καὶ ὑπέρτιμον ἠρώτησε τοῦτον, εἰ σύνοιδέ τι περὶ τῆς ὑποθέσεως ταύτης, καὶ ὃς διηγήσατο ἅπαντα κατὰ τὸν ἀναγεγραμμένον τρόπον, ὅπως παρηκολούθησεν, εἷς ὢν καὶ αὐτὸς τῶν τῆς συνόδου ἐκείνης ἀρχιερέων, εἶτα ἐρωτηθείς, εἰ καὶ ἕτερός τις τῶν εὑρισκομένων ἐν τῇ θεομεγαλύντῳ Κωνσταντινουπόλει νῦν ἀρχιερέων τότε παρῆν ἐν τῇ συνόδῳ, εἶπε, τὸν ἱερώτατον μητροπολίτην Ἡρακλείας εὑρεθῆναι, ὃς καὶ μηνυθεὶς παραγενέσθαι μὲν ἐνταῦθα οὐκ ἐδύνατο, ἀσθενὴς ὤν, ἐμήνυσε δὲ μεμνῆσθαι καὶ ἐκεῖνον, τοιαύτην ὑπόθεσιν λαληθῆναι τότε ἐπὶ τοῦ πατριάρχου κῦρ Καλλίστου, μὴ μέντοι γε καὶ τὸν ἄνθρωπον εἰδέναι, ὁποῖός ἐστι ὁ ἐπισχεθεὶς μὴ προβιβασθῆναι ἐπὶ τὸν τῆς ἱερωσύνης βαθμόν. ὁ γοῦν παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, μετακαλεσάμενος καὶ ἑτέρους δύο ἱερωτάτους ἀρχιερεῖς καὶ ὑπερτίμους, τὸν Ἐφέσου καὶ τὸν Ἀδριανουπόλεως, κοι-

νοῦται τὰ τῆς ὑποθέσεως μετ' αὐτῶν, τριῶν ὄντων μετὰ τοῦ Βρύσεως, ὡς εἴρηται, ὃς καὶ πάλιν προτροπῇ τοῦ παναγιωτάτου πατριάρχου διηγήσατο ἅπαντα τὰ κατὰ τὴν τοιαύτην ὑπόθεσιν, καὶ κελεύσαντος πάλιν αὐτοῦ ἐρωτηθῆναι τούτους, τίνα γνώμην ἔχουσι περὶ τοῦ Βασιλείου, εἴπερ δεῖ εἶναι τοῦτον διάκονον ἢ οὔ, καὶ ὁρίσαντος, μὴ δεῖσθαι ἑτέρων ἀρχιερέων ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει, τῶν ἱερῶν κανόνων διακελευομένων, ὑπὸ τριῶν ἐπισκόπων ἐξετάζεσθαι τὸν διάκονον, εἶπον ἐκ κοινῆς ψήφου καὶ γνώμης καὶ ἀποφάσεως, εἶναι καθῃρημένον παντελῶς τὸν τοιοῦτον Βασίλειον, ὥστε μηδέποτε εὑρεῖν αὐτὸν ἀνάκλησιν εἰς τὴν ἱερωσύνην, ἅτινα ἐπεκύρωσε καὶ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης. διὰ ταῦτα γοῦν ἐνεγράφη τὰ τῆς τοιαύτης καθαιρέσεως τῷ κωδικίῳ, ὥστε μηδέποτε ἀναχθῆναι τὸν τοιοῦτον Βασίλειον εἰς ἱερωσύνην. ἐγένετο δὲ ἡ τοιαύτη καθαίρεσις μηνὶ ματῳ ἰνδ. δ' †.

CCXXVI. (6874—1366) iulio. ind. IV.

Monasterio S. Petri apud Cafa, ecclesiae Sugdaeae, confirmantur iura monasterii patriarchalis.

† Ἐπεὶ εὑρίσκεται ἀνέκαθεν ἐν τῇ περιοχῇ τοῦ Καφᾶ ἐν τῷ Παλαιῳ Λιμένι μονύδριον πατριαρχικὸν εἰς ὄνομα τιμώμενον τοῦ τιμίου Πέτρου, ἀφ' οὗ δίδοται ἐτησίως εἰς τὸ πατριαρχικὸν κελλίον τὸ σύνηθες κανονικόν, ἀνέφερε δὲ ἀρτίως εἰς τὴν ἡμῶν μετριότητα ὁ ὢν ἐν τῷδε τῷ μονυδρίῳ καθηγούμενος, ὁ εὐλαβέστατος ἱερομόναχος κῦρ Βαρλαὰμ, πορίσασθαι γράμμα αὐτῆς ἐπὶ τῷ συντηρεῖσθαι τοῦτο ἀνέπαφον ἀπὸ τῶν κατὰ καιροὺς ἀρχιερέων Σουγδαίας, μήτε τινὸς ἀπαιτήσεως ἐξ αὐτοῦ γενησομένης παρ' αὐτῶν, μήτε μὴν οἱασδήτινος σοζητήσεως, ἀλλ' ὡς ἄνωθεν εἰς δεῦρο διετηρεῖτο ἐλεύθερον καὶ ἀνώτερον τῆς ἐντεῦθεν ἐπηρείας ὡς πατριαρχικόν, οὕτω καὶ εἰς τὸ ἑξῆς διαμένειν ἐπὶ τῆς αὐτῆς ἀνενοχλησίας, ἡ μετριότης ἡμῶν τὴν αὐτοῦ ζήτησιν προσδεξαμένη, τὸ παρὸν ἀπολύει, δι' οὗ καὶ παρακελεύεται ἐν ἁγίῳ πνεύματι διατηρεῖσθα τὸ τοιοῦτον πατριαρχικὸν μονύδριον τοῦ τιμίου πρεσβυτέρου ἀνώτερον πάσης ἐπηρείας καὶ συζητήσεως ἀπὸ τῶν κατὰ καιροὺς ἱερωτάτων μητροπολιτῶν Σουγδαίας καὶ πάντων τῶν τοῦ κλήρου τῆς κατ' αὐτοὺς ἐκκλησίας, τὸν δὲ κατὰ καιροὺς ἀποστελλόμενον μετὰ γραμμάτων τῆς ἡμῶν μετριότητος εἰς τὴν διεξαγωγὴν τῶν εἰς τὰ

ἐκεῖ μέρη πατριαρχικῶν ἐξαρχικῶν δικαίων εἰσέρχεσθαι εἰς τὸ τοιοῦτο μονύδριον καὶ ἀπολαύειν τῆς συνήθους κυβερνήσεως, μὴ μέντοι γε καὶ ἀπαιτεῖν τι χάριν κανονικοῦ ἢ ἐνοχλεῖν αὐτῷ ἔξω τοῦ πρέποντος, τόν γε μὴν εἰρημένον εὐλαβέστατον κῦρ Βαρλαὰμ, καθηγούμενον εὑρισκόμενον ἐν τῷδε τῷ μονυδρίῳ καὶ τῶν ἐν αὐτῷ μοναχῶν προϊστάμενον καὶ τὰ εἰς ψυχικὴν αὐτῶν λυσιτέλειαν εἰσηγούμενον, αὐτὸν πέμπειν καὶ τὸ κανονικὸν εἰς τὸ πατριαρχικὸν κελλίον καθ' ἕκαστον ἔτος ἀνυστερήτως. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται αὐτῷ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Ἐγράφη τῇ ἕκτῃ τοῦ ἰουλίου μηνὸς τῆς δ' ἰνδ. †.

CCXXVII. (6876—1368) iulio. ind. VI.

Dionysius Tzamancus fit abbas monasterii Cyrici et Iulittae Sozopoli.

† Μηνὶ ἰουλίῳ ἰνδ. ς' †.

† Ἐπεὶ ὁ τιμιώτατος ἐν μοναχοῖς, κῦρ Διονύσιος ὁ Τζαμάγκος, ἀγαπητὸς κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, ἀνέφερε καὶ ἐζήτησε τὴν ἡμῶν μετριότητα, τὸ ἐν τῇ Σωζοπόλει πατριαρχικὸν μοναστήριον, εἰς ὄνομα τιμώμενον τῶν ἁγίων μαρτύρων Κυρίκου καὶ Ἰουλίττης, ποιησάμενος ἔγγραφον ὑπόσχεσιν πρὸς τὴν ἡμῶν μετριότητα, ἵνα πρῶτον μὲν γένηται παρ' αὐτοῦ ἐν τῇ τοιαύτῃ μονῇ κατὰ τὰ ἐμπεριειλημμένα τῇ τοιαύτῃ ὑποσχέσει αὐτοῦ, ἔπειτα καὶ ὅσα ἀφορῶσιν εἰς βελτίωσιν καὶ πρὸς τὸ κρεῖττον ἐπίδοσιν τῆς τοιαύτης μονῆς δι' οἰκείων αὐτοῦ ἐξόδων, ὥστε ἐπαναγαγεῖν πάλιν αὐτὴν εἰς τὴν προτέραν κατάστασιν, ἐλαττωθεῖσαν ἐξ ἀμελείας τῶν πρώην ἡγουμενικῶς προστάντων αὐτῆς, κἀντεῦθεν εὑρίσκηται ἀμεταστάτως ὡς καθηγούμενος καὶ οἰκοκύριος, ἕως ἂν περιῇ τῷ βίῳ, διδῷ τε καὶ πρὸς τὸ μέρος τῆς Ἀποκαυκίσσης, τῆς νύμφης τοῦ μεγάλου οἰκονόμου ἐκείνου, ὅσα συνεφώνησε μετ' αὐτῆς διδόναι πρὸς αὐτὴν, ἔχουσαν δίκαιον κτητορικὸν εἰς τὴν μονὴν, ὡς διέξεισι τὸ πρὸς αὐτὴν πρότερον γεγονὸς γράμμα τῆς ἡμῶν μετριότητος, καὶ ἐπὶ τῇδε τῇ ὑποσχέσει αὐτοῦ ἐδέξατο τὴν ζήτησιν αὐτοῦ ἡ μετριότης ἡμῶν, ἤδη ἀπολύει τὸ παρὸν ἐκδοτήριον γράμμα πρὸς αὐτὸν, δι' οὗ παρακελεύεται ἐν ἁγίῳ πνεύματι, ἵνα τῶν δύο τούτων γινομένων παρ' αὐτοῦ κατὰ τὴν ῥηθεῖσαν ὑπόσχεσιν, τῆς τε δηλονότι δι' οἰκείων αὐτοῦ ἐξόδων βελτιώσεώς τε

καὶ πρὸς τὸ κρεῖττον ἐπιδόσεως τοῦ μοναστηρίου καὶ τῆς πρὸς τὴν τοιαύτην Ἀποκαύκισσαν δόσεως, καθὼς συνεφώνησε μετ' αὐτῆς, εὑρίσκηται ἐφ' ὅρῳ τῆς αὐτοῦ ζωῆς ὁ τιμιώτατος οὗτος κῦρ Διονύσιος εἰς τὴν ἡγουμενείαν τῆς τοιαύτης μονῆς, καὶ ἔχῃ τὴν κατοχὴν καὶ διοίκησιν αὐτῆς ἀμεταστάτως, μετὰ δὲ τὴν αὐτοῦ ἀποβίωσιν εὑρίσκηται πάλιν τὸ μοναστήριον ὑπὸ τὴν πατριαρχικὴν ἐξουσίαν, ὅθεν ὀφείλουσιν ὅ τε προηγούμενος καὶ οἱ ἐκεῖ μοναχοὶ ἀποδιδόναι αὐτῷ τὴν προσήκουσαν τιμὴν καὶ εὐπείθειαν καὶ ὑπείκειν αὐτῷ, ἐφ' οἷς ἂν μέλλοι λέγειν αὐτοῖς καὶ εἰσηγεῖσθαι, ἀφορῶσιν εἰς λυσιτέλειαν αὐτῶν καὶ ἐπίδοσιν τῶν προσόντων τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ· εἰ δ' ἴσως ὁ προηγούμενος οὗτος οὐκ ἐθέλει τὴν ὀφειλομένην αὐτῷ εὐπείθειαν ἀποδιδόναι, ἀλλὰ χωρεῖν εἰς ὀχλήσεις καὶ σκάνδαλα, εἰ μὲν οὐδὲν ἀπεκείρατο κατὰ μοναχοὺς ἐν τῇ τοιαύτῃ μονῇ, ἔχειν ἄδειαν τὸν τοιοῦτον καθηγούμενον κῦρ Διονύσιον ἐκβάλλειν αὐτὸν τοῦ μοναστηρίου· εἰ δὲ ἐν αὐτῷ περιεβάλλετο τὰ τῶν μοναχῶν, ἀναφέρειν τὰ περὶ αὐτοῦ τόνδε τὸν καθηγούμενον τῇ ἡμῶν μετριότητι καὶ γίνεσθαι παρ' αὐτοῦ τὴν προσήκουσαν διόρθωσιν. ὀφείλει δὲ διδόναι οὗτος καὶ τὸ σύνηθες κανονικὸν καὶ τὸ κανίσκιον εἰς τὸ πατριαρχικὸν κελλίον †.

CCXXVIII. (6873—1365) ianuario. ind. III.

Esaias monachus excommunicatur.

† Καθαίρεσις τοῦ μοναχοῦ Ἡσαΐου τοῦ ἀπὸ τῆς μονῆς τοῦ Προδρόμου μετὰ ἀπάτης διακόνου γενομένου †.

† Μηνὶ ἰανουαρίῳ ἰνδ. γ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Φιλαδελφείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Ποντοηρακλείας, τοῦ Λαοδικείας, τοῦ Μύρων, τοῦ Τραϊανουπόλεως, τοῦ Βρύσεως, τοῦ Ἀθηνῶν, τοῦ Τραπεζοῦντος, τοῦ Αἴνου, τοῦ Ἀμάστριδος καὶ τοῦ Σωζοπόλεως, ἐλαλήθησαν αἰτιάματα κατά τινων τῶν ἀπὸ τῆς μονῆς τοῦ τιμίου Προδρόμου τῆς ἐπιλεγομένης τῆς Πέτρας μοναχῶν, ἀφ' ὧν ἦσαν καὶ ὁ μοναχὸς Ἡσαΐας καὶ ὁ Μερκούριος, τάδε αἰτιάματα ἦσαν ταῦτα· ὡς ἀπὸ τῆς τοιαύτης μονῆς ὁ μοναχὸς Ἱλαρίων ἀπώλεσεν ὑπέρπυρα ἀπὸ τοῦ κελ-

λίου αὐτοῦ, ἅτινα καὶ πολὺς ἦν ἀνερευνῶν καὶ ζητῶν, καὶ καταιτιώμενός τινων ἀπὸ τῶν μοναχῶν, ὡς ὑποφίαν ἔχων ἐν αὐτοῖς· ἐν μιᾷ οὖν τῶν ἡμερῶν εἰσῆλθε εἰς τὸ μοναστήριον γόης τις, καὶ εἶπεν, δύνασθαι εὑρεῖν τὰ ὑπέρπυρα, εἰπεῖν δηλονότι τὸν κεκλοφότα, εἴπερ οἱ ὑποπτευόμενοι ἅπαντες δώσουσιν ἐνέχυρα ταῖς χερσὶν αὐτοῦ. ὁ οὖν ἀπολέσας τὰ ὑπέρπυρα τοῦτο ἀκούσας, παρεκίνει τούτους ἐνέχυρα δοῦναι, ἅτινα καὶ ἔδωκαν, διὰ τὸ μὴ ὑποπτεύεσθαι ἐπὶ πλέον ἐπὶ τῇ τῶν ὑπερπύρων κλοπῇ. ὁ μὲν οὖν γόης παρὰ τῶν φίλων δαιμονίων καὶ φιλοψευδῶν οὐδὲν ἔμαθεν, ἀλλ' οὕτως ἀπώλοντο τὰ ὑπέρπυρα, μηδ' ἐκείνου περὶ τούτων εἰπόντος τι. ἡ δὲ θεία σύνοδος περὶ τῶν δόντων τὰ ἐνέχυρα εἶπεν, ἐπιβεβαιώσαντος τοῦτο καὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, τοῖς μὲν ἰδιώταις ἕτερον δοθῆναι κανόνα, τὸν δὲ μοναχὸν Ἡσαΐαν καὶ τὸν Μερκούριον καὶ ἔτι τὸν Ἱλαρίωνα ἀπεφήνατο, μηδέποτε προβιβασθῆναι εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα, ἀλλ' ἀπολέσαι καὶ τὴν τοῦ ἀναγνώστου τιμήν. εἶχε μὲν οὖν οὕτω ταῦτα. ὕστερον δὲ τοῦ μητροπολίτου Χριστιανουπόλεως εἰς τὴν ἑαυτοῦ ἐκκλησίαν ἀπερχομένου ἠκολούθησε τούτῳ καὶ ὁ δηλωθεὶς Ἡσαΐας, ὃν καὶ ἐχειροτόνησε διάκονον· οὗτινος ἐλθόντος ἐνταῦθα, τοῦτο μαθὼν ὁ παναγιώτατος δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κοινοῦται τοῦτο τοῖς περὶ αὐτὸν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Καισαρείας, τῷ Ἐφέσου, τῷ Ἡρακλείας, τῷ Κυζίκου, τῷ Νικαίας, τῷ Χαλκηδόνος, τῷ Ἀδριανουπόλεως, τῷ Ποντοηρακλείας, τῷ Μιλήτου, τῷ Βρύσεως, τῷ Σηλυβρίας, τῷ ἀρχιεπισκόπῳ Δέρκω, καὶ ἐρωτηθέντες ἕκαστος περὶ τούτου, ἀπεφήναντο πάντες ὡς ἐκ κοινῆς γνώμης καὶ ψήφου, καθηρημένον εἶναι τὸν τοιοῦτον Ἡσαΐαν, ὥστε μηδόλως ἀναχθῆναι αὐτὸν εἰς ἱερωσύνην, ὡς παρὰ γνώμην καὶ ἀπόφασιν τῆς θείας καὶ ἱερᾶς συνόδου χειροτονηθέντα· περὶ μέντοι τοῦ Χριστιανουπόλεως ἐτάχθη, ἵνα μηνυθῇ καὶ ἔλθῃ ἐνταῦθα, καὶ τότε, εἴ τι δόξει τῇ συνόδῳ περὶ ἐκείνου, εἶναι μέντοι ἐκεῖνον ἀργὸν, ἕως ἂν ἐνταῦθα παραγένηται. διὰ ταῦτα ἐνεγράφη τὰ τῆς τοιαύτης καθαιρέσεως τῷ παρόντι κωδικίῳ, ὥστε μηδέποτε εὑρεῖν αὐτὸν ἀνάκλησιν εἰς τὴν ἱερωσύνην †.

† Μηνὶ μαΐῳ ἰνδ. δ' †.

CCXXIX. Sine anno.

Nicephorus Gregoras excommunicatur a Philotheo, metropolita Selybriae.

† Νικηφόρῳ τῷ Γρηγορᾷ καὶ τοῖς φρονοῦσι καὶ λέγουσι καὶ ἐπεκδικοῦσι τὰ ἐκείνου περί τε τῶν ἄλλων θείων δογμάτων, καὶ ἔτι περὶ τῆς παναχράντου καὶ θεομήτορος, ὅτι οὐκ εἰσῆλθε δηλονότι εἰς τὰ ἅγια τῶν ἁγίων, ἐν οἷς ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς εἰσήρχετο, ἀνάθεμα †.

† Ὁ ταπεινὸς μητροπολίτης Σηλυβρίας Φιλόθεος †.

CCXXX. Sine anno.

Episcopus Pamphili in metropolim Antiquarum Patrarum transfertur.

CCXXXI. (6875—1367) iunio. ind. V.

De hieromonacho quodam Myrone.

† Μηνὶ ἰουνίῳ, κβ', ἰνδικτιῶνος ε', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κελλίοις τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ τοῖς ἐν τοῖς δεξιοῖς κατηχουμένοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Χαλκηδόνος, τοῦ Ἀδριανουπόλεως, τοῦ Ποντοηρακλείας, τοῦ Γάνου καὶ τοῦ ἀρχιεπισκόπου Λευκάδος, ἐλαλήθησαν αἰτιάματα κατὰ τοῦ προηγουμένου τῆς σεβασμίας μονῆς τῆς ἁγίας Ἀναστάσεως, τοῦ ποτε ἱερομονάχου Μύρωνος, τάδε ἦν· ὅτι ἐκβληθεὶς τῆς ἡγουμενείας ὁρισμῷ τοῦ παναγιωτάτου δεσπότου ἡμῶν, τοῦ οἰκουμενικοῦ πατριάρχου, οὐκ ἐδέξατο τοῦτο .....

reliqua desunt.

CCXXXII. (6877—1369) maio. ind. VII.

Dionysius, episcopus Athyra (τοῦ Ἀθύρα) *in metropolim Aeni transfertur.*

CCXXXIII. Sine anno.

Matthaeus, episcopus Faustinorum, in metropolim Tyanorum transfertur.

CCXXXIV. Sine anno.

Patriarcha episcopum Iustinianae primae et totius Bulgariae vocat ad synodum oecumenicam, deliberaturam de unione ecclesiae orientalis cum occidentali.

† Μακαριώτατε ἐπίσκοπε τῆς πρώτης Ἰουστινιάνης Ἀχρειδῶν καὶ πάσης Βουλγαρίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος, εὔχομαι τῷ θεῷ ὑγιαίνειν τὴν ἁγιωσύνην σου καὶ σωματικῶς, εἰς σύστασιν καὶ ὠφέλειαν τοῦ ὑπ' αὐτὴν χριστωνύμου πληρώματος. ὁ περιπόθητος ἐξάδελφος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ὁ κόντος Σαβοείας, καταλαβὼν εἰς τὴν θεομεγάλυντον καὶ θεοφύλακτον Κωνσταντινούπολιν μετὰ κατέργων, ἔχων μεθ' ἑαυτοῦ καὶ δυσικὸν ἀρχιερέα, τὸν κῦρ Παῦλον, διεκόμισε λόγους τοῦ Πάπα πρὸς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα περὶ τῆς ἑνώσεως καὶ ὁμονοίας τῶν ἐκκλησιῶν, τῆς τε ἡμετέρας δηλονότι καὶ τῆς τῶν Λατίνων· ὁ οὖν κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ ἔδειξε τὰ περὶ τούτου τῇ ἡμῶν μετριότητι καὶ τοῖς ἁγιωτάτοις πατριάρχαις, τῷ τε Ἀλεξανδρείας καὶ τῷ Ἱεροσολύμων, ἔτι δὲ καὶ τῇ ἱερᾷ συνόδῳ τῶν εὑρεθέντων ἐνταῦθα ἱερωτάτων ἀρχιερέων, καὶ κοινῇ συνελθόντες καὶ ὁμοφωνήσαντες ἐψηφισάμεθα, δεῖν γενέσθαι οἰκουμενικὴν σύνοδον κατὰ τὰς προγεγονυίας ἑπτὰ οἰκουμενικὰς συνόδους. οἱ μὲν οὖν δύο ἁγιώτατοι πατριάρχαι, ὅ τε Ἀλεξανδρείας καὶ τῶν Ἱεροσολύμων, εὑρίσκονται ἀρτίως ἐνταῦθα, καὶ ἀποστέλλουσιν ἤδη γραφὰς πρὸς τοὺς ὑπ' αὐτοὺς ἀρχιερεῖς καὶ τὰς οἰκείους συνόδους, ἵνα παραγένωνται. διεμηνυσάμεθα δὲ καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ Ἀντιοχείας ἡμεῖς, ἵνα μετὰ τῶν ὑπ' αὐτὸν πάντων ἀρχιερέων καὶ τῆς ἰδίας συνόδου ἔνι γοῦν ἀναγκαῖον ἀφικέσθαι καὶ τὴν ἁγιωσύνην σου μετὰ τῶν ὑπὸ σὲ ἀρχιερέων πάντων, ἐπεὶ καθολικὴ καὶ οἰκουμενικὴ ἔσται ἡ σύνοδος, ἐπεὶ γὰρ ἡ αὐτόθι ἐκκλησία καὶ τὸ ἔθνος αὐτὸ ἐντεῦθεν ὡς ἀπὸ πηγῆς καὶ ῥίζης ἔχει τὴν εὐσέβειαν καὶ τὴν ὑγιᾶ καὶ ἀμώμητον πίστιν, πρόκειται δὲ ἀρτίως ὁ περὶ εὐσεβείας καὶ πίστεως σκοπὸς, ἀνάγκη πᾶσά ἐστι, καταλαβεῖν ἐνταῦθα τὴν ἁγιωσύνην σου, ἵνα κοινῇ διασκεψάμενοι, τῇ τοῦ θεοῦ βοηθείᾳ καὶ χάριτι, δῶμεν λόγον ὑπὲρ τῆς θεοσεβείας ἡμῶν καὶ τῶν ἀπταίστων περὶ θεοῦ δογμάτων, ἐρηρεισμένοι ταῖς θείαις γραφαῖς ταῖς εὐαγγελικαῖς τε καὶ ἀποστολικαῖς καὶ πατρικαῖς παραδόσεσι καὶ διδασκαλίαις, οὐδὲ γὰρ βουλόμεθα κἂν μίαν

συλλαβὴν ἢ μίαν κεραίαν παροραθῆναι τῶν κειμένων δογμάτων, ἀλλὰ τῶν εὐαγγελικῶν τε καὶ ἀποστολικῶν καὶ πατρικῶν κανόνων τε καὶ δογμάτων καὶ τῶν ἀρχαίων νομοθεσιῶν κειμένων, οὕτω καὶ ἡμᾶς δοῦναι λόγον ὑπὲρ τῶν προκειμένων ὑποθέσεων. διὰ τοῦτο καὶ πάσας σου δουλείας ἀφεὶς, ὅσαι καὶ οἷαί εἰσι, καὶ πάντα τὰ προκείμενά σοι δεύτερα θέμενος τοῦ περὶ εὐσεβείας λόγου, σπούδασον κατὰ πᾶσαν ἀνάγκην καταλαβεῖν ἐνταῦθα μετὰ τῶν ὑπὸ σὲ πάντων ἀρχιερέων, ἔνθα γάρ ἐστι ὁ περὶ εὐσεβείας καὶ περὶ πίστεως λόγος προηγούμενος. πάντα δεῖ παραβλέπειν τὸν πρὸς ἀλήθειαν βλέποντα. ὀφείλεις οὖν καταλαβεῖν ἐντὸς τῆς τεταγμένης διωρίας, ἀρχομένης ἀπὸ τοῦ παρόντος ἰουνίου μηνὸς τῆς ἐνισταμένης ε' ἰνδικτιῶνος μέχρι καὶ συμπλήρωσιν χρόνων δύο· ἐὰν δὲ παρελθούσης τῆς τοιαύτης διωρίας οὐκ ἔλθῃ ἡ ἁγιωσύνη σου, ἡμεῖς οὐκέτι μέλλομεν περιμένειν, καὶ πόση ἡ ζημία ἐστὶ, πόση βλάβη, πόση πρὸς τούτοις ἀτιμία, τοιούτων προκειμένων ἀναγκαίων ἐκκλησιαστικῶν ὑποθέσεων ἀπολειφθῆναι τὴν ἁγιωσύνην σου τῆς τοιαύτης ἐπωφελοῦς συνελεύσεως, ὥσπερ ἐπεὶ ἔλθῃς, πόση τιμὴ καὶ δόξα, πόσον κέρδος καὶ πόση ὠφέλεια ἔσται καὶ εἰς τὴν ἁγιωσύνην σου καὶ εἰς τοὺς εὑρισκομένους αὐτόθι χριστιανούς. σπουδασάτω τοίνυν αὕτη ἀφικέσθαι ἐνταῦθα, πάντα τὰ ἄλλα ἐλάττω θέμενος τῆς τοιαύτης ὑποθέσεως, γινωσκέτω δὲ ἡ ἁγιωσύνη σου, ὅτι τὴν ὑγιᾶ καὶ ἀμώμητον πίστιν καὶ τὴν εὐσέβειαν ἡμῶν καὶ τὰ ὀρθὰ ταύτης δόγματα οὕτω φυλάσσομεν καὶ οὕτως ἔχομεν καὶ ἡ ἐκκλησία καὶ ἡ βασιλεία, ὥσπερ καὶ πρότερον εἴχομεν, καὶ μὴ πιστεύσῃς τισὶ λέγουσιν ἴσως περὶ ἡμῶν ἐναντία, ἀλλ' οὕτω διακείμεθα περὶ τὰ ὀρθὰ καὶ ἀληθῆ περὶ θεοῦ δόγματα, καὶ οὕτως ἐσμὲν καὶ νῦν, ὥσπερ ἦμεν καὶ πρότερον, καὶ γὰρ οὕτω συνεφωνήσαμεν μετὰ τῶν μηνυτῶν τοῦ Πάπα, ἵνα, ἐὰν φανῇ τὸ ἡμέτερον δόγμα ἐν τῇ συνόδῳ ἀπὸ τῶν θείων γραφῶν κρεῖττον τῶν Λατίνων, ἔλθωσιν ἐκεῖνοι μεθ' ἡμῶν καὶ ὁμολογήσωσιν, ὥσπερ λέγομεν ἡμεῖς. θαρροῦμεν δὲ τῷ θεῷ, ὅτι οὕτω γενήσεται, τῇ αὐτοῦ βοηθείᾳ καὶ χάριτι. ἀκριβῶς οὖν πληροφορήθητι, ὅτι οὕτως εἶναι ταῦτα, ὡς γράφομεν τῇ ἁγιωσύνῃ σου. γενέσθω οὖν οὕτω, καθὼς παραδηλοῦμεν αὐτῇ, ἵνα καταλάβῃ ἐνταῦθα ἡ ἁγιωσύνη σου μετὰ τῶν ὑπὸ σὲ ἀρχιερέων πάντων, ἐπεὶ τοιαῦταί εἰσιν ἀναγκαῖαι καὶ ἀπαραίτητοι αἱ προκείμεναι ἐκκλησιαστικαὶ ὑποθέσεις. ὁ πανάγα-

θος κύριος εἴη διαφυλάττων τὴν ἁγιωσύνην σου ἀνωτέραν παντὸς ἀνιαροῦ συναντήματος †.

CCXXXV. 6875 (1367) iulio. ind. V.

Archiepiscopus Leucadis transfertur in metropolim Naupacti.

† Πρᾶξις συνοδικὴ ἐπὶ τῇ μεταθέσει τοῦ Ναυπάκτου ἐξ ἀρχιεπισκοπῆς τῆς Λευκάδος †.

† Σκοπεῖν χρὴ καὶ τὸ τῆς ψυχῆς ὄμμα πανταχοῦ περιάγειν τόν γε ἀληθῶς εἰληφότα παρὰ Χριστοῦ τὴν τῶν αὐτοῦ λογικῶν θρεμμάτων ποιμαντικὴν προστασίαν, καὶ μὴν δὴ προύργου τίθεσθαι, ὅπως μηδέν τι τούτων μέρος ὑποσυλῶν ὁ ἐξ ἀρχῆς ἡμῖν βασκαίνων πόρρω βάλλῃ τῆς προσηκούσης καὶ σωτηρίου νομῆς τῇ σπάνει καὶ ἐρημίᾳ τῶν ταῖς διδασκαλίαις ὥσπερ τισὶ πόαις ἐκτρέφειν αὐτὰ δυναμένων, οὐ μόνον γὰρ ἀπολεῖται τὸ τοῦ Χριστοῦ ποίμνιον τῇ τῆς λογικῆς ἐνδείᾳ τροφῆς, ἀλλὰ καὶ θηροὶ βορὰ ταυτὶ γενήσεται, λέγω δὴ ταῖς εὐδοκίμοις καὶ κιβδήλοις διδασκαλίαις τῶν ἔργον ἀεὶ ποιουμένων, τὰ τῆς εὐσεβείας εἰλικρινῆ δόγματα παραχαράττειν καὶ τῷ σίτῳ τὸ ζιζάνιον ὑποσπείρειν· ὅθεν οὐδ' ἐπὶ πολὺ χρὴ παρατείνεσθαι τὸ ἀποίμαντον τῶν χηρευουσῶν ἐκκλησιῶν, μηδ' ἄνευ προέδρου ταύτας διατελεῖν, καὶ μάλισθ' ὅσαις συμβέβηκε μέσον γενῶν .... ὡς ἐν σποδιᾷ πῦρ συγκρύπτεσθαι καὶ τὸ φαίνειν κατὰ μικρὸν ἀποβάλλειν, μὴ παρόντος τοῦ τὴν ἄναφιν δυναμένου ποιεῖν, ὁποῖον δήπου καὶ τὸ νῦν ἡμῖν ἐν λόγοις· ἡ γὰρ ταῖς μεγίσταις ἄνωθεν ἐγκριθεῖσα τῶν μητροπόλεων ἁγιωτάτη μητρόπολις Ναυπάκτου, ἀρχιερέως γνησίου χηρεύουσα, ψήφῳ συνοδικῇ τὸν ἑαυτῆς ποιμένα καὶ πρόεδρον εἵληφεν, ἄνδρα συνετὸν καὶ πολλάκις ὑπὲρ εὐσεβείας διηγωνισμένον τε καὶ παθόντα, ὡς ἔδειξεν ἡ ἡμῖν ὑπὲρ αὐτοῦ πεμφθεῖσα κοινῇ παρὰ τῶν ἐκεῖσε τοπαρχῶν, ἔτι δὲ καὶ τῶν ἄλλων πάντων ἐκκρίτων τε καὶ λογάδων καὶ τῶν τοῦ κλήρου ἔγγραφος μαρτυρία, οὐ μὴν ἀλλὰ καὶ τὴν χειροτονίαν πρότερον τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Λευκάδος ἀνῃρημένον, ἀποδιωχθέντα δ' ἐκεῖθεν παρὰ τῶν Ἰταλῶν, ὃς δὴ παρὰ τῆς ἡμῶν μετριότητος, ψήφῳ συνοδικῇ, ὡς δεδήλωται, τῆς περὶ αὐτὴν ὁμηγύρεως τῶν ἱερωτάτων μητροπολιτῶν, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Χαλκηδόνος, τοῦ Ἀδριανουπόλεως, τοῦ Ποντοηρακλείας, τοῦ Βρύσεως, τοῦ Αἴνου, τοῦ Βιζύης, τοῦ Σηλυβρίας καὶ

τοῦ Γάνου, σεπτῷ τε κελεύσματι καὶ εὐδοκίᾳ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐφ' ᾧ τὰ τῆς ἐκκλησίας καλῶς ἵδρυται καὶ ἐστήρικται, ἀποκατέστη τῇ τοῦ Χριστοῦ χάριτι ἐπὶ τὴν ἁγιωτάτην μητρόπολιν Ναυπάκτου. ἔνθεν τοι καὶ ἀπολύουσα ἡ μετριότης ἡμῶν τὴν παροῦσαν συνοδικὴν πρᾶξιν πρὸς τόνδε τὸν ἱερώτατον μητροπολίτην Ναυπάκτου, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Αἰτωλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, κῦρ Ματθαῖον, δίδωσιν αὐτῷ τὴν ἀνήκουσαν τῇδε τῇ κατ' αὐτὸν ἐκκλησίᾳ πᾶσαν τὴν ἀρχιερατικὴν διεξαγωγήν, ὡς γνησίῳ ταύτης ἀρχιερεῖ, ὃς δὴ πρὸς τῷ λαχεῖν τὴν ἐπωνυμίαν τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Ναυπάκτου ἕξει καὶ τὴν ἐπὶ τοῦ ἱεροῦ συνθρόνου ταύτης ἐγκαθίδρυσιν. νῦν μέντοι γε ὀφείλει ἔχειν τὴν ἑαυτοῦ καθέδραν ἐπὶ τῆς ὑπ' αὐτὸν ἁγιωτάτης ἐπισκοπῆς τῆς ἐν τῇ Ἀκαρνανίᾳ Ἄρτης, ἔχειν τε καὶ τὰς ὑπ' αὐτὸν ἑτέρας ἐπισκοπάς, ἄνευ τῶν δύο ἐπισκοπῶν αὐτοῦ, τῆς τε Δρυνουπόλεως καὶ τῆς Βελᾶς, καὶ κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ ὑποτύπωσιν τῆς ἀνηκούσης αὐτῷ τιμῆς ἔν τε καθέδραις, στάσεσί τε καὶ συνελεύσεσιν, ἀναγνωστῶν σφραγῖδας ποιεῖν, ὑποδιακόνους τε καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους χειροτονεῖν καὶ ἐπισκόπους εἰς τὰς ὑπ' αὐτὸν ἐκκλησίας ἐγκαθιστᾶν, ἐφειμένον καὶ τοῦτο πράττεσθαι, ἐπιλαβέσθαι δὲ καὶ πάντων τῶν ὁθενδήποτε διαφερόντων δικαίων τῇ κατ' αὐτὸν ἁγιωτάτῃ μητροπόλει, ὅθεν ὀφείλουσιν οἵ τε ἐν αὐτῇ κληρικοὶ καὶ ἱερωμένοι, μονάζοντές τε καὶ λαϊκοί, ὑποκεῖσθαι τούτῳ καὶ πειθαρχεῖν, ὅσα γνησίῳ αὐτῶν ἀρχιερεῖ καὶ ποιμένι, μεσίτῃ τε καὶ διαλλακτῇ τὰ πρὸς θεὸν κ. τ. λ. ἐπιδέδοται ἡ παροῦσα συνοδικὴ πρᾶξις τῷδε τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Ναυπάκτου, ὑπερτίμῳ καὶ ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, δι' ἀσφάλειαν, ἀπολυθεῖσα κατὰ μῆνα Ἰούλιον τῆς ἐνισταμένης ε' ἰνδ. τοῦ ,ϛωοε' ἔτους, ἥτις ,καὶ ὑπεσημάνθη τῇ αὐτοχείρῳ ὑπογραφῇ τῆς ἡμῶν μετριότητος.

CCXXXVI. (6876—1367) novembri. ind. VI.

Christianupoleos praesul in ius vocatur.

† Μηνὶ νοεμβρίῳ, θ', ἡμέρᾳ τρίτῃ, ἰνδ. ϛ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κελλίοις τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ τοῖς ἐν τοῖς δεξιοῖς κατηχου-

μενείοις, συνεδριαζόντων αὐτῷ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Κυζίκου, τοῦ Χαλκηδόνος, τοῦ Βρύσεως, τοῦ Βιζύης, ὄντος διὰ γνώμης καὶ τοῦ Αἴνου, ἐλαλήθη περὶ τοῦ Χριστιανουπόλεως, ὅτι τε τὸν μοναχὸν Ἡσαΐαν τὸν ἀπὸ τῆς μονῆς τοῦ τιμίου Προδρόμου συνοδικῶς ἐπισχεθέντα, μὴ προβιβασθῆναι εἰς ἱερωσύνην διὰ τὸ δοῦναι καὶ αὐτὸν τῷ γόητι ἐνέχυρον ἐπὶ τὸ εὑρεῖν τὰ ὑπερπύρα, ἅπερ ἀπώλεσεν ὁ μοναχὸς Ἰλαρίων, λαβὼν ἐκεῖνον ἀπὸ τῆς τοιαύτης μονῆς, καὶ ταῦτα τὴν ὑπόθεσιν εἰδὼς καὶ διαμηνυθεὶς παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, διά τε τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ τε Ἐφέσου καὶ τοῦ Ἀδριανουπόλεως, μὴ λαβεῖν αὐτὸν, ὁ δὲ λαβὼν καὶ εἰς τὴν ἑαυτοῦ ἐκκλησίαν ἀπελθὼν ἐχειροτόνησε τοῦτον διάκονον, καὶ ὅτι τούτου γενομένου καὶ τοῦ ῥηθέντος Ἡσαΐου ἐλθόντος ἐνταῦθα καὶ καθαιρεθέντος ψήφῳ συνοδικῇ, ἐπισχεθεὶς καὶ ὁ Χριστιανουπόλεως καὶ διαμηνυθεὶς, ἐλθεῖν ἐνταῦθα ἀπολογησόμενος συνοδικῶς, ὅτου χάριν πεποίηκε ταῦτα, ὁ δὲ οὐκ ἦλθε, προβαλλόμενος ἔνδειαν καὶ τὸ μὴ δύνασθαι δι' αὐτὴν ἐνταῦθα παραγενέσθαι, καὶ εἰ δεῖ συγχωρηθῆναι αὐτὸν ἐνεργεῖν τὰ τῆς ἀρχιερωσύνης, μέχρις ἂν ἐνταῦθα παραγένηται· πρὸς ταῦτα ἀπεφήναντο οἱ ἱερώτατοι ἀρχιερεῖς, ἐπιβεβαιώσαντος ταῦτα ὕστερον καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι τὰ μὲν ἐγκλήματα ταῦτα καθαίρεσιν ἀπαιτεῖ τοῦ Χριστιανουπόλεως, τοιαῦτα πεποιηκότος· διὰ δὲ συγκατάβασιν καὶ ὅτι ἀπὼν οὐδεὶς καταδικάζεται, ἔστω συγκεχωρημένος διενεργεῖν ἀκωλύτως τὰ τῆς ἀρχιερωσύνης, ἕως ἂν ἐνταῦθα παραγένηται. ἐτάχθη δὲ καὶ τοῦτο, ὅτι, εἰ μὲν ἐντὸς τοῦ ἐλευσομένου μαΐου μηνὸς ἔλθοι, γεγονότων πρὸς ἐκεῖνον τριῶν μηνυμάτων, πρώτου μὲν ἀπὸ τῶν ἐνταῦθα διὰ τιμίας γραφῆς τοῦ παναγιωτάτου δεσπότου ἡμῶν, τοῦ οἰκουμενικοῦ πατριάρχου, δευτέρου δὲ καὶ τρίτου διὰ τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ τε Μονεμβασίας καὶ τοῦ Λακεδαιμονίας, εὑρισκομένων ἐκεῖσε, τότε ἀπολογήσεται συνοδικῶς, καὶ γενήσεται τὸ τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ δόξαν κανονικῶς· εἰ δὲ τῶν μηνυμάτων γεγονότων, ὡς εἴρηται, καὶ τῆς τεταγμένης διωρίας παρελθούσης οὐκ ἔλθοι, τότε ἵνα καὶ ἀπὼν καθαιρῆται. διὰ ταῦτα ἐνέγραπται ταῦτα τῷ παρόντι κωδικίῳ σημειώσεως χάριν, μηνὶ νοεμβρίῳ ἰνδ. ς'.

CCXXXVII. (6876—1368) ianuario. ind. VI.

Tabularius Marulas condemnatur.

† Μηνὶ ἰανουαρίῳ, ιθ', ἡμέρᾳ τρίτῃ, ἰνδ. ς', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κελλίοις τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ ἐν τοῖς δεξιοῖς κατηχουμενείοις, συνεδριαζόντων αὐτῷ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Χαλκηδόνος, τοῦ Βιζύης, τοῦ Βρύσεως, ἐλαλήθη περὶ τοῦ ἐπὶ τῶν δεήσεων τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, τοῦ Μαρουλᾶ, ὅτι συνῆψε κόριον ὡσεὶ χρόνων ἑπτά, καθὼς ὁ ἐπὶ τῶν κρίσεων τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας ἐξετάσας ἀνήνεγκεν, ἀνδρὶ διὰ σταυρικῶν δεσμῶν, εἰς ὅπερ προσκληθεὶς ὁ ταβουλλάριος πρεσβύτερος ὁ Ῥαδαρίτης ποιῆσαι καὶ αὐτὸς σταυρικὸν δεσμόν, οὐκ ἐθέλησε, τὸ κόριον ἄνηβον ἰδών, καθὼς ἐκεῖνος πρὸς τὴν ἱερὰν καὶ θείαν εἴρηκε σύνοδον, παρισταμένου καὶ τὰ ἐπὶ τῶν δεήσεων, καὶ ὅτι ἐγένετο ἐπὶ τούτῳ καὶ εὐλόγησις, παρελθόντος μετὰ τοὺς σταυροὺς χρόνου ἑνός· πρὸς ταῦτα ἀπεφήναντο οἱ ἱερώτατοι ἀρχιερεῖς, ὅτι δίκαιόν ἐστι παθεῖν τὸν ἐπὶ τῶν δεήσεων τιμωρίαν μεγάλην, ὅτι τε οὐ τῶν τυχόντων ἐστὶν, ἀλλὰ καὶ ἄρχων τῆς μεγάλης ἐκκλησίας, καὶ πολλάκις περὶ τῶν τοιούτων ἀκηκοὼς παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ οἷαν κατὰ τῶν τὰ τοιαῦτα τολμώντων τὴν ψῆφον ἐξήνεγκεν, ὁ γὰρ εἰδὼς, φησὶ, τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ποιῶν αὐτὸ δαρήσεται πολλὰς, καὶ ὅτι καὶ αὐτὸς τὴν ἐπὶ τῷ τοιούτῳ συνοικεσίῳ ἐξέδωκεν εὐλόγησιν ὁ τοὺς σταυροὺς ποιῆσαι τὸ πρῶτον τετολμηκώς. περὶ δὲ τοῦ ποταπὴ ἔσται ἡ τιμωρία, οἷαν ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, εἶπον, διακρινεῖ. ἐπὶ τούτοις διέγνω καὶ διωρίσατο ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ὡς ἂν ᾖ μὲν ἀργὸς τοῦ ταβουλλαρικοῦ λειτουργήματος παντελῶς, ᾖ δὲ καὶ τῆς ἱερωσύνης ἀργὸς, ἕως ἂν αὐτὸς διακρίνῃ †.

CCXXXVIII. 6876 (1368) ianuario. ind. VI.

Ecclesiae Ephesi et Pyrgii eidem conferendae sunt praesuli.

† Πρᾶξις συνοδικὴ ἐπὶ τῷ Πυργίου. τὸ προοίμιον τοῦ νωταρίου Δημητρίου τοῦ Γεμίστου †.

† Καὶ ἰατρὸς ἐκεῖνος ἄριστος ἂν καλοῖτο παρὰ πᾶσι δικαίως, ὃς τῇ τῆς τέχνης ἐπιμελείᾳ φιλοπονωτάτως χρώμενος τοῖς μάλιστα κάμνουσι καὶ κινδυνεύουσι ἤδη κάλλιστα τὴν ὑγείαν χαρίζεται, τὰ πρὸς σωτηρίαν αὐτοῖς παρεχόμενος φάρμακα, καὶ ποιμὴν ἐκεῖνος ἐπαινεῖται παρὰ θεῷ, ὃς τὸ πλανηθὲν πρόβατον ἐκζητῶν καὶ ἀνακαλούμενος ἐπὶ τὰ ὄρη πορεύεται, καὶ καταλείπει μὲν ἐνταῦθα τὰ πόλλὰ καὶ ἀναρίθμητα, ἐκεῖ δὲ γενόμενος ἐπὶ τῶν ὤμων αἴρει τὸ ἓν, καὶ διασώζει φιλανθρωπότατα, καθ' ὃ καὶ ὁ κύριος ἡμῶν καὶ θεὸς ποιμένα κέκληκεν ἑαυτὸν ἀληθῆ, ὅτι τὴν ἡμετέραν φύσιν πλανηθεῖσαν καὶ τῆς αὐτοῦ δόξης τε καὶ τιμῆς ἀποστᾶσαν δι' οἰκείαν ἀγαθότητα καὶ φιλανθρωπίαν ταύτην ἐπὶ τῶν ὤμων ἀναλαβὼν εἰς τὴν ἀρχαίαν ἀποκατέστησε μάνδραν, ταῖς μυριάσι ταύτην συναριθμήσας τῶν λογικῶν ἀσωμάτων δυνάμεων, οὔπερ μιμηταὶ κατὰ δύναμιν πεφυκότες οἱ τὴν τῶν ψυχῶν ἐπιμέλειαν ἐγκεχειρισμένοι τοῖς μάλιστα δεομένοις διδασκαλίας καὶ παραινέσεως ὀφείλουσι βοηθεῖν. ὅπου δὲ τείνει τὰ τοῦ παρόντος λόγου καὶ τίς ὁ σκοπὸς αὐτῷ, ἕτοιμος ὁ λόγος ἤδη δηλοῦν· ἔφθασε μὲν ἡ ἁγιωτάτη ἐκκλησία Πυργίου ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν ἁγιωτάτην μητρόπολιν Ἐφέσου τελοῦσα ὡς ἐπισκόπου αὐτῆς· πρὸ χρόνων δὲ πολλῶν βασιλικῷ θεσπίσματι καθ' ἑαυτὴν διῆγεν, ὑπὸ μόνην τελοῦσα τὴν καθ' ἡμᾶς ἱερὰν καὶ μεγάλην σύνοδον, ὡς τιμηθεῖσα τῷ τῆς μητροπόλεως ὀνόματί τε καὶ πράγματι, καθάπερ ἄρα καὶ αἱ λοιπαὶ μητροπόλεις. ὀλίγῳ δὲ πρότερον μητροπολίτου τινὸς τῆς Ἐφέσου ταύτην ὡς ἰδίαν ἐπισκοπὴν ἀνακαλεσαμένου καὶ λαβόντος παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου, χειροτονεῖται ἐπίσκοπος ἐν αὐτῇ· οὐκ ἐπὶ πολὺ δὲ διετέλεσεν οὕτω, ἀλλὰ καὶ αὖθις μητρόπολις ὡς τὸ πρότερον γίνεται. ἐξ ἐκείνου οὖν καὶ μέχρι τοῦ νῦν ἀρχιερεὺς γνήσιος οὐκ ἐχειροτονήθη, ἀλλ' ἄλλοτε ἄλλοι μητροπολῖται ταύτην ἐκράτουν ἐπιδόσεως λόγῳ, ὡς καὶ ὁ Χίου ἐκεῖνος, πρὸ ὀλίγου κρατῶν καὶ τὴν Ἔφεσον. ἡ γοῦν μετριότης ἡμῶν ὑπὲρ τῶν εὑρισκομένων ἐκεῖ χρι-

στιανῶν φροντίζουσα μάλιστα καὶ κηδομένη καὶ ἐπιμελουμένη τῆς ψυχικῆς σωτηρίας αὐτῶν, ὡς ἐν μέσῳ τῶν ἐθνῶν ὑπαρχόντων καὶ διὰ ταῦτα πολλῆς δεομένων τῆς παρ' ἡμῶν βοηθείας καὶ ἐπισκέψεως, διὰ σπουδῆς εἶχεν, ὥστε ποιμένι καὶ προστάτῃ τούτους ἐγχειρίσαι, δυναμένῳ πολλῆς αὐτοῖς μεταδοῦναι τῆς ὠφελείας· καὶ δῆτα πρὸ χρόνων ἤδη τριῶν χειροτονηθέντι τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἐφέσου, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ἀσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, συνδιασκεψαμένη αὖτη τοῖς εὑρισκομένοις ἐν τῇ βασιλίδι τῶν πόλεων τὸ τηνικαῦτα ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Καισαρείας, τῷ Ἡρακλείας, τῷ Κυζίκου, τῷ Φιλαδελφείας, τῷ Νικαίας, τῷ Χαλκηδόνος, τῷ Ποντηρακλείας ἐκείνῳ, τῷ Βρύσεως, τῷ Ἀθηνῶν καὶ τῷ Τραπεζοῦντος, δέδωκε τὴν τοιαύτην ἁγιωτάτην μητρόπολιν τοῦ Πυργίου κατ' ἐπίδοσιν, ὅτι τε πλησίον ἐστὶ τῆς αὐτοῦ ἐκκλησίας, καὶ δύναται ἐπιβλέπειν αὐτοὺς καὶ διδάσκειν, καὶ διὰ τὴν ἐνοῦσαν τῷ ἀνδρὶ παρὰ θεοῦ σύνεσίν τε καὶ δύναμιν θαυμαστῷ κατὰ πάντα τυγχάνοντι καὶ τῶν ἀρετῶν τὰ κάλλιστά τε καὶ τιμιώτατα ὡς ἐν ἀγγείῳ τινὶ τῇ ἑαυτοῦ ψυχῇ θησαυρίσαντι καὶ δυναμένῳ πηγάζειν τὰ τῆς διδασκαλίας ἐκεῖθεν ἀφθόνως ῥεύματα καὶ ψυχὰς παρακαλεῖν κατωδύνους καὶ βοηθεῖν αὐταῖς εἴπερ τις ἄλλος θαυμασιώτατα, πράξει πιστουμένῳ τοὺς τῆς διδασκαλίας λόγους. ἐπεὶ δ' ἐξ ἐκείνου καὶ μέχρι τοῦ νῦν οὐκ ἀπῆλθεν εἰς τὴν ἐκκλησίαν αὐτοῦ, διά τινας ἐπισυμβάσας αἰτίας, ἣν οὕτω καὶ τὰ τῆς ἐκκλησίας Πυργίου, λόγῳ μόνῳ τοῦ Ἐφέσου ταύτην κατέχοντος, πράγματι δὲ τοῦ Χίου, μέχρι τοῦ νῦν· ἀρτίως δὲ πέμποντος ἤδη τινὰς τῶν ἑαυτοῦ εἰς τὴν ἰδίαν ἐκκλησίαν καὶ μετ' ὀλίγον μέλλοντος ἀπελεύσεσθαι καὶ αὐτοῦ, θεοῦ διδόντος, ἔτι συνδιασκεψαμένη ἡ μετριότης ἡμῶν τῇ περὶ αὐτὴν ὁμηγύρει τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Καισαρείας, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Χαλκηδόνος, τοῦ Βιζύης καὶ τοῦ Βρύσεως, δέδωκε μὲν τῷ ἱερωτάτῳ τούτῳ μητροπολίτῃ Ἐφέσου τὴν τοιαύτην ἁγιωτάτην μητρόπολιν Πυργίου κατ' ἐπίδοσιν. ἐπὶ πλέον δὲ προνοουμένη τῶν εὑρισκομένων ἐκεῖ ψυχῶν καὶ τῆς εἰς τὸ μέλλον αὐτῶν ἀσφαλείας φροντίζουσα τάττει καὶ ἀποφαίνεται, ὡς ἂν καὶ πᾶς ὁ μετ' αὐτὸν μητροπολίτης Ἐφέσου κατέχῃ ταύτην ἐπιδόσεως λόγῳ, οὐχ ὡς ἰδίαν ἐπισκοπὴν, ἀλλ' ὡς μητρόπολιν, ἡνωμένην δὲ εἶναι τῇ τῆς Ἐφέσου μητροπόλει καὶ ὑφ' ἑνὶ ποιμένι ἀμφοτέρας ποιμαίνεσθαι. ὅτι δὲ

πλησίον ἀλλήλαις εἰσὶν αὗται καὶ ὅτι πάντοτε ὁ μέλλων εὑρίσκεσθαι μητροπολίτης Ἐφέσου κατὰ πολὺ κρείττων ἔσται τοῦ εἰς τὸ Πυργίον μέλλοντος εὑρίσκεσθαι, ἅτε δὴ τῆς μητροπόλεως ταύτης πάσης τῆς Ἀσίας προκαθεζομένης καὶ θρόνον ἐχούσης ὑψηλόν τε καὶ μέγαν, καὶ διὰ τοῦτο δόκιμον ἐν ἅπασιν ἄνδρα μελλούσης τῆς θείας συνόδου χειροτονεῖν ἐν αὐτῇ, ἄλλως τε καὶ τῆς ἐκκλησίας Ἐφέσου προνοουμένη, ὡς ἂν ἔχῃ καὶ μερικὴν κυβέρνησιν καὶ προμήθειαν, ἐπειδὴ τὰ ἑαυτῆς ἀπεκείρατο πάντα, ὑπὸ τῶν βαρβάρων ἁλωθεῖσα, καὶ οὐκ ἔχει παρέχειν τὰ ἀναγκαῖα τῷ ἀρχιερεῖ αὐτῆς. τοῦτο δὲ καὶ ἐν ἄλλαις ἐκκλησίαις γέγονε, ἑνωθεισῶν ἀρχιεπισκοπῶν μητροπόλεσι, τῷ μὴ δύνασθαι καθ' ἑαυτὰς εἶναι, διὰ τὴν ἐπικειμένην αὐτῆς ἔνδειαν, ἑνωθεῖσαι δὲ καὶ πάλιν μένουσι ὡς τὸ πρότερον, ἡ μὲν μητρόπολις ἔχουσα καὶ τὸν τόπον ἑαυτῆς καὶ τὴν τιμὴν καὶ τὴν τάξιν, ἡ δὲ ἀρχιεπισκοπὴ πάλιν ὁμοίως τὰ ἑαυτῆς, ὅπερ καὶ ἐπὶ τοῦ παρόντος γέγονε, κατὰ τὴν εἰς ταῦτα συνήθειαν καὶ διὰ τὸ περιφανὲς τοῦ θρόνου τῆς μητροπόλεως Ἐφέσου καὶ τὴν προσγενομένην αὐτῇ ἔνδειαν καὶ στενοχωρίαν ἠνώθη αὐτῇ ἡ ἐκκλησία Πυργίου, ὥστε πάλιν ἔχειν ἑκατέραν αὐτῶν τὸν ἴδιον τόπον καὶ τὴν ἀξίαν. ἔνθεν τοι καὶ καθέξει ταύτην τὴν ἐκκλησίαν ὁ δηλωθεὶς ἱερώτατος μητροπολίτης Ἐφέσου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, καὶ καθεξῆς πάντες οἱ μετ' αὐτὸν τῆς Ἐφέσου ἀρχιερεῖς, διδάσκοντες τὸν ἐν αὐτῇ λαὸν καὶ παραινοῦντες καὶ εἰσηγούμενοι τούτοις ὡς ἀρχιερεῖς τὰ ψυχωφελῆ καὶ σωτηρίας ἐχόμενα, ἔχοντες ἄδειαν ἱερουργεῖν ἐν αὐτῇ καὶ ἀπὸ τῶν εὑρισκομένων ἐν αὐτῇ ἀναγνώστας σφραγίζειν, ὑποδιακόνους καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους χειροτονεῖν, μετὰ τῆς ὀφειλομένης ἀκριβοῦς ἐρεύνης τε καὶ δοκιμασίας, καὶ πάντα τἄλλα ποιεῖν, ὅσα οἱ γνήσιοι ἀρχιερεῖς ἐν ταῖς ἑαυτῶν ἐκκλησίαις διενεργοῦσιν, ἄνευ μέντοι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, φροντίζοντες ἕκαστος τῶν τῆς Ἐφέσου μητροπολιτῶν τῶν ἄλλος ἄλλον διαδεχομένων καὶ ἐπιμελούμενοι τῆς σωτηρίας τῶν εὑρισκομένων ἐκεῖ ψυχῶν, ὡς ἀναδεδεγμένοι παρὰ τῆς ἡμῶν μετριότητος τὴν φροντίδα καὶ προστασίαν αὐτῶν, καὶ ὀφείλοντες κατὰ πάντα τρόπον ἐπιμελεῖσθαι αὐτῶν, ὡς λόγον ἀποδώσοντες ἕκαστος τῷ θεῷ ὑπὲρ αὐτῶν ἐν ἡμέρᾳ κρίσεως, ὀφειλόντων πάντων τῶν εὑρισκομένων ἐκεῖ κληρικῶν, ἔτι τε ἱερωμένων, πνευματικῶν, μονα-

ζόντων, ἀρχόντων καὶ παντὸς τοῦ χριστιανικοῦ πληρώματος τὴν προσήκουσαν ἀπονέμειν αὐτοῖς αἰδῶ καὶ τιμὴν καὶ ὑποταγὴν καὶ εὐπείθειαν καὶ ὑπείκειν καὶ ὑποτάσσεσθαι καὶ πείθεσθαι αὐτοῖς, ἐφ' οἷς ἂν ἔχωσι λέγειν πρὸς αὐτούς, ἀφορῶσιν εἰς ψυχικὴν αὐτῶν λυσιτέλειαν, καὶ οὕτως ἔχειν αὐτοὺς καὶ ὑποτάσσεσθαι τούτοις ὡς τῷ θεῷ, οὗ τὴν εἰκόνα ὁ ἀρχιερεὺς φέρει. παραινεῖ δὲ καὶ εἰσηγεῖται τούτοις ἅπασιν ἡ μετριότης ἡμῶν στέργειν καὶ ἐμμένειν τῇ παρ' αὐτῆς γενομένῃ συνοδικῇ ταύτῃ πράξει, καὶ μηδέποτε ἐπιχειρῆσαι ἀποδ .... πετῆσαι ταύτης καὶ ζητῆσαι γνήσιον ἀρχιερέα, πρὸς κατάλυσιν καὶ ἀθέτησιν τῆς συνοδικῆς ταύτης πράξεως· ὁ γὰρ τολμήσας ὅλως πρᾶξαί τι τοιοῦτον εὐθύνην ὑποστήσεται τὴν ἀξίαν, καὶ δίκην λήψεται παρὰ τῆς ἡμῶν μετριότητος, κατὰ πολὺ γὰρ συμφέρον κρίνασα τοῦτο αὐτοῖς διὰ τὰς προειρημένας αἰτίας, συνοδικῶς τοῦτο πέπραχε, καὶ ὀφείλει διαμένειν ἀκατάλυτον εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους. τούτου γὰρ χάριν γεγονυῖα καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος ἐπεδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἐφέσου, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ἀσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ αὐτῆς καὶ συλλειτουργῷ, κῦρ Θεοδωρήτῳ, καὶ τοῖς μετ' αὐτὸν διαδεξομένοις αὐτὸν ἀρχιερεῦσι τῆς ἐκκλησίας ταύτης εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν κατὰ μῆνα ἰανουάριον τῆς ἐνισταμένης ς' ἰνδ. τοῦ ,ϛωος' ἔτους †.

CCXXXIX. (6877—1368) septembri. ind. VII.

Metropolita Bizyae, qui et locum tenebat episcopi Staurupoleos, in metropolim Mesembriae transfertur.

CCXL. (6877—1368) octobri. ind. VII.

Metropolitae Gotthiae committitur ecclesia Chersonis.

† Ἔνταλμα ἐξαρχικὸν τῷ Γοτθίας, γεγονὸς ἐπὶ τῇ τῆς Χερσῶνος ἐκκλησίᾳ †.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος ἀνατίθησι τῷ ἱερωτάτῳ μητροπολίτῃ Γοτθίας καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, τὴν ἐξαρχίαν καὶ διοίκησιν τῆς ἐν Χερσῶνι ἁγίας τοῦ θεοῦ ἐκκλησίας,

ὅστις καὶ ὀφείλει ἐπιβλέπειν καὶ ἐπιτηρεῖν ταύτην καὶ τοὺς ἐν αὐτῇ εὑρισκόμενους ἱερωμένους καὶ μονάζοντας καὶ τὸν λοιπὸν τοῦ κυρίου χριστώνυμον λαὸν καὶ παραινεῖν καὶ εἰσηγεῖσθαι κ. τ. λ. ἀπελύθη τῇ δ'. †.

† Εἶχε καὶ διὰ τῆς τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. ζ' †.

CCXLI. (6877—1368) octobri. ind. VII.

Metropolitae Perithorii per adiunctionem confertur metropolis Tenedi.

CCXLII. (6877—1368) octobri. ind. VII.

Episcopo Amiclei confertur administratio omnium bonorum patriarchalium, quae in Peloponneso reperiuntur.

CCXLIII. (6877—1369) aprili. ind. VII.

Monachus quidam Theodoretus abiurat errores Latinorum et Barlaam et Acindyni.

† Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. Ἐπεὶ δὲ ἀπὸ λύπης καὶ συναρπαγῆς καὶ ἀγνωσίας ἐχωρίσθην τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, καὶ ἀπῆλθον πρὸς τοὺς Λατίνους, νῦν ὑποστρέφω καθαρῶς καὶ γνησίως, καὶ ἀποβάλλομαι πᾶσαν τὴν δόξαν τῶν Λατίνων, τὴν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, λεγόντων, ὅτι καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται, πιστεύω γὰρ καὶ ὁμολογῶ κατὰ τὴν ἀπόφασιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ συμβόλου, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι μόνου τὸ πνεῦμα τὸ ἅγιον· ἀποβάλλομαι δὲ καὶ ἀρνοῦμαι καὶ πάντα τὰ λοιπὰ ἔθιμα αὐτῶν, τά τε ἐκκλησιαστικὰ καὶ τὰ περὶ τῆς λοιπῆς αὐτῶν πολιτείας. ἐπεὶ δὲ ὑποπτεύθην παρὰ τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας, ὅτι εἰμὶ καὶ ἐγὼ ὁμόφρων τῶν φρονούντων τὰ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου, λέγω καὶ περὶ τούτου, ὅτι τὸν Βαρλαὰμ καὶ τὸν Ἀκίνδυνον καὶ πάντας τοὺς ὁμόφρονας αὐτῶν ὡς ἀποκηρυχθέντας καὶ ἀναθεματισθέντας παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου, ὡς δυσσεβεῖς καὶ ἐφευρετὰς καινῶν καὶ ἀλλοκότων αἱρέσεων, ἀναθεματίζω αὐτοὺς καὶ πάντα τὰ συγγράμματα αὐτῶν, στέργω δὲ, ἅπερ ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀπο-

στολικὴ ἐκκλησία φρονεῖ καὶ λέγει περὶ αὐτῶν, καὶ εἰμὶ καὶ ἐγὼ εἷς τῶν ὀρθοδόξων Χριστιανῶν καὶ μαθητὴς τῆς ἐκκλησίας. καὶ εἰς τὴν περὶ τούτων ἀσφάλειαν ἐποιησάμην καὶ τὴν παροῦσαν ὁμολογίαν, ὑπογράφας αὐτὴν οἰκειοχείρως μηνὶ ἀπριλλίῳ ἰνδ. ζ' †.

† Ὁ ἐν μοναχοῖς ἐλάχιστος Θεοδώρητος †.

CCXLIV. Sine anno.

Metropolitae Mesembriae confertur metropolis Varnae per adiunctionem.

† Ἐδόθη κατ' ἐπίδοσιν ψήφῳ συνοδικῇ τῷ προρρηθέντι ἱερωτάτῳ μητροπολίτῃ Μεσημβρίας καὶ Ἀγχιάλου καὶ ἡ ἁγιωτάτη μητρόπολις τῆς Βάρνης καὶ τὰ περὶ αὐτὴν, τό τε Πετρὶν, ἡ Προβάτους, ὁ Κάλαθας, ὁ Κίτζιβος, ὁ Ἔμμων καὶ ὁ Καρβουνᾶς, καὶ διὰ τοῦτο γέγονεν ἡ παροῦσα παρασημείωσις †.

CCXLV. (6877—1369) aprili. ind. VII.

Hieromonachus Macarius nominatur abbas monasterii Iesu Christi Acropolitae Mesembriae.

† Ἐπεὶ ἡ ἐν τῇ Μεσημβρίᾳ βασιλικὴ καὶ πατριαρχικὴ σεβασμία μονὴ ἡ ἐπ' ὀνόματι τιμωμένη τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ τοῦ Ἀκροπολίτου, ἣν μὲν ἐξ ἀρχῆς εὐποροῦσα κτημάτων τε καὶ πραγμάτων καὶ προσόδῳ ἀπὸ τούτων παντοδαπῶν καὶ εὐθηνίας καὶ βελτιώσεως, ὑπὸ δὲ τῆς συμβάσης τῷ καιρῷ καὶ τοῖς πράγμασιν ἀνωμαλίας τε καὶ συγχύσεως ἀποβαλλομένη ταῦτα πάντα, κατήντησεν εἰς στενοχωρίαν πολλὴν καὶ ἔνδειαν καὶ πτωχίαν, εὑρέθη δὲ ὁ εὐλαβέστατος ἱερομόναχος κῦρ Μακάριος, καὶ ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα ἐζήτησε ταῦτα ταύτην ὑποσχόμενος συστῆσαι ταύτην διὰ τῆς οἰκείας συνδρομῆς καὶ σπουδῆς καὶ ἐπιμελείας καὶ βελτιῶσαι, καθ' ὅσον ἐστὶ δυνατὸν αὐτῷ, προάγων ἅμα καὶ μάρτυρας εἰς τοῦτο ἀξιοπίστους, συμμαρτυροῦντας αὐτῷ, ἡ μετριότης ἡμῶν τὴν τούτου προσδεξαμένη δέησιν, ἀγαθῆς προαιρέσεως οὖσαν, τὸ παρὸν ἀπολύει αὐτῆς γράμμα, δι' οὗ καὶ πρῶτον μὲν καθίστησιν αὐτὸν καθηγούμενον καὶ ἀρχιμανδρίτην τῆς δηλωθείσης ταύτης σεβασμίας μονῆς, εἶτα παραδίδωσιν αὐτῷ ταύτην, ὥστε ἐφορᾶν καὶ διοικεῖν καὶ οἰκονομεῖν αὐτὴν, μηδενὸς ὄντος τοῦ συναντιωθησομένου

αὐτῷ τὸ σύνολον τούτου ἕνεκεν, ὀφείλοντι ἐπιμέλειαν ποιεῖσθαι καὶ προνοεῖσθαι τῶν σὺν αὐτῷ εὑρισκομένων ψυχῶν καὶ πρὸς νομὰς ὁδηγεῖν αὐτὰς σωτηρίας, ἐπιμελεῖσθαί τε καὶ τῆς συστάσεως τῶν προσόντων αὐτῇ καὶ βελτιώσεως καὶ τῆς εἰς τὸ κρεῖττον κατὰ τὸ δυνατὸν ἐπιδόσεως, πάντων τῶν σὺν αὐτῷ ὀφειλόντων τὴν προσήκουσαν ἀπονέμειν αὐτῷ ὑποταγὴν καὶ τιμὴν καὶ εὐπείθειαν καὶ πειθαρχεῖν αὐτῷ, ἐφ' οἷς ἂν ἔχοι λέγειν πρὸς αὐτούς, ἀφορῶσιν εἰς ψυχικὴν σωτηρίαν αὐτῶν καὶ εἰς σύστασιν τῶν τῆς μονῆς κτημάτων τε καὶ πραγμάτων, καὶ μηδενὸς ὄντος τοῦ τὴν οἱανδήτινα διενόχλησιν ἐπαγαγεῖν ὀφείλοντος αὐτῷ ἢ ἐπήρειαν, παρὰ τῆς ἡμῶν μετριότητος καταστάντι καθηγουμένῳ καὶ ἀρχιμανδρίτῃ τῆς μονῆς ταύτης καὶ ἐφόρῳ καὶ διηγητῇ καὶ οἰκονόμῳ καὶ προστάτῃ αὐτῆς ἐφ' ὅρῳ πάσης τῆς ζωῆς αὐτοῦ. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ὀφείλει μέντοι ὁ τοιοῦτος καθηγούμενος καὶ ἀρχιμανδρίτης τῆς δηλωθείσης ταύτης σεβασμίας μονῆς, ἱερομόναχος κῦρ Μακάριος, παραπέμπειν κατ' ἔτος πρὸς τὸ πατριαρχικὸν κελλίον δίχα λόγου τινὸς τὸ σύνηθες κανονικὸν καὶ τὰ συνήθη καὶ (αποτεταγμένα) κανίσκια †. ἀπελύθη τῇ ιηʹ †.

† Εἶχε καὶ διὰ τῆς πατριαρχικῆς τιμίας χειρὸς τὸ· μηνὶ ἀπριλλίῳ ἰνδ. ζʹ †.

CCXLVI. (6877—1369) iunio. ind. VII.

Demetrius Chlorus et Daniel abiurant Latinorum et Barlaam et Acindyni errores.

† Ἐπειδήπερ κακῶς ποιήσαντες ἦμεν τὸ πρῶτον δι' ἀφροσύνης καὶ μὴ κοινωνοῦντες τῷ παναγιωτάτῳ ἡμῶν αὐθέντῃ καὶ δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ περὶ αὐτὸν θείᾳ καὶ ἱερᾷ συνόδῳ, τὸ μὲν ἡμῶν αὐτῶν θέντες μετὰ τοῦ Ἀκινδύνου ἐκείνου καὶ τῶν Λατίνων, ἐν οἷς καὶ διάγοντες καθ' ὑπερβολὴν ἐδιώξαμεν τὴν τοῦ θεοῦ ἐκκλησίαν, νῦν δὲ αὐτοῖς προσερχόμενοι καὶ βουλόμενοι κοινωνεῖν, ἀπαιτούμεθα λόγον περὶ τῆς ἐν ἡμῖν πίστεως, ἰδού, λέγομεν οὕτω· πιστεύομεν εἰς ἕνα θεὸν κ. τ. λ. ἆρα μὲν οὖν ταῦτα .... μόνα λεχθέντα ἡμῖν εἰς ἐντελῆ καὶ βεβαίαν ἀπόδειξιν πίστεως. ἐπὶ δὲ καὶ περὶ τῶν Λατίνων καὶ τοῦ Ἀκινδύνου ἐκείνου ἀναγκαζόμεθά τι εἰπεῖν, ἰδού, λέγομεν τάδε, καὶ πρῶτον περὶ

Λατίνων· ἀποβαλλόμεθα τοὺς Λατίνους, ὡς κακῶς ποιήσαντας καὶ προσθέντας ἐν τῷ συμβόλῳ τῆς πίστεως τὸ· καὶ ἐκ τοῦ υἱοῦ, ἐν ᾧπερ οὐ δεῖ προστιθέναι τι τὸ παράπαν ἢ ἀφαιρεῖν, ἀλλὰ λέγομεν καὶ φρονοῦμεν, ὅτι ὁ πατὴρ μόνος ἐν τῇ ἁγίᾳ καὶ μακαρίᾳ τριάδι ἐστὶν ὁμολογημένως αἰτία τούτου καὶ τοῦ ἁγίου πνεύματος, καθὼς ὁ μέγας φησὶ Διονύσιος, ὅτι μόνη πηγαία θεότης ἐστὶν ὁ πατήρ, ὁ δὲ υἱὸς οὐκ ἔστι τῆς τοῦ ἁγίου πνεύματος ὑποστάσεως αἴτιος, καθὼς φησι ὁ Δαμασκηνὸς, ὅτι ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα οὐ λέγομεν, ἀλλ' ἔστι μὲν τοῦτο ἐκπορευόμενον ἐκ πατρὸς, κατὰ τὴν τοῦ κυρίου φωνὴν, ἔστι δὲ κατὰ τὴν τῶν ἁγίων διδασκαλίαν καὶ διὰ τοῦ υἱοῦ πεφηνὸς, ἐκλάμπον, ἀποστελλόμενον, προερχόμενον, χορηγούμενον καὶ διδόμενον, δηλαδὴ τοῖς ἀνθρώποις. τὰ ἀναφερόμενα ἄζυμα εἰς ἱερουργίαν, ὡς μὴ παραδεδομένα τῇ ὀρθοδόξῳ τοῦ Χριστοῦ ἐκκλησίᾳ, οὐ στέργομεν, μᾶλλον δ' ἀποδεχόμεθα τὴν διὰ τῶν ἐνζύμων, ὡς παραδεδομένην καὶ συνήθη καὶ τελείαν ὑπάρχουσαν, καθόλως δὲ λέγομεν, ὅσα παρὰ τὴν διαταγὴν τοῦ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων ποιοῦσιν, ἀποβαλλόμεθα. περὶ δὲ τοῦ Ἀκινδύνου ἐκείνου λέγομεν οὕτως· εἴ τις οὐ φρονεῖ ἐπὶ θεοῦ θεοπρεπῆ διάκρισιν οὐσίας καὶ ἐνεργείας, λέγω δὲ τῆς κοινῆς τῆς ἁγίας τριάδος, εἰ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα πολλάκις ἐνεργεῖαι λέγονται τῆς θεότητος τοῦ πατρὸς, ἢ κτιστὴν καὶ ..... δοξάζει τῆς ἀκτίστου καὶ ἀιδίου φύσεως τὴν φυσικὴν καὶ οὐσιώδη ἐνέργειαν ἢ οἰκτ.. ὅλως σύνθεσίν τινα γίνεσθαι ἐν τῇ ὑπερηνωμένῃ καὶ θείᾳ ἁπλότητι τοῦ θεοῦ διὰ ταῦτα, ἢ ὅτι τὸ θεὸς ὄνομα καὶ θεότης ἀκριβῶς αὐτὴν τὴν φύσιν ἥ ἐστι δηλοῖ τοῦ θεοῦ, καὶ οὐχὶ μᾶλλον ἐξ ἐνεργείας ὂν εἰλημμένον τὴν θεατικὴν δηλονότι τούτου ἐνέργειαν, ἢ καὶ καθ' ἕτερον τρόπον, καὶ ἡ οὐσία τοῦ θεοῦ λέγεται θεότης ὡς αἰτία θεότητος, καὶ ὅτι οὐχ ὑπέρκειται ὁ θεὸς τῶν περὶ αὐτὸν οὐσιωδῶς τε καὶ ἀιδίως θεωρουμένων καὶ λεγομένων, ἢ ὅτι μετέχει τῆς θείας οὐσίας οὕτως, καθάπερ καὶ ὁ ἐν τῷ Χριστῷ θεωρούμενος ἄνθρωπος, ὡς δύνασθαι καὶ αὐτὸν τολμηρᾷ γλώσσῃ λέγειν ποτὲ δύο ἐν ἑαυτῷ φέρειν οὐσίας, θεότητός τε καὶ ἀνθρωπότητος, καὶ οὐχὶ μᾶλλον μετέχειν τῆς θείας φύσεως κατὰ τὴν ταύτης ἐνέργειαν καὶ τὰ φυσικὰ ἰδιώματα, τούτων γὰρ μετέχοντες λεγόμεθα τοῦ θεοῦ μετέχειν, ἢ ὅτι ἡ ἐπὶ τοῦ ὄρους Θαβὼρ τοῖς τοῦ Χριστοῦ μαθηταῖς ἀμυδρῶς ἀγασθεῖσά τε καὶ παραδει-

χθεῖσα θεότης, ἥτις καὶ φῶς ἐστιν ἄχρονον καὶ προαιώνιον καὶ ἀληθινὸν καὶ ἀπρόσιτον καὶ θείας αἴγλης χύσις ἀπεριόριστος καὶ βασιλεία θεοῦ, κτίσμα ἦν γινόμενον καὶ ἀπογινόμενον· εἴ τις τὰ τοιαῦτα πάντα φρονεῖ, ὑπόδικος ἔστω τῷ ἀναθέματι. ἀποβαλλόμεθα δὲ ὁλοψύχως καὶ τὰ παρὰ τοῦ Βαρλαὰμ καὶ τοῦ Ἀκινδύνου ἐκείνου καὶ πάντων τῶν ὁμοφρόνων αὐτοῖς συγγραφέντα τε καὶ δογματισθέντα κατὰ τῆς ὀρθῆς καὶ εὐσεβοῦς τῶν χριστιανῶν πίστεως καὶ τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, δι' ἃ πάντα καὶ αὐτοὺς ἐπὶ τούτοις ἅπασι λέγομεν, ὅτι ὡς οἱ προφῆται προεφήτευσαν, ὡς οἱ ἀπόστολοι ἐδίδαξαν, ὡς οἱ μάρτυρες ὡμολόγησαν, ὡς ὁ Χριστὸς διετάξατο, οὕτω φρονοῦμεν καὶ οὕτω πιστεύομεν, ἀσπαζόμενοι καὶ πάσας τὰς ἁγίας οἰκουμενικὰς καὶ μερικὰς συνόδους, τὰς ἐπὶ σύστασιν τῶν ὀρθῶν καὶ ἀπταίστων δογμάτων τῆς τοῦ Χριστοῦ ἐκκλησίας συγκροτηθείσας, ἔτι δὲ καὶ πᾶσαν γραφὴν παλαιάν τε καὶ νέαν θεόπνευστον καὶ ὠφέλιμον καὶ τὰς διδασκαλίας καὶ θεολογίας τῶν ἁγίων καὶ θεοφόρων πατέρων καὶ διδασκάλων τῆς τοῦ Χριστοῦ ἐκκλησίας, Διονυσίου, Ἀθανασίου, Βασιλείου, Γρηγορίων, Χρυσοστόμου, Κυρίλλου, Ἐπιφανίου, Ἀναστασίου, Ἀμβροσίου, Ἀμφιλοχίου, Λέοντος Ῥώμης, Ἰωάννου τοῦ Δαμασκηνοῦ καὶ τῶν λοιπῶν. ἐγράφη μηνὶ ἰουνίῳ, πεντεκαιδεκάτῃ ἰνδικτιῶνος ἑβδόμης †.

† Ὁ παπᾶς Δημήτριος ὁ Χλωρός †. † Ὁ ἐν μοναχοῖς ἐλάχιστος καὶ εὐτελὴς Δανιήλ †.

CCXLVII. Sine anno.

Episcopus Athyra (τοῦ Ἀθύρα) *transfertur in metropolim Aeni.*

CCXLVIII. (6877—1369) maio. ind. VII.

Matthaeus, episcopus Faustinae, in metropolim Tyanorum transfertur.

CCXLIX. (6877—1369) iunio. ind. VII.

Episcopus Mocisi transfertur in episcopum Tamisi.

† Τῷ Μωκισοῦ μεταθέντι ἀπὸ ἐπισκόπου Ταμίσου ψήφῳ τῶν αὐτῶν ἱερωτάτων ἀρχιερέων καὶ τοῦ Τυάνων ἐδόθη ἡ αὐτὴ πρᾶξις,

ἀπαραλλάκτως τὴν αὐτὴν περίληψιν ἔχουσα, ἥτις εἶχε καὶ διὰ τῆς τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ ἰνδ. ζ' †.

CCL. (6877—1369) augusto. ind. VII.

Michael Strategus promittit se leges ecclesiasticas esse observaturum.

† Ἐγὼ Μιχαὴλ ἱερεὺς ὁ Στρατηγὸς, ἐπεὶ συνέβη καὶ εὐλόγησα ἄνευ εἰδήσεως τῶν τὰ τοῦ μεγάλου χαρτοφύλακος δίκαια διεπόντων, διὸ καὶ ἐπεσχέθην παρὰ τοῦ παναγιωτάτου μου δεσπότου καὶ αὐθέντου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ πολλὰ δεηθεὶς τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ τυχεῖν συγγνώμης καὶ συγχωρήσεως τοῦ τοιούτου σφάλματος οὐκ ἔτυχον, ἀρτίως δὲ διὰ παρακλήσεως τῶν ἐκκλησιαστικῶν ἀρχόντων ἀπαιτηθεὶς, δοῦναι ὑπόσχεσιν, ἔτυχον συγχωρήσεως παρὰ τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, ἤδη ὑπόσχομαι, ὡς ἂν μήποτε φωραθῶ τοιοῦτόν τι διαπράξασθαι, μηθ' ἕτερόν τι τῶν μὴ ἀνηκόντων τῇ ἱερωσύνῃ μου, ἐπεὶ εἴ ποτε φωραθείην τοιοῦτόν τι διαπράξασθαι, ἵνα κρίνωμαι συνοδικῶς καὶ εὐθύνωμαι κανονικῶς. διὰ γὰρ τοῦτο γέγονε καὶ τὸ παρόν μου ὑποσχετικὸν γράμμα δι' ἀσφάλειαν μηνὶ αὐγούστῳ ἰνδ. ζ' †.

† Μιχαὴλ ἱερεὺς ὁ Στρατηγός †.

CCLI. (6878—1370) iunio. ind. VIII.

Philippus Lomelenus Latinorum errores abiurat.

† Πιστέβω ἰς ἕνα θεόν κ. τ. λ. Ἐποῖ δὲ νύπιος ..... φανυστοῖς προσεμῦνα τοῖ ἐκκλησίᾳ τῶν Λατίνων καὶ ὑπὸ πλάνοις καὶ ἀπάτοις καὶ ἀγνωσίας ἐνομίζῶν ὀρθὰ ὕνε πρὸς τὴν εὐσεβῆ καὶ ὀρθοδοξῶν πίστην πάντα, ὅσα ἐν ἐκείνοι λέγεται περὶ τοῦ παναγίου πνεύματος καὶ ἴσα ἐν ἐκοίνοι τελλοῦντε, ἐπὶ οὗ ὑπὸ ἀγνωσίας ἔστεργων ἔκοινα, νῦν ἀπῶβάλλομε καὶ ἀρνοῦμε πάντα, ὡς κακόδοξα καὶ ἐρετικῶν ἔργα τε καὶ φρονίματα, προσέρχῶμε δὲ καθαρῶς καὶ γνισίως ὺς τὺν ἁγίαν τοῦ Χριστοῦ καθολλικὺν καὶ ἀποστολλικὺν ἐκκλίσίαν, καὶ ὁμολογῶ κατὰ τὴν ἀπόφασην τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ὑμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἁγίου συμβόλου τὸ ἐκ μόνου τοῦ πατρὸς ἐκπορέβεσται τὸ πνεῦμα τὸ ἅγιον, ἀποβάλλομε καὶ ἀρνοῦμε καὶ

πάντα τὰ λυπὰ ἐκείνων ἔθιμα, τά τε ἐκκλισιαστικὰ καὶ τὰ περὶ τοῖς λυπῖς αὐτῶν πολυτίας, στέργω δὲ, ἅπερ ἡ ἁγία τοῦ Χριστοῦ καθολικοῖ καὶ ἀποστολικοῖ ἐκκλισία φρονῖ καὶ λέγι περὶ αὐτῶν, καὶ ὑμοῖ καὶ ἐγὼ ἷς τῶν ὀρθοδόξον χριστιανῶν καὶ μαθητοῖς τοῖς ἐκκλισίας. καὶ ἰς τὴν περὶ τούτων ἀσφάλιαν ἐπιοῦσάν μοι τὴν παροῦσαν μου ὁμολογίαν, ὑπογράφας αὐτὴν οἰκιοχίρως, μηνὶ ἰουνίῳ, α', ἰνδ. η' †.

† Ἐγὼ ὁ Φίλλειππος Λομεληνός †.

CCLII. (6876—1367) novembri. ind. VI.

Synodus decernit, fundos ecclesiasticos non posse cedi imperatori.

† Μηνὶ νοεμβρίω .... ἰνδ. ς', διεκομίσθησαν λόγοι τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως πρὸς τὸν παναγιώτατον δεσπότην ἡμῶν, τὸν οἰκουμενικὸν πατριάρχην, διὰ τοῦ περιποθήτου θείου τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας αὐτοῦ, τοῦ τιμιωτάτου ἐν μοναχοῖς κῦρ Μακαρίου Γλαβᾶ τοῦ Ταρχανειώτου, εἰπόντος, ὅτι ὁ βασιλεὺς ὁ ἅγιος βούλεται καταστῆσαι στρατιώτας ἐν τοῖς χωρίοις ἔξω τῆς Κωνσταντινουπόλεως μέχρι τῆς Σηλυβρίας, οἷς καὶ βούλεται δοῦναι τὰ ἐν αὐτοῖς χωράφια καὶ τὴν γῆν πᾶσαν τὴν ἐν αὐτοῖς· ἐπεὶ δὲ ἔχει καὶ ἡ μεγάλη ἐκκλησία δύο χωρία, τὸ τοῦ Οἰκονομείου καὶ τὸ τοῦ Πασπαρᾶ, μηνύει τῇ μεγάλῃ ἁγιωσύνῃ σου, ἵνα ἀπολυθῶσι ταῦτα παρ' αὐτῆς, ὡς ἂν παραλαβὼν ὁ βασιλεὺς ὁ ἅγιος ταῦτα ποιήσῃ ἐπ' αὐτοῖς, ὅπερ βούλεται, κατέχειν γὰρ μέλλει ταῦτα μέχρι χρόνου ἑνός, καὶ εἰ μὲν ποιήσει, ὅπερ βούλεται, καθέξει ταῦτα καὶ εἰσέτι καὶ δώσει τῇ ἐκκλησίᾳ ἑτέραν πρόσοδον, ἴσην τοῖς κτήμασι τούτοις, εἰ δὲ οὐ ποιήσει, ὅπερ βούλεται, ἀντιστραφήσονται ταῦτα πρὸς αὐτήν. πρὸς ταῦτα ὁ παναγιώτατος δεσπότης ἡμῶν, ὁ οἰκουμενικὸς πατριάρχης, ἀπεκρίνατο, ὡς ἐγὼ οὐκ ἔχω ἄδειαν ἐκδοῦναί τινί τι τῶν τῆς ἐκκλησίας κτημάτων, φύλαξ γάρ εἰμι τούτων κατὰ τὴν τῶν ἱερῶν κανόνων διαταγὴν, καὶ τῶν μὲν προσόδων αὐτῶν εἰμι κύριος κατὰ πάντα καὶ ἐξουσιαστὴς, ὥστε ποιεῖν ἐπ' αὐτοῖς πᾶν, ὅπερ βούλομαι, τῶν δὲ ὑποκειμένων αὐτῶν καὶ τῶν κτημάτων οὐχί, ἀλλὰ φύλαξ μᾶλλόν εἰμι· διὰ τοῦτο καὶ οὐ ποιήσω τοῦτό ποτε. προτροπῇ δὲ τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ συνήχθησαν οἱ ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι ἐν τῇ

σεβασμίᾳ μονῇ τοῦ Ἀκαταλήπτου, ὁ Καισαρείας, ὁ Ἐφέσου, ὁ Κυζίκου, ὁ Χαλκηδόνος, ὁ Βιζύης, ὁ Βρύσεως, ὁ Περιθεωρίου, ὄντος διὰ γνώμης καὶ τοῦ Αἴνου, καὶ ἀκηκοότες ταῦτα καὶ ἐρωτηθέντες εἰπεῖν, τί καὶ αὐτοῖς δοκεῖ περὶ τούτου, πάντες εἶπον ὡς ἀπὸ ἑνὸς στόματος, μὴ ἔχειν ἄδειαν μήτε τὸν παναγιώτατον δεσπότην ἡμῶν, τὸν οἰκουμενικὸν πατριάρχην, μήτε τὴν περὶ αὐτὸν ἱερὰν καὶ μεγάλην σύνοδον ἐκδοῦναι πρός τινά τι τῶν τῆς ἐκκλησίας κτημάτων, κεκωλυμένον γὰρ εἶναι τοῦτο παρὰ τῶν ἱερῶν κανόνων καὶ ἀπειρημένον τὸ διδόναι τινὰ τῶν ἐπισκόπων ἀπὸ τῶν κτημάτων τῆς ὑπ' αὐτοῦ ἐκκλησίας πρός τινα· διὰ τοῦτο καὶ ἡμεῖς εἴπερ καὶ βουλόμεθα ποιῆσαι τοῦτο, ἀλλ' οὐ δυνάμεθα, κωλυόμενοι παρὰ τῶν ἱερῶν κανόνων. ἐπὶ τούτοις εἶπεν ὡς ἀπὸ τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ὁ περιπόθητος θεῖος τῆς ἁγίας βασιλείας αὐτοῦ, ὅτι ἐπεὶ οὐ διδόατε ταῦτα πρὸς αὐτὸν, δότε ταῦτα, ἵνα κατέχῃ, ὥσπερ κατέχουσιν ἕτεροι καὶ σπείρουσιν ἐν αὐτοῖς καὶ ἀποδιδόασι τὴν μορτὴν πρὸς τὴν ἐκκλησίαν, δότε οὖν καὶ αὐτῷ ὁμοίως, ἵνα ὁρισμῷ τῆς ἁγίας βασιλείας αὐτοῦ ἀποδιδῶται ἡ μορτὴ τῇ μεγάλῃ ἐκκλησίᾳ. καὶ πρὸς ταῦτα οὖν εἶπεν ἡ ἱερὰ σύνοδος, ὅτι οὐδὲ τοῦτο ἔχομεν ἄδειαν ποιῆσαι, κεκώλυται γὰρ καὶ τοῦτο παρὰ τῶν ἱερῶν κανόνων, διακελευομένων, μὴ δίδοσθαι τὰ τῆς ἐκκλησίας κτήματά τινι τῶν δυνατῶν, μή τοι γε καὶ βασιλεῖ. ἐπὶ πᾶσι τούτοις ἀπεφήνατο καὶ ὁ παναγιώτατος δεσπότης ἡμῶν, ὁ οἰκουμενικὸς πατριάρχης, καὶ ἡ περὶ αὐτὸν ἱερὰ καὶ μεγάλη σύνοδος, ὅτι ἡμεῖς μὲν ἄδειαν οὐκ ἔχομεν ἐκδοῦναι τὰ τῆς ἐκκλησίας κτήματα πρός τινα, οὐδὲ γὰρ βουλομένοις ἡμῖν ἐξέσται τοῦτο ποιῆσαι· διὰ τοῦτο καὶ οὐδόλως ἀπολύομεν ταῦτα. εἰ δὲ βούλεται ὁ βασιλεὺς ὁ ἅγιος λαβεῖν αὐτὰ τῇ ἰδίᾳ ἐξουσίᾳ, ὁ βούλεται ποιῆσαι, ποιησάτω. αὐτὸς ἔδωκε ταῦτα τῇ ἐκκλησίᾳ, αὐτὸς καὶ βουλόμενος λαβεῖν αὐτὰ λαβέτω, ἐξουσίαν ἔχει ποιῆσαι ἐπὶ τούτοις, ὃ βούλεται. ἡμεῖς ἀφ' ἑαυτῶν οὐδόλως ποιήσομεν τοῦτο, κἂν εἴ τι γένηται. εἰς γοῦν τὴν περὶ τούτου δήλωσιν ἐγράφησαν ταῦτα ἐν τῷ παρόντι κωδικίῳ σημειώσεως χάριν †.

CCLIII. (6877—1369) augusto. ind. VII.

Athanasius, episcopus Sozopoleos, transfertur in metropolim Pisidiae.

CCLIV. (6877—1369) augusto. ind. VII.

Metropolitae Pisidiae per adiunctionem confertur administratio archiepiscopatus Mysthiorum.

CCLV. (6877—1369) augusto. ind. VII.

Ecclesia Sardium subiicitur metropoli Philadelphiae.

† Πρᾶξις συνοδικὴ ἐπὶ τῷ Φιλαδελφείας †.

† Ὁ δὲ πάντα μεταποιῶν χρόνος καὶ ἀμείβων καὶ εἰς τὸ μὴ ὂν χωρεῖν παρασκευάζων τὰ καλῶς ἔχοντα μέχρι τοῦδε τὰ ἑαυτοῦ ποιῶν καὶ τῆς ἰδίας φυσικῆς ἀκολουθίας ἐχόμενος καὶ τὴν τῶν Σάρδεων μεγάλην μετρόπολιν, ἐφ' οὕτῳ δόξης προήκουσαν καὶ τοσαύτην περιφάνειαν σχοῦσαν ἀπό τε χρόνου καὶ τῆς τῶν ἐν αὐτῇ καλλίστης εὐταξίας τε καὶ παιδεύσεως, ὡς καὶ ταῖς μεγίσταις καὶ πρώταις συναριθμηθῆναι τῶν μητροπόλεων, καὶ τὸ πρωτεῖον πλὴν ὀλίγων τινῶν κατὰ πασῶν ἐπιφέρεσθαι καὶ τὸ κράτος, κἂν ταῖς ἁπάντων ἐγκειμένην γλώσσαις, ὡς ἥδισμά τι τερπνὸν καὶ καλλώπισμα τῶν ὅσαι τῆς Ἀσίας προκάθηνται πόλεων, εἰς τοσοῦτο νῦν ἀμορφίας προήνεγκε ταύτην καὶ οὕτω τὸ κατ' αὐτὴν, θεοῦ δηλαδὴ συγχωροῦντος, διέθετο, ὡς μηδὲ σχῆμα γοῦν πόλεως ἀποσώζειν κἂι μικρόν τινα χαρακτῆρα ἀντὶ παραδείσου τροφῆς, ἀφανισμοῦ καὶ ἀπωλείας πεδίον γεγενημένην. καὶ ταῦτα μὲν τῷ χρόνῳ ποιεῖν καὶ τὰ πολλῷ τούτων ἔτι χείρω τοῖς πᾶσι προσαπειλεῖν ἔθος, ὕλην εὑρίσκοντι τὴν καθ' ἡμῶν ἀγανάκτησιν τοῦ θεοῦ διὰ τὸ τῶν ἁμαρτιῶν ἡμῶν πλῆθος, μάλα δικαίως ἡμῖν ἐπιγιγνομένην. τοῖς δέ γε τῆς ἀσφαλείας αὐτῶν καὶ τῆς εἰς τὸ κρεῖττον ἐπανορθώσεως ἀνάγκην ἔχουσι κήδεσθαι τῶν ἀπολωλότων τὰ καταλειφθέντα μέρη συνάγειν προσήκει καὶ τούτοις φυλακὴν εἰς τὸ ἑξῆς χορηγεῖν, ὡς ἂν τῆς χρονικῆς ἐπιβουλῆς ἀνώτερα τὰ τῆς ῥηθείσης ἐκκλησίας περιλειφθέντα ἐκ πολλῶν μικρὰ λείψανα πνευματικῆς ἐπισκέψεως ἀξιῶσαι τῶν προσηκόντων ἂν εἴη, τὸν καλὸν ἐκεῖνον μιμουμένους ποιμένα, ὃς τὰ πολλὰ τῶν προβάτων καταλιπὼν, καλῶς

ἔχοντα, ἐπὶ τὴν τοῦ ἀπολωλότος ἑνὸς ζήτησιν καθῆκεν. ἔνθεν τοι καὶ τὴν ἁγιωτάτην Φιλαδελφείας μητρόπολιν, πολλὰ φιλουμένην θεῷ καὶ διὰ τοῦτο καὶ μέχρι τέλους ἀνάλωτον τηρουμένην καὶ μηδενί ποτ' ἂν τῶν ἐθνῶν αὐχένα κλῖναι προστεταγμένην, ποιμένα τε πλουτοῦσαν τὸν Ἀαρὼν τὸν τοῦ θεοῦ ἐκλεκτὸν καὶ ταῖς αὐτοῦ σὺν τοῖς λόγοις τε καὶ διδάγμασιν εὐχαῖς κατεστηριγμένην, μητέρα τούτων δὴ τῶν καταλειφθέντων καὶ μητρόπολιν καλὸν ἔδοξεν ἡμῖν καταστῆσαι, οὐ δόξαν μᾶλλον αὐτῇ παρεχομένην, ὅσον αὐτοῖς τὴν ἀπ' αὐτῆς σωτηρίαν καὶ τὴν ἀσφάλειαν. συνδιασκεψαμένη τοίνυν τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν τῇ περὶ αὐτὴν ὁμηγύρει τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῷ Ἐφέσου, τῷ Κυζίκου, τῷ Νικαίας, τῷ Χαλκηδόνος, τῷ Βρύσεως, τῷ Περιθεωρίου καὶ τῷ Μιλήτου, πέπραχε τὴν μὲν ἐνορίαν πᾶσαν τῶν Σάρδεων, ὅση τίς ἐστιν, εἶναι ὑπὸ τὴν ἁγιωτάτην ταύτην μητρόπολιν, ταύτην δ' ὡσαύτως τὴν τῶν Σάρδεων κεκτημένην τόπον καὶ θρόνον, τοῦτο εἰς τὸν ἑξῆς ἅπαντα χρόνον εἶναι, ὅπερ αἱ Σάρδεις ἦσαν, καλῶς ἔχουσαι καὶ μήπω τῇ τῶν ἐθνῶν φθορᾷ, θεοῦ παραχωρήσαντος, ἐκδοθεῖσαι. ἐξέσται τοίνυν τὸ ἀπὸ τοῦδε τῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Λυδίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, γνησίῳ ὄντι ἀρχιερεῖ καὶ τῆς περιλειφθείσης ἐνορίας τῶν Σάρδεων, μετέχειν πάντων τῶν ἀνηκόντων τῷ τοιούτῳ θρόνῳ, ἤγουν τοῦ τε τόπου καὶ τῆς ἐν ταῖς ἱεραῖς συνάξεσι στάσεως καὶ καθέδρας, τοῦ τε διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν, ἐπισκόπους ἐν ταῖς ὑπ' αὐτὰς ἐκκλησίας ἐγκαθιστᾶν καὶ ἁπλῶς εἰπεῖν πάντα ποιεῖν καὶ πράττειν, ὅσα πᾶσι τοῖς γνησίοις ἀρχιερεῦσιν ἐν ταῖς ὑπ' αὐτοὺς ἐκκλησίαις ἀνήκει ποιεῖν, τῶν καταλειφθέντων μερῶν ἐκείνης ὑποκειμένων τῇ ἁγιωτάτῃ μητροπόλει Φιλαδελφείας, ὀφειλούσῃ καὶ τὸν τόπον ἔχειν καὶ τὴν τιμὴν καὶ τὸν θρόνον ἐκείνης, ὡς εἴρηται, ὀφειλόντων πάντων τῶν ἐν αὐταῖς εὑρισκομένων χριστιανῶν ὑποκεῖσθαι αὐτῷ δὴ τῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας καὶ πειθαρχεῖν, ὡς γνησίῳ ἀρχιερεῖ καὶ διαλλακτῇ καὶ μεσίτῃ αὐτῶν τὰ πρὸς τὸν θεὸν, μηδενὸς ὄντος τοῦ πλεονεκτικῷ τινι τρόπῳ παρεισαχθέντος καὶ ἐν τῇ ἐνορίᾳ τούτων ἱερατικόν τι βουληθησομένου ποτὲ διαπράξασθαι. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος †.

† Ἀπελύθη τῇ ι'. εἶχε καὶ διὰ τῆς τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ αὐγούστῳ ἰνδ. ζ' †.

CCLVI. (6878—1369) septembri. ind. VIII.

Nilus, metropolita Meliti (Μηλίτου), *in metropolim Sozopoleos transfertur.*

CCLVII. (6878—1369) septembri. ind. VIII.

Harmodius, episcopus Boreae Potamiae (Βορείας Ποταμίας), *transfertur in metropolim Tenedi.*

CCLVIII. (6878—1369) octobri. ind. VIII.

Synodus metropolitae Stauropoleos confert per adiunctionem metropoles Mileti et Antochiae ad Maeandrum.

CCLIX. (6878—1369) decembri. ind. VIII.

Synodus metropolitae Sidae, exarcho Pamphyliae, confert metropolim insulae Rhodi et Cycladum insularum.

CCLX. (6878—1360) februario. ind. VIII.

Patriarcha Philotheus litteris ad patriarcham Antochiae datis conqueritur de quodam Marco.

† Μηνὶ φεβρουαρίῳ ιε', ἰνδ. η' †.

† Ἁγιώτατε δέσποτα, πατριάρχα θεουπόλεως μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. τὸν παντοδύναμον διὰ παντὸς ἱκετεύω κύριον, ὅπως ὑγιαίνοι ἡ ἁγιωσύνη σου καὶ σωματικῶς, καὶ παντοίαν ἔχοι τὴν πρὸς τὸ κρεῖττον ἐπίδοσιν εἰς καταρτισμὸν καὶ στηριγμὸν τοῦ ὑπὸ σὲ χριστωνύμου ποιμνίου καὶ ὑπερασπισμὸν τῆς ἀμωμήτου καὶ ὑγιοῦς πίστεως. ὁπόσα σκάνδαλα καὶ θορύβους καὶ συγχύσεις καὶ ταραχὰς ἐποίησεν ἐνταῦθα ὁ παρὰ τῆς σῆς ἁγιότητος εἰς προστασίαν ἀποσταλεὶς πρὸ καιροῦ τῆς σεβασμίας μονῆς τῶν Ὁδηγῶν, ὁ ποτὲ Ἀπαμείας, παρεδηλώθησαν καὶ παρὰ πολλῶν τῶν ἡμετέρων γραμμάτων τῇ σῇ ἁγιότητι καὶ παρὰ τῶν αὐτόθι ἐρχομένων, καὶ οὐκ ἔστι νῦν χρεία τὰ αὐτὰ πάλιν γράφειν περὶ τῶν αὐτῶν, τοῦτο δὲ μόνον ἐστὶν ἀνάγκη πᾶσα παραδηλῶσαι, ὡς οὗτος ὁ ποτὲ Ἀπα-

μείας, Μάρκος, ὡς φαίνεται ἀπὸ τοῦ πράγματος, οὔτε πατριάρχην Ἀντιοχείας ἔχει, οὔτε σύνοδον, οὔτε Κωνσταντινουπόλεως, ἀλλ' οὐδὲ ἐκκλησίαν. ἐποίησεν αὐτόθι, ὅσα ἀλλότρια καὶ ξένα παντὶ ἀνθρώπῳ χριστιανῷ, ὡς ἐμάθομεν ἀπὸ τῶν τῆς σῆς ἁγιότητος γραφῶν, ἦλθεν ἐνταῦθα, καὶ ἐτάραξε τὴν ἐκκλησίαν, τὴν βασιλείαν, τὴν Κωνσταντινούπολιν, σχεδὸν τὸ πᾶν, καθηρέθη παρὰ τῆς σῆς ἁγιότητος καὶ τῆς περὶ αὐτὴν ἱερᾶς συνόδου, καὶ ἀφορισμῷ καθυπεβλήθη, ἐὰν μὴ συντόμως ἐπαναστρέψῃ αὐτόθι, καὶ οὐδὲ ἐφρόντισε περὶ τούτου, οὐδὲ λόγου ἠξίωσε, ἀλλὰ καὶ τοὺς διακομίσαντας ἀρχιερεῖς τὰ τοιαῦτα καὶ ὕβρισε καὶ ὑβρίζει, καὶ οὐδὲ ἰδεῖν ἐθέλει, καὶ νῦν πάλιν βούλεται ἵνα καὶ τὸ μοναστήριον λάβῃ μεθ' ἑαυτοῦ, καὶ μήτε ὑπὸ τὸν Κωνσταντινουπόλεως εἶναι, μήτε μὴν ὑπὸ τὸν Ἀντιοχείας, ὥσπερ μέλλεις μαθεῖν καὶ ἀπὸ τῶν γραφῶν τῶν ἐνταῦθα ἀρχιερέων τῆς σῆς ἁγιότητος· τὸ δὲ χείριστον, ὅπερ ἤκουσα νῦν, ὅτι βούλεται ἵνα ἔλθῃ αὐτόθι, νὰ ἀπατήσῃ καὶ τὴν ἁγιωσύνην σου καὶ τὴν σύνοδόν σου, νὰ λάβῃ πάλιν τὴν συγχώρησιν καὶ τὴν προστασίαν τῆς μονῆς, καὶ εὑρίσκηται ἐνταῦθα. τί ταῦτα; ἀνθρώπου; χριστιανοῦ; διαβόλου ἄντικρύς εἰσιν ἔργα. ἐγὼ τὴν εἰρήνην χρῄζω καὶ τὴν ἀγάπην καὶ τὴν φιλίαν τῆς ἁγιωσύνης σου, ὅτι οὐκ ἄλλως ἡμᾶς ἔχειν δεῖ, ἐπεὶ τοῦτο διδάσκομεν, καὶ εἰς τοῦτο ἐτάχθημεν, καὶ αὐτὸν ἔχομεν διδάσκαλον τὸν Χριστὸν καὶ θεὸν ἡμῶν τὴν εἰρήνην. καὶ εἴπερ ἔλθοι αὐτόθι, φέρων γραφὰς ἢ προστάγματα τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ζητῶν συγχώρησιν, ἵνα πάλιν ἐπαναστρέψῃ ἐνταῦθα εἰς προστασίαν τῆς μονῆς, ἀπόπεμψον αὐτὸν, καὶ μηδόλως ἀκούσῃς αὐτοῦ, προξενήσει γὰρ σκάνδαλον, εἴπερ γένοιτο μέσον ἡμῶν, μέγα. ἐγὼ τοὺς ἐρχομένους ἐνταῦθα τῆς σῆς ἁγιότητος πάντας καὶ ἀναδέχομαι καὶ ἀγαπῶ, καὶ ἕτερον ἐὰν πέμψῃς ἐνταῦθα, κἀκεῖνον καὶ ἀναδέξομαι καὶ ἀγαπήσω, εἴπερ καὶ εἰρηνεύειν ἐθελήσει, καὶ μὴ συγχύσεις ἐγείρειν καὶ σκάνδαλα. εἰ γὰρ τοιοῦτος κακὸς ἄνθρωπος ἀναφανείη μέσον εἰς τὴν πόλιν μου, εἰς τὸν θρόνον μου, μεγάλως σκανδαλισθήσομαι, ὥσπερ ἔμελλε ποιήσειν καὶ ἡ ἁγιότης σου εἰς τόπον σου αὐτόθι, εἴπερ συνέβαινέ τι τοιοῦτον. ἔρρωσο, ἐν κυρίῳ ἁγιώτατε δέσποτα, ποθεινότατε ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τῆς τιμίας πατριαρχικῆς χειρὸς τὸ· Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος

Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

CCLXI. Sine anno.

Synodi decretum de non alienandis bonis ecclesiae.

† Ἐπειδήπερ ἀνηνέχθη τῇ ἡμῶν μετριότητι, ὅτι τινὲς τῶν ἀρχιερέων, παραγινόμενοι εἰς τὰς λαχούσας αὐτοὺς ἐκκλησίας, χρέος ἔχοντες κατὰ πάντα σπεύδειν τρόπον συνιστᾶν καὶ πρὸς τὸ κρεῖττον ἄγειν τὰ τῶν ὑπ' αὐτοὺς ἐκκλησιῶν κτήματα, μή τοι γε μόνον αὐτὰ συντηρεῖν καὶ φυλάσσειν ἀμείωτα καὶ ἀνεκποίητα καθάπαξ καὶ ἀκαταδούλωτα, ὡς ἂν ἐξ αὐτῶν αὐτοί τε τὸ ἱκανὸν ἔχοιεν, καὶ δὴ καὶ οἱ πρὸς αὐτοὺς ἀφορῶντες καὶ προμήθειαν ἐξαιτούμενοι τοῦ σκοποῦ μὴ ἀποτυγχάνωσιν· οἱ δὲ οὐκ οἶδ' ὅπως τὰ μὲν τῶν προσηκόντων ταῖς ἐκκλησίαις ἀκινήτων κτημάτων τοῖς βουλομένοις πιπράσκουσι, τὰ δ' αὖθις ἀμετόχως ἀποχαρίζονται, τὰ δὲ παρὰ τὸ ἁρμόζον τέλος ἐκληπτορικῶς τισιν ἐκδιδόασι· καὶ τοῦτο μάλιστα γέγονεν ἐπὶ τῆς ἁγιωτάτης μητροπόλεως Αἴνου, τῶν κατὰ καιροὺς εἰληφότων τὴν προστασίαν αὐτῆς ταῖς προειρημέναις αἰτίαις ἐς τοσοῦτον καταστενωσάντων αὐτήν, ὡς μηδὲ τὴν τῶν ἀναγκαίων χρείαν παρέχειν δύνασθαι τῷ γνησίως αὐτῆς ἀρτίως προϊσταμένῳ ἀρχιερεῖ, μή τοι γε καὶ πτωχοῖς ἐξαρκεῖν διδόναι, ὅπερ ὁ τοῦ θεοῦ βούλεται νόμος καὶ οἱ θεῖοι κανόνες διακελεύονται. ἡ μετριότης ἡμῶν, τοῖς θείοις καὶ ἱεροῖς ἑπομένη κανόσι, κατὰ κοινὴν ὁμόνοιαν τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἡρακλείας, τοῦ Νικαίας, τοῦ Βρύσεως, τοῦ Χαλκηδόνος, τοῦ Ἀμασείας, τοῦ Τραπεζοῦντος, τοῦ Μιτυλήνης, τοῦ Μηθύμνης, τοῦ Σωζοπόλεως καὶ τοῦ Χερσῶνος, τὸ παρὸν αὐτῆς σιγιλλιῶδες ἐκτίθησι γράμμα, δι' οὗ καὶ κατὰ τοὺς κανόνας τοὺς λέγοντας, εἴ τις ἐπίσκοπος εὑρεθῇ ἢ ἡγούμενος ἐκ τῶν αὐτουργίων τοῦ ἐπισκοπείου ἢ τοῦ μοναστηρίου ἐκποιούμενος εἰς ἀρχοντικὴν χεῖρα ἢ ἑτέρῳ προσώπῳ ἐκδιδούς, ἄκυρον εἶναι τὴν ἔκδοσιν κατὰ τὸν κανόνα τῶν ἁγίων ἀποστόλων οὕτωσὶ κατὰ ῥῆμα διεξιόντα· πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτά, ὡς τοῦ θεοῦ ἐφορῶντος, μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ θεοῦ χαρίζεσθαι, εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησι, καὶ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω.

ὁμοίως καὶ ἡ πρὸς Δόμνον ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου τάδε φησὶ ἐν μέρει· κειμήλια μὲν γὰρ καὶ κτήσεις ἀκινήτους ἀνεκποίητα ταῖς ἐκκλησίαις σώζεσθαι χρὴ, ἐκποίησις δέ ἐστιν ἡ μετάθεσις τῆς δεσποτείας ἤγουν ἡ δωρεὰ, ἡ πρᾶσις, ἡ ἐμφύτευσις, ἡ ἀνταλλαγὴ καὶ τὰ ὅμοια, ἔκδοσις δὲ ἡ ἐπὶ προσώποις ἢ χρόνοις ὡρισμένοις παραπομπὴ, καταχρηστικῶς δὲ καὶ ἡ ἔκδοσις ἐκποίησις λέγεται, καὶ ἡ ἐκποίησις ἔκδοσις. ὁμοίως καὶ ὁ πεντεκαιδέκατος κανὼν τῆς ἐν Ἀγκύρᾳ συνόδου τοιάδε φησί· περὶ τῶν διαφερόντων τῷ κυριακῷ ἤτοι τῇ ἐκκλησίᾳ, ὅσα ἐπισκόπου μὴ ὄντος πρεσβύτεροι ἐπώλησαν, ἀνακαλεῖσθαι τὸ κυριακὸν, ἐν δὲ τῇ κρίσει τοῦ ἐπισκόπου εἶναι, εἴτε προσήκει ἀπολαβεῖν τὴν τιμὴν τοὺς κακῶς ὠνησαμένους, εἴτε καὶ μὴ, διὰ τὸ πολλάκις τὴν πρόσοδον τῶν πεπραμένων ἀποδεδωκέναι αὐτοῖς τούτοις πλείονα τὴν τιμήν. καὶ ἡ μα' τοῦ γ' τίτλου διάταξις οὕτω φησί· κατ' ἐνιαυτὸν ὁ οἰκονόμος παρατίθεται λόγον τῆς αὐτοῦ διοικήσεως τῷ ἐπισκόπῳ, καὶ ἀποδίδωσιν, εἴ τι φανῇ βλάψας ἢ κερδήσας, εἰ δὲ τελευτήσει πρὸ τῶν λογισμῶν, ὑπόκεινται τούτοις οἱ κληρονόμοι αὐτοῦ. καὶ ἡ κα' διάταξις τοῦ β' τίτλου φησὶν, ὅτι ὁ μὴ δι' ἀνάρρυσιν αἰχμαλώτων ἀγοράζων ἱερὰ σκεύη ....

reliqua desunt.

CCLXII. (6880—1371) septembri. ind. X.

Patriarcha profitetur Theodoretum quendam veniam esse adeptum.

† Πατριαρχικὸν γράμμα ὑπὲρ τοῦ πάπα Θεοδωρήτου †.

† Ἐπεὶ ἐγνώρισεν ἡ μετριότης ἡμῶν παρά τε τοῦ τιμιωτάτου μεγάλου σκευοφύλακος καὶ δικαιοφύλακος, διακόνου κῦρ Γεωργίου τοῦ Περδίκη, καὶ τοῦ τιμιωτάτου ἐν μοναχοῖς κῦρ Μωυσέως, ἀπελθόντων εἰς τὰ Τρίκαλα καὶ ἐπανελθόντων, ὡς ὁ πάπας Θεοδώρητος εὑρίσκεται ἐκεῖσε μετὰ τοῦ ἱερωτάτου μητροπολίτου Λαρίσσης καὶ ὑπερτίμου, ὑγιῶς καὶ ὀρθῶς πρὸς τὰ τῆς ἐκκλησίας δόγματα διακείμενος, ἀνήνεγκε δὲ καὶ ὁ ἱερώτατος μητροπολίτης Λαρίσσης, ὡς ἔστιν οὗτος εὑρισκόμενος καὶ εἰς ὑποταγὴν αὐτοῦ καὶ μένων ὀρθῶς πρὸς τὴν ἐκκλησίαν, καὶ ἐζήτησεν, ἵνα τύχῃ συγχωρήσεως καὶ ἱερουργῇ, ἐπειδὴ ἔφθασε καὶ ἐπεσχέθη τῆς ἱερωσύνης αὐτοῦ ἐπὶ καιρὸν παρὰ τῆς ἱερᾶς συνόδου, ἡ μετριότης ἡμῶν, τὸ παρὸν ἀπολύουσα γράμμα αὐτῆς, παρακελεύεται

μετά τε πληρωθῆναι τὸν διωρισμένον καιρὸν τῆς ἀργίας αὐτοῦ τοῦ πάπα Θεοδωρήτου εὑρίσκεσθαι τοῦτον συγκεχωρημένον, ὥστε διενεργεῖν τὰ τῆς ἱερωσύνης ἀκωλύτως, εὑρισκόμενον μόνον εἰς τὸ ἑξῆς ὀρθὸν πρὸς τὰ τῆς ἐκκλησίας δόγματα καὶ εἰς ὑποταγὴν τοῦ ἱερωτάτου μητροπολίτου Λαρίσσης, τούτῳ γὰρ προστάσσει ἡ μετριότης ἡμῶν ὑποτάσσεσθαι ἐφ' ὅρῳ πάσης τῆς ζωῆς αὐτοῦ, καὶ εἰ μὲν ἀπολίποι τὸν βίον, ζῶντος τοῦ ἱερωτάτου μητροπολίτου τοῦ Λαρίσσης, μέλλει κερδήσειν τὴν τοῦ θεοῦ βασιλείαν διὰ τὴν ὑποταγὴν αὐτοῦ ταύτην· εἰ δ' ἴσως φθάσει πρὸ αὐτοῦ ὁ ἱερώτατος μητροπολίτης Λαρίσσης τῷ χρεῶν λελειτουργηκὼς, παρακελεύεται ἡ μετριότης ἡμῶν, καταλαμβάνειν αὐτὸν ἐνταῦθα πρὸς τὴν ἡμῶν μετριότητα, καὶ τότε ἵνα ποιῇ αὐτὸς, ὅπερ ἂν αὕτη διακρίνῃ, τοῦτον ἰδοῦσα. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ σεπτεβρίῳ, ἰνδ. ι' †.

CCLXIII. (6878—1370) 19. iunii. ind. VIII

Synodi decretum de bonis metropoleos Methymnae alienatis.

† Ἐπεὶ ἀνηνέχθη τῇ ἡμῶν μετριότητι, ὡς ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Μηθύμνης οἱ κατὰ καιροὺς τὸν ἀρχιερατικὸν αὐτῆς κατέχοντες θρόνον παρέδωκαν πρός τινας τῶν κληρικῶν ἀπὸ τῶν τῆς ἐκκλησίας κτημάτων ἐπὶ τῷ κατέχειν τούτους αὐτὰ καὶ ἐκδουλεύειν ἐν τῇ ἐκκλησίᾳ, ἀποδιδόντας αὐτῇ καὶ τὸ ἀνῆκον τέλος, τοῦ καιροῦ δὲ προϊόντος καὶ τῶν παραλαβόντων ταῦτα τετελευτηκότων, κατέχουσι ταῦτα κατὰ διαδοχὴν ἀπ' ἐκείνων οἱ κληρονόμοι ἐκείνων, μὴ ὄντες ὅλως κληρικοὶ, μηδὲ τὴν ἀνήκουσαν ὑπηρεσίαν τῇ ἐκκλησίᾳ διδόντες, ἄλλοι δὲ οὐδὲ τέλος διδόασιν, ἀλλὰ κατέχουσι ταῦτα ἐξουσιαστικῶς ὡς ἴδια αὐτῶν, τινὲς δὲ καὶ διδόντες ὀλίγον διδόασι, καὶ διὰ ταῦτα ἐδεήθη τῆς ἡμῶν μετριότητος ὁ ἱερώτατος μητροπολίτης Μηθύμνης καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς αὐτῆς καὶ συλλειτουργὸς, κῦρ Χαρίτων, βοηθείας τυχεῖν, ὥστε ἐπαναστραφῆναι τῇ κατ' αὐτὸν ἐκκλησίᾳ τὰ κτήματα αὐτῆς· ἡ μετριότης ἡμῶν, συνδιασκεψαμένη τὰ περὶ τούτου τῇ περὶ αὐτὴν ἱερᾷ καὶ θείᾳ συνόδῳ τῶν ἱερω-

τάτων ἀρχιερέων καὶ ὑπερτίμων, διέγνω καὶ ἀπεφήνατο, ὡς ἂν εἰ μὲν κληρικοί εἰσιν οἱ κατέχοντες τὰ τῆς ἐκκλησίας κτήματα, κατέχωσιν ὁμοίως καὶ οὗτοι ταῦτα, καθὼς καὶ οἱ πρῶτοι ἐκεῖνοι κληρικοί, ἀφ' ὧν ἔχουσιν οὗτοι ταῦτα κατὰ διαδοχήν, καὶ τὴν ἀνήκουσαν ὑπηρεσίαν τῇ ἐκκλησίᾳ διδόντες καὶ τὸ σύνηθες τέλος. εἰ δὲ οὐκ εἰσὶ κληρικοί, εἰ μὲν βούλονται κατέχειν αὐτὰ, ὀφείλουσιν ἀποδιδόναι τὸ τέλος ὑπὲρ αὐτῶν, ἀναλόγως πρὸς ἃ κατέχουσιν· εἰ δὲ οὐ βούλονται διδόναι τέλος, ὀφείλουσιν ἀντιστραφῆναι τῇ ἐκκλησίᾳ τὰ κτήματα χωρὶς λόγου τινὸς καὶ προφάσεως, εἴπερ εἰσὶ τοιαῦτα, οἷα παρέλαβον ἐξ ἀρχῆς· εἰ δὲ ἐποίησαν ἀνακτήσεις τινὰς καὶ βελτιώσεις ἐν αὐτοῖς, κατέχειν μὲν ὀφείλουσι ταῦτα, ἀλλὰ καὶ τὸ τέλος διδόναι ἀπαραιτήτως τῇ ἐκκλησίᾳ. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ Μηθύμνης, ἐπὶ τῷ προσεῖναι αὐτῇ δι' ἀσφάλειαν †.

† Ἀπελύθη τῇ ιθ'. † Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ, ἰνδ. η' †.

CCLXIV. (6878—1370) iunio. ind. VIII.

Patriarchae litterae exhortatoriae datae ad Demetrium, Magnum Ducem Russiae.

† Εὐγενέστατε μέγα ῥῆξ πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι γνησιώτατε καὶ ἠγαπημένε υἱὲ τῆς ἡμῶν μετριότητος, κῦρ Δημήτριε. ὑγείαν καὶ εὐθυμίαν ψυχῆς, σώματός τε καὶ ῥῶσιν καὶ εὐεξίαν, ζωὴν εἰρηνικὴν καὶ πολυετῆ, ἐπίδοσιν καὶ αὔξησιν καὶ προκοπὴν τοῦ σοῦ βίου καὶ τῆς ἀρχῆς σου, καὶ ἄλλο εἴ τι ἀγαθὸν καὶ σωτήριον, ἐπεύχεται τῇ εὐγενείᾳ σου ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. τὰ γράμματα τῆς εὐγενείας σου διεκομίσθησαν ἐνταῦθα πρὸς τὴν ἡμῶν μετριότητα, καὶ ἐσώθησαν καλῶς μετὰ τοῦ ἀνθρώπου σου τοῦ Δανιήλ. καὶ ἐγνώρισα καὶ ἔμαθον περὶ πάντων ὧν παρεδήλους καὶ ἔγραφες, καὶ εὐχαρίστησα τῷ θεῷ, ὅτι ἔχεις καλῶς εἰς τὴν ὑγείαν σου καὶ εἰς τὰ πράγματά σου καὶ εἰς τὴν ἀρχήν σου. ἐγὼ γοῦν κατὰ τὸ χρέος, ὅπερ ὀφείλω ὡς κοινὸς πατὴρ ἄνωθεν ἀπὸ θεοῦ καταστὰς εἰς τοὺς ἁπανταχοῦ τῆς γῆς εὑρισκομένους χριστιανούς, ἀεὶ καὶ σπουδάζω καὶ ἀγωνίζομαι ὑπὲρ τῆς σωτηρίας αὐτῶν, καὶ εὔχομαι εἰς τὸν θεὸν ὑπὲρ αὐτῶν, πλέον δὲ τοῦτο ποιῶ εἰς ὑμᾶς, εἰς τὸ αὐτόθι εὑρισκόμενον

τοῦ Χριστοῦ ἅγιον ἔθνος, διὰ τὸν φόβον, ὃν ἔχουσι πρὸς τὸν θεὸν καὶ τὴν ἀγάπην καὶ τὴν πίστιν, εὔχομαι καὶ ἀγαπῶ πάντας ὑμᾶς, ὡς εἶπον, πλέον τῶν ἄλλων· τὴν δὲ εὐγένειάν σου ἔτι περισσοτέρως καὶ ἀγαπῶ καὶ εὔχομαι ὡς υἱόν μου διὰ τὴν ἀγάπην καὶ τὴν φιλίαν, ἣν ἔχεις εἰς τὴν ἡμῶν μετριότητα, καὶ τὴν καθαρὰν πίστιν, ἣν ἔχεις εἰς τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, καὶ τὴν στοργὴν καὶ τὴν ὑποταγήν, ἣν ἔχεις εἰς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος, ἔμαθον γάρ, ὅτι στέργεις αὐτὸν καὶ ἀγαπᾷς, καὶ πᾶσαν ὑποταγὴν καὶ εὐπείθειαν ἀπονέμεις αὐτῷ, ὥς μοι ἔγραφεν οὗτος, καὶ ἀπεδεξάμην σε πολλὰ καὶ ηὐξάμην σοι, καὶ οὕτω ποίει, υἱέ μου, ἵνα ἔχῃς τὴν εὐχήν μου καὶ εἰς τὸ ἔμπροσθεν, οὐ μόνον γὰρ ἐν τῷ παρόντι βίῳ μέλλεις ἔχειν ἔτι πλέον καὶ τὴν ζωήν σου ἄλυπον καὶ τὴν ἀρχήν σου ἀκατάλυτον, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι τὴν τῶν αἰωνίων ἀγαθῶν ἀπόλαυσιν, οὐ μὴν ἀλλὰ καὶ παρ' ἐμοῦ περισσοτέρας πολλὰ τὰς εὐχὰς καὶ τὰς εὐλογίας, ὁ γὰρ μητροπολίτης ὁ παρ' ἐμοῦ καταστὰς τύπον φέρει τοῦ θεοῦ, καὶ ἀντὶ ἐμοῦ εὑρίσκεται αὐτόθι, καὶ πᾶς ὁ ὑποτασσόμενος αὐτῷ καὶ ὁ σπουδάζων καὶ ἀγαπᾶν καὶ τιμᾶν καὶ πείθεσθαι αὐτῷ τῷ θεῷ ὑποτάσσεται καὶ τῇ ἡμῶν μετριότητι, πᾶσα γὰρ ἡ πρὸς αὐτὸν γινομένη τιμὴ εἰς ἐμὲ διαβαίνει καὶ δι' ἐμοῦ ἄντικρυς πρὸς αὐτὸν τὸν θεόν, καὶ ὃν ἂν εὔξηται οὗτος καὶ ἀγαπήσῃ διά τινα αἰτίαν ἀγαθὴν ἢ διὰ τὴν εὐσέβειαν αὐτοῦ ἢ διὰ τὴν ὑποταγήν του, ἔχω τον καὶ ἐγὼ εὐλογημένον καὶ ὁ θεὸς ὡσαύτως, καὶ τὸ ἐναντίον, ὃν ἂν ὀργισθῇ καὶ ἀφορίσῃ, ἔχω τὸν καὶ ἐγὼ οὕτως. διὰ τοῦτο, υἱέ μου, ἐπειδὴ καὶ ἐγὼ ταῦτά σοι γράφω, καὶ γινώσκει καὶ ἡ εὐγένειά σου, τῇ χάριτι τοῦ Χριστοῦ, καὶ πληροῖς αὐτά· ἔτι πλέον ἀγωνίζου καὶ σπούδαζε εἰς τὴν ἐκκλησίαν, οὗτος γὰρ ὁ μητροπολίτης καὶ μέγας ἄνθρωπος ἔνι, καὶ ἀπὸ θεοῦ ἐτάχθη πατὴρ, καὶ πολλά σε ἀγαπᾷ, ἵνα ἡ μετριότης ἡμῶν ἀκούουσα ἔχει εὐφροσύνην μεγάλην καὶ χαράν. καὶ ταῦτα μὲν ἔχουσιν οὕτως, περὶ δὲ τῶν ἄλλων ὧν ἐζήτησας, ἐγένοντο κατὰ τὴν παράκλησίν σου καὶ τὴν ἀξίωσίν σου γράμματα τῆς ἡμῶν μετριότητος, καὶ ἤδη ἔρχονται σὺν θεῷ αὐτόθι, καὶ μέλλεις ἰδεῖν ταῦτα καὶ μαθεῖν ἀκριβῶς περὶ πάντων ἀπὸ τοῦ μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας. ἐγένοντο δὲ, καθὼς ἀπεδέχου, καὶ πολλά σε ἐπῄνεσα καὶ ἠγάπησα καὶ ηὐξάμην σοι τούτου ἕνεκα. ἐλυπήθην γὰρ πολλὰ καὶ

ὠργίσθην κατὰ τῶν ῥηγῶν, ὥσπερ μέλλεις μαθεῖν καὶ ἀπὸ τῶν γραμμάτων μου, καὶ καλῶς ἐποίησας πολλὰ καὶ ἔγραφάς μοι περὶ τούτου, καὶ ὅ τε θέλεις, καὶ εἴ τι χρῄζεις, γράφε μετὰ πάσης πληροφορίας, καὶ ζήτει, ὅπερ θέλεις, ὁ πατήρ σου γάρ εἰμι καὶ ἐγὼ καὶ σὺ υἱός μου γνήσιος. ἔτι δὲ καὶ ὁ υἱός μου, ὁ ἀδελφός σου, ὁ κῦρ Βολοντίμοιρος, ἀγαπῶ γὰρ ἐγὼ καὶ τοῦτον πολλὰ καὶ ἀποδέχομαι, δι' ἅπερ ἔχει ἀγαθὰ, καὶ τὰ αὐτὰ γράφω καὶ εἰς αὐτὸν, ὅσα καὶ εἰς τὴν εὐγένειάν σου. καὶ ὁ θεὸς νὰ διατηρῇ ὑμᾶς ἀνόσους, ἀβλαβεῖς καὶ ἀνωτέρους παντὸς ἀνιαροῦ συναντήματος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ, ἰνδ. ἡ †.

CCLXV. (6878—1370) iunio. ind. VIII.

Patriarchae litterae exhortatoriae datae ad metropolitam Kioviae et totius Russiae.

† Ἱερώτατε μητροπολῖτα Κυέβου καὶ πάσης Ῥωσίας, ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάριν, εἰρήνην, ἔλεος, ὑγείαν ψυχῆς, ῥῶσιν σώματος καὶ ἄλλο πᾶν ἀγαθὸν ὁμοῦ καὶ σωτήριον ἐπεύχεται τῇ ἱερότητί σου ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. τὰ γράμματα τῆς ἱερότητός σου διεκομίσθησαν ἐνταῦθα πρὸς τὴν ἡμῶν μετριότητα, καὶ ἐγνώρισα ἀπὸ τούτων καὶ ἀπὸ τοῦ ἀνθρώπου σου, τοῦ Ἀββακοὺμ, τοῦ διακομίσαντος ταῦτα, πάντα ὅσα ἔγραφες καὶ ἀνέφερες· ἐποίησας οὖν καλῶς καὶ ἀπέστειλας ἐνταῦθα ἐγγράφους σου ἀναφορὰς καὶ ἄνθρωπόν σου, καὶ ὡς δεῖ ποιεῖν πάντας τοὺς ἀρχιερεῖς, γινώσκει γὰρ ἡ ἱερότης σου ἀκριβῶς τὴν εἰς τοῦτο κανονικὴν ψῆφον καὶ παρακέλευσιν, ἤγουν ὅπως πρέπει πάντας τοὺς κατὰ τόπον ἀρχιερεῖς, ποῦ μὲν αὐτοὺς ἔρχεσθαι πρὸς τὸν πατριάρχην καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, ποῦ δὲ, ὅταν οὐδὲν ἔχωσι τοῦτο εὔκολον, καὶ γράμματα πέμπειν καὶ ἀνθρώπους καὶ ἀναφέρειν καὶ ζητεῖν, περὶ ὧν χρῄζουσι. δὶς γοῦν τοῦ χρόνου τὴν ἀρχὴν οἱ ἱεροὶ καὶ θεῖοι κανόνες ἔρχεσθαι ἐντεῦθεν τοὺς ἀρχιερεῖς τοὺς ἡμετέρους παρεκελεύσαντο, εἶτά τινες ὕστερον ἐλθόντες τῶν ἁγίων ἀρχιερέων διά τε τὰ διαστήματα τοῦ τόπου καὶ διὰ τὴν ἀσθένειαν τῶν ἀνθρώπων ἅπαξ τὸν ἐνιαυτὸν διετάξαντο. ἀπεδεξάμην οὖν τὴν σὴν ἱερότητα καὶ ἐπῄνεσά σε, καὶ πρέπει, νὰ ποιῇς τοῦτο,

μᾶλλον δὲ καὶ αὐτὸς σὺ, ὅταν ἔχῃς τοῦτο εὔκολον, ἐλθὲ, εἰ δὲ μὴ. γράφε καὶ ἀνάφερε καὶ ζήτει, περὶ ὧν χρῄζεις, περὶ ἐκκλησιαστικῶν ζητημάτων, περὶ πολιτικῶν πραγμάτων, περὶ πάντων, ὧν ἐθέλεις, καὶ μέλλεις μανθάνειν προηγουμένως μὲν, περὶ ὧν ἀπορεῖς καὶ ζητεῖς, ἔπειτα καὶ περὶ τῶν ἐνταῦθα πάντων, πῶς ἔχουσιν ἐνταῦθα τὰ πράγματα τὰ ἐκκλησιαστικὰ, τὰ πολιτικὰ καὶ τὰ τῆς βασιλείας. καὶ εἴπερ χρῄζει καὶ ὁ πατριάρχης καὶ ἡ σύνοδος ἵνα μηνύσῃ πρὸς τὴν σὴν ἱερότητα, μέλλει τοῦτο εὑρίσκειν εὔκολον. τὴν ἀγάπην καὶ τὴν εὐμένειαν, ὅσην ἔχω εἰς τὴν σὴν ἱερότητα, γινώσκεις καὶ αὐτὸς καὶ ἀκριβῶς, ὅτι ἰδίαν ἀγάπην ἔχω εἰς σὲ καὶ ἰδίαν πληροφορίαν, καὶ ἀγαπῶ σε πολλὰ, καὶ ἔχω σε φίλον γνήσιον, καὶ ἀποδέχομαι πολλὰ, ἵνα γράφῃς, νὰ μανθάνωμεν περὶ σοῦ, περὶ τοῦ τόπου σου, περὶ τῆς ἀρχῆς σου, περὶ τοῦ ὑπὸ σὲ μεγάλου τούτου ποιμνίου. γινώσκω δὲ καὶ ἐγὼ καὶ εἰμι πεπληροφορημένος, ὅτι ἀγαπᾷς με, καὶ ἔχεις φιλίαν εἰς τὴν ἡμῶν μετριότητα. καὶ εἴ τι χρῄζεις, γράφε τοῦτο μετὰ πληροφορίας, νὰ τὸ πληρῶ. ἀγωνίζου οὖν καὶ σπούδαζε διηνεκῶς ὑπὲρ τοῦ λαοῦ σου, ὑπὲρ τοῦ ποιμνίου σου, σὲ γὰρ ἔχουσι πάντες οἱ αὐτόθι κοινὸν πατέρα καὶ διδάσκαλον καὶ μεσίτην πρὸς τὸν θεὸν, καὶ γινώσκεις ἀκριβῶς, ὁπόσην σπουδὴν ὀφείλουσιν οἱ ποιμένες ἔχειν ὑπὲρ τῶν προβάτων αὐτῶν, τοῦ λογικοῦ τούτου ποιμνίου τοῦ Χριστοῦ, αὐτὸ γὰρ τὸ στόμα τοῦ Χριστοῦ φησι διὰ τοῦ ἁγίου ἀποστόλου τοῦ μεγάλου Παύλου, ὅτι λόγον ἀποδώσουσιν ὑπὲρ αὐτῶν τῶν ἐμπιστευθέντων αὐτοῖς ἀνθρώπων ἐν ἡμέρᾳ κρίσεως. ἔγραψεν ἡ μετριότης ἡμῶν ἰδίως καὶ πρὸς τοὺς ῥῆγας, τοὺς υἱούς μου, ὁπόσην ὑποταγὴν ὀφείλουσι πρὸς τὴν σὴν ἱερότητα, καὶ προσέταξα, ἵνα σπουδάζωσι καὶ ἀγωνίζωνται ὑποτάσσεσθαι καὶ πείθεσθαι καὶ παντοίαν ἔχειν εὐλάβειαν καὶ προσοχὴν πρὸς τὴν σὴν ἱερότητα, καὶ ἐδίδαξα καὶ παρῄνεσα καὶ ἐνουθέτησα, οὕτω σε βλέπειν αὐτόθι, ὥσπερ ἂν ἔβλεπον τὴν ἡμῶν μετριότητα, ἐπεὶ καὶ τὰ δίκαια φέρεις τὰ ἰδικά μου, καὶ ἐὰν ὑποτάσσωνται καὶ τιμῶσι καὶ ἀγαπῶσι τὴν σὴν ἱερότητα, ἐμὲ τιμοῦσι, ὃς ἔχω ἐπὶ τῆς γῆς τὰ δίκαια τοῦ θεοῦ. καὶ ἐπεὶ ἐγένου καὶ σὺ, χάριτι Χριστοῦ, μητροπολίτης παρ' ἐμοῦ, τὰ δίκαια φέρεις τὰ ἐμὰ, καὶ πᾶς ὑποτασσόμενος τῇ σῇ ἱερότητι τῷ θεῷ ὑποτάσσεται, καὶ ἡ τιμὴ αὕτη εἰς ἐμὲ διαβαίνει. καὶ ταῦτα μὲν ἔγραψα πρὸς τοὺς ῥῆγας καὶ ἐδίδαξα καὶ παρῄνεσα, ὅσα ὠφελοῦσιν εἰς ψυχικὴν αὐτῶν καὶ σωματικὴν

προκοπὴν καὶ αὔξησιν τῆς τιμῆς αὐτῶν. πρὸς δὲ τὴν σὴν ἱερότητα ταῦτα προστάσσω, ἃ καὶ ἄνωθεν. τὸ ἔθνος τοῦτο λίαν ἐστὶ μέγα καὶ πολυάνθρωπον, καὶ πολλῆς δεῖται τῆς ἐπιμελείας, καὶ πάντες ἀνάκεινται εἰς σέ, καὶ ὅσον ἔνι εἰς τὴν δύναμίν σου, σπούδαζε καὶ δίδασκε καὶ παραίνει πάντα, ὅσα παρέλαβες ἀπὸ τοῦ ἁγίου εὐαγγελίου καὶ τῶν ἁγίων πατέρων καὶ διδασκάλων ἡμῶν, καὶ τότε ἕξεις καὶ τὸν θεὸν σύνδρομον εἰς τοῦτο καὶ βοηθόν. ἔγραφές μοι καὶ ἀνέφερες περὶ τῶν ῥηγῶν, ὅπως παρέβησαν τοὺς ὅρκους αὐτῶν καὶ τὰς συμβιβάσεις, καὶ ἀπελύθησαν γραφαὶ τῆς ἡμῶν μετριότητος πρὸς αὐτούς, καὶ ἐγένοντο κατὰ τὴν ἀποδοχὴν καὶ ζήτησιν τοῦ υἱοῦ μου, τοῦ μεγάλου ῥηγός, καὶ μέλλεις ἰδεῖν αὐτάς. ἔτι δὲ ἀπελύθη καὶ εἰς τὸν ἐπίσκοπον Νοβογροδίου διὰ τὴν αἰτίαν, ἣν οἶδας, καὶ περὶ ἄλλων, καὶ μέλλεις ἰδεῖν αὐτάς. ἡ χάρις τοῦ θεοῦ εἴη διατηροῦσα τὴν σὴν ἱερότητα ἄνοσον, εὔθυμον καὶ ἀνωτέραν παντὸς ἀνιαροῦ συναντήματος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ, ἰνδ. ηʹ †.

CCLXVI. (6878—1370) iunio. ind. VIII.

Patriarchae litterae exhortatoriae datae ad principes Russiae.

† Εὐγενέστατοι ῥῆγες πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἠγαπημένοι καὶ πεποθημένοι υἱοὶ τῆς ἡμῶν μετριότητος. ὑγείαν καὶ εὐθυμίαν τῶν ψυχῶν ὑμῶν καὶ τῶν σωμάτων εὐεξίαν τε καὶ ῥῶσιν, τῶν κατὰ τὸν βίον πραγμάτων πάντων, εὐθηνίαν τε καὶ εὐημερίαν, αὔξησιν ἀρχῆς καὶ προκοπὴν τιμῆς καὶ ἄλλο πᾶν ἀγαθὸν ὁμοῦ καὶ σωτήριον ἐπεύχεται ὑμῖν ἅπασιν ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. ἡ μετριότης ἡμῶν, ἀκριβῶς γινώσκουσα πρὸ πολλοῦ τὴν καθαρὰν πίστιν καὶ τὴν εὐσέβειαν, ἣν παρελάβετε ἄνωθεν καὶ ἐξ ἀρχῆς ἀπὸ τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ φυλάττετε αὐτὴν, καθὼς καὶ παρελάβετε, ἀμώμητον καὶ καθαρὰν καὶ ἀκίβδηλον, ὀρθόδοξοι χριστιανοὶ ὄντες, τοῦτο δὴ τὸ τῶν ἀγαθῶν πάντων ἐξαίρετον οὐ παύεται δι' ὅλου, ὁμοῦ δὲ καὶ εὐχομένη, ἵνα ἀδιάλειπτον ἔχητε τοῦτο τὸ ἀγαθὸν ἐν ἑαυτοῖς, καὶ αὐξάνητε ἐπὶ πλέον εἰς τὴν πρὸς θεὸν πίστιν καὶ τὴν εὐσέβειαν. ταῦτα δὲ μέλλετε ἔχειν, εἴπερ ἀποδιδόατε πρὸς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ

πάσης Ῥωσίας καὶ ὑπέρτιμον, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, ὃν ἐχαρίσατο ὑμῖν ὁ θεὸς διὰ τῶν ἡμετέρων χειρῶν, τὴν πρέπουσαν αἰδῶ καὶ τιμὴν καὶ ὑποταγὴν καὶ εὐπείθειαν καὶ στέργετε τοῦτον καὶ τὰ παρ' αὐτοῦ λεγόμενα, ὡς τῆς ἐκκλησίας υἱοὶ γνήσιοι, καθὼς ὀφείλετε στέργειν καὶ αὐτὸν τὸν θεόν, ἐπεὶ γὰρ ὁ θεὸς τὴν ἡμῶν μετριότητα ἔταξεν προστάτην τῶν ἁπανταχοῦ τῆς οἰκουμένης εὑρισκομένων χριστιανῶν καὶ κηδεμόνα καὶ φροντιστὴν τῶν ψυχῶν αὐτῶν, πάντες εἰς ἐμὲ ἀνάκεινται, πατέρα ὄντα καὶ διδάσκαλον πάντων. εἰ μὲν οὖν ἦν δυνατόν, ἐμὲ αὐτὸν διέρχεσθαι τὰς ἁπανταχοῦ τῆς γῆς πόλεις καὶ χώρας καὶ διδάσκειν ἐν αὐταῖς τὸν λόγον τοῦ θεοῦ, ἔμελλον τοῦτο ποιεῖν ἀπαραιτήτως, ἐπειδὴ τοῦτό ἐστι τὸ ἔργον· ἐπεὶ δὲ ἀδύνατόν ἐστιν, ἕνα ἄνθρωπον ἀσθενῆ καὶ ἀνίσχυρον εἰς πᾶσαν τὴν οἰκουμένην περιπατεῖν, ἐκλέγεται ἡ μετριότης ἡμῶν τοὺς κρείττονας καὶ προέχοντας ἀνθρώπους κατ' ἀρετήν, καὶ καθίστησι καὶ χειροτονεῖ ποιμένας καὶ διδασκάλους καὶ ἀρχιερεῖς, καὶ πέμπει πρὸς τὰ μέρη τῆς οἰκουμένης, ὧν μὲν αὐτόθι πρὸς τὴν καθ' ὑμᾶς μεγάλην χώραν καὶ τὸ μυριάριθμον πλῆθος, ὧν δὲ ἐν ἄλλῳ μέρει τῆς γῆς, καὶ ἄλλον ἀλλαχοῦ, ἕκαστος οὖν εἰς ἣν ἂν ἐκληρώθη χώραν καὶ τόπον, καὶ τόπον ἔχει καὶ τὴν καθέδραν καὶ τὰ δίκαια πάντα τῆς ἡμῶν μετριότητος. ἐπεὶ οὖν ἔχετε καὶ ὑμεῖς αὐτόθι ἀντὶ ἐμοῦ τὸν ἱερώτατον μητροπολίτην Κιέβου καὶ πάσης Ῥωσίας, ἄνδρα σεμνὸν καὶ εὐλαβῆ καὶ ἐνάρετον καὶ πᾶσι κοσμούμενον ἀγαθοῖς, δυνάμενον, τῇ τοῦ Χριστοῦ χάριτι, ποιμάναι λαὸν καὶ ὁδηγῆσαι πρὸς τὰς σωτηρίους νομὰς καὶ ψυχὰς ὀδυνωμένας παρακαλέσαι καὶ σαλευομένας στηρίξαι καρδίας, καθὼς καὶ ὑμεῖς γινώσκετε, πειραθέντες τῶν αὐτοῦ πλεονεκτημάτων καὶ τῆς ἁγιότητος, μεγάλην ὀφείλετε πρὸς αὐτὸν τὴν τιμὴν καὶ εὐπείθειαν, ὅσην ἂν ἐμέλλετε πρὸς ἐμὲ αὐτὸν ἀποδιδόναι, εἴ γε αὐτόθι παρήμην· τὰ γὰρ ἡμέτερα δίκαια ἔχων αὐτὸς αὐτόθι ἀντὶ ἐμοῦ εὑρίσκεται, καὶ ἡ πρὸς αὐτὸν γινομένη τιμὴ καὶ ὑποταγὴ καὶ εὐπείθεια πρὸς τὴν ἡμῶν μετριότητα ἀναφέρεται καὶ δι' αὐτῆς ἄντικρυς πρὸς αὐτὸν τὸν θεὸν διαβαίνει. ὑμεῖς γοῦν, υἱοὶ τῆς ἐκκλησίας τοῦ Χριστοῦ ὄντες γνήσιοι καὶ τρέφοντες πρὸς τὸν θεὸν ἀπὸ ψυχῆς πίστιν ὀρθὴν καὶ εὐσέβειαν, ὀφείλετε ὑπακούειν τῷ ὑμετέρῳ πατρὶ καὶ ποιμένι καὶ διδασκάλῳ, ὃν ὁ θεὸς ὑμῖν ἐχαρίσατο δι' ἡμῶν, καὶ στέργειν αὐτὸν ὡς ἐμέ, τὰ δὲ

παρ' αὐτοῦ λεγόμενα ὡς λογισμοὺς θεοῦ λογίζεσθαι· ἐὰν οὕτω ποιῆτε καὶ οὕτω διακένησθε πρὸς τὴν ἐκκλησίαν τοῦ θεοῦ καὶ πρὸς αὐτὸν τὸν ἱερώτατον μητροπολίτην ὑμῶν, πρῶτον μὲν ἐν τῷ νῦν αἰῶνι τοὺς μισθοὺς ἕξετε, τὸν θεὸν κτησάμενοι σύνδρομον καὶ βοηθὸν εἰς ἅπερ χρήζετε, αὔξησιν τῆς ἀρχῆς ὑμῖν παρεχόμενον καὶ πλάτος βίου καὶ πραγμάτων εὐθηνίαν καὶ τῶν ἀγαθῶν πάντων εὐημερίαν καὶ ζωὴν ἄλυπον, ἀνώδυνον καὶ ὑγείαν σωμάτων, ἐν δὲ τῷ μέλλοντι τὴν βασιλείαν τῶν οὐρανῶν καὶ τὴν τῶν ἀιδίων ἀγαθῶν κληρονομίαν τε καὶ ἀπόλαυσιν, ἕξετε δὲ καὶ παρὰ τῆς ἡμῶν μετριότητος ἐπαίνους πολλοὺς καὶ μεγάλους καὶ εὐχαριστείας καὶ εὐχὰς πρὸς τὸν θεὸν, οὗ ἡ χάρις καὶ τὸ ἔλεος εἴη διατηρῶν ὑμᾶς, ἐστηριγμένους ἑδραίως ἐν τῇ ὀρθῇ καὶ ἀμωμήτῳ πίστει καὶ ὑπακούοντας τῷ πατρὶ καὶ διδασκάλῳ τῶν ὑμετέρων ψυχῶν, ὡς ἂν οὕτω διαφυλάττοισθε ἄνοσοι, εὔθυμοι καὶ ἀνώτεροι παντὸς ἀνιαροῦ συναντήματος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ, ἰνδ. η' †.

CCLXVII. (6878—1370) iunio. ind. VIII.

Patriarcha episcopum Novogradii monet, ut cruces phelonii deponat et pareat metropolitae Kioviae et Magno Duci Russiae, Demetrio.

† Θεοφιλέστατε ἐπίσκοπε Νοβογροδίου, χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ θεοφιλείᾳ. γινώσκεις, ὅτι ὁ πρὸ σοῦ ἐπίσκοπος Νοβογροδίου ἔλαβε παρὰ τῆς θείας καὶ ἱερᾶς καὶ μεγάλης συνόδου τιμὴν, ἵνα φορῇ εἰς τὸ φελώνιον αὐτοῦ σταυροὺς τέσσαρας, τοῦτο δὲ ἔδωκεν ἡ θεία σύνοδος πρὸς ἐκεῖνον μόνον, οὐχ ἵνα ἔχῃ τοῦτο πᾶς ἐπίσκοπος Νοβογροδίου, ἀλλ' ἐκεῖνος μόνος, πρὸς ὃν ἐδόθη· ἡ δὲ μετριότης ἡμῶν ἐγνώρισεν, ὅτι σὺ, παρὰ τὴν τάξιν ποιήσας καὶ παρὰ τὴν κανονικὴν συνήθειαν, ἔλαβες, ὅπερ οὐδὲν εἶχες ἄδειαν, καὶ φορεῖς καὶ σὺ εἰς τὸ φελώνιόν σου τοὺς τέσσαρας σταυροὺς, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ οὐδὲ τὴν πρέπουσαν τιμὴν καὶ ὑπακοὴν καὶ εὐπείθειαν δίδως πρὸς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, ὑπέρτιμον, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸν, οὔτε μὴν πρὸς τὸν υἱόν μου, τὸν εὐγενέστατον ῥῆγα πάσης Ῥωσίας, κῦρ Δημήτριον, ἀλλὰ ἀνθίστασαι καὶ ἀντιλέγεις αὐτοῖς. ἅπερ γνωρίσασα ἡ μετριότης ἡμῶν ἐβαρύνθη καὶ ὠργίσθη καὶ ἠγανάκτησε κατὰ

σοῦ, πῶς ποιεῖς ταῦτα παρὰ τὴν παρακέλευσιν τῶν θείων καὶ ἱερῶν κανόνων. διὰ τοῦτο καὶ γράφει καὶ παρακελεύεταί σοι, ἵνα χωρὶς λόγου καὶ προφάσεως ἐκβάλῃς ἀπὸ τοῦ φελωνίου σου τοὺς σταυρούς. πῶς γὰρ ἐτόλμησας ὅλως σοι ποιῆσαι πρᾶγμα τοιοῦτον; ἔπειτα ἵνα ἔχῃς καὶ τὴν προσήκουσαν τιμὴν καὶ ὑπακοὴν καὶ εὐπείθειαν πρὸς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας καὶ πρὸς τὸν εὐγενέστατον μέγαν ῥῆγα, καὶ ἐὰν ποιήσῃς οὕτω, μέλλεις τυχεῖν ἔλεω τῆς ἡμῶν μετριότητος καὶ τῆς θείας καὶ ἱερᾶς καὶ μεγάλης συνόδου, καὶ ἔσται ..... καὶ τὰ ἐπιτίμια μετριώτερα· εἰ δὲ οὐ ποιήσεις οὕτω, καθὼς σοι παρακελεύεται ἡ μετριότης ἡμῶν, μέλλει γράφειν αὖτη πρὸς τὸν μητροπολίτην σου, ἵνα σε καθήρῃ καὶ λάβῃ τὴν ἀρχιερωσύνην ἀπὸ σοῦ· οἷον γοῦν σοι φαίνεται κάλλιον, ἐκεῖνο καὶ ποίησον. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ σοῦ †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ, ἰνδ. η' †.

CCLXVIII. (6878—1370) iunio. ind. VIII.

Patriarcha excommunicat principes russicos, qui contra Lituanorum principem bellum facere recusarunt.

† Ἐπεὶ οἱ εὐγενέστατοι ῥῆγες τῆς Ῥωσίας ὡμοφώνησαν ἅπαντες καὶ συνέθεντο, ὅρκους φρικτοὺς ποιήσαντες καὶ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἀσπασάμενοι, μετὰ τοῦ εὐγενεστάτου μεγάλου ῥηγὸς πάσης Ῥωσίας, κῦρ Δημητρίου, ὡς ἂν ἅπαντες ὁμοῦ ἐκστρατεύσωσι κατὰ τῶν ἀλλοτρίων τῆς ἡμετέρας πίστεως, τῶν ἐχθρῶν τοῦ σταυροῦ τῶν μὴ πιστευόντων εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀλλὰ λατρευόντων καὶ κακῶς καὶ ἀθέως τῷ πυρὶ, καὶ ὁ μὲν μέγας ῥῆξ κατὰ τοὺς ὅρκους καὶ τὴν συμφωνίαν, ἣν πρὸς ἐκείνους ἐποίησε, κατεφρόνησε δὲ καὶ τῆς ζωῆς αὐτοῦ, προτιμοτέραν πάντων τούτων ἡγησάμενος τὴν εἰς τὸν θεὸν ἀγάπην καὶ τὸ ὑπὲρ αὐτοῦ πολεμεῖν καὶ τοὺς ἐχθροὺς αὐτοῦ μάχεσθαι, καὶ ἑτοιμασθεὶς ἐκάθητο, περιμένων ἐκείνους, οὗτοι δὲ, μήτε τὸν θεὸν φοβηθέντες, μήτε τοὺς ὅρκους αἰδεσθέντες, ἀλλὰ παραβάντες αὐτούς τε καὶ τὸν σταυρὸν, ὃν ἠσπάσαντο, καὶ τὰς πρὸς ἀλλήλους συνθήκας καὶ ὑποσχέσεις, καθὼς μὲν ὑπεσχέθησαν, οὐκ ἐποίησαν, προσετέθησαν δὲ μᾶλλον τῷ ἀσεβεῖ Οὐργέλδῳ, ὃς καὶ ἐκστρατείαν ποιήσας κατὰ τοῦ μεγάλου ῥηγὸς, πολλοὺς τῶν χρι-

στιανῶν ἀπώλεσε καὶ διέφθειρε, διόπερ ἀφωρίσθησαν οἱ ῥῆγες παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Κιέβου καὶ πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῦ, ὡς καταφρονηταὶ καὶ παραβάται τῶν ἐντολῶν τοῦ θεοῦ καὶ τῶν ὅρκων καὶ τῶν συνθηκῶν αὐτῶν, ἃ δὴ πάντα ἡ μετριότης ἡμῶν ἐγνώρισε, λίαν βαρὺ ἡγησαμένη τοῦτο κατὰ τῶν χριστιανῶν, ἔχει καὶ αὕτη τούτους δὴ τοὺς ῥῆγας ἀφωρισμένους, ὡς κατὰ τῆς ἱερᾶς πολιτείας τῶν χριστιανῶν πεπραχότας, οἳ τότε μέλλουσι τυχεῖν συγχωρήσεως παρ' αὐτῆς, ὁπόταν ποιήσωσι κατὰ τὴν συμφωνίαν καὶ τοὺς ὅρκους αὐτῶν, ἐκστρατεύσαντες ὁμοῦ μετὰ τοῦ μεγάλου ῥηγὸς κατὰ τῶν ἐχθρῶν τοῦ σταυροῦ, καὶ προσέλθωσι καὶ προσπέσωσι τῷ μητροπολίτῃ αὐτῶν, καὶ ἀξιώσωσιν αὐτὸν γράψαι περὶ τούτου τῇ ἡμῶν μετριότητι, καὶ ὁπόταν γράψῃ ἐνταῦθα ὁ μητροπολίτης, ὅτι ὑπέστρεψαν καὶ μετενόησαν γνησίως καὶ καθαρῶς, τότε συγχωρηθήσονται παρὰ τῆς ἡμῶν μετριότητος. ὀφείλουσιν οὖν γινώσκειν οὗτοι, ὅτι ὁ ἀφορισμὸς χωρισμός ἐστιν ἀπὸ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ παντελὴς ἀλλοτρίωσις, καὶ μετανοῆσαι γνησίως καὶ καθαρῶς, ἵνα καὶ αὐτοὶ τῆς τούτου συγχωρήσεως τύχωσι παρὰ τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ, ἰνδ. ή †.

CCLXIX. (6878—1370) iunio. ind. VIII.

Patriarcha excommunicat Smolenisci principem Svetisthlavum.

† Εὐγενέστατε μέγα ῥὴξ Σμολενίσκου, κῦρ Σφετζιστλάβε. ἡ μετριότης ἡμῶν ἐγνώρισεν, ὅτι μετὰ τοῦ μεγάλου ῥηγὸς τῆς Ῥωσίας, κῦρ Δημητρίου, συνεφώνησας καὶ συνθήκας ἐποίησας, φρικτῶς ὀμόσας καὶ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἀσπασάμενος, ἵνα μετ' αὐτοῦ ἐκστρατεύσῃς κατὰ τῶν ἐχθρῶν τῆς ἡμετέρας πίστεως καὶ κατὰ τῶν ἐχθρῶν τοῦ σταυροῦ τῶν λατρευόντων καὶ πιστευόντων εἰς τὸ πῦρ, καὶ ἐκεῖνος, καθὼς ἐτάξατε καὶ συνεφωνήσατε, ἕτοιμος ἦν καὶ ἐξεδέχετο καὶ σέ, σὺ δὲ οὐ μόνον οὐκ ἐποίησας, καθὼς ὑπεσχέθης καὶ ὤμοσας, ἀλλὰ μᾶλλον παραβὰς καὶ τοὺς ὅρκους καὶ τὰς συνθήκας καὶ τὰς ὑποσχέσεις καὶ τὸ φίλημα τοῦ σταυροῦ, συνεστράτευσας τῷ Οὐργέλδῳ κατὰ τῶν χριστιανῶν, καὶ ἐφονεύθησαν καὶ ἐφθάρησαν χριστιανοὶ πολλοί, δι' ὅπερ ἀφώρισέ σε ὁ ἱερώτατος μητροπολίτης

Κυέβου καὶ πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, καλῶς καὶ δικαίως ποιήσας, τοὺς γὰρ τοιαῦτα ποιοῦντας καὶ παραβαίνοντας τοὺς ὅρκους καὶ τὰς συνθήκας αὐτῶν καὶ τὸ φίλημα τοῦ σταυροῦ, ὥσπερ θεοῦ οὐκ ὄντος κρίνοντος τὰ δίκαια καὶ τοὺς παραβάτας τιμωροῦντος, τούτους πρέπει τυγχάνειν τιμωρίας καὶ ἐπιτιμήσεως· καλῶς οὖν ἐποίησεν ὁ ἱερώτατος μητροπολίτης καὶ ἀφώρισέ σε, λίαν γὰρ ἐποίησας βαρὺ κατὰ τῆς πίστεώς σου καὶ τοῦ χριστιανισμοῦ σου· ἔχει σε οὖν καὶ ἡ μετριότης ἡμῶν διὰ ταῦτα ἀφωρισμένον, ὡς κακῶς ποιήσαντα, τότε δὲ μέλλεις τυχεῖν παρ' αὐτῆς συγχωρήσεως, ὁπόταν νοήσῃς, ὁπόσον κακὸν ἐποίησας, καὶ ὑποστρέψῃς καὶ μετανοήσῃς γνησίως καὶ καθαρῶς καὶ κλαύσῃς καὶ προσέλθῃς τῷ μητροπολίτῃ σου, καὶ ζητήσῃς παρ' αὐτοῦ συγχώρησιν, καὶ γράψῃ ἐνταῦθα πρὸς τὴν ἡμῶν μετριότητα. γίνωσκε οὖν, ὅτι ὁ ἀφορισμὸς χωρίζει τὸν ἄνθρωπον ἀπὸ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ παντελῶς ἀλλοτριοῖ, καὶ τὸ τεθνηκὸς αὐτοῦ σῶμα, τοῦ ἀνθρώπου τοῦ ἀφωρισμένου, ἀδιάλυτον μένει εἰς ἔλεγχον τῆς πονηρᾶς αὐτοῦ πράξεως. σπούδασον λοιπὸν καὶ ἐπιμελήθητι, ἵνα μετανοήσῃς γνησίως, νοήσας τὸ σφάλμα σου, καὶ ὁπόταν γράψῃς ἐνταῦθα καὶ σὺ καὶ ὁ μητροπολίτης, καὶ ζητήσῃς συγχώρησιν, τότε μέλλεις τυχεῖν καὶ παρὰ τῆς ἡμῶν μετριότητος συγχωρήσεως καὶ λύσεως τοῦ ἀφορισμοῦ καὶ εὐχῶν καὶ ἐπαίνων, καὶ τότε μέλλεις εὑρεῖν τὸν θεὸν ἵλεων, ἐφ' οἷσπερ εἰς αὐτὸν ἥμαρτες, βοηθὸν καὶ εἰς τὴν ἀρχήν σου καὶ εἰς τὴν ζωήν σου †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ ἰνδ η' †.

CCLXX. Sine anno.

Patriarcha statuit, episcopatum Lituaniae subiectum esse metropoli Kioviae.

† Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Φθάνει μὲν ἡ ἁγιωτάτη ἐπισκοπὴ τῶν Λιτβῶν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑποτεταγμένη τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυέβου καὶ πάσης Ῥωσίας, ὑπ' αὐτὸν καὶ αὕτη τελοῦσα καὶ τῆς κατ' αὐτὸν ἐπαρχίας οὐ μικρόν τι μέρος ὑπάρχουσα, παρ' αὐτοῦ τε τὸν οἰκεῖον ἐπίσκοπον

χειροτονούμενον δεχομένη καὶ σὺν ταῖς ἄλλαις ἐπισκοπαῖς αὐτοῦ ὑπ' αὐτὸν διαμένουσα, κατὰ τὴν ἐπικρατήσασαν ἄνωθεν τάξιν ταῖς ἐκκλησιαστικαῖς παραδόσεσιν ἐν ταῖς ἁπανταχοῦ τῆς γῆς ἐπαρχίαις. τοῦ δὲ τὴν ἀρχὴν τῆς εἰρημένης τῶν Λιτβῶν χώρας διέποντος ῥηγὸς κακῶς πρὸς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας διατεθέντος, τὸν κῦρ Ἀλέξιον, καὶ πάντ' ἂν ὄντος ἑτοίμου καὶ παθεῖν καὶ δράσαι ἢ τοῦτον ἔχειν μητροπολίτην καὶ τὴν ἰδίαν ἀρχήν τε καὶ χώραν πνευματικῶς ὑποκεῖσθαι αὐτῷ, καθ' ἑαυτὴν εἶναι βουλομένου καὶ εἰς μητρόπολιν τιμηθεῖσαν ὑπὸ μητροπολίτῃ γνησίῳ διοικεῖσθαι καὶ διιθύνεσθαι, τὴν ἱερὰν καὶ μεγάλην σύνοδον ἀξιοῦντος· αὕτη δείσασα, μή ποτε καί τι τῶν ἀδοκήτων συμβαίη, καὶ ψυχικὸν ὑποσταίη κίνδυνον καὶ ῥῆξιν τοῦ καθόλου τῆς ἱερᾶς ἐκκλησίας σώματος τὸ πολυάνθρωπον ἔθνος ἐκεῖνο, τὸν ἐκεῖθεν ἀποσταλέντα, ἄξιον ἀρχιερωσύνης κριθέντα, μητροπολίτην τῆς τοιαύτης καθίστησι χώρας, κατὰ τὴν βούλησιν τοῦ ἐν αὐτῇ ἔθνους καὶ τὰς ἐκεῖθεν ἀνάγκας καὶ τὸν σκοπὸν τοῦ ῥηθέντος ῥηγός. καὶ ἦν ἂν τὸ πρᾶγμα μέχρι τοῦδε καλόν, καὶ τὸ τῆς εἰρήνης ἄνθος μέσον ἐκείνων εὐθαλὲς καὶ ἀμάραντον ἔμενεν, εἴπερ ὁ χειροτονηθεὶς ἐκεῖνος τοῖς δοθεῖσιν αὐτὸν ἔμενεν ὅροις, ἠρκεῖτό τε ἐφ' οἷς δικαίοις τετίμητο· ἐπεὶ δὲ τοῦτο μὲν οὐδαμῶς, τῇ δὲ κάκιστ' ἀπολουμένῃ τοῦ πλείονος ἐφέσει δεδωκὼς ἑαυτὸν ἐκεῖνα καθαρπάζειν ἐπειρᾶτο, ὧν μὴ μέτοχος ἦν, καὶ συνεφέλκεσθαι δίκαια, μηδόλως ἐκείνῳ ἀνήκοντα, καὶ ὀχλήσεων καὶ ἀμφιβολιῶν αἴτιος καὶ πολλῶν ἑτέρων τῷ ἔθνει καθίστατο καὶ τῇ καθ' ἡμᾶς ἱερᾷ συνόδῳ διὰ ταῦτα λυπῆς πολλῆς. ἐντεῦθεν καὶ γὰρ πρὸς ἀνάγκης ὑπῆρχεν αὐτῇ, πρέσβεις τῶν ἐκκρίτων ἀνδρῶν πρὸς αὐτοὺς ἐκπέμπειν, τὴν ταραχὴν ἀνακόπτοντας καὶ τὴν σύγχυσιν ὡς δυνατὸν ἀναστέλλοντας, ἥτις ἀρχὴν ἐν οὕτως ἔθνει λαβοῦσα πολλῷ, τὸ καὶ πρὸς τέλος ἰδεῖν τέως οὐδόλως ἐβούλετο, εἰ καὶ οὐκ εἰς μακρὰν ταῦτα προχωρεῖν ὁ τῆς εἰρήνης ἀφῆσε δοτήρ, ἡ αὐτοειρήνη, ὁ πάντων σωτήρ, ὁ Χριστός. ὡς γὰρ ὁ Λιτβῶν ἐκεῖνος ἐξ ἀνθρώπων ἐγένετο, ἡ τοῦ θεοῦ ἐκκλησία πρόνοιαν καὶ αὖθις τοῦ ἔθνους ποιεῖται, καὶ τὴν εἰρηνικὴν κατάστασιν αὐτοῖς πραγματεύεται, σύναμα τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, τοῦ πρὸ ἡμῶν πατριάρχου γράμμασι συνοδικοῖς καὶ σεπτοῖς προστάγμασι, τὴν Λιτβῶν χώραν τῷ μητροπολίτῃ Κυέβου καὶ πάσης Ῥωσίας, ὡς καὶ πρότερον, ἐπανασωσάντων καὶ τα-

ξάντων, αὐτὴν ὑπὸ τὸ Κύεβον καὶ αὖθις τελεῖν καὶ ἐπισκοπὴν αὐτοῦ εἶναι καὶ τῆς τοῦ ῥηθέντος ἱερωτάτου μητροπολίτου Κυέβου μέρος, ὥσπερ καὶ πρότερον, πνευματικῆς δεσποτείας, ἅπερ ὕστερον ἐμφανισθέντα καὶ τῇ ἡμῶν μετριότητι καὶ καλῶς προβεβηκότα ἀναφανέντα καὶ παρ' αὐτῆς τὸ κῦρος ἐδέξατο καὶ τὸ βέβαιον· ὅθεν καὶ τὸ παρὸν ἀπολύουσα σιγιλλιῶδες γράμμα καὶ αὕτη παρακελεύεται, τελεῖν τὴν τῶν Λιτβῶν χώραν, καὶ ὅσαπερ ὑπ' αὐτὴν καθ' ἑαυτὴν γενομένην ἐτάχθησαν, ὑπὸ τὴν τοῦ Κυέβου μητρόπολιν, καὶ ἐπισκοπὴν αὐτοῦ καὶ αὖθις κατὰ τὰς ἄλλας καὶ ταύτην τυγχάνουσαν, τὸ Κύεβον εἰδέναι μητρόπολιν οἰκείαν καὶ ἐκεῖθεν χειροτονεῖσθαι τὸν ταύτης ἐπίσκοπον καὶ, καθάπερ καὶ πρότερον, ὑπὸ τὴν αὐτοῦ ἐνορίαν τετάχθαι, καθ' ἃ δὴ καὶ ἡ τοῦ πρὸ ἡμῶν πατριάρχου βούλεται συνοδικὴ πρᾶξις καὶ τὰ ἐπ' αὐτῇ σεπτὰ προστάγματα τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους, οὕτως ἐμμένειν ὀφείλουσα καὶ μηδέποτε δι' ἠντιναοῦν αἰτίαν ἀποσχισθῆναι καὶ διαιρεθῆναι τὴν τῶν Λιτβῶν χώραν τῆς ἐπικρατείας καὶ πνευματικῆς διοικήσεως τοῦ μητροπολίτου Κυέβου, ἐπεὶ ἅπαξ γεγονὸς τοῦτο ὄχλησιν προεξένησε καὶ ἄτοπα πολλὰ, καὶ ταῦτα δι' ἀνάγκας μεγάλας, ὡς ἔδοξε, γεγονός. καθέξει τοίνυν αὐτὴν ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης ὡς οἰκείαν ἐπισκοπὴν, καὶ ἅπερ ἐν ταῖς ἄλλαις ἐπισκοπαῖς ταῖς ὑπ' αὐτὸν τεταγμέναις ποιεῖν εἴωθε, ταῦτα καὶ ἐπ' αὐτῇ μετὰ πάσης ἀδείας διαπράξεται καὶ οἱ μετ' αὐτὸν ἅπαντες τῆς Ῥωσίας μητροπολῖται. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος κατὰ μῆνα ..... τῆς ἐνισταμένης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑβδομηκοστοῦ ..... ἔτους †.

† Αὕτη ἡ διαγραφεῖσα πρᾶξις ἐγεγόνει ὁρισμῷ καὶ θείᾳ παρακελεύσει τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου· ἐγράφη γοῦν καὶ κατεστρώθη ἐν τοῖς ἄλλοις συνοδικοῖς παρασημειώσεσι πρὸ τοῦ φθάσαι ὑπογραφῆναι παρὰ τῆς τιμίας πατριαρχικῆς καὶ θείας χειρὸς τὸ πρωτότυπον, ἐκείνου δὲ τὸ ἀργὸν καὶ ἄκυρον τὴν πρᾶξιν ἔχειν ταύτην ὁρίσαντος καὶ τὸ παρὸν διαγραφῆναι συμβέβηκεν, ἐπεὶ οὐδὲ τὸ πρωτότυπον τὸ στέργον ἔχειν διέγνωσται †.

CCXXXLI. (6876—1367) octobri. ind. VI.

Abramius quidam condemnatur.

† Ὁ παπᾶς Ἀβράμιος, ἀπελεγχθεὶς ἀπὸ τῆς θείας καὶ ἱερᾶς συνόδου, ὡς εὐλόγησε πενταγαμίαν, καθῃρέθη, ἵνα μὴ ἐνεργήσῃ ποτὲ ἱερατικόν τι λειτούργημα. διὰ γὰρ τοῦτο ἐγένετο ἐνταῦθα καὶ ἡ παροῦσα παρασημείωσις μηνὶ ὀκτωβρίῳ ἰνδ. ς' †.

CLXXII. (6878—1370) 24. iulii. ind. VIII.

Patriarcha metropolitae Varnae committit iura patriarchalia in ea metropoli.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτοῦ γράμματος ἀνατίθησι τῷ ἱερωτάτῳ μητροπολίτῃ Βάρνης, ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, τὴν ἐξαρχίαν καὶ διοίκησιν τῶν παρὰ τὴν ἁγιωτάτην μητρόπολιν αὐτοῦ Βάρναν πατριαρχικῶν καστελλίων, ἤτοι τῆς Γαλιάκρας, τῆς Τρίστρεας, τῆς Κάρναβας, τῆς Κρανέας καὶ τῶν Γερανίων, ὅστις καὶ ὀφείλει ἐπιβλέπειν καὶ ἐπιτηρεῖν ταῦτα καὶ τοὺς εὑρισκομένους ἐν αὐτοῖς ἱερωμένους, μονάζοντας καὶ τὸν λοιπὸν τοῦ κυρίου λαὸν τὸν χριστώνυμον καὶ παραινεῖν καὶ εἰσηγεῖσθαι αὐτοῖς τὰ ψυχωφελῆ καὶ σωτήρια, ὥστε τοὺς μὲν ἱερωμένους τύπον εἶναι καὶ παράδειγμα τῷ λαῷ τῆς ἀγαθῆς πολιτείας, τὸν δὲ λαὸν ὑπείκειν καὶ ὑποτάσσεσθαι τοῖς ἱερεῦσι καὶ μηδὲ ἀνθίστασθαι, μηδὲ ἀντιλέγειν αὐτοῖς, ἐπιμελεῖσθαί τε καὶ φροντίζειν τῶν εἰρημένων πατριαρχικῶν δικαίων καὶ ἀντέχεσθαι τῶν προσόντων αὐτοῖς κτημάτων τε καὶ πραγμάτων καὶ λοιπῶν πάντων δικαίων καὶ πάντα διενεργεῖν ἀκωλύτως τὰ τῆς ἡμῶν μετριότητος δίκαια, ἤγουν ἀναγνώστας σφραγίζειν κ. τ. λ. ἀπελύθη τῇ κδ' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουλίῳ ἰνδ. ηʹ †.

CCLXXIII. (6875—1367) iunio. ind. V.

Hieromonachus Theodosius profitetur, Theodulum post ipsius mortem posse ire in monasterium Nicolai.

† Ἐπειδὴ συνέβη καὶ ὤμοσα δι' αἰτίαν τινά, μὴ ἔχειν εἰς τὸ ἑξῆς ὑπηρετοῦντά μοι καὶ μετ' ἐμοῦ εὑρισκόμενον τὸν, ὃν ἐκούρευσα καὶ ἀνέθρεψα καὶ ἱερέα ἐποίησα, παπᾶν Θεόδουλον, ὕστερον δὲ ἠθέ-

λησα πάλιν ἔχειν αὐτὸν, καὶ ἐξομολογησάμενος τὸν ὅρκον τῷ παναγιωτάτῳ μου δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ἔλαβον συγχώρησιν παρ' αὐτοῦ μετὰ τοῦ τῷ ὅρκῳ προσήκοντος κανόνος ἔχειν αὐτὸν μετ' ἐμοῦ, ἀπῃτήθην δὲ παρὰ τοῦ παναγιωτάτου μου δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἵνα μετὰ τὴν ἐμὴν τελευτὴν μὴ ἔχω ἄδειαν καταλιπεῖν αὐτὸν ἢ ἐν τῷ καθίσματι, ἐν ᾧ εὑρίσκομαι, ἢ ἐν ἄλλῳ οἱῳδήποτε, ἀλλὰ μετὰ ἐντολῆς εἰσαγαγεῖν αὐτὸν εἰς τὴν τοῦ κῦρ Νικολάου σεβασμίαν μονήν. τὸ παρὸν ὑποσχετικόν μου γράμμα ποιῶν ὑπόσχομαι δι' αὐτοῦ τῷ παναγιωτάτῳ μου δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ποιῆσαι πᾶν, ὅπερ μοι παρακελεύεται· εἰ δὲ συμβῇ καὶ ἀθετήσω τι ἀφ' ὧν ὑπόσχομαι, ἵνα ὦ ὑπὸ τὸν ἀφορισμὸν τοῦ παναγιωτάτου μου δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, κληρονομῶ δὲ καὶ τὰς ἀρὰς πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων θεῷ. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσά μου ἔγγραφος ὑπόσχεσις, καὶ ὑπεγράφη καὶ παρ' ἐμοῦ δι' ἀσφάλειαν κατὰ μῆνα ἰούνιον τῆς ε' ἰνδ. †.

† Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Θεοδόσιος καὶ πνευματικὸς πατήρ †.

CCLXXIV. 6875 (1367) iunio. ind. V.

Hieromonachus Theodulus promittit se post obitum Theodosii habitaturum esse in monasterio designando a patriarcha.

† Ἐπειδή με ἐξεδέξατο καὶ πάλιν ὁ πατήρ μου ὁ πνευματικὸς ὁρισμῷ τοῦ παναγιωτάτου μου δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἀπῃτήθην δὲ παρὰ τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, καὶ ὅπερ τὸν πατέρα μου τὸν πνευματικὸν ἀπήτησα, ἤγουν ἵνα μετὰ τὴν τελευτὴν τούτου δὴ τοῦ πατρός μου τοῦ πνευματικοῦ μὴ εὑρίσκωμαι ἐν τῷ καθίσματι, ἐν ᾧ αὐτὸς νῦν εὑρίσκεται, ἢ ἐν ἄλλῳ τινί, ἀλλ' ἀπελθὼν εἰς τὴν τοῦ κῦρ Νικολάου σεβασμίαν μονὴν ὑποταγῶ καὶ εὑρίσκωμαι ἐν αὐτῇ, ἤδη ὑπόσχομαι διὰ τοῦ παρόντος μου γράμματος, ἵνα μετὰ τὴν τελευτὴν τοῦ πατρός μου τοῦδε τοῦ πνευματικοῦ μὴ ἔχω ἄδειαν εὑρίσκεσθαι ἢ ἐν τῷ καθίσματι τοῦ πατρός μου τοῦ πνευματικοῦ ἢ ἐν ἄλλῳ οἱῳδήτινι, ἀλλὰ παραγενόμενος εἰς ἣν ὁρίζει ὁ παναγιώτατός μου δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, σεβασμίαν μονὴν, ὑποταγῶ καὶ εὑρίσκωμαι ἐν αὐτῇ μέχρι τοῦ τῆς ζωῆς μου τέλους. εἰ δὲ βουληθῶ ποτε τῶν καιρῶν τὴν παροῦσάν μου ἔγγραφον ὑπόσχεσιν

ἀθετήσας χωρῆσαι εἰς εὑρεσιλογίας τινάς, ἵνα τῇ ἐμφανείᾳ ταύτης οὐ μόνον καταδικάζομαι, ἀλλὰ καὶ λαμβάνει τὴν ἱερωσύνην μου ὁ παναγιώτατός μου δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσά μου ἔγγραφος ὑπόσχεσις πρὸς τὸν παναγιώτατόν μου δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην. πρὸς τοῖς ἄλλοις ὑπόσχομαι καὶ τοῦτο, ἵνα μηδαμῶς ποτε τῶν καιρῶν ζητήσω πνευματικὸς γενέσθαι. † ἐγένετο ἡ παροῦσά μου ὑπόσχεσις κατὰ μῆνα ἰούνιον τῆς ε' ἰνδ. τοῦ ,ϛωοε' ἔτους †.

† Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Θεόδουλος †.

CCLXXV. (6878—1369) octobri. ind. VIII.

Niphon monachus abiurat errores Barlaam et Acindyni.

† Ἐπεὶ διὰ τὸ εὑρίσκεσθαί με μετὰ τοῦ δυσσεβοῦς Ἰωαννικίου ἐκείνου ὑπωπτεύθην καὶ τὰ ἐκείνου φρονεῖν, ὅθεν καὶ ἀπελήλαμαι καὶ ὀνειδίζομαι σχεδὸν παρὰ πάντων τῶν εὐσεβῶν, διὰ τοῦτο προσελθὼν τῷ παναγιωτάτῳ μου δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ δεηθεὶς τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ ὑπὲρ ἀπαλλαγῆς τοῦ τοσούτου κακοῦ, ἐκείνου μοι τὴν ὁμολογίαν τῆς εὐσεβείας ἀπαλλαγὴν εἶναι ὁρίσαντος, ἤδη καὶ ταύτην ποιῶ, καὶ προηγουμένως μὲν ὁμολογῶ ἔμπροσθεν τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, ὅτι οὐδέποτε οὔτε τὰ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου ἢ ἄλλου τινὸς τῶν ἀπ' ἀρχῆς φανέντων αἱρετικῶν ἐφρόνησα ἢ φρονῶ, ἀλλ' οὐδὲ φρονήσω. διὰ δὲ πλείονα τὴν ἀσφάλειαν λέγω καὶ οὕτως· ἀναθεματίζω καὶ τὸν Βαρλαὰμ καὶ τὸν Ἀκίνδυνον καὶ τοὺς ὁμόφρονας αὐτῶν καὶ πάντα τὰ τούτων συγγράμματα ὡς δυσσεβῆ καὶ πάσης ἀτοπίας ἀνάπλεα, ἰδίως δὲ ἀναθεματίζω καὶ τὸν δηλωθέντα Ἰωαννίκιον ὡς αἱρετικὸν καὶ αὐτὸν ὄντα καὶ ὁμόφρονα τούτων τῶν ἀρχηγῶν τῆς αἱρέσεως, καὶ ἔχω τούτους ὡς καὶ ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία, ὁμολογῶ δὲ καὶ στέργω καὶ πιστεύω, ὅσα καὶ ὁ παναγιώτατός μου δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, καὶ εὔχομαι διὰ τῶν παναγίων αὐτοῦ εὐχῶν καὶ μετὰ ταύτης μου τῆς ὁμολογίας παραστῆναι τῷ τοῦ Χριστοῦ βήματι, ἥτις καὶ γεγονυῖα κατὰ μῆνα ὀκτώβριον τῆς ὀγδόης ἰνδ. ὑπεγράφη διὰ τὸ βέβαιον καὶ τῇ οἰκειοχείρῳ μου ὑπογραφῇ †.

† Νίφον μοναχὸς τὰ ἄνωθεν γεγραμένα στέργον ὑπέγραφα †.

VII.

† Ἀρχὴ τῶν συνοδικῶν παρασημειώσεων τῶν ἀρξαμένων ἐν τῷ παρόντι καταστρώννυσθαι κωδικίῳ, ἐξ ὅτου ὁ τιμιώτατος μέγας χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, πανυπερεντιμότατος κῦρ Γεώργιος ὁ Τρικλίνης, τῷ τοῦ μεγάλου χαρτοφύλακος ἐτιμήθη ὀφφικίῳ παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου κῦρ Φιλοθέου †.

CCLXXVI. (6878—1370) 21. ianuarii. ind. VIII.

Hieromonachus Mancapha condemnatur.

† Μηνὶ ἰανουαρίῳ, κα', ἰνδ. η', ἡμέρᾳ δευτέρᾳ, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κελλίοις τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ τοῖς ἐν τοῖς δεξιοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Ἡρακλείας καὶ προέδρου τῶν ὑπερτίμων καὶ ἐξάρχου πάσης Θράκης καὶ Μακεδονίας, τοῦ Νικαίας καὶ ἐξάρχου πάσης Βιθυνίας Θεοφάνους, τοῦ Χαλκηδόνος ὑπερτίμου καὶ ἐξάρχου πασης Βιθυνίας Ἰακώβου, τοῦ Βρύσεως ὑπερτίμου καὶ προέδρου Κυζίκου Θεοδωρήτου, τοῦ Τραπεζοῦντος ὑπερτίμου καὶ ἐξάρχου πάσης Λαζικῆς Θεοδοσίου, τοῦ Μιτυλήνης καὶ ὑπερτίμου Μαλαχίου, τοῦ Σωζοπόλεως καὶ ὑπερτίμου Νείλου, τοῦ Ἀμασείας ὑπερτίμου καὶ ἐξάρχου Εὐξείνου Πόντου Μιχαὴλ, παρισταμένων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων †.

† Ἐκινήθησαν αἰτιάματα κατὰ τοῦ ἀπὸ τῆς Σηλυβρίας ἐλθόντος καὶ ἐν τῷ εἰς τὴν αὐλὴν τοῦ πριμμικηρίου τῆς αὐλῆς πανσέπτῳ καὶ θείῳ ναῷ ἐξυπηρετουμένου ἱερατικῶς ἱερομονάχου τοῦ Μαγκαφᾶ, ὅτι ἀνδρόγυνον εὑρὼν διά τινα αἰτίαν σκανδαλιζόμενον διέζευξε, πεποιηκὼς γράμμα διαζύγιον, εἶτα καὶ τὸν ἄνδρα γυναικὶ ἑτέρᾳ συνῆψεν, ἐξ ἀφελείας δὲ καὶ ἀνοίας, καὶ αὐτὸς ὁμολογήσας ταῦτα διαπράξασθαι καὶ διὰ τοῦτο καὶ συγγνώμης καὶ συμπαθείας τυχεῖν ἀξιῶν κατεδικάσθη παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων τὴν τῆς ἱερωσύνης γύμνωσιν καὶ καθαίρεσιν, ὅτι τε οὓς ὁ

θεὸς συνέζευξεν, αὐτὸς ἀπ' ἀλλήλων διέστησεν, καὶ ὅτι καὶ μοιχείαν αὐτὸς συνεχώρησε γενέσθαι, τοῦ γάμου συνισταμένου τοῦδε τῷ ἀνδρὶ γυναῖκα ἑτέραν συνάψας καὶ οἰκείᾳ χειρὶ εὐλογήσας, ὡς μὴ ὤφελεν †.

CCLXXVII. (6878—1370) aprili. ind. VIII.

Relatio legatorum de patriarcha Alexandriae.

† Κατὰ μῆνα ἀπρίλλιον τῆς η' ἰνδ. ἀπεστάλημεν παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, πρὸς τὸν ἁγιώτατον πάπαν καὶ πατριάρχην Ἀλεξανδρείας, ἐκείνου τοῦτο ζητήσαντος, καὶ ἐδεξάμεθα λόγους αὐτοῦ διακομίσαι τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ὅτι ἐτάχθη δηλαδὴ παρ' ἐκείνου μνημονεύεσθαι τὸ θεῖον ὄνομα τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ ἐν τῷ ναῷ τῆς ἁγίας Θεοδοσίας· βούλεται δὲ καὶ ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ Εὐεργέτου τοῦτο ποιῆσαι, σφόδρα τοῦτο ἀποδεχόμενος, δειλιᾷ δὲ παρὰ γνώμην τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦτο καταστῆσαι γίνεσθαι, ἐπειδὴ μετὰ τῆς βουλῆς καὶ γνώμης ἐγένετο τῆς κραταιᾶς καὶ ἁγίας αὐτοῦ βασιλείας, ὅτε δ' ἐκεῖνος ἐνταῦθα, θεοῦ διδόντος, παραγένηται, τότε δὴ ἕτοιμός ἐστιν, εἶπε, καὶ τοῦτο μετὰ τοῦ ὁρισμοῦ ἐκείνου καταστῆσαι, καὶ δι' ἀσφάλειαν κατεστρώθη τῷ παρόντι κώδικι καὶ ἡ παροῦσα παρασημείωσις μηνὶ καὶ ἰνδ. τοῖς ἀναγεγραμμένοις †.

CCLXXVIII. (6878—1370) augusto. ind. VIII.

Daniel Critopulos, metropolita partis Ungrovlachiae, promittit, se metropolitae Ungrovlachiae non esse exhibiturum molestiam.

† Ἐπειδὴ θεοῦ εὐδοκίᾳ καὶ χάριτι ὁ παναγιώτατός μου δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος τῶν θειοτάτων ἀρχιερέων ἐβουλήθησαν ἵνα προβιβάσωσί με εἰς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα καὶ χειροτονήσωσι μητροπολίτην μέρους τῆς ἁγιωτάτης μητροπόλεως Οὐγγροβλαχίας, καὶ ἔχοντες δειλίαν τινὰ, μή ποτε μετὰ τὸ χειροτονηθῆναί με ὄχλησιν τὴν ἡντινοῦν προξενήσω τῷ ὄντι ἐκεῖσε μητροπολίτῃ Οὐγγροβλαχίας, καὶ βουληθῶ πάσης τῆς μητροπόλεως κρατῆσαι, ἢ καὶ τὸν μέγαν βοεβόδαν κινήσω ὅλως κατ' αὐτοῦ ἢ καὶ πρὸ τοῦ ἐλθεῖν τὸν μητροπολίτην ἐνταῦθα εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον ἢ καὶ μετὰ τὸ ἐλθεῖν καὶ πάλιν διακριθῆναι

παρ' αὐτῆς, εὑρίσκεσθαι καὶ αὐτὸν εἰς τὴν Οὐγγροβλαχίαν, ἐζήτησαν, ἵνα ποιήσω ὑπόσχεσιν ἔγγραφον· τούτου γε ἕνεκα ἤδη τὴν παροῦσαν ποιῶ, καὶ λέγω καὶ ὑπόσχομαι, μήτε ἐμὲ φανῆναί ποτε τῶν καιρῶν κατὰ τοῦ μητροπολίτου, μήτε τὸν αὐθέντην Οὐγγροβλαχίας παρακινήσει ἡμετέρᾳ, ἀλλὰ στέργειν αὐτὸν καὶ τιμᾶν καὶ ἀγαπᾶν, καὶ κἂν εἴ τι συμβῇ εἰς αὐτὸν, ἤγουν ἢ ἐκεῖ εὑρίσκεσθαι ἢ ἀλλαχοῦ, στέργειν τοῦτο καὶ μὴ ἀντειπεῖν ὅλως ποτὲ, ἀλλ' ἔχειν αὐτὸν, καθὼς μέλλει ἔχειν καὶ ὁ παναγιώτατός μου δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος, ἤγουν εἰ μὲν ἔχουσι καὶ στέργουσιν αὐτὸν μητροπολίτην Οὐγγροβλαχίας, ἵνα ἔχω καὶ ἐγὼ αὐτὸν οὕτως· εἰ δὲ μὴ, φυλάττω πάλιν, ὅπερ ἂν ἡ θεία σύνοδος περὶ αὐτοῦ ψηφίσηται. τούτου γὰρ χάριν καὶ ἡ παροῦσά μου ὑπόσχεσις ἐγεγόνει, καὶ τῇ ἡμετέρᾳ οἰκειοχείρῳ ἐσημειώθη ὑπογραφῇ δι' ἀσφάλειαν μηνὶ αὐγούστῳ ἰνδ. η' †.

† Ιερεὺς Δανιὴλ Κριτόπουλος ὁ δικαιοφύλαξ †.

CCLXXIX. Sine anno.

Hyacinthus, metropolita Ungrovlachiae, rogat patriarcham, ut fratrem ipsius ordinet metropolitam Ungrovlachiae.

† Πιττάκιον τοῦ μητροπολίτου Οὐγγροβλαχίας κῦρ Ὑακίνθου †.

† Παναγιώτατε δέσποτά μου καὶ οἰκουμενικέ. τῷ παναγάθῳ θεῷ παρακαλῶ καὶ τῇ πανυπερευλογημένῃ θεοτόκῳ, τοῦ ἔχειν καὶ κατέχειν καὶ τὸ ἡγιασμένον σκῆνος τῆς μεγάλης ἁγιωσύνης σου ἀπὸ τῆς βοηθείας αὐτοῦ ὁλόκαλα. ὑγιαίνομεν καὶ ἡμεῖς ἀπὸ τῆς βοηθείας τοῦ θεοῦ καὶ διὰ πρεσβειῶν τῆς πανάγνου θεοτόκου καὶ δι' εὐχῶν καὶ ἐντεύξεων τῆς μεγάλης ἁγιωσύνης σου τῷ σώματι, ἀλλ' οὐ καλῶς, ἀσθένεια γὰρ περιέπεσέ μοι δεινὴ, καὶ πάσχω τὰ πολλὰ, καθὼς μέλλεις γνωρίσαι καὶ παρὰ τοῦ ἀδελφοῦ μου, τοῦ Βυδίνης, ἀλλὰ δὴ καὶ παρὰ τοῦ ἀδελφοῦ μου, τοῦ υἱοῦ τῆς μεγάλης ἁγιωσύνης σου, τοῦ δικαιοφύλακος. εἶχον οὖν ταύτῃ καὶ μόνῃ τῇ ἀσθενείᾳ, καὶ ἦν ἐν ἐμοὶ μία μελετὴ, τὸ πῶς δεῖ συνζῆν μετὰ ταύτης. ἐπῆλθέ μοι δὲ αὖθις καὶ ἑτέρα ἀσθένεια, καὶ μεῖζον αὐτῆς τὸ μικρὸν βάρος τῆς μεγάλης ἁγιωσύνης σου, καὶ ἔχω τοῦτο βέλος καρδιακὸν, καὶ τήκει τῇ ψυχῇ

μου διὰ παντὸς, καὶ οὐκ οἶδ' ὅπως ὥρισε ἡ μεγάλη ἁγιωσύνη σου πρὸς ἡμᾶς τοῦτο, ἐπίσταμαι γὰρ ἀκριβῶς, ἐπαρόξυνάν τινες τῇ μεγάλῃ ἁγιωσύνῃ σου καθ' ἡμῶν. καὶ ὁ κύριος συγχωρήσει τὸ ἁμάρτημα αὐτῶν. καύχημα γὰρ θέλει φανεῖν καὶ δόξειν, ὅτι ἐσυνέτυχόν ποτε τὸν μέγαν βοεβόδαν ὑπὲρ τῆς μεγάλης ἁγιωσύνης σου ἔκδοσιν καὶ φιλίαν αὐτῆς. καὶ διὰ τοῦτο πάσχω καὶ ὑβρίζομαι ἀρτίως εἰς τὸ γῆράς μου παρὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὡς ἀθετητὴς καὶ περιφρονητὴς αὐτῆς. τὸ πῶς οὐκ ἦλθον, δέσποτά μου ἅγιε, κατὰ πρῶτον ἐνταῦθα κατὰ τὸν ὁρισμὸν τῆς μεγάλης ἁγιωσύνης σου, ἐμπόδισέ μοι ὁ βοεβόδας, προβαλλόμενος τὸ μῆκος τῆς ὁδοῦ καὶ τὸ δέος τοῦ φόβου, καὶ διὰ τοῦτο οὐδὲν ἦλθον εἰς προσκύνησιν τῆς μεγάλης ἁγιωσύνης σου, ἀρτίως δὲ διὰ τὴν ὑπερβολικὴν ἀσθένειαν ἧς ἔχω, ἀργὸς γάρ εἰμι εἰς τὸ καθόλον καὶ ἀνενέργητος. αὐτόθι γὰρ καταλαμβάνει ὁ ἀδελφός μου, ὁ δικαιοφύλαξ, καὶ υἱὸς τῆς μεγάλης ἁγιωσύνης σου, εἰς προσκύνησιν αὐτῆς ἀπεσταλμένος παρὰ τοῦ υἱοῦ τῆς μεγάλης ἁγιωσύνης σου, τοῦ μεγάλου βοεβόδα, καὶ τῶν ἀρχόντων αὐτοῦ, ὡς ἵνα πληρώσῃ τοῦτον καὶ χαρίσηται καὶ εὐλογήσῃ εἰς ἀρχιερέα πάσης Οὐγγροβλαχίας, βουλὴ δὲ καὶ θέλησις καὶ συγχώρησις παρ' ἐμοῦ. καὶ μέλλει γνωρίσαι δι' αὐτοῦ τὰ περὶ ἡμῶν. παρακαλῶ οὖν τὴν μεγάλην ἁγιωσύνην σου, ἵνα συγχωρήσῃς ἡμῖν διὰ τὸν κύριον, ὅτι ἐν πολλῇ ἀσθενείᾳ κατάκειμαι, καὶ μὴ ὑπερίδῃς τὴν δέησιν ἡμῶν εἰς τὸ γῆράς μου τὸ βαθὺ καὶ τῆς ἀσθενείας μου τὸ σκληρόν. αἱ εὐχαὶ τῆς μεγίστης ἁγιωσύνης σου ἔστωσάν μοι διὰ παντὸς φυλακτήριον †.

CCLXXX. (6879—1370) novembri. ind. IX.

Ioannes Platynteres profitetur, episcopum Acheloi veniam esse adeptum a metropolita Ioanninorum.

† Ἐγὼ Ἰωάννης ἱερεὺς ὁ Πλατυντέρης λέγω καὶ ἀσφαλίζομαι ἐνώπιον τοῦ παναγιωτάτου δεσπότου ἡμῶν, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ὁ ἐπίσκοπος Ἀχελόου συνεχωρήθη παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Ἰωαννίνων, καὶ ἐλύθη τοῦ ἀφορισμοῦ, ὃν ἐπήγαγεν αὐτῷ. εἰ δὲ εὑρεθείη ὕστερον, ὅτι οὐ συνεχώρησεν αὐτῷ, ἵνα καταδικάζωμαι εἰς τὴν ἱερωσύνην μου. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις δι' ἀσφάλειαν μηνὶ νοεμβρίῳ ἰνδ. Θ' †.

† Ἰωάννης ἱερεὺς ὁ Πλατυντέρης †.

CCLXXXI. (6879—1370) novembri. ind. IX.

Anthimus nominatur metropolita partis Ungrovlachiae.

† Ἡ γεγονυῖα συνοδικὴ πρᾶξις ἐπὶ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ Οὐγγροβλαχίας †.

† Ἔφθασε μὲν πρὸ χρόνων ἤδη τινῶν ὁ ἱερώτατος μετροπολίτης Βιτζύνης μετατεθεὶς συνοδικῇ ψήφῳ καὶ ἐπικρίσει πατριαρχικῇ εἰς μητροπολίτην Οὐγγροβλαχίας, ζητησάντων τῶν ἀρχόντων ἐκείνου τοῦ τόπου τοῦτο καὶ τῶν ἐκεῖσε χριστιανῶν τὸ παρὰ τῆς μεγάλης καὶ καθολικῆς ἐκκλησίας δοθῆναι αὐτοῖς ἀρχιερέα εἰς πνευματικὴν ἐπιστασίαν καὶ ψυχικὴν ὠφέλειαν, ὡς ἂν παρ' αὐτοῦ καλῶς τε καὶ θεαρέστως ποιμαίνοιντο, καὶ πρὸς τὰς σωτηρίους ἡγοῖντο νομάς· τοῦ δὲ καιροῦ προϊόντος, ἐπεὶ, τοῦ ἔθνους ἐκείνου τοῦ τόπου πολλοῦ τυγχάνοντος καὶ ἀπείρου σχεδὸν, οὐκ ἔστιν εἷς μόνος ἀρχιερεὺς ἱκανὸς πρὸς τὸ τοσοῦτον ἔθνος ὥστε δύνασθαι πνευματικῶς αὐτοὺς ἐπισκέπτεσθαι καὶ διδάσκειν τὰ ψυχωφελῆ καὶ σωτήρια, κἀντεῦθεν ἐδέησε καὶ ἕτερον ἀρχιερέα χειροτονηθῆναι τοῦ τόπου ἐκείνου, ζητησάντων ὁμοίως καὶ τοῦτο τῶν ἀρχόντων ἐκείνων, συγκατατεθέντος καὶ τοῦ πρότερον ὄντος ἐκεῖ καὶ μέχρι τοῦ νῦν εὑρισκομένου ἀρχιερέως, ἐξελέγη εἰς τὴν προστασίαν ταύτην ὁ τιμιώτατος δικαιοφύλαξ κῦρ Δανιὴλ, ἀνὴρ ἀξιόλογος καὶ εὐλαβὴς καὶ ἐνάρετος, ἱκανὸς χάριτι Χριστοῦ καὶ ἁρμόδιος εἰς τὸ μέγα τοῦτο ἀξίωμα, καὶ συνέσει καὶ ἀρετῇ διαπρέπων, οὗ τῆς ἀρετῆς καὶ τῶν λοιπῶν ἀγαθῶν πεῖραν σχόντες οἱ ἐν ἐκείνῳ τῷ τόπῳ ἄρχοντες ὁμοῦ καὶ ἀρχόμενοι, γράμμασιν ἰδίοις τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν καὶ μεγάλην σύνοδον παρεκάλεσαν, ὥστε εὐδοκῆσαι καὶ δωρήσασθαι τοῦτον αὐτοῖς ἀρχιερέα, ὃς καὶ ἐχειροτονήθη ψήφῳ συνοδικῇ καὶ ἐπικρίσει τῆς ἡμῶν μετριότητος μητροπολίτης μέρους Οὐγγροβλαχίας, δηλονότι τοῦ ἡμίσεως, ἔχοντος ἀρχιερέα τὸν μετατεθέντα πρότερον ἀπὸ Βιτζύνης· ὀφείλει τοίνυν ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης μέρους Οὐγγροβλαχίας καὶ ὁ πέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς καὶ συλλειτουργὸς τῆς ἡμῶν μετριότητος, ὁ μετονομασθεὶς μοναχὸς κῦρ Ἄνθιμος, ἐπιλαβέσθαι καὶ κατασχεῖν τὴν ἐκκλησίαν ταύτην καὶ διδάσκειν τὸν ἐν αὐτῇ χριστώνυμον τοῦ κυρίου λαὸν καὶ παραινεῖν καὶ εἰσηγεῖσθαι

τὰ ψυχωφελῆ καὶ σωτήρια, ἀναγνώστας τε σφραγίζειν κ. τ. λ. καθέξει γε μὴν ὁ τοιοῦτος καὶ τὸν τόπον τοῦ Μελιτηνῆς, ὃν καὶ ἀπὸ τοῦ .νῦν ἕξει ἔν τε στάσεσι καὶ καθέδραις ταῖς μετὰ τῆς ἱερᾶς καὶ μεγάλης συνόδου καὶ πανταχοῦ. τούτου γὰρ χάριν ἀπολέλυται τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ μέρους Οὐγγροβλαχίας, ὑπερτίμῳ καὶ τὸν τόπον ἐπέχοντι τοῦ Μελιτηνῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος, καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. Θ' †.

CCLXXXII. (6879—1370) novembri. ind. IX.

Ioannicius, metropolita Mocisi, promittit, se mansurum esse in sua ecclesia.

† Ἐγὼ ὁ ταπεινὸς μητροπολίτης Μωκισοῦ Ἰωαννίκιος ὑπόσχομαι ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, ἵνα μὴ φανῶ ποτε καταλιπεῖν τὴν ἐκκλησίαν μου καὶ ἄλλοσε διάγειν, ὥσπερ ἐποίουν τοῦτο καὶ πρότερον, ἐπίσκοπος Νύσης εὑρισκόμενος, ἀλλ' εὑρίσκωμαι ἐν τῇ ἐκκλησίᾳ μου, τὸ ἐμπιστευθέν μοι λογικὸν τοῦ Χριστοῦ ποιμνίον ὅση μοι δύναμις διδάσκειν· εἰ δὲ φανείην ποτὲ καταλιπεῖν τὴν ἐκκλησίαν μου καὶ ἄλλοθι εὑρίσκεσθαι, ἵνα χειροτονῆται ἄλλος παρὰ τοῦ παναγιωτάτου μου δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς ἱερᾶς καὶ μεγάλης συνόδου μητροπολίτης εἰς τὴν ἐκκλησίαν μου, τὴν Μωκισόν, ἐγὼ δὲ ἐκβέβλημαι ἐκεῖθεν καὶ ἀποδιώκωμαι. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσά μου ἔγγραφος ὑπόσχεσις, ὑπογραφεῖσα διὰ πλείονα τὴν ἀσφάλειαν καὶ παρ' ἐμοῦ μηνὶ νοεμβρίῳ ἰνδ. Θ' †.

† Ὁ ταπεινὸς μητροπολίτης Μοκισοῦ καὶ ὑπέρτιμος Ἰωαννίκιος †.

CCLXXXIII. (6879—1370) novembri. ind. IX.

Synodus Athanasio, metropolitae Caesareae Cappadociae, per adiunctionem confert metropolim Nazianzi.

CCLXXXIV. (6879—1370) novembri. ind. IX.

Ioannicius, episcopus Nyssae, in metropolim Mocisi transfertur.

CCLXXXV. (6879—1370) novembri. ind. IX.

Patriarcha metropolitae Caesareae Cappadociae confert iura episcopalia in ecclesiis Tyanorum et Mocisi sede vacante curanda.

† Προτροπὴ εἰς τὸν Καισαρείας †.

† Ἡ μετριότης ἡμῶν ἐκχωρεῖ καὶ ἄδειαν δίδωσι τῷ ἱερωτάτῳ μητροπολίτῃ Καισαρείας, ὑπερτίμῳ τῶν ὑπερτίμων καὶ ἐξάρχῳ πάσης Ἀνατολῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ αὐτῆς καὶ συλλειτουργῷ, ὡς ἂν εἴπερ συμβαίη καὶ χηρεύοι τις τῶν δύο μητροπόλεων, ἤγουν τὰ Τύανα ἢ ἡ Μωκισός, καὶ δεήσοι, ἱερουργῇ οὗτος ἐν αὐτῇ καὶ χειροτονῇ κατὰ τοὺς κανόνας καὶ κατὰ τὴν ἐπικρατήσασαν ἄνωθεν εἰς ταῦτα ἐκκλησιαστικὴν συνήθειαν, μέχρις ἂν γένηται γνήσιος ἐν ταύτῃ ἀρχιερεύς. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ τὸ παρὸν προτρεπτήριον γράμμα τῆς ἡμῶν μετριότητος αὐτῷ δὴ τῷ ἱερωτάτῳ μητροπολίτῃ Καισαρείας †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ νοεμβρίῳ ἰνδ. Θ′ †.

CCLXXXVI. (6879—1370) 20. novembris. ind. IX.

Metropolitae Caesareae et Mocisi mittuntur in ecclesiam Iconii, in qua Tagaris quidam iura episcopalia sibi arrogaverat.

† Προτροπὴ εἰς τὸν Καισαρείας καὶ τὸν Μωκισοῦ †.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος ἀνατίθησι τοῖς ἱερωτάτοις μητροπολίταις, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῖς ἀδελφοῖς αὐτῆς καὶ συλλειτουργοῖς, τῷ τε Καισαρείας Καππαδοκίας, ὑπερτίμῳ τῶν ὑπερτίμων καὶ ἐξάρχῳ πάσης Ἀνατολῆς, καὶ τῷ Μωκισοῦ, ὑπερτίμῳ, ὡς ἂν ἀπελθόντες εἰς τὴν ἐνορίαν τῆς ἁγιωτάτης μητροπόλεως Ἰκονίου ἐρευνήσωσιν ἀκριβῶς καὶ ἐξετάσωσι καὶ εὕρωσι πάντας τοὺς ὑπὸ τοῦ ἀλιτηρίου τάχα μοναχοῦ, μᾶλλον δὲ ψευδομονάχου καὶ υἱοῦ τοῦ διαβόλου, τοῦ Τάγαρι, χειροτονηθέντας ὅθεν ἱερεῖς καὶ διακόνους ἢ καὶ ἀναγνώστας, ὃς τὸν διάβολον ἔνοικον κτη-

σάμενος ἐν τῇ ἰδίᾳ ψυχῇ ἀρχιερέως καὶ σχῆμα καὶ ὄνομα ἑαυτῷ περιθεὶς, ὁ πάσης ἀσχημοσύνης καὶ ἀκαταστασίας πεπληρωμένος, πολλοὺς ἀπεπλάνησε καὶ ἠπάτησεν, ὥστε καὶ πεῖσαι αὐτοὺς ὡς ἀρχιερεῖ προσέρχεσθαι καὶ ἁγιάζεσθαι παρ' αὐτοῦ, ταῖς ἀληθείαις δὲ μιαίνεσθαι καὶ ψυχικὴν εὑρίσκειν ἀπώλειαν. ὀφείλουσιν οὖν οἱ ῥηθέντες ἱερώτατοι μητροπολῖται ἐξετάσαι καὶ εὑρεῖν τούτους πάντας καὶ ἀργῆσαι αὐτοὺς τελείως, ἵνα μηδέποτε τολμήσωσιν ἱερατικόν τι διαπράξασθαι. πῶς ἂν ὅλως ἱερωσύνης μεταδοίη τινὶ ὁ μηδαμῶς ἀξιωθεὶς ποτε ταύτης, μηδὲ σφραγῖδα ἔχων ἱερατικοῦ τινος ἀξιώματος, μᾶλλον δὲ καὶ τὴν τοῦ Χριστοῦ σφραγῖδα παρωσάμενος καὶ τῷ διαβόλῳ σημειωθεὶς; ἔσονται οὖν ἀργοὶ παντελῶς οὗτοι καὶ τῆς ἱερωσύνης ἄμοιροι μετὰ βάρους φρικώδους ἀφορισμοῦ, ἕως ἂν μετ' ὀλίγον γένηται γνήσιος ἀρχιερεὺς καὶ διαπράξηται ἐν αὐτοῖς, ὅσον ἂν διακρίνοι συνοδικῶς ἡ μετριότης ἡμῶν. εἰ δὲ ἀναγκάζονται παρά τινων, ὅτι ὑπὸ ἀπάτης ἐπλανήθησαν, καὶ διὰ τοῦτο εἴπερ εἰσὶν ἄξιοι, ὀφείλουσι χειροτονηθῆναι παρ' αὐτῶν, οὐ δίδωσιν ἄδειαν ἡ μετριότης ἡμῶν ποιῆσαι τοῦτο· ὅταν δὲ ἀπέλθῃ ὁ γνήσιος ἀρχιερεὺς, τότε γενήσεται, ὃ πρέπει. οἱ δὲ πρότερον ὄντες ἱερεῖς καὶ ὑπὸ ἀπάτης συλλειτουργήσαντες τῷ ἀλιτηρίῳ ἐκείνῳ ἔστωσαν συγκεχωρημένοι, ἐπεὶ ἀγνοοῦντες ἐποίησαν τοῦτο. εἰ δὲ γενήσεται χρεία, ἵνα χειροτονηθῶσιν ἄλλοι τινὲς ἱερεῖς καὶ διάκονοι, ἐκχωρεῖ καὶ ἄδειαν δίδωσιν ἡ μετριότης ἡμῶν τῷ ἱερωτάτῳ μητροπολίτῃ Μωκισοῦ, ἵνα ἱερουργήσῃ καὶ χειροτονήσῃ αὐτοὺς μετὰ τῆς ἀκριβοῦς πρότερον ἐρεύνης καὶ δοκιμασίας καὶ τῶν μαρτυριῶν καὶ ἐξετάσεων. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ἀπελύθη τῇ κ' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ νοεμβρίῳ ἰνδ. θ' †.

CCLXXXVII. (6879—1370) 6. novembris. ind. IX.

Monachus quidam Arsenius condemnatur.

† Καθαίρεσις τοῦ ἀπὸ τῆς μονῆς τοῦ ἁγίου Λαζάρου Ἀρσενίου μοναχοῦ †.

† Μηνὶ νοεμβρίῳ, ς', ἡμέρᾳ τετράδι, ἰνδ. θ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κελλίοις τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ τοῖς ἐν τοῖς δεξιοῖς κατηχου-

μενείοις, συνεδριαζόντων αὐτῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Νικαίας, τοῦ Σωζοπόλεως, τοῦ Κοτυαείου καὶ τοῦ ὑποψηφίου τοῦ Ἰκονίου, ἐλαλήθησαν αἰτιάματα κατὰ τοῦ ἱερομονάχου Ἀρσενίου τοῦ ἀπὸ τῆς μονῆς τοῦ ἁγίου καὶ δικαίου Λαζάρου, ὡς εἰσῆλθεν εἴς τινος ἀνθρώπου ὁσπήτιον, μηδενὸς ὄντος ἐκεῖ, καὶ μετὰ τῆς ἁγίας λόγχης ἀνοίξας τὸ σενδούκιον ὑφείλετο ἐξ ἐκείνου ῥοῦχά τινα καὶ ἁγίαν εἰκόνα τοῦ τιμίου Προδρόμου κεκοσμημένην, ἀφ' ἧς ἀποσπάσας τὸν κόσμον, τὴν μὲν ἁγίαν εἰκόνα ἔρριψεν εἴς τι μέρος τοῦ ναοῦ τοῦ μοναστηρίου, τὸν δὲ κόσμον εὑρέθη κατέχων ἐν τῷ κόλπῳ αὐτοῦ, τὰ δὲ ῥοῦχα ἔθηκε κάτωθεν τῆς ἁγίας τραπέζης. παρόντος δὲ καὶ αὐτοῦ καὶ ἀπὸ στόματος αὐτοῦ ἐξειπόντος καὶ ἀνομολογήσαντος ταῦτα πάντα ἄνευ τοῦ μετὰ τῆς ἁγίας λόγχης ἀνοῖξαι τὸ σενδούκιον, διεγνώσθη συνοδικῶς κατὰ τὸν κανόνα τῶν ἁγίων ἀποστόλων, τὸν λέγοντα· εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἐπὶ πορνείᾳ ἢ ἐπιορκίᾳ ἢ κλοπῇ ἁλοὺς καθαιρείσθω, καθηρημένον τὸ ἀπὸ τοῦδε εἶναι αὐτὸν καὶ ἀποτετμημένον τοῦ τῶν ἱερέων χοροῦ, ἔχειν δὲ μόνον τὴν τοῦ ἀναγνώστου τάξιν. καὶ εἰς δήλωσιν κατεστρώθη ἐνταῦθα ἡ τῆς καθαιρέσεως αὐτοῦ ἀπόφασις †.

CCLXXXVIII. (6879—1370) novembri. ind. IX.

Synodus Niphoni, praesuli Cotyai, per adiunctionem confert ecclesias: Synnadam, Hierapolim et Chonas.

CCLXXXIX. (6879—1370) 1. decembris. ind. IX.

Monachus Macarius fit abbas monasterii Krytzos dicti, quod est in urbe Magnesia.

† Ἔνταλμα ἡγουμενικὸν ἐπὶ τῇ τοῦ Κρύτζους μονῇ †.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος καθίστησι δι' αὐτοῦ τὸν μοναχὸν Μακάριον καθηγούμενον τῆς ἐν τῇ Μαγνησίᾳ σεβασμίας βασιλικῆς καὶ πατριαρχικῆς μονῆς τῆς εἰς ὄνομα τιμωμένης τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τὸ Κρύτζος, ὅστις καὶ ὀφείλει ἡγουμενικῶς ταύτης προΐστασθαι καὶ προηγουμένως μὲν νουθετεῖν καὶ παραινεῖν καὶ εἰσηγεῖσθαι τοῖς ἐν ταύτῃ ἀσκουμένοις κ. τ. λ. ὀφείλει μέντοι τοιοῦτος ὁ

καθηγούμενος πέμπειν εἰς τὸ πατριαρχικὸν κελλίον τὸ κανονικὸν δίκαιον καὶ τὰ κανίσκια. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος τῷ διαληφθέντι εὐλαβεστάτῳ καθηγουμένῳ, τῷ μοναχῷ Μακαρίῳ. ἀπελύθη τῇ α' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ δεκεβρίῳ ἰνδ. θ' †.

CCXC. (6879—1370) decembri. ind. IX.

Synodus episcopum Acheloi transfert in metropolim Corinthi.

CCXCI. (6879—1371) 21. martii. ind. IX.

Ioannes Paraspondelus condemnatur.

† Ἡ καθαίρεσις τοῦ Παρασπονδήλου †.

† Μηνὶ μαρτίῳ, κα', ἰνδ. θ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κελλίοις τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ τοῖς ἐν τοῖς δεξιοῖς κατηχουμενείοις ἐλαλήθη κατὰ τοῦ πάπα Ἰωάννου τοῦ Παρασπονδήλου, ὅτι πολλάκις λειτουργῶν οὐδὲν ἐκοινώνει, ἀλλ' ἐῶν τὸ ἅγιον ποτήριον ἐμπεπλησμένον ποτὲ μὲν ἐκάλει παιδίον, καὶ ἐσκόμιζεν αὐτό, ποτὲ δὲ καὶ ἠφίη τοῦτο οὕτως, καὶ ἕτερον, ὅτι ἐν τῷ ναῷ τοῦ ὁσίου καὶ δικαίου Ζωτικοῦ, ἐν ᾧ εὑρίσκετο αὐτὸς ἐξυπηρετῶν ἱερατικῶς, ἐξελθόντος αὐτοῦ καὶ εἰσελθὼν ἕτερος ἱερεύς, Στυλιανὸς λεγόμενος, εὗρεν ὄπισθεν τῆς ἁγίας τραπέζης ἐν λάκκῳ τινὶ ἐρριμμένους ἁγίους ἄρτους ἑπτά. παρὼν δὲ καὶ αὐτὸς καὶ τούτων ἐπακροώμενος καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπεὶς πρῶτον μὲν ἠρνεῖτο ταῦτα πάντα, ἔπειτα μαρτύρων ἱερωμένων παραγενομένων καὶ ἀπελεγξάντων αὐτὸν, ὡς εὗρον ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ ἅγιον ποτήριον ἐμπεπλησμένον, μηδεμίας μερίδος δεούσης, ὁμοίως καὶ τοῦ εἰρημένου ἱερέως τοῦ Στυλιανοῦ μαρτυρήσαντος ἐνώπιον αὐτοῦ, ὡς μετὰ τὸ ἐξελθεῖν αὐτὸν εὗρεν ἐκεῖνος τοὺς ἑπτὰ ἁγίους ἄρτους ἐρριμμένους κατὰ γῆς, ὡμολόγησεν, ὅτι τότε μόνον οὐκ ἐκοινώνησε τῶν θείων μυστηρίων, ὅτε εὗρον τὸ ἅγιον ποτήριον οἱ προειρημένοι ἱερεῖς ἐμπεπλησμένον, ἐπεὶ ἀφ' ἑσπέρας τῇ γυναικὶ αὐτοῦ συνελθὼν τὸ πρωΐ ἐπελάθετο, καὶ ἱερουργῶν διεμηνύθη τοῦτο παρὰ τῆς γυναικὸς αὐτοῦ, καὶ μὴ ἔχων ἄλλο τι ποιῆσαι ἀφῆκε τὸ ἅγιον ποτήριον οὕτως. τὸ δὲ ἦν ψεῦδος. διεγνώσθη τοίνυν τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ ἱερᾷ συνόδῳ τῶν

ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Νικαίας, τοῦ Βρύσεως, τοῦ Ἰκονίου, τοῦ Σωζοπόλεως, τοῦ Κοτυαείου καὶ τοῦ ἀρχιεπισκόπου Δέρκω, καθηρημένον εἶναι αὐτὸν τὸ ἀπὸ τοῦδε καὶ ἀποτετμημένον τοῦ χοροῦ τῶν ἱερέων, δυσσέβεια γὰρ ἐλογίσθη τοῦτο τῇ ἱερᾷ συνόδῳ. καὶ εἰς δήλωσιν κατεστρώθη ἐνταῦθα ἡ τῆς καθαιρέσεως αὐτοῦ ἀπόφασις †.

CCXCII. (6879—1371) 12. maii. ind. VIII.

Synodi decretum de incantationibus.

† Μηνὶ μαΐῳ, ιβ', ἰνδ. η, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς δεξιοῖς κατηχουμενείοις τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Νικαίας, τοῦ Βρύσεως, τοῦ Χαλκηδόνος καὶ τοῦ Σωζοπόλεως καὶ δὴ καὶ τοῦ ὑποφηφίου Βάρνης †.

† Ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, θεοῦ εὐδοκίᾳ καὶ χάριτι εἰς τὸν ὑψηλὸν τῆς πατριαρχείας θρόνον ἐπανελθών, οὐκ ἐπαύσατο νύκτα τε καὶ ἡμέραν, ἀγρυπνίαις ἑαυτὸν ἐκδοὺς καὶ πόνοις καὶ καμάτοις ἑτέροις, ποῦ δὲ καὶ κινδύνοις ὑπὲρ τῶν ἑκασταχοῦ τῆς οἰκουμένης χριστιανῶν, ποῦ μὲν τούτων ὑπερευχόμενος καὶ διδάσκων τὰ θεοφιλῆ καὶ ψυχωφελῆ, ὡς λόγον ὑπὲρ αὐτῶν ἀποδώσων, τῆς ἀποστολικῆς ἐκείνης καὶ μακαρίας μεμνημένος φωνῆς, οὐχ ἥκιστα δ' ἐν τῇ μεγάλῃ ταύτῃ καὶ βασιλίδι τῶν πόλεων, τῇ θεοδοξάστῳ Κωνσταντινουπόλει, προὔργου παντὸς ἐποιεῖτο, εὐσέβειάν τε τὸ μέγιστον ἀνθεῖν καὶ παρρησιάζεσθαι καὶ ταύτην ταῖς ἁπάντων ἐναποκεῖσθαι ψυχαῖς, ἐπεὶ καὶ πηγὴν καὶ ῥίζαν ταύτην τῆς εὐσεβείας καὶ κεφαλὴν ὁ λόγος οἶδε καλεῖν, ὡς ἐντεῦθεν ἑκασταχοῦ τῆς τῶν χριστιανῶν γῆς μεταπεμπομένης, ὡς ἐκ πηγῆς τὸ νᾶμα καὶ ῥίζης οἱ βλάστοι καὶ κεφαλῆς ἡ τοῦ λοιποῦ σώματος σύστασις. οἶδε γὰρ, ὡς εἰ τῆς εὐσεβείας οὕτω καλῶς καὶ κατὰ τὸ προσῆκον ἀνθέξονται, ταύτῃ καὶ τὰς ἄλλας τῶν ἀρετῶν ἐποικοδομήσουσιν ἐργασίας, καὶ τὰς τοῦ κοινοῦ πολεμίου μηχανὰς κακῶς ἀναφυομένας τῇ δυνάμει τοῦ πνεύματος ἐκτεμοῦσι, καὶ εἰς τὸ μηδὲν ἀφανίσουσιν. καὶ τοῦτο μὲν οὕτως ὁ παρὰ θεοῦ προστάτης τῆς ἐκκλησίας καὶ κραταιὸς τῆς

πίστεως πρόμαχος καὶ φροντιστὴς τῶν χριστιανῶν ἀδιάλειπτος τελῶν ἦν, πολλῷ δὲ τῷ τῆς διδασκαλίας ῥείθρῳ τὰς ἁπάντων ἀρδεύων καθ' ἡμέραν ψυχὰς καὶ δεῖν ἑτοίμους εἶναι πρὸς τὰς τοῦ πονηροῦ μεθοδείας διδάσκων ἀνθίστασθαι καὶ πάντας πείθων, μὴ τοῖς τούτου σοφιστικοῖς ἁλίσκεσθαι δελεάσμασιν. ὁ δὲ τῆς ἐναντίας ἐκείνης γενόμενος μοίρας τῶν ζιζανίων σπορεύς, ἐπείπερ οἶδε τὰς μὲν ἑαυτοῦ μηχανὰς καὶ κακουργίας, αἷς πάλαι τὴν ἀρχὴν καὶ μέχρι τοῦ δεῦρο τὸ χριστιανικὸν μεταστρέφων γένος ἐχρήσατο, τῇ θεϊκῇ δυνάμει καταργηθείσας, καὶ ἃς κατήνεγκεν αἱρέσεις καὶ κακοδοξίας καὶ σχίσματα καὶ καινοφωνίας καὶ πλάνας παντοίας, τὴν δ' ἐκκλησίαν τῇ τοῦ Χριστοῦ χάριτι εἰρήνην ἄγουσαν σταθηρὰν καὶ γαλήνην καὶ τὰ μὲν ἴδια τέκνα πάντοθεν περιθάλπουσαν καὶ τῷ τῆς εὐσεβείας τρέφουσαν γάλακτι, τὰ δέ γε ξένα καὶ πόρρω που διεστῶτα προκαλουμένην τε καὶ συνάγουσαν, τὴν ἁλμυρὰν δόξαν τῆς ἀσεβείας ποτίμοις τῆς εὐσεβείας ἀποκλυζομένην ῥήμασιν, νῦν πρὸς τὸ τελευταῖον καὶ μεῖζον κακὸν, τὰς γοητείας δηλονότι καὶ μαγείας καὶ ἐπῳδὰς τὸ ταλαίπωρον γένος τῶν ἀνθρώπων ὁ ἀντικείμενος ἐκκλῖναι ἀντιτεχνᾶται, καὶ τῆς νόσου μεταδίδωσι ταύτης καὶ τοῦ φαρμάκου τοῖς ἁπλουστέροις τε καὶ ἀκεραιοτέροις καὶ ἀφυλάκτως ἐξ ἀπροσεξίας βιοῦσιν, ὅθεν καὶ ἄνδρας καὶ γύναιά τινα πονηρὰ ὑπέβαλεν ὁ ἐχθρὸς μαγείαις τε προσκειμένας καὶ ἀπὸ κοιλίας μαντικὰς φλυαρίας καὶ διαβολικὰς φθεγγομένας καὶ πάσης ἀσεβείας μεστὰς, εἰς ἀθέτησίν τε τῆς ὀρθοδόξου καὶ εὐσεβοῦς τῶν χριστιανῶν πίστεως καὶ εἰς ἀπάτην καὶ πλάνην καὶ ψυχικὸν αὐτῶν ὄλεθρον, οὐ μὴν ἀλλὰ καί τινες ἕτεροι παρεσύρησαν, οἵτινες δὴ καὶ παρεσύρησαν, εἰς τὴν πλάνην ταύτην καὶ τὴν ἀπάτην. ἦν οὖν ἡ τοιαύτη ἀσέβεια πρὸς καιρὸν κρυπτομένη καὶ λανθάνουσα, ὀψὲ δὲ ταύτης καταφανοῦς γενομένης καὶ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἀνέμαθε, καὶ ὅσην ἀπώλειαν τὰ τοιαῦτα τοῖς χρωμένοις εἰδὼς ἐργάζονται, ὅλος τε περιαλγὴς ἐγεγόνει, καὶ τὴν ψυχὴν ἐπλήγη, καὶ φανεροὺς τούτους γενέσθαι διὰ φροντίδος κατὰ τὸ εἰκὸς ἐποιήσατο, καὶ τῶν τῆς ἐκκλησίας ἀρχόντων τοὺς κρείττονας μετακαλεσάμενος, τοὺς τοιούτους εὑρεῖν διὰ πάσης παρεκελεύσατο τῆς σπουδῆς, οἳ καὶ μετ' ἐπιμελείας εὑρόντες ἅπαντάς καὶ γράψαντες ἐν καταστίχῳ, τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ φέροντες ἐνεχείρισαν. καὶ σκέψις ἦν περὶ τούτου, τί ποτ' ἂν ἐπὶ τούτοις ἄρα καὶ γένηται. ἐν

ὅσῳ δὲ ταῦτα ἐπράττετο, ἀνήρ τις, ἐπιστὰς τῶν γνωρίμων, τοῦ ψευδομονάχου καὶ ἀσεβοῦς Φουδούλη κατηγορῶν ἦν, τοῦτον λέγων τῶν σατανικῶν ἔργων· τούτων διδάσκαλον, καί τινα ποιεῖν ἔργα, ἃ οὐδὲ ὁ διάβολος αὐτὸς ποιήσειν ἴσχυσεν, οὐ μὴν οὐδὲ ἐνεθυμήθη γε πώποτε, καὶ γυναῖκας ἀποπλανᾶν καὶ πρὸς τὸν ἑαυτοῦ ἕλκειν ἔρωτα, αἳ καὶ τοὺς ἰδίους ἄνδρας καὶ τὰ τέκνα καταλιμπάνουσαι ζητοῦσιν ἐκεῖνον, καὶ τὸ μιαρὸν ἀεὶ τούτου ἐπὶ γλώττης φέρουσιν ὄνομα. τὰ γοῦν τοῦ ἀσεβοῦς τούτου Φουδούλη ὅθεν τε ὥρμητο καὶ τίς ἡ ἐναγὴς αὐτοῦ καὶ ἀκάθαρτος πολιτεία, μακρὸν ἂν εἴη διεξελθεῖν, πολλῶν καὶ ἀπείρων ὄντων καὶ οὐδὲ γλώσσῃ φορητῶν ἐξειπεῖν, μήτοι γε καὶ ἀκοῦσαι τῶν φιλοχρίστων τινὰ καὶ πιστῶν. ἓν δὲ τοῦτο πάντας εἰδέναι χρὴ, ὡς οὐδὲ τῶν ἀσεβῶν τις καὶ τῆς ἡμετέρας πίστεως ἀλλοτρίων ἢ τῶν νῦν ἢ καὶ τῶν ἐπὶ κακίᾳ πάλαι ποτὲ μνημονευομένων τοιαῦτα πράξειν τετόλμηκε πώποτε. οἰκεῖν δὲ τοῦτον τούτῳ τῷ τρόπῳ νῦν ἐν τῇ Κωνσταντινουπόλει συνέβη, ὅτι περ ἔφθασεν οὗτος πρὸ καιροῦ τῇ συνόδῳ πεμφθεὶς μετὰ καὶ τῶν αὐτοῦ κατηγοριῶν, ὃς δὴ καὶ παραστὰς τὴν ἐξομολόγησιν ὑπεκρίθη καὶ τὴν μετάνοιαν, καὶ τοὺς κανόνας καὶ τὰ ἐπιτίμια κατὰ τὴν ἱερὰν ἐδέξατο τῶν θείων πατέρων διαταγήν· οὗτος οὖν ἐν ταῖς μιαραῖς αὐτοῦ βίβλοις αὐτίκα μεταπεμφθεὶς καὶ πόθεν ἔσχε ταύτας ἐρωτηθεὶς, παρ' ἰατροῦ τινος τοῦ Συροπούλου ἀπελογήσατο καὶ αὐτοῦ τούτου πρὸ χρόνων ἐπὶ μαγείαις ἁλόντος καὶ τῇ ἱερᾷ καὶ θείᾳ συνόδῳ τὰς ὑποσχέσεις ἐγγράφως δι' οἰκείων ἀποδόντος χειρῶν, αἳ μηδέποτε τῶν καιρῶν ἐπὶ τοιούτοις φωραθῆναι τοῦτον διεμαρτύροντο. ὡς δὲ κἀκεῖνος ὁμοίως αὐτίκα μεταπεμφθεὶς ἅμα ταῖς μαγικαῖς αὐτοῦ βίβλοις καὶ τίς ὁ καὶ τούτῳ πάλιν παρασχὼν αὐτὰς ἠρωτήθη, (χθὲς γὰρ καὶ πρότριτα δημοσίᾳ τὰς ἐκείνου μαγικὰς βίβλους ἔργον πυρὸς, ὡς ἐχρῆν, πεποιήκεσαν), καὶ αὐτὸς παρά τινος τοῦ Γαβριηλοπούλου σχεῖν ὡμολόγησεν, ἄπιστον ἔδοξε τοῦτο καθάπαξ καὶ συκοφαντία σαφὴς κατὰ τοῦ Γαβριηλοπούλου, καὶ ψεῦδος ἐτύγχανε, καὶ γὰρ οὗτος ἄσιτος τὰ πολλὰ διατελῶν καὶ τὴν κατὰ θεὸν πτωχείαν ἑλόμενος, νηστείαις δὲ καὶ ἀγρυπνίαις σχολάζων καὶ προσευχαῖς, ἃ δὴ πάντα καὶ τοὺς τῆς ἐκκλησίας καὶ τοὺς ἄλλους πάντας ἁπλῶς μέγαν εἶναι τοῦτον καὶ τοῦ θεοῦ ἀνέπειθεν ἄνθρωπον. ταῦτα δὲ, ὡς ἔδοξεν ὕστερον, ἀπάτη καὶ ψεῦδος ἄντικρυς καὶ ὑπόκρισις ἦν. ὡς δ' ὁ Συρόπουλος διαβολῇ χρῆσθαι κατ' ἐκείνου ἐμάνθανε, μεταπεμφθῆναι

καὶ τοῦτον ἐπεβόα, καὶ αὐτὸ δείξειν τὸ πρᾶγμα φανερῶς ἔλεγεν, ὅθεν καὶ τῶν τῆς ἐκκλησίας ἀρχόντων τινὲς ἀπεστάλησαν, καὶ τοῦτον, ὦ δίκη, τὸν ἀνόσιον σὺν ταῖς μαγικαῖς αὐτοῦ βίβλοις ἁρπάσαντες ἤγαγον, εἶχε δὲ ταύτας ἐκεῖνος ὡς μαργάρους, ὡς θησαυροὺς κατακεκλεισμένους ἐν σενδουκίοις. καὶ τί ταῦτα; πρὸς αὐτὸν ἡ θεία σύνοδος ἀπεκρίνατο, ὦ μιαρέ σὺ καὶ τῆς ἀπωλείας υἱέ, διὰ ταῦτα αἱ ἀγρυπνίαι σου, αἱ νηστείαι σου, τὸ περὶ τὰς ἑορτάς σου φιλότιμον καὶ ἡ πενία καὶ ἡ εὐτέλεια; τίς ἡ τοσαύτη πλάνη καὶ ἡ ὑπόκρισις. ὡς δὲ διαβολὰς συναίρειν καὶ προφάσεις ἀσυστάτους τε καὶ ψευδεῖς, ὡς δῆθεν ὑπὲρ τούτων ἀπολογούμενος, ἤρξατο, τοῦτον μὲν σιγὴν ἄγειν ἐπέτρεψαν, τὰς δὲ μιαρὰς αὐτοῦ βίβλους ἀνέλιττον, ἐν αἷς καὶ τὸ πολυθρύλλητον ἐπ' ἀσεβείᾳ ἡ Κοιραννὶς ἦν, εἶτα καὶ τετράδιόν τι πάσης ἀσεβείας πλῆρες εὑρέθη, δαιμόνων ἐπικλήσεις ἔχον καὶ ἐπῳδὰς καὶ ὀνόματα, γραφὲν παρὰ τοῦ πρὸ μικροῦ γεγονότος πρωτονωταρίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, πάπα Δημητρίου τοῦ Χλωροῦ, καὶ συνταγὲν παρ' αὐτοῦ πόνῳ πολλῷ καὶ μόχθῳ ἀπὸ βιβλίων ἑτέρων μαγικῶν, προηγουμένως τῆς τε Κοιραννίδος αὐτῆς, καὶ πολλῶν ἄλλων ἀτόπων καὶ μιαρῶν, οὐδὲ γὰρ εἶχε τὸ πρωτότυπον ἐν, ὡς αὐτὸ τὸ πρᾶγμα φανερῶς ἐμαρτύρησε. καὶ λόγον δοῦναι τὸν Χλωρὸν παραστάντα τῷ τότε τῇ συνόδῳ ἀπῄτησαν, ὃς καὶ μηδὲν μηδόλως ἀνακαλυφθῆναι τοὺς ἀσεβεῖς ἑαυτοῦ βουλόμενος λογισμούς, οὐδὲ γὰρ ὁ τῆς ψυχῆς αὐτῷ τοσοῦτον ἔμελε κίνδυνος, πρὸς τὰς τῶν ἰατρῶν κατέφευγε βίβλους, αὐτὰς ταῦτα φάσκειν διατεινόμενος. εἶτα συνόδου πάλιν συγκροτηθείσης καὶ ἅπαξ καὶ δὶς, καὶ τῶν ἰατρῶν οἱ κρείττονες μετεπέμφθησαν, καὶ εἰς ἐπήκοον πάντων τὸ τοιοῦτον ὑπανεγνώσθη τετράδιον, ὃ δὴ καὶ φρίκην πᾶσι παρεῖχε καὶ φρενῶν ἔκστασιν, καὶ τὸ θέατρον ἅπαν ἐσείετο τότε, τῶν δαιμόνων ὀνόματα καὶ τὰς τούτων μανθάνον αἰσχρὰς ἐπῳδὰς, καὶ διαρρῆξαι τοῦτον τὸ πλῆθος σὺν τοῖς ἰατροῖς ἐβούλετο τὸν κατάρατον, τὸν γὰρ Χλωρὸν ἰδόντες οἱ τῆς ἰατρικῆς τέχνης εἴπερ τινὲς ἕτεροι σοφοὶ καὶ εἰδήμονες οὗτοι καὶ τὰς αὐτῆς βίβλους καθ' ὥραν σχεδὸν ἀναγινώσκοντές τε καὶ μετερχόμενοι, οὕτω τὴν ἰατρικὴν ὑβρίζοντα τέχνην τὴν ἱερὰν καὶ τὸν Ἱπποκράτην συν τῷ Γαληνῷ μάγους ἀποκαλοῦντα καὶ τούτους γράφειν αὐτὰ ταῦτα καὶ ἑτεράττα συκοφαντοῦντα καὶ λέγοντα καὶ τῇ θείᾳ συνόδῳ τὰς βίβλους ταύτας τοῦτον διακομίσαντὰ πρὸς παράστασιν, ἀναστάντες

ἡμεῖς, ὡς ὁρᾶτε, πρὸς βαθὺ γῆρας ἥκομεν, θειότατοι δεσπόται καὶ ἁγιώτατοι, ἔφησαν, καὶ τοσούτοις ἔτεσι τῇ τέχνῃ ταύτῃ καὶ τοῖς περὶ αὐτὴν συγγραφαμένοις εὐσεβέσιν ἀνδράσι καὶ ἕλλησιν ἐπιμείναντες, καὶ πολλοὺς τῶν νέων πρὸς ταύτην χειραγωγήσαντες, οὔτε τι τοιοῦτον εἴδομεν, οὔτε τις ἐξ ἡμῶν ἔμαθε, καὶ πᾶσαν τὴν πόλιν ταύτην ἔχομεν μάρτυρας, ὡς οὐδέπω μέχρι τοῦ νῦν ἐκστάς τις ἑαυτοῦ πρὸς τοσοῦτον ἀσεβείας θάρσος ἐλθεῖν ἔδοξεν, ὡς μικρὰ τῆς ἑαυτοῦ σωτηρίας φροντίσαι καὶ τὴν μὲν εὐσέβειαν οὕτω φανερῶς ἐξομόσασθαι, τῷ διαβόλῳ δὲ προσελθεῖν διὰ τούτων, ἐπειδήπερ οὐκ ἰατρικῆς ταῦτα, πράξεις δὲ μᾶλλον ἐκείνου καὶ ἔργα, καὶ τοῦτον ἑαυτῷ καθηγητήν τε καὶ διδάσκαλον ἐπιστῆσαι. ἐπεὶ δὲ καὶ τούτων ἀκούων ὁ Χλωρὸς οὐκ ἐπείθετο, ἀλλ' εἰ καὶ τούτοις δώσομεν γράφειν. τί πρὸς σὲ, τὸν τῆς καθ' ἡμᾶς ἐκκλησίας τρόφιμον, καὶ δοκοῦντα τάχα χριστιανὸν, καὶ λόγου καὶ σοφίας ἁψάμενον ἑλληνικῆς, ὡς μὴ ὤφελεν; ἡ θεία σύνοδος ἀπεκρίνατο ἔπειτα· νῦν ἔχεις αὐτὸς τὴν ἀρχὴν, καταφρονήσας τῆς ἐκκλησίας καὶ τῶν πολλῶν συνθηκῶν καὶ τῶν ὑποσχέσεων, ἃς ἐγγράφως πρὸς αὐτὴν ἔδωκας. οὐκ οἶδας, ὡς ἐφωράθης πρὸ χρόνων τὰ τῶν νέων τούτων αἱρετικῶν τε καὶ κακοδόξων φρονῶν, τοῦ τε Βαρλαὰμ καὶ τοῦ Ἀκινδύνου, διάκονος τῷ τότε τελῶν, καὶ τὰ ἡμέτερα, ὡς ἐδόκεις, πρεσβεύων; καὶ τὴν ὁμολογίαν οἰκειοχείρως ἐγγράφως παρέσχες, διαβολὴν ἀποκαλῶν κατὰ σοῦ καὶ συκοφαντίαν ἐκεῖνα· ἢ οὐκ οἶδας, ὡς μετὰ μικρὸν προσελθὼν τοῖς Λατίνοις, παρ' ἐκείνων ἀνήχθης εἰς τὸν τοῦ πρεσβυτέρου βαθμὸν, καὶ τὴν τοῦ θεοῦ ἐκκλησίαν ἐδίωξας, ὕβρεις φέρων κατ' αὐτῆς δημοσίᾳ, εἴς τε τὴν Ῥώμην, εἰς τὸν Πάππαν, καὶ οἷς ἂν ἐνέτυχες χριστιανοῖς καὶ ἔθνεσιν ἄλλοις, πάντας τοὺς τῆς ἐκκλησίας ὑπερβαλὼν ἐχθρούς τε καὶ πολεμίους; ἀλλ' ἡμεῖς, ἅτε φιλάνθρωπον καὶ συμπαθῆ κεκτημένοι δεσπότην, ἰδόντες σε πάλιν καταγνόντα μὲν ἑαυτοῦ καὶ τῆς τῶν Λατίνων θρησκείας, καὶ ὡς δῆθεν γνησίως μετανοοῦντα, ὡς ἡ σὴ πάλιν ἔγγραφος ὁμολογία κατὰ μέρος διέξεισι, καὶ ἀνελαβόμεθα καὶ ἠγκαλισάμεθα καὶ ἠὐφράνθημεν, εἶτα καναστρίσιον ὄντα σε καὶ εἰς τὸ τοῦ πρωτονωταρίου προεβιβάσαμεν ὀφφίκιον. ἀλλ' οὐκ ἔκρινεν ὁ τοῦ θεοῦ ἀλάθητος ὀφθαλμὸς λανθάνειν ἐς τέλος τοιοῦτον ὄντα σε, ἀλλ' ὡς ψωριῶντα μακρὰν ἀπορρῖψαι τῆς ἀγέλης αὐτοῦ· ἰδοὺ γὰρ ὅπερ ἐκάλυπτες σὺ τὴν ἀρχὴν, φανερῶς ἀνωμολογήθη, μὴ τὰ τῶν χριστιανῶν πρεσβεύων, τὰ τῶν

ἑλλήνων δὲ μᾶλλον, φανερῶς λατρεύων τοῖς δαίμοσι. καὶ νῦν οὐκ ἐκφεύξῃ τῆς δίκης, κἂν εἴ τι καὶ πάθοις, ἀνόσιε σύ. τούτων οὖν ὁ Χλωρὸς ἀκούσας καὶ φοβηθείς· εἰ ἔστι πάλιν μετάνοια, νῦν καθαρῶς προσέρχομαι τῇ ἐκκλησίᾳ θεοῦ, ἀπεκρίνατο, δάκρυα χέων, τὰ στήθη τύπτων καὶ τὸν ἔλεον προσκαλούμενος. πᾶσαν καὶ γὰρ δόξαν, ἣν εἶχον ἐναντίαν ἀποβαλὼν, ἤδη προσέρχομαι καθαρῶς, ἔφασκεν. ὅθεν καὶ τούτῳ πάλιν ἡ θεία καὶ ἱερὰ σύνοδος ἅμα τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ἐπικαμφθεῖσα διέκρινε καὶ ἀπεφήνατο, γυμνὸν μὲν εἶναι καὶ ἐστερημένον πάσης ἐκκλησιαστικῆς ἀξίας τε καὶ τιμῆς, μηδὲν μηδόλως ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀπολαύσων ποτὲ τῶν καιρῶν ἢ κλήρου ἢ ὀφφικίου τινὸς ἢ τόπου ἐν τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, ἢ ὅλως ἐν ὁποιᾳδήποτε τάξει αὐτῆς εἰσαχθῆναι, ἀσφαλισθῆναι δὲ μᾶλλον καὶ περιορισθῆναι ἐπὶ χρόνοις ἐν τῇ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκου τῆς Περιβλέπτου, ἔνθα εὑρίσκεται ἔχων καὶ κελλία καὶ ἀδελφάτον, μήτε ὁρῶν τινας, μήτε ὁμιλῶν, καὶ τότε κἂν ὡς χριστιανὸν ἁπλῶς δέξασθαι τοῦτον, ὅταν κλαύσῃ καὶ συντριβῇ καὶ εἰς αἴσθησιν, ἧς ἐκπεπτώκει δόξης, ὁ ταλαίπωρος ἔλθῃ, καὶ τὸν τοιοῦτον ἐκπληρώσῃ κανόνα, ἐκποιήσασθαι δὲ καὶ ἃς ἔχει ἑλληνικὰς βίβλους καὶ μηδὲ τολμῆσαι ὅλως ἢ ἐντὸς τοῦ μοναστηρίου ποτὲ ἢ καὶ ἐκτὸς διδάσκειν παῖδας, ὡς καὶ πρότερον, κἂν εἴ τι καὶ γένηται. καὶ τοῦτον μὲν οὕτως. τοὺς δὲ προρρηθέντας τρεῖς τούτους ἄνδρας, Συρόπουλόν τε καὶ Γαβριηλόπουλον καὶ δὴ καὶ Φουδούλην τὸν ψευδομόναχον, ὡς πολλάκις καὶ τούτους ἐπὶ τούτοις καὶ ἄλλοις ἀσεβέσιν ἁλόντας τολμήμασι, καὶ τούτων ἀφεστάναι καὶ τὸν μετάμελον ἐπιδεῖξαι βουλομένους μηδέποτε καὶ ταῦτα μετὰ πολλὰς τὰς ὑποσχέσεις ἐκείνας καὶ τὰς συνθήκας, φθορὰν δὲ μᾶλλον τοῖς ἁπλουστέροις καὶ ψυχικὸν παρέχοντας ὄλεθρον, τῆς βασιλίδος ταύτης ἐξορισθῆναι τῶν πόλεων καὶ δὴ καὶ πάσης τῆς τῶν πιστῶν γῆς, ἐν ᾗ κατοικοῦσι χριστιανοί, τὰ τῶν εὐσεβῶν ἔργα διαπραττόμενοι ἐψηφίσαντο, ὡς τοῦ χριστιανικοῦ παντὸς γένους λύμην καὶ τὰ τῆς εὐσεβείας ἀνατρέποντάς τε καὶ καταλύοντας ἄντικρυς ταῖς δαιμονικαῖς ἐπικλήσεσι ταύταις καὶ γοητείαις καὶ ταῖς μαγείαις. ἐπεὶ δὲ καί τινες τῶν πιστῶν τοῖς θεοστυγέσι προσίασι τούτοις καὶ ἀποβλήτοις καὶ τὰ τῆς τοιαύτης αὐτῶν κακίας καὶ ἀσεβείας δυστυχῶς ἀνεμάξαντο, κἀντεῦθεν εἰς τὸ

τῆς ἀπωλείας καὶ οὗτοι κατεσπάσθησαν βάραθρον, καὶ τούτους ἀναμαθεῖν ἡ θεία σύνοδος ἐβουλήθη καὶ τούτοις καταλλήλως ἐπιθεῖναι τὰ φάρμακα. τῶν γοῦν τριῶν τούτων ὁ Συρόπουλος κρατηθεὶς εἶπέ τινας, ὧν ἐμέμνητο φανερῶς, καὶ ἀνωμολόγησεν, οἳ προσελθόντες αὐτῷ τῇ μαγικῇ τούτου τέχνῃ ἐχρήσαντο, οἳ καὶ γραφέντες ἐν καταστίχῳ πρὸς τὴν ἱερὰν ἐπέμφθησαν σύνοδον. ἦσαν δὲ οὗτοι· ἔφθασέ ποτε κατηγορηθεὶς ὁ τοῦ πριμμικηρίου τῶν ἀναγνωστῶν υἱὸς τοῦ Παραδείσου, παπᾶς Ἰωάννης ὁ Παράδεισος, ἐπ' ἐγκλήματί τινι, καὶ τῇ ἱερᾷ καὶ θείᾳ παρέστη συνόδῳ τῷ τότε, καὶ ἀκριβεῖ τὰ κατὰ τοῦτον ἐδόθη βασάνῳ, καὶ τῆς ἱερωσύνης ἐπὶ καιρὸν ἐπεσχέθη, τοῦ ἐγκλήματος ἐκείνου μὴ μείζονα τὴν κατ' αὐτὸν κόλασιν ἀπαιτοῦντος· καὶ μήτε τὴν καταδίκην ταύτην ὡς ἀπὸ θεοῦ κρίνας εἶναι, μήτε μὴν ὑπολογισάμενος, ὡς εἰκότως ἡ κατ' αὐτὸν ἀπόφασις ἐξηνέχθη, κατολιγωρήσας ἀπῆλθεν εἰς τὸν Συρόπουλον, καὶ ἀπὸ τῆς παρ' αὐτοῦ κακοτεχνίας αὐτῷ βοηθήσειν ἐζήτησεν, ὃς καὶ σχῆμά τι δαιμονικὸν ἐγχαράξας ἐν χάρτῃ ἐνεχείρισε τούτῳ τῷ ταλαιπώρῳ, εἰπών· λάβε τοῦτο, καὶ κάτεχε, ὅτε τῇ συνόδῳ μέλλεις παρασταθῆναι, ζητῶν τὴν συγχώρησιν, καὶ βεβαίαν ἔχε πληροφορίαν, ὡς συγχωρηθήσῃ, καὶ τῆς αἰτήσεως οὐκ ἂν ἀποτύχῃς. ἦλθεν οὖν ὁ Παράδεισος, καὶ τῇ συνόδῳ παραστὰς ἐδεῖτο καὶ παρεκάλει, καὶ τὴν πολλὴν αὐτοῦ πτωχείαν καὶ ἔνδειαν πρὸς ἔλεον ἔφερε, καὶ μετὰ δακρύων συμπαθείας τυχεῖν ἐζήτει, ᾧ καὶ ἐπικαμφθέντες οἱ ἱερώτατοι ἀρχιερεῖς ἅμα τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ καὶ αὐθέντῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ὁμοῦ μὲν ὡς πτωχῷ καὶ ταλαιπώρῳ, ὁμοῦ δὲ καὶ ὡς τὸν καιρὸν τῆς ἀργίας αὐτοῦ ἐκπληρώσαντι, συνεχώρησαν, πάλιν τοῦτον ἱερουργεῖν, διδάξαντες αὐτὸν καὶ παραινέσαντες, ὅσα εἰκὸς ἦν φυλάττειν, καὶ ὧν δεῖ ἀπέχεσθαι· καὶ κατελθὼν ὁ Παράδεισος τῷ Συροπούλῳ τὰς εὐχαριστείας ἀπένειμε. τούτου γοῦν οὕτως ἀναφανέντος, ὁ Παράδεισος μετεκλήθη, καὶ ἐπειδήπερ ἀντιλέγων ἦν, μετεκλήθη καὶ ὁ Συρόπουλος, καὶ τὸν ἑαυτοῦ χάρτην λαβών, ἔκεντο γὰρ ἐπ' ἐδάφους αἱ μαγικαὶ τούτου βίβλοι σὺν ταῖς ἑτέρων, ἔφη πρὸς τὸν Παράδεισον· οὐ τοῦτο τὸ σχῆμα ἐν χάρτῃ παρ' ἐμοῦ ἔλαβες, καὶ ἀπελθὼν εἰς τὴν σύνοδον συνεχωρήθης, ὡς ὕστερον ἐμοὶ μετὰ ταῦτα δεδήλωκας; πῶς νῦν τὴν ἀλήθειαν διαβάλλεις, καὶ ψεύστην καὶ συκοφάντην ἀποδεῖξαί με φιλονεικεῖς; ὑπὸ γοῦν τῶν λόγων τούτων ἀπελεγχθεὶς ὁ Παράδεισος ὡμολόγησε καὶ

τοῦτο πεποιηκέναι, παρὰ τῆς μητρὸς ἀπατηθείς. ἐπὶ τούτοις τοῦ Παραδείσου φανερῶς ἀπελεγχθέντος καὶ δημοσίᾳ, πάντες γὰρ σχεδὸν οἱ ἐν τῇ βασιλίδι ταύτῃ παρῆσαν τῶν πόλεων, διέγνω καὶ ἀπεφήνατο ἡ θεία καὶ ἱερὰ τῶν ἀρχιερέων ὁμήγυρις ἅμα τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, γυμνὸν εἶναι τοῦτον καὶ ἐστερημένον πάσης ἱερατικῆς ἀξίας τε καὶ τιμῆς καὶ ἀργὸν εἰς τὸ παντελὲς καὶ καθῃρημένον, μηδέποτε τῶν τῆς ἱερωσύνης τι τῶν ἁπάντων ἐνεργῆσαι τολμήσαντα, ὡς τῷ διαβόλῳ προσελθόντα καὶ τῇ ἐκείνου τέχνῃ χρησάμενον καὶ μαθητὴν ἐκείνου γενέσθαι τὸν πρὶν τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν ἐθελήσαντα. ταῦτα τοῦ Παραδείσου τούτου μαθόντος καὶ πενθήσαντος ἐπὶ πολὺ καὶ δακρύσαντος καὶ μετὰ δύο ἡμέρας τῆς συνόδου πάλιν συγκροτηθείσης καὶ αὐτοῦ παραστάντος καὶ ἐπιβοωμένου καὶ τὸν ἔλεον δυστυχῶς μετακαλουμένου, οἱ ἱερώτατοι ἀρχιερεῖς αὐτὰ ταῦτα τὰ προλεχθέντα κατ' αὐτοῦ ἀπεφήναντο, καὶ ταῦτα ἐπεκύρωσαν καὶ ἐπεψηφίσαντο. μοναχός τις ἀπὸ τῆς σεβασμίας μονῆς τῆς πανυπεράγνου δεσποίνης ἡμῶν θεοτόκου τῆς Ὁδηγητρίας, ὁ παπᾶς Ἰωάσαφ, συνεφθείρετο μετά τινος μοναχῆς ἀπὸ τῆς σεβασμίας μονῆς τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Ἀνδρέου τοῦ ἐν τῇ κρίσει, καὶ ἰδὼν αὐτὴν συλλαβοῦσαν καὶ κατὰ γαστρὸς ἔχουσαν, βουλόμενος λανθάνειν καὶ μηδαμῶς ἀνακαλυφθῆναι τὸ πάθος, ὥσπερ ἂν εἰ καὶ τοὺς ὀφθαλμοὺς ἐλάνθανε τοῦ θεοῦ, εὑρέ τινα μηχανὴν, δι' ἣν μὴ δῆλα τὰ κατ' αὐτὸν γεγονέναι καὶ καταφανῆ ἐλογίσατο. τὸ δὲ διαβολικός τις ἦν λογισμὸς καὶ τέχνη καὶ ἔργον ἐκείνου τοῦ καὶ τὴν πρώτην ἐκείνην παρανομίαν ἐργασαμένου. ἦλθε γὰρ οὗτος εἰς τὸν Συρόπουλον καὶ δοὺς αὐτῷ σάκτιον ἓν, ὑελοβίκιον Ἀλεξανδρῖνον, καὶ ὑπέρπυρα πέντε, ἔλαβέ τι παρ' αὐτοῦ εἶδος, ὃ καὶ διεκόμισε τῇ μοναχῇ, ἵνα τοῦτο πιοῦσα φθείρῃ τὸ ἔμβρυον· ἡ δὲ τοῦτο ποιήσασα ἔρριψεν ἐκεῖνο κατὰ γαστρὸς, καὶ οὔτε τὰ τῆς ἁμαρτίας ἐγνώσθη, οὔτε μὴν τοῦτο τὸ τολμηθέν. διὰ τοῦτο καὶ μέχρι τοῦ νῦν τὰ τῆς ἱερωσύνης ὁ παπᾶς Ἰωάσαφ ἀνακεκαλυμμένῳ προσώπῳ διενεργῶν ἦν· ὡς δὲ καὶ ὁ παπᾶς Ἰωάσαφ παρέστη, καὶ τὸν Συρόπουλον εἶχε πρὸ ὀφθαλμῶν ἐλέγχοντα καὶ τὰ παρ' αὐτοῦ δοθέντα ἐκείνῳ βουλόμενον ἀγαγεῖν, ἐπειδήπερ ἀντιλέγειν ἐπιχειρήσας οὐκ εἶχε δυνάμεως, πεσὼν ἐπ' ἐδάφους, ἥμαρτον, ἁγιώτατοι δεσπόται καὶ θειότατοι, ἔφησε, νῦν ἔγνων, ὅσην ἀπώλειαν προξένουν τῇ ἐμῇ ταλαιπώρῳ

ψυχῇ· εἰ γὰρ ἐπὶ τῳ παρόντι κριτηρίῳ ἱστάμενος οὕτω φοβοῦμαι καὶ τρέμω καὶ τὴν ψυχὴν αὐτὴν σχεδὸν ἀποβάλλομαι, τί ποτ' ἂν ἄρα καὶ πάθω, ὅτε τῷ ἀδεκάστῳ κριτῇ παραστήσομαι, δίκην δώσων τῶν παρ' ἐμοῦ πεπραγμένων; τούτων ἕνεκα ἀληθῆ τὰ παρὰ τοῦ Συροπούλου ταῦτα λαληθέντα ὁμολογῶ, καὶ τῇ μοναχῇ ταύτῃ συνεφθειρόμην, καὶ τοῦ ἐμβρύου ἐκείνου φονεὺς αὐτὸς ἐγεγόνειν, καὶ νῦν ἤδη προσέρχομαι καὶ ἀνακαλύπτω τὸ πάθος, καὶ πᾶν, ὅπερ τοῖς ἱεροῖς καὶ θείοις κανόσι καὶ ὑμῖν δοκεῖ, διαπράξασθε. ταῦτα τοῦ παπᾶ Ἰωάσαφ οὕτως ἀνενεγκόντος ἡ θεία σύνοδος ἅμα τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ἀπεφήνατο, μόνης τῆς ἱερωσύνης τοῦτον ἀπογυμνωθῆναι καὶ εἰς ἅπαντα τὰ παρ' αὐτοῦ τολμηθέντα μόνην ταύτην ἀρκετὴν εἶναι τὴν τιμωρίαν, ἐπειδήπερ οὐκ ἀπὸ μικροῦ τινος ἀπηλλοτρίωτο ἀξιώματος, ἀλλὰ τοῦ ἱερατικοῦ σεμνώματος ἐξέπεσεν ὁ ταλαίπωρος, τοῦ χοροῦ τῶν ἱερέων ἀπετμήθη, καὶ μακρὰν ἀπερρίφη τῆς δόξης, ἣν εἶχε, καὶ τοῦ πολλοῦ ἀξιώματος. γυνή τις τῶν πλουσίων, Ἐξωτροχῖνα καλουμένη, ἄνδρα λαβεῖν ἐβούλετο τῶν ἐνδόξων, κἀπειδήπερ οὐκ ἐτύγχανε τοῦ ποθουμένου, ἐπῳδαῖς καὶ μαγείαις ἑλκύσαι τοῦτον ὑπενοήσατο, καὶ μαθοῦσα, ὡς ὁ παπᾶς Ἰάκωβος, ὁ τῆς Ἀμαρανθίνης ἐκείνης εἴδησιν ἔχων εἰς ταῦτα καὶ πεῖραν ἀκριβῆ, καὶ αὐτῇ βοηθήσειν εἴπερ τις δύναται, διεμηνύσατο τούτῳ, καὶ αὐτοῦ πρὸς τὴν οἰκίαν αὐτῆς παραγεγονότος, αὕτη τὸν σκοπὸν αὐτῆς ἐξεῖπε καὶ διηγήσατο, καὶ ὑπέρπυρα πέντε αὐτῷ ἐδεδώκει, καὶ ἕτερα παρασχεῖν ὑπεσχέθη, καὶ βεβαίαν ἔλαβε παρὰ τούτου πληροφορίαν, καὶ ἐν ἐλπίσιν ἦν ἀγαθαῖς· ὡς δὲ ὁ παπᾶς Ἰάκωβος τὰ ὑπέρπυρα δεξάμενος ἀπῆλθε, καὶ ὁ διάβολὸς οὐκ ἴσχυσε, καὶ ὁ χρόνος παρήρχετο, αὕτη τῷ παπᾷ Ἰακώβῳ διά τινος γραὸς ἐμήνυε, καὶ τὰ ὑπέρπυρα ἐζήτει ἀγανακτήσασα, ὁ δὲ ὑπέσχετο, καὶ τῇ γυναικὶ ἔλεγεν· εἰπὲ τῇ κυρίᾳ, μὴ ἀγανακτεῖν, μηδὲ ἀθυμεῖν, ἀλλ' ὅπερ ζητεῖ, γενήσεται μετ' ὀλίγον. καιροῦ οὖν πλείστου παρῳχηκότος, ἐπειδήπερ εἶδεν ἐκείνη τοῦτον μηδὲν ὠφελοῦντα, κατηγορήσασα τούτου τῷ Συροπούλῳ διεμηνύσατο, καὶ τὴν τοῦ παπᾶ Ἰακώβου κακοτεχνίαν ἐδήλωσεν. καὶ ὁ Συρόπουλος ταῦτα πρὸς τὴν ἱερὰν καὶ θείαν ἐξεῖπε σύνοδον. διεμηνύθη τοίνυν καὶ ὁ παπᾶς Ἰάκωβος, καὶ παραγενόμενος καὶ τούτων πάντων ἀκούων εἶπεν, ὡς ἀπῆλθε μὲν εἰς τὴν τῆς Ἐξωτροχίνης οἰκίαν, ὡς δὲ τὸν σκοπὸν αὐτῆς ἤκουσεν, ὅτι οὐκ ἦν εὐσεβής, φυγεῖν ἐβουλήθη, ἡ δὲ

τοῦτον κατηνάγκασε περιμεῖναι, καὶ ὑπέρπυρα πέντε τάχα χάριν οὗ ἐζήτει αὐτῷ ἐδεδώκει, καὶ μὴ θέλων ἔλαβε, καὶ ἀπῆλθεν, ἃ δὴ καὶ ἐξωδίασεν, ἐπειδὴ πτωχός ἐστι, καὶ μὴ ἔχων ἀποδοῦναι ὑπέσχετο, οὐ μὴν δὴ καὶ ἔργον τι ἐπεπράχει. πρὸς ἅπερ καὶ ἀπεφήνατο ἡ θεία σύνοδος ἅμα τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ὡς οὐκ ἔδει τοῦτον λαβεῖν τὰ ὑπέρπυρα, οὐδὲ αὐτοῖς οὐσὶν ἀκοῦσαι τὸ ἐκείνης ζήτημα, ἀλλὰ μᾶλλον διδάξαι καὶ νουθετῆσαι καὶ παραινέσαι, ἐπειδήπερ καὶ χριστιανός ἐστι καὶ μοναχὸς καὶ ἱερεὺς, καὶ πεῖσαι κατὰ πάντα τρόπον αὐτὴν, μηκέτι ποτὲ τοιοῦτόν τινα λογισμὸν ἐνθυμηθῆναι, ταῦτα γὰρ ἀσεβοῦς ἔργα καὶ διαβόλου εἰσὶν ἄντικρυς· ἐπείδὴ δὲ καὶ ὑπέρπυρα ἐδέξατο ἀπ' αὐτῆς, καὶ τὸν ἐκείνης ὅλως ἐδέξατο λόγον, ἔδειξεν, ὅτι καὶ τὰ ὑπέρπυρα διὰ τοῦτο ἐδέξατο, καὶ αὐτὸς ὑπεσχέθη ποιήσειν, τίνα γὰρ δύναμιν εἶχεν ἡ Ἐξωτροχῖνα, ὥστε τὰ ὑπέρπυρα καὶ ἄκοντος αὐτοῦ τούτῳ δοῦναι καὶ πεῖσαι τοῦτον λαβεῖν; διὰ τοῦτο καὶ ἀργὸν εἶναι τοῦτον τῆς ἱερωσύνης καὶ καθῃρημένον παντελῶς ἀπεφήναντο, καὶ μηδέποτε ἐφ' ὅρῳ πάσης αὐτοῦ τῆς ζωῆς τι τῶν τῆς ἱερωσύνης ἐνεργῆσαι ὅλως τολμῆσαι, ἐπειδήπερ ἔδοξε ταῖς μαγικαῖς κακοτεχνίαις προσκεῖσθαι, ἃ δὴ προφανῶς ἔργα σατανικὰ, μήτοι γε χριστιανοῦ καὶ τῶν τοῦ μοναχικοῦ βίου, εἶτα καὶ τῶν τὸ ὑψηλὸν τοῦτο καὶ μέγα ἐχόντων τῆς ἱερωσύνης ἀξίωμα.

CCXCIII. (6882—1374) februario. ind. XII.

Antonius quidam abiurat Latinorum errores.

† Ἐπεὶ ἐκ Μουσουλμάνων ὢν ἐβουλήθην ἵνα προσέλθω τῇ τῶν χριστιανῶν πίστει, καὶ παρασυρεὶς οὐ προσῆλθον τῇ ἁγιωτάτῃ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ καὶ τοῖς ὀρθοῖς δόγμασιν αὐτῆς, ἀλλὰ τῇ ἐκκλησίᾳ τῶν Λατίνων, καὶ χρόνον πολὺν ἐκεῖ καρτερήσας κατέγνων ἐκείνων, καὶ δι' ἅπερ βλασφημοῦσι καὶ δοξάζουσι περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, καὶ δι' ἅπερ ἔχουσιν ἔθιμα αὐτῶν, ἀπῃτήθην δὲ δοῦναι ὁμολογίαν ἐγγράφως παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, ἤδη τοῦτο ποιῶν πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. ἀμήν. στέργω καὶ ὁμολογῶ, ὅσα καὶ ἡ ἁγία τοῦ Χριστοῦ ἐκκλησία, ἀναθεματίζω καὶ ἀποβάλλομαι, οὓς καὶ αὕτη ἀναθεματίζει καὶ ἀποκηρύκτους ἐποίησε

ἀναθεματίζω καὶ ἀποβάλλομαι καὶ πάντα τὰ ἔθιμα τῶν Λατίνων, τά τε ἐκκλησιαστικὰ καὶ τὰ περὶ τῆς λοιπῆς αὐτῶν πολιτείας, καὶ μετὰ καθαροῦ συνειδότος δέχομαι πάντα καὶ πιστεύω, ὅσα καὶ ἡ τοῦ θεοῦ μεγάλη ἐκκλησία ἡ ὄντως καθολικὴ καὶ ἀποστολική, κατὰ γὰρ τοῦτο καὶ τὴν παροῦσάν μου ὁμολογίαν ἐποιησάμην, καὶ οἰκειοχείρως αὐτὴν ὑπογράφω τῇ γλώττῃ καὶ τοῖς γράμμασιν, οἷς ἐπίσταμαι. μηνὶ φεβρουαρίῳ ἰνδ. ιβ' †.

† Ταῦτα λέγουσι τῇ τῶν ἑλλήνων γλώττῃ· ὁ ἀπὸ τῶν Μουσουλμάνων ποτὲ Ἀντώνιος †. *)

CCXCIV. (6879—1371) martio. ind. IX.

Metropolitae Amaseae, exarcho Euxini Ponti, per adiunctionem confertur metropolis Neocaesareae.

CCXCV. Sine anno.

Praesuli Philippupoleos committuntur iura patriarchalia curanda in eius ecclesia.

CCXCVI. Sine anno.

Metropolitae Bidynae conferuntur iura episcopalia in ecclesia Triaditzin.

† Πρᾶξις συνοδικὴ ἐπὶ τῷ Βιδύνης, ἵνα κατέχῃ τὸ Τριαδίτζιν †.

† Ἱερώτατε μητροπολῖτα Βιδύνης καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ἡ ἔγγραφός σου ἀναφορὰ διεκομίσθη τῇ ἡμῶν μετριότητι, καὶ συνοδικῶς ταύτης ὑπαναγνωσθείσης, διέκρινεν· αὕτη ἅμα τῇ περὶ αὐτὴν ἱερᾷ συνόδῳ, ἵνα κατὰ τὴν ζήτησιν καὶ ἀξίωσίν σου κατέχῃς τὸ Τριαδίτζιν καὶ διενεργῇς ἀκωλύτως πάντα τὰ ἀρχιερατικά, ἀναγνωστῶν σφραγῖδας, ὑποδιακόνων, διακόνων καὶ πρεσβυτέρων χειροτονίας, θείων ναῶν καθιερώσεις καὶ τὰ ἄλλα πάντα· ποίει οὖν τοῦτο ἀκωλύτως, ὅτι καὶ ἡμετέρα θέλησις καὶ ἀποδοχὴ ἔνι. ὁπόταν καταλάβῃ αὐτόθι καλόγηρως ἡμέτερος, τυχέτω τῆς ἀναδοχῆς καὶ τῆς ἀγάπης σου καὶ τῆς προμηθείας σου, καὶ ὅτε μέλλει ὑποστρέφειν ἐνταῦθα, συγκρότησον καὶ ὁδήγησον, ἵνα ὑπο-

*) Persice: Anton musulman . . . .

στρέψῃ καλῶς καὶ ἀκινδύνως. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος †.

CCXCVII. Sine anno.

Isaaco hieromonacho confertur administratio bonorum metropoleos Zichnorum.

CCXCVIII. Sine anno.

Patriarcha Callisto cuidam concedit ius excipiendi confessiones monachorum ipsi subditorum.

† Ἔνταλμα τῷ κῦρ Καλλίστῳ, ἵνα δέχηται τὰς ἐξομολογήσεις τῶν ὑποτακτικῶν αὐτοῦ †.

† Ἐπεὶ ὁ τιμιώτατος ἐν μοναχοῖς, κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Κάλλιστος ὁ Ἀγγελικούδης, ἀνέφερεν εἰς αὐτήν, ὅτι οἱ εὑρισκόμενοι μετ' αὐτοῦ μοναχοὶ παρ' αὐτοῦ ἀποκαρέντες καὶ αὐτῷ ὑποτασσόμενοι ἔχουσιν ἕτερον πατέρα πνευματικόν, πρὸς ὃν ἐξομολογοῦνται, καὶ παρ' οὗ τὴν λύσιν λαμβάνουσιν, εἰς ἅπερ ἐξομολογοῦνται, ὅπερ γίνεται ἐμποδισμὸς αὐτῷ εἰς τὴν κατ' αὐτῶν ἀρχὴν καὶ εἰς τὴν πρὸς αὐτὸν ἐκείνων ὑποταγήν, μὴ ἔχοντι εὐκόλως ποιεῖν, ἅπερ αὐτῷ δοκεῖ, καὶ ἐδεήθη διὰ ταῦτα τυχεῖν βοηθείας παρὰ τῆς ἡμῶν μετριότητος καὶ συγχωρήσεως καὶ ἐνδόσεως, ὥστε δέχεσθαι τὴν αὐτῶν ἐξομολόγησιν, αὕτη τὸ παρὸν ἀπολύει γράμμα, δι' οὗ καὶ ἐγχωρεῖ καὶ ἄδειαν δίδωσιν αὐτῷ, ὥστε δέχεσθαι τὴν ἐξομολόγησιν αὐτῶν καὶ πάντας τοὺς λογισμοὺς αὐτῶν καὶ εἶναι τοῦτον πνευματικὸν πατέρα εἰς αὐτούς, ἐπεὶ καὶ παρ' αὐτοῦ ἀπεκάρησαν καὶ αὐτῷ ὑποτάσσονται, καὶ ἔχει πληροφορίαν ἡ μετριότης ἡμῶν, ὅτι καλῶς μέλλει ποιεῖν, ἅπερ ἂν ποιῇ. δήσει μὲν οὖν, ὅσα δεῖ δεθῆναι, εἰς αὐτούς, καὶ λύσει πάλιν, ὅσα δεῖ λυθῆναι, ἅτινα καὶ βεβαιοῖ ἡ μετριότης ἡμῶν, καὶ ἔχει αὐτὰ καὶ λελυμένα καὶ δεδεμένα, καθὼς ἂν αὐτὸς διακρίνοι, ἄνθρωπος γάρ ἐστι πνευματικὸς καὶ ἐνάρετος καὶ ἡσυχαστής· διὰ τοῦτο καὶ πληροφορεῖται ἡ μετριότης ἡμῶν, ὅτι καλῶς ταῦτα ποιήσει. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

CCXCIX. Sine anno.

Patriarcha metropolitae Christupoleos committit administrationem insulae Thasi.

CCC. 6879 (1371) maio. ind. IX.

Ecclesiae partium subiectarum Ioanni Unglesae (Uglješae) reconciliantur cum ecclesia constantinopolitana.

† Πρᾶξις ἐπὶ τῇ ἑνώσει τῶν ἐκκλησιῶν, τῆς τε ἡμετέρας καὶ τῆς Σερβίας †.

† Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Φθάνει πρὸ χρόνων ἤδη πολλῶν ἡ μήτηρ τῶν ἐκκλησιῶν, ἡ ἁγιωτάτη καὶ καθολικὴ μεγάλη ἐκκλησία τοῦ Χριστοῦ, στερηθεῖσα τῶν περὶ τὰ μέρη τῆς Σερβίας ἰδίων μητροπόλεων, ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ ταύτην τελουσῶν, ὁπηνίκα ὁ τῆς Σερβίας τὸ τηνικαῦτα κράλης, ὁ κῦρις Στέφανος ἐκεῖνος, τὸν τῶν Ῥωμαίων τόπον παραλαβὼν καὶ τὰς ἐκκλησίας ἀποστήσας τῇ καθολικῇ καὶ μητρὶ παραδέδωκε πρὸς τὸν ἀρχιεπίσκοπον Πεκίου καὶ Σερβίας, καὶ ὑπὸ τὴν ἐκείνου ἐνορίαν ταύτας ἀποκατέστησε, καὶ ἐχειροτονοῦντο κακῶς ὑπ' ἐκείνου καὶ παρανόμως οἱ τῶν ἡμετέρων ἐκκλησιῶν ἀρχιερεῖς καὶ προστάται, δι' ἃ καὶ ἀπέστησαν τῆς ἡμῶν κοινωνίας αὐτός τε πρῶτος ὁ ἀρχιεπίσκοπος καὶ οἱ σὺν αὐτῷ πάντες καὶ ὅσοιπερ ὑπ' αὐτοῦ τὰς χειροτονίας ἐλάμβανον, ἀρχιερεῖς τε καὶ ἱερεῖς καὶ διάκονοι καὶ ὁ λοιπὸς ἱερατικὸς κατάλογος. καὶ ἦν οὐ μικρὸν τὸ δεινὸν τοιούτου γεγονότος σχίσματος ἐν ταῖς ἐκκλησίαις τοῦ Χριστοῦ, ἀπορραγέντων ἐξ ἀνάγκης σὺν τοῖς ἱερεῦσι καὶ πάντων τῶν ἐκεῖ χριστιανῶν, τοῦ τοσούτου πλήθους καὶ ἀναριθμήτου σχεδὸν, τῆς μεγάλης καὶ καθολικῆς ἐκκλησίας. ἐπεὶ δὲ ὁ εὐτυχέστατος δεσπότης Σερβίας, κῦρις Ἰωάννης ὁ Οὔγκλεσης, τοῦ πλέον τοῖς ἡμετέροις μέρεσιν ἐγγίζοντος τόπου κύριος καταστὰς, ἄνθρωπος ὑπάρχων φρόνιμος καὶ καλὸς καὶ τρόπου καὶ συνειδήσεως ἀγαθῆς καὶ τὸν τοῦ θεοῦ φόβον ἔνοικον κεκτημένος, ἠθέλησεν ἐπανασώσασθαι τὰς ἐκκλησίας ταύτας τῇ ἰδίᾳ μετρὶ καὶ κεφαλῇ τῶν ἐκκλησιῶν, καὶ ἐζήτησε τοῦτο μετὰ μεγάλης σπουδῆς εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν ἱερὰν καὶ μεγάλην σύνοδον τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, καὶ ἐγένετο τοῦτο τὸ μέγα καὶ ἀξιόλογον ἔργον εὐδοκίᾳ τοῦ εἰρηνοποιήσαντος τὰ πάντα σωτῆρος ἡμῶν καὶ καταλύσαντος τὴν

ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ καὶ τὸ μεσότειχον τοῦ φραγμοῦ διακόψαντος, καὶ ἐδόθη ταῖς ἐκκλησίαις εἰρήνη, ἣν ὁ δεσπότης Χριστὸς, ἡ αὐτοειρήνη, ἐπὶ τὸ ἑκούσιον ἐρχόμενος πάθος καὶ τὸν σταυρὸν, τοῖς ἰδίοις αὐτοῦ μαθηταῖς ὥσπερ τινὰ κλῆρον πατρικὸν κατέλιπεν· καὶ ἡνώθησαν αἱ μητροπόλεις αὗται τῇ μεγάλῃ καὶ καθολικῇ ἐκκλησίᾳ, ἀπολαβούσῃ πάλιν τὰ ἑαυτῆς, ἅπερ ἐστερήθη πρὸ χρόνων, καὶ ἐδεξάμεθα τοὺς ἀρχιερεῖς αὐτῶν εἰς κοινωνίαν, ἑτέρους δὲ καὶ ἐχειροτονήσαμεν, καὶ γέγονεν ἕνωσις καὶ ἀποκατάστασις, ὡς τὸ πρότερον. διὰ ταῦτα συνδιασκεψαμένη ἡ μετριότης ἡμῶν τῇ περὶ αὐτὴν ἱερᾷ καὶ μεγάλῃ συνόδῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τὸ παρὸν ἀπολύει συνοδικὸν σιγιλλιῶδες γράμμα, δι' οὗ καὶ παρακελεύεται ἐν ἁγίῳ πνεύματι στέργειν καὶ ἐμμένειν τὴν γεγονυῖαν ἱερὰν ταύτην πρᾶξιν εἰς τὸ ἑξῆς, ὥστε ἡνωμένας εἶναι ἀπὸ τοῦ νῦν τὰς ἐκκλησίας ταύτας τῇ ἁγιωτάτῃ καὶ καθολικῇ τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ· καὶ μηδένα τῶν ἁπάντων ἔχειν ἄδειάν ποτε τῶν καιρῶν καθ' οἱονδήτινα τρόπον τολμῆσαι ἀποστῆσαι τὰς ἐκκλησίας ταύτας τῆς μεγάλης ἐκκλησίας, κἂν εἴ τι καὶ γένηται ἐπὶ τῷ τόπῳ τούτῳ, εἴτε μεταλλαγὴ τοῦ αὐθέντου τοῦ τόπου, εἴτε τι ἕτερον. διὰ γοῦν τὴν εἰς τὸ μέλλον ἀσφάλειαν καὶ βάρος φρικώδους ἀφορισμοῦ ἐκφωνεῖ ἡ μετριότης ἡμῶν συνοδικῶς κατὰ τοῦ βουληθησομένου καὶ ἐπιχειρήσοντος ὅλως ποτὲ διαστῆσαι τὰς ἐκκλησίας ταύτας, ἐν ὁποιῳδήποτε καταλόγῳ καὶ τάξει καὶ σχήματι τυγχάνει ὢν ὁ τοιοῦτος, εἴτε μητροπολίτης ἐστὶν, εἴτε ἐπίσκοπος, εἴτε ἱερεὺς, εἴτε διάκονος, εἴτε ὅλως τοῦ καταλόγου (τοῦ) ἱερατικοῦ, εἴτε κληρικὸς ὁποιασδήποτε ἐκκλησίας, εἴτε μοναχὸς, εἴτε ἄρχων τοῦ τόπου, εἴτε λαϊκὸς, εἴτε ἄλλος ὁποῖος ἂν εἴη. ἔστωσαν δὲ πάντες γινώσκοντες, ὡς εἴπερ γενήσηταί τι τοιοῦτον, οἷον καὶ πρότερον, οἱ τοῦτο πεποιηκότες οὐ τεύξονται πάλιν ὡς καὶ πρότερον τῆς συμπαθείας τῆς ἐκκλησίας, ἀλλ' οἱ μὲν ἔχοντες ἱερατικὸν βαθμὸν, εἴτε ἀρχιερεῖς εἰσιν, εἴτε ἱερεῖς, καθαιρεθήσονται παρὰ τῆς μεγάλης συνόδου παντελῶς, οἱ δὲ λαϊκοὶ, εἴτε ἄρχοντες, εἴτε ἰδιῶται, ὑποκείμενοι ἔσονται τῷ ἀφορισμῷ, ὡς τὴν ἐκκλησίαν τοῦ Χριστοῦ διαστήσαντες καὶ σχίσαντες καὶ τὰ μέλη αὐτῆς ἀποστήσαντες τῆς κεφαλῆς. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος ἐπὶ τῷ προσεῖναι ταῖς ἐκκλησίαις

ταύταις εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν κατὰ μῆνα μάϊον τῆς ἐνισταμένης ἐνάτης ἰνδικτιῶνος τοῦ ,ϛωοθ' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Μηνὶ μαΐῳ ἰνδ. θ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου †.

CCCI. 6876 (1368) aprili. ind. VI.

Patriarcha episcopi Hierissi et Montis Sancti iura episcopalia in Montem Sanctum tuetur.

† Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Μηνὶ ἀπριλλίῳ, τρίτῃ, ἰνδικτιῶνος ἕκτης, προκαθημένης τῆς ἡμῶν μετριότητος ἐν τοῖς κελλίοις αὐτῆς τοῖς δεξιοῖς κατηχουμενείοις τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, συνεδριαζόντων αὐτῇ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Κυζίκου, διὰ γνώμης πρὸς τὴν ἡμῶν μετριότητα, τοῦ Χαλκηδόνος, τοῦ Βιζύης καὶ τοῦ Βρύσεως, διεκομίσθησαν ἀναφοραὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους ἔγγραφοι, διαλαμβάνουσαι, ὅπως εὑρίσκει πειρασμοὺς καὶ ὀχλήσεις παρὰ τοῦ ὁσιωτάτου Πρώτου τῶν ἐν τῷ Ἁγίῳ Ὄρει σεβασμίων μονῶν, βουλομένου κρατεῖν τινα τῶν ἀρχιερατικῶν αὐτοῦ δικαίων, βούλεται γὰρ, φησὶν, εἰς τὸ Ἅγιον Ὄρος εἰσάγειν τοὺς παρὰ τῶν Σέρβων χειροτονουμένους, ἀφήρπασέ τε τὸ ἐν ταῖς Καρέαις αὐτοῦ κάθισμα, καὶ οὔτε ποιμαντικὴν ῥάβδον ἀφίησιν αὐτὸν κρατεῖν ἐν αὐταῖς, οὔτε ἱερουργεῖν, οὔτε βούλεται πρότερον μνημονεύεσθαι τὸν ἐπίσκοπον, εἶτα τὸν Πρῶτον, ἀλλὰ τοὐναντίον μᾶλλον, ἀλλὰ μηδὲ εἰσέρχεσθαι ὅλως εἰς τὸ Ἅγιον Ὄρος ἄνευ τῆς ἐκείνου προτροπῆς καὶ ἐνδόσεως, μηδὲ χειροτονίας ποιεῖν. ταῦτα πάντα ἐγγράφως ἀνενεγκὼν ὁ θεοφιλέστατος ἐπίσκοπος Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους, ἐδεήθη τῆς ἡμῶν μετριότητος, εὑρεῖν παρ' αὐτῆς βοήθειαν, ὥστε διορθωθῆναι ταῦτα καὶ ἔχειν αὐτὸν τὰ δίκαια αὐτοῦ.

Narodna in univerzitetna knjižnica LJUBLJANA

ἡ γοῦν μετριότης ἡμῶν, συνδιασκεψαμένη τὰ περὶ τούτων τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, διέγνω καὶ ἀπεφήνατο, ὡς ἂν κατὰ τὴν διαταγὴν τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Χαλκηδόνι συνόδου, διαγορευούσης οὕτωσὶ κατὰ ῥῆμα ἐν ὀγδόῳ αὐτῆς κανόνι· „οἱ κληρικοὶ τῶν πτωχείων καὶ μοναστηρίων ὑπὸ τὴν ἐξουσίαν τῶν ἐν ἑκάστῃ πόλει ἐπισκόπων κατὰ τὴν τῶν ἁγίων πατέρων παράδοσιν διαμενέτωσαν, καὶ μὴ κατὰ αὐθάδειαν ἀφηνιάτωσαν τοῦ ἐπισκόπου, οἱ δὲ τολμῶντες ἀνατρέπειν τὴν τοιαύτην διατύπωσιν, εἰ μὲν εἶεν κληρικοί, τοῖς τῶν κανόνων ὑποκείσθωσαν ἐπιτιμίοις, εἰ δὲ μονάζοντες ἢ λαϊκοί, ἔστωσαν ἀκοινώνητοι“, ἔχῃ καὶ ὁ δηλωθεὶς θεοφιλέστατος ἐπίσκοπος ἐν τῷ Ἁγίῳ Ὄρει παντὶ πάντα τὰ ἀρχιερατικὰ αὐτοῦ δίκαια, ὅσαπερ ἔχουσιν οἱ ἀρχιερεῖς πάντες ἐν ταῖς ἑαυτῶν ἐκκλησίαις, καὶ διενεργῇ ταῦτα ἀκωλύτως, μὴ εὑρίσκων παρά τινος ἐμποδισμὸν τῶν ἐν τῷ Ἁγίῳ Ὄρει, μήτε ἀνάκρισιν, ἀλλὰ πράττῃ ταῦτα πάντα ὡς γνήσιος ἀρχιερεὺς τοῦ Ἁγίου Ὄρους, κατὰ τὴν τῶν ἱερῶν κανόνων διατύπωσιν, καὶ καθὼς οἶδεν ἡ μετριότης ἡμῶν οὕτως ἐκεῖ τὰ τοιαῦτα γινόμενα, ἐπὶ πολὺν χρόνον ἐκεῖ διατρίψασα καὶ καλῶς γινώσκουσα ταῦτα. ἔνθεν τοι καὶ συνοδικῶς παρακελεύεται, ἀκωλύτως εἰσέρχεσθαι τοῦτον εἰς τὸ Ἅγιον Ὄρος, ὁπότε βούλεται, ὡς ἰδίαν ἐπισκοπήν, καὶ ἱερουργεῖν ἐν αὐτῷ, ὅπου καὶ ὅτε βούλεται, κρατεῖν τε τὴν ποιμαντικὴν ῥάβδον, ὥσπερ ἐν παντὶ τούτῳ, οὕτω καὶ ἐν ταῖς Καρέαις, καὶ μνημονεύεσθαι πρῶτον αὐτὸν, ἔπειτα τὸν Πρῶτον, ἔχειν τε καὶ τὸ ἐν ταῖς Καρέαις αὐτοῦ κάθισμα, εἴπερ εἶχε τοῦτο ἀνέκαθεν πᾶς ἀρχιερεὺς τοῦ Ἁγίου Ὄρους, τὰς μέντοι χειροτονίας γίνεσθαι, καθώς ἐστι σύνηθες, ἐκλέγεσθαι μὲν τοὺς χειροτονουμένους ἐν ταῖς μεγάλαις μοναῖς παρά τε τῶν καθηγουμένων αὐτῶν καὶ τῶν λοιπῶν ἱερέων καὶ δοκιμάζεσθαι παρ' αὐτῶν καὶ μαρτυρεῖσθαι καὶ οὕτω χειροτονεῖσθαι παρὰ τοῦ ἐπισκόπου, τοὺς δὲ ἐν τοῖς ἔξω καθίσμασι καὶ τοῖς κελλίοις χειροτονεῖσθαι καὶ αὐτοὺς παρ' αὐτοῦ, μετὰ καὶ εἰδήσεως τοῦ Πρώτου, καὶ ἁπλῶς πᾶσαν ἀρχιερατικὴν πρᾶξιν καὶ αὐτὸν διενεργεῖν ἀκωλύτως ἐν τῷ Ἁγίῳ Ὄρει παντὶ, καὶ μὴ ἀνακρίνεσθαι, μήτε παρὰ τοῦ Πρώτου, μήτε παρ' ἄλλου τινός. περὶ μέντοι τῶν χειροτονουμένων παρὰ τῶν Σέρβων παρακελεύεται ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος σιγιλλιώδους γράμματος, μὴ δέχεσθαι αὐτούς τινα τῶν Ἁγιορειτῶν κατὰ τὸ παρὸν, ἕως ἂν οἱ παρ' ἡμῶν πρέσβεις ἀποσταλέντες ἐκεῖ ὑποστρέψω-

σιν, ἵνα γνῶμεν, εἴπερ ἠνώθησαν καὶ ὑπείκουσι τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, καὶ τότε γένηται τὸ δέον. ὀφείλουσιν οὖν ταῦτα πάντα γίνεσθαι κατὰ τὴν παροῦσαν παρακέλευσιν τῆς ἡμῶν μετριότητος, ὥστε δὴ μηδένα εὑρίσκειν αὐτὸν ἐμποδισμὸν ἢ ἀνάκρισιν, ἀλλὰ πάντα ποιεῖν ἀκωλύτως, καὶ βάρος ἐπιτιμίου ἀφορισμοῦ ἐκφωνεῖ αὕτη κατὰ τοῦ βουληθησομένου διενοχλῆσαι αὐτῷ τὸ σύνολον ἐπί τινι τῶν ἀνηκόντων αὐτῷ δικαίων, εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται τῷ θευφιλεστάτῳ ἐπισκόπῳ Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος κατὰ μῆνα ἀπρίλλιον τῆς ἐνισταμένης ἕκτης ἰνδικτιῶνος τοῦ ,ϛωος' ἔτους.

Ἡ μετριότης ἡμῶν, καθὼς εἴρηται, πολὺν χρόνον ἐν τῷ Ἁγίῳ Ὄρει διατρίψασα, καθὼς καὶ οἱ περιόντες ἔτι τῶν Ἁγιορειτῶν γινώσκουσιν, οἶδεν ἀκριβῶς τὴν ἐκεῖ τάξιν, καὶ ὅτι τότε τινὲς τῶν δυνατῶν ἐπεχείρησαν καταλῦσαι τὰ τοῦ ἐπισκόπου δίκαια, καὶ οὐκ ἴσχυσαν οὐδ' ὅλως, διὰ τοῦτο καὶ οὐδὲ νῦν ἐστι δυνατὸν τοῦτο γενέσθαι, ἀλλ' εἰς τὸ διηνεκὲς ἡ τοιαύτη πρᾶξις ἀπαρασάλευτος τηρηθήσεται. περὶ δὲ τῆς τῶν Σέρβων χειροτονίας, οὐ νῦν ἡμεῖς λέγομεν, μὴ δεχθῆναι ταύτην παρὰ τῶν Ἁγιορειτῶν, ἀλλ' ἀφ' οὗ ἐχωρίσθησαν τῆς ἡμῶν κοινωνίας καὶ ἐκράτησαν τὰς ἐκκλησίας τὰς ἀνηκούσας ἡμῖν καὶ ὑπὸ τὴν καθ' ἡμᾶς μεγάλην καὶ καθολικὴν ἐκκλησίαν τελούσας, ἐξ ἐκείνου οὐ δέχονται τούτους οὔτε ἐνταῦθα, οὔτε ἀλλαχοῦ, ἐπεὶ δὲ ἐζήτησαν νῦν ἑνωθῆναι πάλιν ἡμῖν, καὶ ἀπεστείλαμεν καὶ πρέσβεις διὰ τὴν ἕνωσιν, διὰ τοῦτο εἴρηκεν ἡ μετριότης ἡμῶν, μήπω δέχεσθαί τινα τούτους, ἕως ἂν ὑποστρεψάντων τῶν πρέσβεων γνωρίσωμεν, τί μέλλει γενήσεσθαι, καθὼς γίνεται καὶ ἐνταῦθα παρὰ τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ καὶ παρὰ πᾶσι τοῖς ἄλλοις τοῖς ὑπ' αὐτὴν τελοῦσι, τοῦτο γοῦν γινέσθω καὶ παρὰ τῶν κατοικούντων ἐν τῷ Ἁγίῳ Ὄρει †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

CCCII. 6879 (1371) maio. ind. IX.

Metropolitae Serrarum confertur locus Traianupoleos.

† Μηνὶ μαΐῳ, ἰνδ. Θ', τοῦ ,ϛωοθ' ἔτους ἐδόθη ψήφῳ συνοδικῇ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἡρακλείας, τοῦ Νικαίας, τοῦ Βρύσεως, τοῦ Ἀθηνῶν, τοῦ Αἴνου, διὰ γνώμης καὶ τοῦ Σωζοπόλεως τῷ ἱερωτάτῳ μητροπολίτῃ Σερρῶν καὶ ὑπερτίμῳ, ἐπικρίσει καὶ τοῦ παναγιωτάτου δεσπότου καὶ αὐθέντου ἡμῶν, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὁ τόπος τοῦ Τραϊανουπόλεως, ἵνα ἔχῃ τοῦτον ἀπὸ τοῦ νῦν ἔν τε στάσεσι καὶ καθέδραις ταῖς μετὰ τῆς ἱερᾶς καὶ μεγάλης συνόδου καὶ πανταχοῦ, καὶ δι' ἀσφάλειαν καὶ ἡ παροῦσα ἐγένετο παρασημείωσις †.

CCCIII. 6879 (1371) maio. ind. IX

Metropolitae Melenici confertur locus Rhodi.

CCCIV. 6879 (1371) maio. ind. IX.

Metropolitae Dramae confertur metropolis Philipporum, cui etiam committuntur iura patriarchalia curanda in partibus subiectis Serbiae despotae Unglesae.

† Πρᾶξις συνοδικὴ ἐπὶ τῷ Δράμας, λαβόντι τὴν τῶν Φιλίππων μητρόπολιν κατ' ἐπίδοσιν καὶ τὸν τῆς αὐτῆς ἐκκλησίας τόπον καὶ ἔτι τὰ ὑπὸ τὴν ἐπικράτειαν τοῦ δεσπότου Σερβίας, τοῦ Οὔγκλεση, πατριαρχικὰ πάντα δίκαια† †.

† Ἡ μετριότης ἡμῶν, κηδομένη καὶ φροντίζουσα τοῦ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῶν Φιλίππων χριστιανικοῦ πληρώματος, πολλῆς δεομένου τῆς διδασκαλίας καὶ παραινέσεως καὶ πνευματικῆς τροφῆς διὰ τὸ μὴ ἔχειν ποιμένα τε καὶ διδάσκαλον, συνδιασκεψαμένη τῇ περὶ αὐτὴν ἱερᾷ καὶ μεγάλῃ συνόδῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἡρακλείας, τοῦ Νικαίας, τοῦ Βρύσεως, τοῦ Ἀθηνῶν, τοῦ Αἴνου, διὰ γνώμης πρὸς τὸν Ἡρακλείας καὶ τοῦ Σωζοπόλεως, ἔδωκε κοινῇ ψήφῳ καὶ γνώμῃ τούτων τὴν τοιαύτην ἁγιωτάτην τῶν Φιλίππων μητρόπολιν τῷ ἱερωτάτῳ μητροπολίτῃ καὶ ὑπερτίμῳ Δράμας κατ' ἐπίδοσιν, ὃς δὴ καὶ ὀφείλει τῇ ἐνούσῃ αὐτῷ πείρᾳ καὶ γνώσει διδάσκειν τὸν ἐν αὐτῇ τῇ ἐκκλησίᾳ εὑρισκόμενον τοῦ κυρίου λαὸν κ. τ. λ. ὀφείλει οὖν ὁ

τοιοῦτος ἱερώτατος μητροπολίτης Δράμας καὶ ἐπισκόπους χειροτονεῖν ἐν ταῖς ὑπ' αὐτὴν ἐκκλησίαις ἄνευ μέντοι τῆς ἐπισκοπῆς τοῦ Πολυστύλου, ἐπειδὴ αὕτη ἔφθασε πρὸ χρόνων ψήφῳ συνοδικῇ καὶ προσετέθη τῇ ἀρχιεπισκοπῇ Μαρωνείας, οὐ μὴν ἀλλὰ καὶ οἱ νῦν εὑρισκόμενοι ἐν ταῖς ἐπισκοπαῖς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Φιλίππων ἐπίσκοποι (ὀφείλουσι) στέργειν τοῦτον ἀπὸ τοῦ νῦν, ὡς μητροπολίτην ἴδιον αὐτῶν καὶ κεφαλήν, καὶ μνημονεύειν αὐτοῦ κατὰ τὴν ἀνέκαθεν τῆς ἐκκλησίας παράδοσιν· καθέξει γε μὴν ὁ τοιοῦτος καὶ τὸν τόπον τοῦ Φιλίππων, ὃν καὶ ἀπὸ τοῦ νῦν ἕξει ἔν τε στάσεσι καὶ καθέδραις ταῖς μετὰ τῆς ἱερᾶς καὶ μεγάλης συνόδου καὶ πανταχοῦ. τῷ τοιούτῳ ἱερωτάτῳ μητροπολίτῃ Δράμας ἀνατίθησιν ἡ μετριότης ἡμῶν τὴν ἐξαρχίαν καὶ διοίκησιν τῶν πατριαρχικῶν πάντων δικαίων τῶν ἐν τῇ ἀρχῇ καὶ ἐπικρατείᾳ πάσῃ τοῦ εὐτυχεστάτου δεσπότου Σερβίας, ἐν ἁγίῳ πνεύματι ποθεινοτάτου υἱοῦ τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννου τοῦ Οὔγκλεση, ὅστις καὶ ὀφείλει ἐπιβλέπειν καὶ ἐπιτηρεῖν τὰ πατριαρχικὰ μοναστήρια καὶ τοὺς θείους ναοὺς καὶ τἄλλα πάντα καὶ παραινεῖν καὶ εἰσηγεῖσθαι τοῖς ἐν αὐτοῖς εὑρισκομένοις ἱερωμένοις καὶ μονάζουσι καὶ τῷ λοιπῷ χριστωνύμῳ τοῦ κυρίου λαῷ τὰ ψυχωφελῆ καὶ σωτήρια, ἐπιμελεῖσθαί τε καὶ φροντίζειν τῶν δικαίων τούτων πάντων καὶ ἀντέχεσθαι τῶν προσόντων αὐτοῖς κτημάτων τε καὶ πραγμάτων καὶ τῶν λοιπῶν καὶ πάντα διενεργεῖν ἀκωλύτως τὰ τῆς ἡμῶν μετριότητος δίκαια, εἴτε ἐν μητροπόλεσιν εὑρίσκονται, εἴτε ἐν ἐπισκοπαῖς, εἴτε καὶ ἀλλαχοῦ, καὶ ἱερουργεῖν ἐν αὐτοῖς καὶ ἀναγνώστας ποιεῖν, ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν, καὶ ἄλλα πάντα ποιεῖν, ὅσα ἡ μετριότης ἡμῶν ποιεῖν ἔμελλεν, εἰ παρῆν ἐκεῖ, δίχα μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὀφείλει μέντοι ποιεῖν ταῦτα πάντα μετὰ συντηρήσεως καὶ ἀσφαλείας τῶν θείων καὶ ἱερῶν κανόνων, εἰδὼς, ὡς εἴπερ ποιήσει τι παρείσπρακτον, εὐθύνην ὑποστήσεται τὴν ἀξίαν εἰς τὸν τῆς ἀρχιερωσύνης αὐτοῦ βαθμόν. ὀφείλει δὲ οὗτος λαμβάνειν καὶ ἀποφέρεσθαι τὸ ἐκ τούτων πᾶν εἰσόδημα καὶ παραπέμπειν αὐτὸ εἰς τὸ πατριαρχικὸν κελλίον. εἰς γὰρ τὴν περὶ τούτου ἀσφάλειαν ἐπιδέδοται τῷ ἱερωτάτῳ μητροπολίτῃ Δράμας, ὑπερτίμῳ καὶ τὸν τόπον ἐπέχοντι τοῦ Φιλίππων καὶ προέδρῳ τῆς ἐκκλησίας ταύτης, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ τὸ παρὸν συνοδικὸν αὐτῆς γράμμα †.

† Κατὰ μῆνα μάιον τῆς ἐνάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ οθ' ἔτους. εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

CCCV. (6879—1371) maio. ind. IX.

Tres presbyteri abiurant Abramii cuiusdam errores.

† Ἡμοῖς οἱ εὐτελεῖς πρεσβύτερη, ὅ τε Στελιανὸς ὁ Κληδὰς καὶ Ἰωάννης ὁ Ἐξάκουστος καὶ ὁ Σταματιὸς ὑποσχόμαιθα ἐνώπιων τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς ἁγίας συνόδου τόδε· ἐὰν ἀναφανῇ ποταὶ συνενέσαι καὶ συμπράξε ἡμᾶς τὸ καθηρμένο Ἀβραμίῳ εἰς τὸ γράμμα, ὅπερ ἔγραψεν εἰς τὸν αὐθέντην ἡμῶν τὸν βασιλέα τὸν ἅγιον τὸ πάσης διαβολῆς καὶ συκοφαντίας πεπληρωμένον, καὶ εἰς τὰς γοητείας καὶ ἐποδὰς, ἃς ἐπίοι, ἦναι οὐ μόνων .... νώμαιθα συνοδικῶς εἰς τὴν ἱεροσύνην ἡμῶν, ἀλλὰ καὶ ἐξοριζόμεθα ὡς κακοὶ ἄνθρωποι. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ὁ παροῦσα ἡμῶν ἔγγραφος ὑπώσχεσης, μηνὶ μαΐῳ ἰνδ. θ' †.

† Ἰωάννης ἱερεὺς ὁ Ἐξάκουστος στέργον ὑπέγραψα †.

† Στυλιανὸς ἱερεὺς ὁ Κλειδὰς στέργον ὑπέγραψα †.

† Σταματηνὸς ἱερεὺς στέργον ὑπέγραψα †.

CCCVI. 6876 (1368) martio. ind. VI.

Despota Serbiae, Ioannes Ungleses, partium sibi subditarum ecclesias subiicit ecclesiae constantinopolitanae.

† Οὐδὲν δικαιοσύνης ἔοικεν εἶναι μακαριώτερον καὶ διὰ τοῦτό γε πᾶσι τοῖς αἱρουμένοις τὰ κρείττω καὶ προτιμότερα, αὕτη γὰρ οἷά τις ὑπερφυὴς καὶ συνεκτικὴ τοῦ παντὸς δύναμις ἐκ τοῦ πρώτου καὶ κυρίως ἀγαθοῦ προϊοῦσα ἐπὶ τὰ κτίσματα, καὶ τὰ οὐράνια πάντα συνέχει καὶ τὰ ἐπίγεια· καὶ γὰρ οὐδέν τι τῶν ὄντων, οὔτε τῶν νοητῶν, οὔτε τῶν αἰσθητῶν ἐστιν, ὃ μὴ πρὸς ταύτης διεξάγεται καὶ ῥυθμίζεται

μόνιμόν τε καὶ ἀδιάλυτον, ὡς ἐφικτὸν συντηρεῖται. ἐπεὶ δὲ ἡ πρὸς τὸ χεῖρον τούτων τροπὴ καὶ διάλυσις καὶ φθορὰ τῆς δικαιοσύνης καὶ τῆς ἰσότητος καὶ τῆς ἁρμονίας ἀπόπτωσις ἀτεχνῶς οὖσα τυγχάνει, οὐ μὴν ἀλλὰ καὶ ἡ τῶν ἄλλων ἀρετῶν μουσική τε καὶ ἐναρμόνιος τάξις τῇ τῆς δικαιοσύνης ἀναλογίᾳ ῥυθμίζεται καὶ μέλος σωτήριον ἀνακρούεται, ὅπερ ἐστὶν ὁ τῶν ἐν οὐρανοῖς ἑορταζόντων ἀκατάπαυστος ἦχος· ἐντεῦθεν καὶ πᾶσα ἀρετὴ δικαιοσύνη προσονομάζεται διὰ τὸ μηδεμίαν εἶναι τοῦ κόσμου ταύτης καθάπαξ ἐστερημένην· καὶ δίκαιοι πάντες οἱ τῶν ἁγίων καλοῦνται χοροί, πάσης ἀρετῆς ὄντες ἐργάται, οἷα δὴ διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ τῶν ἀριστερῶν μετὰ τοῦ μακαρίου Παύλου καὶ τῶν ἡδονῶν καὶ τῶν πειρασμῶν τοῦ παρόντος βίου γεγονότες ἀνώτεροι· ἀλλὰ καὶ αἱ κατὰ κόσμον τῶν ἀνθρώπων διάφοροι πολιτεῖαι καὶ αἱ καταστάσεις καὶ ἁπλῶς εἰπεῖν πᾶσα πόλις καὶ χώρα τῆς δικαιοσύνης καθάπαξ ἀντεχομένη τεῖχος ἑαυτῇ περίστησι τοῦ τῶν Βαβυλωνίων σεμνότερον, τοὺς ἀδίκους καὶ πολεμίους ἐκ τούτου καλῶς ἀμύνεσθαι δυναμένη. ἐπεὶ τοίνυν τοιοῦτον ὑπερφυές τε καὶ θεῖον ὁ λόγος τὸ τῆς δικαιοσύνης ἀπέδειξε χρῆμα, ἀνθεκτέον ἂν εἴη ταύτῃ καὶ περιεκτέον πάσῃ σπουδῇ καὶ ζητητέον πρὸ πάντων γένος ἅπαν καὶ ἡλικίαν ἅπασαν, καθάπερ τι φῶς καὶ ζωτικήν τινα δύναμιν τοῦ τῆς δικαιοσύνης ἡλίου προερχομένην εἰς τὰ τοῦ κόσμου πληρώματα, καὶ πάντα κατακοσμοῦσαν καὶ θάλπουσαν καὶ τῆς σκοτεινῆς ἀταξίας τε καὶ συγχύσεως ἀπαλλάττουσαν, οὐχ ἥκιστα δὲ τοὺς ἐθνῶν τε καὶ πόλεων ἀρχὴν ἐγκεχειρισμένους καὶ προστασίαν, διότι καθάπερ ταῖς ἄλλαις ἐπιστήμαις καὶ τέχναις κατάλληλός ἐστιν ἐργασία καὶ πρᾶξις, πρὸς τὸ ἴδιον τέλος τὸ ἑαυτῆς ἔργον προάγουσα, οὕτω δὴ τῇ τοῦ ἄρχειν ἐπιστήμῃ ἐργασία μέν ἐστιν ἡ δικαιοσύνη, τέλος δὲ ταύτης καὶ οἷον εἰπεῖν καρπὸς τῶν καμάτων τὸ τῶν ὑπηκόων εἰρηνικόν τε καὶ ἀστασίαστον, ὥσπερ ἀμέλει τοῖς γεωργοῖς τέλος μέν ἐστιν ἡ τοῦ σίτου καὶ τῶν ἄλλων καρπῶν εὐφορία, ἐνέργεια δὲ ἡ τῆς γῆς ἐργασία. ἀλλ' ἐπεὶ τοῦ δικαίου τὸ μὲν πρὸς θεόν, τὸ δὲ πρὸς ἀνθρώπους ἀνάγεται, τὸ θεῖον πάντως τῶν ἀνθρωπίνων προηγεῖσθαι χρεών, πρῶτον μέν, ὅτι τὰ θεῖα τῶν ἄλλων ἀεὶ προτιμότερα, δεύτερον δ' ὅτι καθάπερ τοῖς γεωργοῖς τε καὶ φυτηκόμοις δίκαιον ἂν εἴη πρὸ πάντων τῶν οἰκείων πόνων ἀπαρχὰς τῷ θεῷ προσκομίζειν, οὕτω δὴ καὶ τοῖς ἡγεμόσι καὶ ἄρχουσι

τὴν δικαιοσύνην προσῆκον ἀπάρχεσθαι τούτῳ, ὡσὰν μὴ ἀχάριστοι περὶ τὸν εὐεργέτην ὀφθεῖεν, δι' αὐτοῦ γὰρ βασιλεῖς βασιλεύουσι καὶ δυνάσται κρατοῦσι γῆς. διὰ τοῦτο κἀμὲ, ἐπειδήπερ ἡ πάντα κυβερνῶσα καὶ διιθύνουσα πρόνοια πόλεων καὶ χωρῶν οὐκ ὀλίγων ἡγεμόνα καὶ ἀρχηγὸν προεστήσατο, δέον ἂν εἴη, καθάπερ τοὺς ἀρίστους τῶν ἰατρῶν, μὴ μόνον τὰς ἀπερχομένας εἰς τὸ ἕξῆς ἀδικίας οἷά τινα μέλλοντα πάθη προαναστέλλειν τοῖς προφυλακτικοῖς τῶν φαρμάκων, ἀλλὰ καὶ εἴ τι τῶν ἀδίκων εἰσεκώμασε προλαβὸν, ἀνατεμεῖν καὶ ἀνακαθάραι τῇ μαχαίρᾳ τῆς ἐξουσίας· οὐ γὰρ εἰκῇ, φησὶ, ταύτην φοροῦμεν, διάκονοι θεοῦ γεγονότες καὶ εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. ἐπεὶ τοίνυν Στέφανος ἐκεῖνος ὁ Οὔρεσης, Σερβίας καὶ Ῥωμανίας αὐτοκράτορα ἑαυτὸν ἀνειπὼν, τῷ ὕψει τοῦ ἀξιώματος καὶ τῷ μεγέθει τῆς ἐξουσίας τὴν καρδίαν συνεπαρθεὶς, οὐ μόνον τὰς ἀλλοτρίας καὶ μὴ ὑποκειμένας αὐτῷ πόλεις πλεονεκτικοῖς ὀφθαλμοῖς ἑώρα, καὶ ἄδικα ξίφη κατὰ τῶν μηδὲν ἠδικηκότων ἐγύμνου, καὶ τῆς ῥωμαϊκῆς ἐλευθερίας καὶ πολιτείας τοὺς ταύτῃ φύντας καὶ τραφέντας καὶ αὐξηθέντας ἐλεινῶς ἀπεστέρει, ἀλλὰ καὶ μέχρι τῶν θείων τὴν ἀδικίαν ἐξέτεινε καὶ τὰ ἀρχαῖα τῆς ἐκκλησίας θεσμὰ, ἔτι καὶ τὰ τῶν πατέρων ὅρια κακῶς ὑπερβαίνειν καὶ διασπᾶν ἐπεχείρησε καὶ κατατέμνειν εἰς ἀνισότητα, ὥσπερ ἕτερός τις τῶν ἐξ οὐρανοῦ κριτής τε καὶ νομοθέτης τῶν τοιούτων κατατολμῶν καὶ νόμον κύριον μὴ ὅτι γε τῶν ἀνθρωπίνων, ἀλλὰ καὶ τῶν θείων πραγμάτων τὸ ἑαυτοῦ τιθεὶς θέλημα, αὐτοχειροτόνητον μὲν ἀκανονίστως ἐπλάσατο πατριάρχην, οὐκ ὀλίγας δὲ μητροπόλεις τῆς καθολικῆς τοῦ Χριστοῦ ἐκκλησίας τολμηρῶς ἀφαρπάσας ἐπιδέδωκε τούτῳ, κἀντεῦθεν συνέβη σχίσμα τῆς ἐκκλησίας οὔ τι σμικρὸν γεγενῆσθαι καὶ τὰ μέλη τοῦ σώματος τοῦ Χριστοῦ καὶ τῆς κεφαλῆς ἀθλίως ἀπορραγῆναι καὶ τῆς ἀπὸ τῆς κεφαλῆς ζωτικῆς προϊούσης δυνάμεως στερηθῆναι καὶ νεκρωθῆναι, οὐκ ἀνεχομένη ἡ βασιλεία μου τὴν τοιαύτην καινοτομίαν καὶ ἀδικίαν ὁρᾷν ἀδιόρθωτον καὶ ὑπὸ τὴν ἐμὴν ἐξουσίαν καὶ χεῖρα τοσούτων ἀνθρώπων ψυχικὸν ὄλεθρον, ὥσπερ εἰ μὴ τοῖς Ῥωμαίοις τὴν ἀρχαίαν ἀποδοίην ἐλευθερίαν, ὥστε κατὰ τοὺς ἱεροὺς καὶ θείους νόμους τῶν βασιλέων πολιτεύεσθαι πάλιν καὶ τῆς βαρβαρικῆς τυραννίδος καὶ ἀδικίας ἀπηλλαγμένη καθάπαξ διατελεῖν, ἀβίοτον εἶναί μοι τὸν βίον δοκεῖ· οὕτως οὐκ ἔδωκα ὕπνον τοῖς ὀφθαλμοῖς μου, κατὰ τὸν ἐν βα-

σιλεῦσι προφήτην εἰπεῖν, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω κἀγὼ τόπον τῷ κυρίῳ καὶ σκήνωμα τῷ θεῷ Ἰακώβ, εἴπερ τόπος θεοῦ καὶ σκήνωμα καὶ ναός ἐστι κατὰ τοὺς θείους χρησμοὺς αἱ καθαραὶ τῶν ἀνθρώπων ψυχαὶ καὶ θείας χάριτος πεπληρωμέναι, ἧς ἡμεῖς ἐκπεπτώκαμεν, τῆς καθολικῆς ἐκκλησίας ἀφεστηκότες. ὅθεν πρεσβείαν ἐξαποστείλας πρὸς τὸν παναγιώτατόν μου δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, θεραπείαν ᾔτησάμην τοῦ τοιούτου κακοῦ, ὃς δή που καὶ μὴ ἀμελήσας, ἀλλὰ πατρικοῖς σπλάγχνοις ἐπικαμφθείς, ἐξαπέστειλε τὸν δεσπότην μου καὶ πατέρα μου καὶ τῆς ἐμῆς ψυχῆς προστάτην καὶ ἰατρόν, τὸν πανιερώτατον μητροπολίτην Νικαίας, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Βιθυνίας, ὅστις ἐλθὼν καὶ τὸ μεσότειχον τοῦ φραγμοῦ διαλύσας, πολλοῖς ἱδρῶσι καὶ πόνοις εἰρηνοποίησε τὰ διεστῶτα τῇ δυνάμει τοῦ παναγίου πνεύματος, καὶ κατήλλαξε τὰ τέκνα πρὸς τὴν κοινὴν μητέρα, μεταδοὺς ἡμῖν ἁγιασμοῦ τε καὶ φωτισμοῦ, θείων τε καὶ πνευματικῶν χαρισμάτων. διὰ τοῦτο κἀγὼ ἀποδίδωμι δι' αὐτοῦ τῷ πάντων βασιλεῖ καὶ δεσπότῃ, τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, τῇ καθολικῇ ἐκκλησίᾳ καὶ τῷ παναγιωτάτῳ μου δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ πάσας τὰς ἁρπαγείσας ἐκκλησίας καὶ μητροπόλεις καὶ πάντα τὰ πατριαρχικὰ δίκαια ὅλῃ χειρὶ καὶ γνώμῃ· πάντα γὰρ ταῦτα ὑπὸ τὴν ἐμὴν ἐξουσίαν ἀρτίως γεγόνασι, ἀρξαμένου μου τοῦ τοιούτου θεαρέστου ἔργου καὶ σωτηρίου, ἐπειδὴ τῆς ἁρπαγῆς ταύτης ἕνεκα καὶ τὸ σκάνδαλον τῆς ἐκκλησίας χρόνον οὐκ ὀλίγον προυχώρησε, καὶ ἡ λύμη τῶν τοσούτων ψυχῶν εἰσεφθάρη· ὅθεν καὶ ἡ τοιαύτη τοῦ θείου δικαίου ἀπόδοσις καὶ ἡ πρὸς τὴν καθολικὴν ἐκκλησίαν καταλλαγὴ καὶ ὑποταγὴ ἕξει τὸ μόνιμόν τε καὶ ἀκατάλυτον μέχρι τῆς συντελείας τοῦ αἰῶνος, εἴπερ τῆς ἐκκλησίας Χριστοῦ πύλαι ᾅδου οὐ κατισχύσουσιν. εἴ τις δὲ τῶν ἁπάντων, τῶν τε νῦν ὄντων, τῶν τ' ἐσομένων καὶ μετ' ἐμὲ τῆς κατ' ἐμὲ ταύτης ἐπειλημμένων ἀρχῆς, εἰς οὐδὲν λογισάμενοι τὴν ἑαυτῶν σωτηρίαν, παριδὼν μὲν τὸ τοῦ θεοῦ δίκαιον, ἀθετήσας δὲ τοὺς θείους καὶ ἱεροὺς κανόνας, ἁρπάσει πάλιν τὰς ἐκκλησίας τολμηρῶς καὶ ἀθέως καὶ τῆς κοινῆς ἀποστερήσει μητρός, ἐκπέσοι τῆς τοῦ υἱοῦ τοῦ θεοῦ πνευματικῆς συναφείας καὶ χάριτος καὶ ζωῆς, ἐπείπερ ἡ τοῦ σώματος τοῦ μέλους ἀποκοπὴ καὶ τῆς κεφαλῆς ἐστι χωρισμός, καὶ σῶμα μέν ἐστιν ἡ ἐκκλησία, κεφαλὴ δὲ ὁ Χριστός, ἀλλὰ καὶ τὰς

ἀρὰς ἐπισπάσαιτο τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, ἐπειδήπερ ἐκεῖνοι μὲν ὑπὲρ τῆς ἐκκλησιαστικῆς συνῆλθον ἑνώσεως καὶ εἰρήνης, οὗτος δὲ τὴν ἐναντίαν ἐκείνοις βαδίζει. ἀσφαλείας δὲ μείζονος χάριν καὶ τὸ παρὸν ἐξετέθη γράμμα τῆς βασιλείας μου ἐν μηνὶ μαρτίῳ ἰνδικτιῶνος ς' τοῦ ,ϛωος' ἔτους †.

† Εἶχε καὶ ὑπογραφὴν σερβικήν· Δεσπότης Ἰωάννης Οὔγκλεσης †.

CCCVII. (6879—1371) maio. ind. IX.

Synodus metropolitae Athenarum per adiunctionem confert ecclesias Thebarum, Novarum Patrarum et Aeginae.

CCCVIII. (6879—1371) maio. ind. IX.

Litterae patriarchales ad clerum Thessalonicensem de commemoratione patriarchae.

† Πιττάκιον πρὸς τοὺς ἐν τῇ Θεσσαλονίκῃ ἐκκλησιαστικοὺς ἄρχοντας ὑπὲρ τοῦ πατριαρχικοῦ μνημοσύνου †.

† Τιμιώτατοι καὶ ἐντιμότατοι ἐκκλησιαστικοὶ ἄρχοντες τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης, ἐν κυρίῳ τέκνα ἀγαπητὰ τῆς ἡμῶν μετριότητος· χάρις ὑμῖν εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ παντοκράτορος. ἐγνώρισεν ἡ μετριότης ἡμῶν, ὅτι ἀποθανόντος τοῦ μητροπολίτου ὑμῶν οὐ μνημονεύετε ἐμοῦ, καὶ θαυμάζω, πῶς ἄνθρωποι φρόνιμοι ὄντες καὶ πεπαιδευμένοι εἶτα ποιεῖτε τοῦτο. ἐβουλόμην ἐγὼ, ἵνα μὴ ἀκούσω τοῦτο γινόμενον ἐν τῇ ὑμετέρᾳ πατρίδι, τῇ περιφανεῖ καὶ περιωνύμῳ Θεσσαλονίκῃ, ὅπου πολλοὶ φρόνιμοι ἄνθρωποι καὶ καλοὶ καὶ πεπαιδευμένοι, καὶ ὅπου πολλὴ τῶν ἀγαθῶν ἡ σωρεία, αἰσχύνην γὰρ λογίζομαι τοῦτο τῆς ὑμετέρας πατρίδος, οὐ δι' ἐμαυτὸν, ἐγὼ γὰρ ἔντιμός εἰμι πανταχοῦ, ἀλλὰ δι' αὐτὴν, ὅτι τῆς οἰκουμένης ἁπάσης τῆς ἀπὸ περάτων ἕως περάτων οὕτω ποιούσης, αὕτη μόνη φαίνεται τῇ ἀταξίᾳ ταύτῃ χρωμένη· εἰ δὲ λέγετε, καθὼς ἀκούω παρά τινων, ὅτι λέγετε, ὅτι συνήθειαν ἔχετε μὴ μνημονεύειν τοῦ πατριάρχου, ὅταν ἀποθάνῃ μητροπολίτης, καὶ διὰ τοῦτο τηρεῖτε τὴν τῆς πόλεως συνήθειαν, θαυμάζω, πῶς τοῦτο λέγετε· οὕτως ἔδει τηρεῖσθαι τὴν συνήθειαν, εἴπερ

ἦν δικαία καὶ νόμιμος καὶ κανονική, ὅπου δὲ τοῦτο οὐκ ἔστιν, ἀλλὰ τοὐναντίον μᾶλλον κανόνων κατάλυσις καὶ νόμων, τί δεῖ τὴν συνήθειαν προβάλλεσθαι; ὅτι μὲν γὰρ οὐκ ἔστι καλὴ συνήθεια τοῦτο, αἱ ἐκκλησίαι πᾶσαι τῆς οἰκουμένης μαρτυροῦσιν, αἵτινες συνήθειαν ἔχουσι τοῦ πατριάρχου μνημονεύειν στερούμεναι τῶν οἰκείων ἀρχιερέων. ποία τῶν μητροπόλεων ἢ τῶν ἐπισκοπῶν, ὅτε ἐπίσκοπον ἔχει ἢ μητροπολίτην, οὐ μνημονεύει τοῦ πατριάρχου; καὶ τὸ πανταχοῦ τῆς οἰκουμένης γινόμενον ὑμεῖς λέγετε μὴ ἔχειν συνήθειαν ποιεῖν; ὁρᾶτε, πῶς οὐκ ἔστι καλὴ ἡ ὑμετέρα συνήθεια. τοῦτο δὲ καὶ ἀπὸ φυσικῶν λογισμῶν καὶ κοινῶν ἐννοιῶν ἀποδειχθήσεται· ἔστι γὰρ ὁ μὲν πατριάρχης κεφαλὴ τῆς ἐκκλησίας πάσης, οἱ δὲ λοιποὶ ἀρχιερεῖς μέλη, οὓς ἔχουσιν ἕκαστοι τῶν ὑπ' αὐτοὺς ὡς κεφαλὴν ἕκαστον, πῶς οὖν οὐ γελοῖον τούτους μὲν μνημονεύεσθαι ζῶντας παρὰ τῶν ὑπηκόων, μέλη τῆς ἐκκλησίας ὄντας, ἀποθανόντων δὲ μὴ μνημονεύεσθαι τὸν πατριάρχην, τὴν κεφαλὴν τῆς ἐκκλησίας καὶ κεφαλὴν τῆς τῶν ὑπηκόων κεφαλῆς; εἶτα ἐκείνου πολλάκις οὐ μνημονεύουσί τινες ζητοῦντος μνημόσυνον, ὃν φοβοῦνται, μή ποτε διὰ τοῦτο καὶ τὴν ἀρχὴν ἐκείνων ἀκόντων λάβῃ, ὥσπερ γίνεται πολλάκις ἔν τισι τῶν ἀρχόντων τόπων, τινῶν ζητούντων μνημόσυνον παρὰ τῶν πλησίον αὐτῶν πόλεων, καὶ διὰ τὴν εἰρημένην αἰτίαν, ἀναβαλλομένων τοῦτο αὐτῶν, ἔνθα δὲ ἐστί τις ἄρχων καὶ κύριος καὶ ἐξουσίαν ἔχων, ὃ βούλεται, ποιῆσαι, πῶς ἔστι δίκαιον λέγειν εἶναι συνήθειαν μὴ μνημονεύεσθαι τοῦτον; ὅτι δὲ τὴν ἀρχὴν τῆς ἐκκλησίας ταύτης ἔχω ἐγώ, τοῦτο πρόδηλον, καὶ ὑμεῖς μαρτυρήσετε, καὶ γὰρ ἐγὼ κρατῶ ταύτην νῦν, καὶ ἄδειαν ἔχω πάντα ποιεῖν καὶ πρόνοιαν διδόναι καὶ χειροτονίας ποιεῖν, καὶ πάντα τῇ ἡμετέρᾳ ἐξουσίᾳ ὑπόκεινται τὰ αὐτῆς, ἐγὼ δὲ ὁ ταῦτα δυνάμενος οὐκ ἔχω ἄδειαν καὶ ἐν αὐτῇ μνημονεύεσθαι; ἢ ἕως μὲν ὁ μητροπολίτης ζῇ, ἡ ὑμῶν κεφαλή, μνημονεύει τοῦ πατριάρχου, καὶ ἀδύνατόν ἐστιν ἄλλως γίνεσθαι, οὐδὲ γὰρ ἂν εἴη μητροπολίτης ὁ τοῦτο μὴ ποιῶν· ἐκείνου δὲ ἀποθανόντος οὐ μνημονεύειν ὑμᾶς ἐστι δίκαιον τοὺς ὑποτεταγμένους ἐκείνῳ, οὗ ἐκεῖνος ζῶν ἐμνημόνευεν; ὁρᾶτε, πῶς καὶ ἀπὸ τῶν κανόνων καὶ ἀπὸ τῆς συνηθείας τῶν ἐκκλησιῶν ἁπασῶν καὶ ἀπὸ φυσικῶν λόγων καὶ κοινῶν ἐννοιῶν ἀποδείκνυται τοῦτο δίκαιον εἶναι καὶ κανονικόν; ἐγὼ διὰ τοῦτο ἔγραφα πρὸς ὑμᾶς εἰς πλάτος περὶ τούτου, ἵνα γινώσκητε ταῦτα καὶ λογίσησθε, ὅτι οὕτω πρέπει· ὅπερ γὰρ

προεῖπον, αἰσχύνην λογίζομαι τοῦτο τῆς ὑμετέρας πατρίδος. ὑμεῖς δόξαν μεγάλην καὶ τιμὴν ἔπρεπεν ἵνα ἔχητε, τοῦτο καὶ ἐγκαυχᾶσθαι ἔδει καὶ ἐγκαλλωπίζεσθαι τούτῳ, ὅτι ἄξιοί ἐστε ἀντὶ μητροπολίτου κεφαλὴν ἔχειν τὸν πατριάρχην καὶ αὐτοῦ μνημονεύειν, καὶ εἴπερ ἀφήρπασέ τις ὑμῶν τοῦτο, ἀδοξίαν μεγάλην ἔδει λογίζεσθαι ὑμᾶς τὸ πρᾶγμα καὶ ἀτιμίαν, λέγοντας, ὅτι οὐκ ἐσμὲν ἄξιοι μνημονεύειν τοῦ πατριάρχου. ταῦτα λέγω πρὸς ὑμᾶς, οὐχ ὡς πατριάρχης μόνον καὶ ζητῶν τὸ ἡμέτερον δίκαιον, ἀλλὰ καὶ αὐτόθι, εἴπερ ἦμην Θεσσαλονικεὺς, εἴτε ἀρχιερεὺς, εἴτε ἐκκλησιαστικὸς, εἴτε τῆς πολιτείας ἄρχων, ταῦτα ἔμελλον λέγειν, ὅτι δίκαιά εἰσι καὶ ἀληθῆ καὶ κανονικά. ἀπὸ τοῦ νῦν οὕτω γενέσθω καὶ ἐν ταῖς καθολικαῖς ἐκκλησίαις καὶ ἐν τοῖς μοναστηρίοις καὶ ἐν ταῖς κοσμικαῖς ἐκκλησίαις πάσαις μνημονευέσθω ἡ μετριότης ἡμῶν, καὶ μηδεὶς προβαλλέσθω τὴν προτέραν συνήθειαν. ἐγὼ πρὸς τοὺς ὑμετέρους ἐξάρχους ἔμελλον ἀναθήσειν, ἵνα γένηται τοῦτο, οὐδὲ γὰρ ἐβουλόμην γράψαι, ἵνα δὲ μάθητε ταῦτα πάντες, δέον ἔκρινα γράψαι. γινώσκετε δὲ, ὅτι τὸ παρὸν γράμμα ἐτέθη ἐν τοῖς κωδικίοις τοῦ ἱεροῦ χαρτοφυλακίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας εἰς δικαίωσιν αὐτῆς. ἄλλως οὖν μηδὲν γένηται. ἡ τοῦ θεοῦ χάρις εἴη μεθ' ὑμῶν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ μαΐῳ ἰνδ. θ' †.

CCCIX. (6879—1371) maio. ind. IX.

Georgius Perdica et Moyses Phacrasa nominantur exarchi ecclesiae Thessalonicensis.

† Ἔνταλμα ἐξαρχικὸν τῷ μεγάλῳ σκευοφύλακι καὶ δικαιοφύλακι τῷ Περδίκῃ καὶ τῷ τιμιωτάτῳ ἐν μοναχοῖς κῦρ Μωυσεῖ τῷ Φακρασῇ ἐπὶ τῇ διοικήσει τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης †.

† Ἡ μετριότης ἡμῶν τὸ παρὸν ἀπολύουσα γράμμα καθίστησι δι' αὐτοῦ τόν τε τιμιώτατον μέγαν σκευοφύλακα τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ δικαιοφύλακα, διάκονον κῦρ Γεώργιον τὸν Περδίκην, καὶ τὸν τιμιώτατον ἐν μοναχοῖς, κῦρ Μωυσῆν τὸν Φακρασῆν, τοὺς ἐν ἁγίῳ πνεύματι ἀγαπητοὺς υἱοὺς αὐτῆς, ἐξάρ-

χους τῆς ἁγιωτάτης μητροπόλεως Θεσσαλονίκης, οἵτινες καὶ ὀφείλουσι τὰ τῆς ἡμῶν μετριότητος δίκαια κατέχοντες ἐν αὐτῇ ἐπιλαβέσθαι τῆς ἐκκλησίας ταύτης καὶ πάντων τῶν ὁθενδήποτε διαφερόντων αὐτῇ δικαίων καὶ προνομίων καὶ διενεργεῖν μὲν ἀκωλύτως καὶ ἀνεμποδίστως πάντα τὰ ἀρχιερατικὰ δίκαια μετὰ τῆς προσηκούσης κανονικῆς καὶ νομίμου παρατηρήσεως καὶ ἀκριβείας, ὥστε μηδὲν γενέσθαι παρὰ τὴν τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν νόμων διαταγὴν ἐπί τε ταῖς ἐκκλησιαστικαῖς, ἐπί τε ταῖς κοσμικαῖς ὑποθέσεσιν, ἔχοντες ἄδειαν τοὺς βουλομένους ἀνάγεσθαι πρὸς ἱερωσύνην ἐξετάζειν κανονικῶς καὶ μετὰ τῆς δεούσης ἐρεύνης τε καὶ δοκιμασίας, παραπέμπειν πρός τινα τῶν εὑρισκομένων ἐκεῖ ἀρχιερέων, ὥστε χειροτονεῖσθαι παρ' αὐτοῦ, ἔτι τε ἀνακρίνειν καὶ ἐξετάζειν τὰς δεομένας ἐξετάσεως ὑποθέσεις ἐκκλησιαστικάς τε καὶ κοσμικὰς τῶν τε κληρικῶν καὶ ἱερωμένων πάντων, πνευματικῶν τε καὶ μοναχῶν καὶ τῶν ἄλλων ἁπάντων, ὅσοι τοῦ ἱερατικοῦ καταλόγου καὶ ὅσοι τοῦ κοσμικοῦ, βουλόμενοι παρὰ τῆς ἐκκλησίας τὴν τῶν ἰδίων ὑποθέσεων λαμβάνειν διόρθωσιν, ἐπιμελεῖσθαί τε καὶ φροντίζειν τῆς ἐκκλησίας καὶ τῶν προσόντων αὐτῇ κτημάτων τε καὶ πραγμάτων καὶ λοιπῶν δικαίων καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς καὶ αὐξήσεως αὐτῶν καὶ τῶν προσόδων προνοεῖσθαι καὶ τῶν εἰσοδημάτων αὐτῆς, ὀφειλόντων τῶν εὑρισκομένων ἐκεῖ ἐκκλησιαστικῶν ἀρχόντων καὶ λοιπῶν κληρικῶν, ἱερωμένων, πνευματικῶν, μοναχῶν, τῶν τῆς πολιτείας ἀρχόντων καὶ παντὸς τοῦ χριστιανικοῦ πληρώματος τὴν προσήκουσαν ἀπονέμειν αὐτοῖς τιμὴν καὶ ἀγάπην καὶ ὑποταγὴν καὶ εὐπείθειαν, ἀκριβῶς εἰδότες, ὡς ἡ πρὸς αὐτοὺς γινομένη τιμὴ καὶ εὐπείθεια πρὸς τὴν ἡμῶν μετριότητα ἀναφέρεται, μηδενὸς ὄντος τοῦ ἐναντιουμένου αὐτοῖς τὸ σύνολον, ἐφ' οἷς ἂν ἔχωσι λέγειν καὶ πράττειν. εἰ δέ τις ἀντιλέγειν αὐτοῖς πειραθείη καὶ ἀντιπράττειν, εὐθύνην ὑποστήσεται κανονικῶς τὴν ἀξίαν παρὰ τῆς ἡμῶν μετριότητος, ὡς δι' αὐτῶν εἰς αὐτὴν ἀπειθήσας καὶ μὴ δεξάμενος, μηδὲ στέργων, ἅπερ αὕτη παρακελεύεται. προσέσται τοίνυν αὐτοῖς εἰς ἀσφάλειαν καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ μαΐῳ ἰνδ. θ' †.

CCCX. (6879—1371) maio. ind. IX.

Hieromonachus Simeon abiurat errores Barlaam et Acindyni.

† Ἐγῶ Συμεῶν ἱερομόναχος ἐπὶ εὑρισκόμενος μετὰ τοῦ χριματίσαντος μητροπολίτου Γάνου ἐκίνου εὐφρόνουν καὶ ἐγῶ σὺν ἐκίνω, καὶ ἐδώξαζον τὰ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δυσσευεὶ δόγματα, μετὰ δὲ ταῦτα ἀποβάλομοι τὴν κακοδοξίαν ταύτην, ἔστεργον καὶ εὐφρόνουν καὶ ἐδόξαζον, ἅπερ ἡ ἁγία τοῦ θεοῦ καθοληκὴ καὶ ἀποστοληκὴ ἐκκλησία στέργῃ καὶ φρονή· μὴ φθασας δὲ τότε δοῦνε τὴν ὁμολογίαν μου ἔγγραφον, ὑποπτέφθην νὴν παρὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, ὅτι πάλην φρονῶ τὰ τῶν κακοδώξον καὶ ἀθέων ἐκίνον δόγματα, καὶ ἀπιτήθην δοῦνε ἐγγράφως τὴν περὶ τοῦτου ὁμολογίαν καὶ ἀναθεματίσε τοῦς ἐρετικοῦς ἐκίνους, ἤδι ὁμολογῶ ἐνώπιων τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς θείας καὶ ἱερὰς συνώδου, ὅτι στέργω καὶ ὁμολογῶ καὶ ἀσπάζομε καὶ φρονῶ τὰ ὀρθὰ καὶ ὑγιὴ δόγματα τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, καὶ ἀναθεματίζω τὸν Βαρλαὰμ καὶ τὸν Ἀκίνδυνον ἐκίνον καὶ πάντας τοῦς ὁμόφρονας καὶ τὰ συγγράμματα αὐτῶν, ὁμίως ἀναθεματίζο καὶ πάσαν τὴν ἔρεσι καὶ κακοδοξίαν αὐτῶν, καὶ εἰς τὴν περὶ τοῦτου ἀσφάλιαν ἐγένετο καὶ ὁ παρούσα μου ἔγγραφος ὁμολογία μηνὶ ματῳ ἰνδ. θ' †.

† Συμεῶν ἱερομόναχος †.

CCCXI. 6843 (1334) novembri. ind. III.

Georgio Pepagomeno conferuntur iura patroni in ecclesia S. Demetrii.

† Καθ' ὁρισμὸν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, παραδέδοται παρ' ἡμῶν πρὸς τὸν οἰκεῖον τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, κῦρ Γεώργιον τὸν Πεπαγωμένον, ὁ πλησίον τῶν οἰκημάτων αὐτοῦ τῶν περὶ τὴν πόρταν τοῦ ἁγίου καὶ ἐνδόξου Προδρόμου καὶ Βαπτιστοῦ κατὰ τῶν Κυνήγων διακείμενος πάνσεπτος ναὸς τοῦ ἐν μάρτυσι περιβοήτου μυροβλύτου καὶ θαυματουργοῦ ἁγίου Δημητρίου, ὡς μηδενὸς ἐν αὐτῷ κτητορικὸν δίκαιον ἔχοντος, ὁ μετὰ τῆς περιοχῆς καὶ νομῆς αὐτοῦ, διὰ τὸ θείῳ ζήλῳ κινηθῆναι αὐτὸν καὶ αἰτήσασθαι ἐκχωρηθῆναι περιποιήσασθαι τὸν αὐτὸν τοῦτον ναὸν καὶ, ὧν ἂν αὐτῷ δέῃ, φροντίζειν ἀεὶ καὶ ἐπιμελεῖσθαι πάντων· ἐπιλήψεται τοιγαροῦν ἀπάρτι τοῦ ῥηθέντος πανσέπτου

ναοῦ τοῦ μεγαλομάρτυρος ἁγίου Δημητρίου ὁ τοιοῦτος Πεπαγωμένος, καὶ ἀκωλύτως ἐν τούτῳ διενεργήσει πάντα τὰ δοκοῦντα αὐτῷ, συνοίσοντα πρὸς βελτίωσιν καὶ σύστασιν τοῦ τοιούτου ναοῦ, ἐπιμελῶς φροντίζων πρὸ παντὸς ἄλλου τῆς ἐν αὐτῷ ὀφειλούσης ἐκτελεῖσθαι ὑμνῳδίας ὁμοῦ καὶ ἱεροτελεστίας καὶ τῆς ἀνηκούσης λυχνοκαΐας, ἔτι δὲ καὶ τῆς ἐτησίου τοῦ μεγαλομάρτυρος ἑορτῆς, καὶ ὡς ἂν ἀδιάλειπτον ἐν αὐτῷ διατελεῖται τὸ τῶν κραταιῶν καὶ ἁγίων αὐθεντῶν ἡμῶν καὶ βασιλέων μνημόσυνον καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τοῦ χριστιανικοῦ παντὸς ὀρθοδόξου συστήματος, καὶ οὕτως ἵνα κατέχῃ τὸν τοιοῦτον ναὸν αὐτός τε καὶ τὸ μέρος αὐτοῦ ἀνενοχλήτως ἐκ παντὸς προσώπου καὶ μέρους καὶ πάντα ἀδιασείστως, ἔχοντες ἐπ' ἀδείας εἰσάγειν εἰς αὐτὸν ἱερέα, ὃν ἂν προέλωνται καὶ θέλωσι, πλὴν μετὰ γνώμης τοῦ μέρους τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας, τῇ καθολικῇ δεσποτείᾳ, ἐπισκέψει τε καὶ ἀνακρίσει ταύτης, ὑποκείμενον αὐτόν τε τὸν ἱερέα καὶ τὸν τοιοῦτον ναόν. ἡ μέντοι λόγῳ κυβερνήσεως, ἐκκλησιαστικῇ συγκαταβάσει τε καὶ φιλανθρωπίᾳ, κατέχουσα νῦν τὸν αὐτὸν θεῖον ναόν, κυρᾶ.... ἡ Ἀδινιάτισσα διὰ τὸ φάλλειν ποτὲ ἐν αὐτῷ τὸν αὐτῆς θεῖον ἱερέα τὸν Μαγγανδέριον ἐκεῖνον ὀφείλει ἔχειν, μέχρι ἂν ἐν τῷδε τῷ βίῳ περιῇ, ὅσον ἄρα καὶ εἶχε πρότερον ἐκ τοῦ εἰσοδήματος τοῦ τοιούτου ναοῦ. ἐπὶ τούτοις γὰρ καὶ τὸ παρὸν ἡμέτερον γεγονὸς γράμμα τῷ οἰκείῳ τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, κῦρ Γεωργίῳ τῷ Πεπαγωμένῳ, καὶ παντὶ τῷ μέρει αὐτοῦ ἐπιδέδοται εἰς ἀσφάλειαν.

† Μηνὶ νοεμβρίῳ ἰνδ. τρίτης, ἔτους ,ϛω τεσσαρακοστοῦ τρίτου. εἶχε καὶ ὑπογραφήν· ὁ σακελλίου τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας καὶ σκευοφύλαξ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου Καλὸς διάκονος ὁ Τρικανᾶς †.

CCCXII. 6879 (1371) maio. ind. IX.

Patriarcha decernit, monasterium a monacho Callisto Angelicudae apud Melenicum conditum esse patriarchale.

† Σιγίλλιον πατριαρχικὸν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ περὶ τὸν Μελένικον ἀνεγερθέντι παρὰ τοῦ τιμιωτάτου ἐν μοναχοῖς κῦρ Καλλίστου τοῦ Ἀγγελικούδη †.

† Φθάνει δήπου καὶ τοῦτο τοῖς ἱεροῖς κανόσι πάλαι προτεθεσπισμένον, τὸ ἐξεῖναι δηλαδὴ τοῖς βουλομένοις φροντιστήρια καὶ θείους οἴκους ἀνεγείρειν ἐπὶ τῶν ἑκασταχοῦ μητροπόλεων καὶ τούτους μὴ ὑπάγειν τῇ ἐπικρατείᾳ τῶν ἐν αὐταῖς προέδρων, ἀλλ' ἀξιοῦν τελεῖν αὐτοὺς ὑπὸ τῷ οἰκουμενικῷ πατριάρχῃ διὰ τῶν κατ' ἔθος γινομένων ἐν αὐτοῖς σταυροπηγίων καὶ μηδαμῇ τοὺς τῶν πόλεων μητροπολίτας καὶ προέδρους μνήμην ἔχειν τοῦ ὀνόματος αὐτῶν ἐν ταῖς ἱεροτελεστίαις ταῖς ἐν αὐτοῖς δήπου τοῖς ναοῖς καὶ τοῖς φροντιστηρίοις γινομέναις· καὶ γοῦν ἀρχαίου ὄντος τούτου δὴ τοῦ ἔθους καὶ κανονικοῦ, δόξαν ἤδη καὶ τῷ τιμιωτάτῳ ἐν μοναχοῖς κῦρ Καλλίστῳ τῷ Ἀγγελικούδῃ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ υἱῷ τῆς ἡμῶν μετριότητος, ἐκ βάθρων ἀνεγεῖραι θεῖον καὶ σεβάσμιον ναὸν ἐν τοῖς κατὰ τὸν Μελενίκον μέρεσιν ἐν τῷ ἰδίῳ αὐτοῦ καθίσματι, ἔπειτα τοῦτον θεοῦ βουλομένου ἀποκαταστῆσαι καὶ εἰς ἀνδρῷον μονύδριον, μὴ μέντοι ὑποκεῖσθαι τῇ ἁγιωτάτῃ μητροπόλει Μελενίκου, ἀλλ' εἶναι πατριαρχικὸν καὶ μνημονεύεσθαι τὸν κατὰ καιρὸν τοὺς τῆς ἐκκλησίας οἴακας ἰθύνοντα οἰκουμενικὸν πατριάρχην, διδόναι τε ἐτησίως καὶ πρὸς τὸν διέποντα τὰ ἐκεῖ πατριαρχικὰ ἐξαρχικὰ δίκαια τὸ σύνηθες ἅπαν κανονικόν, κἀντεῦθεν ἐδέησε προβῆναι ἐπὶ τούτῳ καὶ γράμμα σιγιλλιῶδες τῆς ἡμῶν μετριότητος τούτῳ τε τῷ κῦρ Καλλίστῳ καὶ τοῖς ἐνασκουμένοις τῷδε τῷ μονυδρίῳ, ὥστε εἶναι τοῦτο κατὰ τὸ διηνεκὲς εἰς τοὺς ἑξῆς χρόνους πατριαρχικόν. ἡ μετριότης ἡμῶν, τὸ παρὸν ἀπολύουσα σιγιλλιῶδες γράμμα, παρακελεύεται ἐν ἁγίῳ πνεύματι, εἶναι καὶ εὑρίσκεσθαι τοῦτο δὴ τὸ μονύδριον καθ' ἑαυτὸ ὡς πατριαρχικὸν κατὰ τὸ ζήτημα καὶ τὴν βούλησιν τοῦ τιμιωτάτου ἐν μοναχοῖς κῦρ Καλλίστου, καὶ μηδαμῶς ἔχειν ἡντινοῦν ἀνάκρισιν παρὰ τῶν κατὰ καιροὺς προεδρεύειν λαχόντων τῆς ἁγιωτάτης μητροπόλεως Μελενίκου, μήτε μήν τινας τῶν τοῦ κλήρου ταύτης εἰσέρχεσθαι ἐν αὐτῷ, καὶ ἀπαιρεῖν οἱασδήτινας ἀπαιτήσεις καὶ ζημιοῦν αὐτό, ἀλλὰ τοῦτο καὶ μόνον ἔχειν τὸν Μελενίκου ἐν τῷ τοιούτῳ καθίσματι δίκαιον, τὸ μνημονεύεσθαι ἐν τῷ ἐκεῖσε ὄντι παλαιῷ ναῷ τοῦ ἐν ἁγίοις παμμάκαρος καὶ θαυματουργοῦ Νικολάου, καὶ ἕτερον οὐδὲ ἕν, οὐ μὴν δὲ καὶ εἰσέρχεσθαι ἢ τὸν μητροπολίτην ἐν αὐτῷ ἤ τινα τῶν τοῦ κλήρου διὰ τὴν αἰτίαν ταύτην τοῦ μνημοσύνου καὶ ἀπαιτεῖν δίκαια καὶ ποιεῖν καταμονὴν ἐν αὐτῷ καὶ κατατρίβειν αὐτό, ἀλλὰ τοῦτο καὶ μόνον ἔχειν τὸ μνημό-

συνον αὐτοῦ ἐν τῷ δηλωθέντι παλαιῷ ναῷ, ὡς εὑρεθέντι ἐν τῷ τοιούτῳ καθίσματι πρότερον καὶ ὑπὸ τὸν μητροπολίτην Μελενίκου τελοῦντι, ὀφειλομένως ἐνεργουμένου καὶ ἀποδιδομένου τοῦ πατριαρχικοῦ μνημοσύνου ἐν τῷ δηλωθέντι μονυδρίῳ, τάς γε μὴν διορθώσεις τῶν ψυχικῶν σφαλμάτων ποιείτω ὁ εὑρισκόμενος κατὰ καιροὺς ἔξαρχος, καὶ διορθούσθω κανονικῶς. ἐπεὶ δὲ ἐζήτησεν ὁ τοιοῦτος τιμιώτατος ἐν μοναχοῖς κῦρ Κάλλιστος καὶ ἐδεήθη τῆς ἡμῶν μετριότητος καταγραφῆναι ἐν τῷ παρόντι αὐτῆς σιγιλλίῳ καὶ ἃ κέκτηται κτήματα δι' ἐπίσκεψιν καὶ κυβέρνησιν καὶ προμήθειαν τῶν μετ' αὐτοῦ μοναχῶν, ἅτινά εἰσιν· ἀμπέλιον, ὅπερ ἔδωκεν ὁ Τρεάτζος τῷ μονυδρίῳ περὶ τὸν τόπον εὑρισκόμενον τὸν καλούμενον Μάλεσταν, ἕτερον ἀμπέλιον περὶ τὴν Βιτζάγκλαβαν, ὅπερ ἔδωκεν ὁ Τπέρπυρος, ἕτερον ἀμπέλιον καὶ ζευγηλατεῖον εὑρισκόμενα περὶ τὸν τόπον τῆς Κορεμίστης, ἅπερ ἔδωκεν ὁ εὐτυχέστατος δεσπότης Σερβίας ὁ Οὔγκλεσης. ἐζήτησε δὲ τοῦτο, ὡς ἂν ἀναφαίρετα καὶ αὐτὰ ταῦτα καὶ ἄλλα, ὅσα ἂν δοθεῖεν πρὸς τὸ μονύδριον, καὶ ἀναπόσπαστα καθάπαξ διατηρῶνται ἀπ' αὐτοῦ· τῇ παρακλήσει καὶ ταύτῃ προσχοῦσα ἡ μετριότης ἡμῶν παρακελεύεται αὖθις, ὡς ἂν ἔχῃ καὶ ταῦτα τὸ δηλωθὲν μονύδριον κυρίως καὶ δεσποτικῶς καὶ ἀναφαιρέτως εἰς αἰῶνα τὸν ἅπαντα μήτε παρὰ τῶν ἐκκλησιαστικὴν περιεζωσμένων ἰσχὺν ἀρχιερέων δηλονότι καὶ ἱερέων καὶ κληρικῶν, μήτε παρὰ τῶν τὰ κοσμικὰ καὶ δημόσια ἐνεργούντων τὴν τυχοῦσαν εὑρῆσον ποτὲ τῶν καιρῶν διενόχλησιν καὶ ἐπήρειαν ἐπὶ τῇ κατοχῇ καὶ νομῇ καὶ δεσποτείᾳ καὶ κυριότητι τούτων ἁπάντων, ὁ γὰρ ἐνοχλήσων αὐτῷ ἢ ἀφαιρήσων τι, ἀφ' ὧν τὸ τοιοῦτον μονύδριον κέκτηται ἢ εἰς τὸ ἑξῆς προσκτήσεσθαι μέλλει κτημάτων καὶ ἄλλων δικαιωμάτων καὶ προνομίων, ὁποῖος ἂν καὶ εἴη ὁ τοῦτο τολμήσων, εἴτε τοπικὸς ἀρχιερεὺς ἢ κληρικὸς ἢ ἄρχων ἢ καὶ δημόσιος, ἴστω, ὡς ἔνοχος ἔσται τῷ παρὰ τῆς ἡμῶν μετριότητος ἐπιτιμίῳ τοῦ ἀφορισμοῦ, ὡς ἱερόσυλος ἄντικρυς κριθήσεται, ἐπειδὴ ὁ ἀποσπᾶν καὶ ἀφαρπάζειν πειρώμενος τὰ τῷ θεῷ ἅπαξ ἀνατεθέντα καὶ ἀφιερωθέντα τοῖς τῶν ἱεροσύλων ἐπιτιμίοις ὑπόκειται. οὐ μὴν ἀλλὰ καὶ πᾶν, ὅπερ ἂν βουληθείη ποιήσειν ἐν αὐτῷ ὁ τιμιώτατος οὗτος ἐν μοναχοῖς κῦρ Κάλλιστος, ἀφορῶν εἰς σύστασιν καὶ βελτίωσιν αὐτοῦ καὶ πάντων τῶν ἐν αὐτῷ πνευματικὴν ἐπίδοσίν τε καὶ προκοπήν, τὸ στέργον ἔχειν ὀφείλει καὶ παντελῶς ἀπαρεγχείρητόν τε καὶ ἀκατάλυτον. ἐπὶ τούτῳ γὰρ γεγονὸς καὶ τὸ

παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος ἀνετέθη τῷ δηλωθέντι μονυδρίῳ εἰς διηνεκῆ τὴν ἀσφάλειαν καὶ βεβαίωσιν. ἐν μηνὶ μαΐῳ τῆς ἐνάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἑβδομηκοστοῦ ἐνάτου ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

CCCXIII. 6877 (1369) maio. ind. VII.

Patriarcha declarat, Moysen Phacrasam posse ordinari sacerdotem.

† Σιγίλλιον γεγονὸς τῷ τιμιωτάτῳ ἐν μοναχοῖς κῦρ Μωυσεῖ τῷ Φακρασῇ ἐπὶ τῇ ἀθῴωσει αὐτοῦ †.

† Ἔφθασε μὲν πρό τινων ἤδη χρόνων εἰς ἀκοὰς ἐλθεῖν τοῦ πρὸ ἡμῶν πατριάρχου λαλούμενα ἐγκλήματά τινα κατὰ τοῦ μοναχοῦ Μωυσέος τοῦ Φακρασῆ, ὅτε μηδαμῶς ἐξετασθέντων τούτων ὥστε φανερωθῆναι, εἰ ἀληθῶς ἔχουσιν ἢ τοὐναντίον, ἔγραψεν ἐκεῖνος πρὸς τὸ Ἅγιον Ὄρος τὸν Ἄθω, ἵνα μὴ προβιβασθῇ εἰς ἱερωσύνην οὗτος, καὶ βουλόμενος οὗτος ἀναδραμεῖν εἰς ἐκεῖνον καὶ ἀνενεγκεῖν ταῦτα καὶ μαθεῖν παρ' ἐκείνου, διὰ τίνα τὴν αἰτίαν πρὶν ἂν ἐξετασθῇ κατεδικάσθη, ἐπεὶ συντόμως ἐξ ἀνθρώπων ὁ πατριάρχης ἐγένετο, οὐκ ἔχων οὗτος, ὅ τι καὶ δράσειεν, ἐξ ἀνάγκης ἐκάθητο σιωπῶν. τῆς ἡμῶν δὲ μετριότητος κρίμασι θειοτέροις ἐπὶ τὸν ὕψηλὸν τῆς πατριαρχείας ἐπανελθούσης θρόνον, ἀναδραμὼν οὗτος εἰς αὐτὴν ἀναφέρει περιπαθῶς τὰ τοιαῦτα καὶ διηγεῖται μὲν, ὅπως οὐδαμῶς πρὸς βουλήσεως ἦλθεν αὐτῷ τὴν ἱερωσύνην ζητῆσαι, ἀλλ' οὕτω συνήθως ἐν τῇ μεγάλῃ διατρίβων Λαύρᾳ καὶ μηδὲν ὅλως περὶ τούτου λαλῶν, ἐρήμην ἐξαίφνης ἀκούει τὴν καταδίκην παρὰ τοῦ πρὸ ἡμῶν πατριάρχου· ὡς ἂν οὖν τὸν αὐτῷ προστριβέντα μῶμον ἀπορρίψῃ ἀνέδραμεν ἕως ἡμῶν, δεῖται δὲ τῆς ἡμῶν μετριότητος, ὡς ἂν ἐξετάσει δοῦσα τὰ κατ' αὐτὸν μάθῃ, ὁποῖά ποτ' ἐστὶ τὰ λαλούμενα. ἐπεὶ οὖν οὐκ εἶχεν, ὅ τι καὶ πράξειεν ἡ μετριότης ἡμῶν, μηδαμῶς φαινομένων κατηγόρων, μηδ' ὁπωστιοῦν περὶ τούτου λεγόντων, γραφὴν αὐτῆς ἀπολύει, ὥστε τὸν εἰδότα τι κατ' αὐτοῦ ἐντὸς διωρίας ἓξ μηνῶν ἔχειν τόπον κατηγορίας, ὡς ἂν ἀναδραμὼν

πρὸς τὴν ἡμῶν μετριότητα εἴπῃ τοῦτο καὶ ἀποδείξῃ διὰ μαρτύρων. ἀλλὰ καὶ τῆς διωρίας ταύτης παρελθούσης ὁμοίως ἦν ἄδηλον τὸ κατ' αὐτὸν, μηδενὸς λέγοντός τι, τοῦ δὲ καλογήρου τῆς ἡμῶν μετριότητος δεῆσαν ἀπελθεῖν εἰς τὸ Ἅγιον Ὄρος καὶ ἀναθείσης αὐτῷ ταύτης τὴν περὶ τούτου ἐξέτασιν, ἐπεὶ συνάξεως γενομένης ἐν τῇ ἱερᾷ Λαύρᾳ καὶ πάντων ἀπαιτηθέντων διὰ γραφῆς ἡμετέρας ἐξειπεῖν ὅσον γινώσκουσι κατ' αὐτοῦ τὸ σύνολον, ἀναφοραὶ πρὸς τὴν ἡμῶν μετριότητα πέμπονται τοῦ τε τιμιωτάτου καθηγουμένου τῆς ἱερᾶς Λαύρας καὶ λοιπῶν ἀξιολόγων ἀνθρώπων, ἀνέγκλητον τὸν ἄνθρωπον μαρτυροῦσαι, καὶ μηδαμῶς εἰδέναι τούτους, τί τὸ κωλῦον αὐτὸν εἰς ἱερωσύνην προβῆναι· ἔπειτα καὶ πρὸς τὸν πνευματικὸν αὐτοῦ πατέρα μετ' ἐπιτιμίου ἀφορισμοῦ γραφάσης τῆς ἡμῶν μετριότητος, ὥστ' ἐξειπεῖν, ὅσα γινώσκει κατ' αὐτοῦ, ἀντέγραφε καὶ ἐκεῖνος, καὶ ὅσα ἔλεγεν, οὐδόλως ἦσαν ἐμποδίζοντα τοῦτον εἰς ἱερωσύνην ἀναχθῆναι. μετὰ ταῦτα πάντα ζητήσας οὗτος ὁ κῦρ Μωυσῆς ἐξομολογήσασθαι τῇ ἡμῶν μετριότητι καὶ τυχὼν τῆς δεήσεως καὶ ἐξομολογησάμενος ἅπαντα, ὅσα αὐτῷ πέπρακται παιδιόθεν, οὐδὲν εἶπεν ἀφ' ὧν ἐξομολογήσατο τῶν κωλυόντων τὴν ἱερωσύνην. διὰ ταῦτα τὸ παρὸν ἀπολύουσα σιγιλλιῶδες γράμμα ἡ μετριότης ἡμῶν ἔχει αὐτὸν ἀνεύθυνον πάντη καὶ ἀνέγκλητον, ὥστε μηδὲν αὐτῷ ἐμποδὼν γενέσθαι πρὸς τὴν ἱερωσύνην, ὡς διὰ πολλῶν ἐξετασθείσης τῆς κατ' αὐτὸν ὑποθέσεως καὶ μηδενὸς ἐλλείποντος τῶν δεόντων γεγονέναι, ὥστε ἀνέγκλητον εὑρεθῆναι καὶ καθαρόν· ὅτε δεήσει τοιγαροῦν, καὶ γενήσεται χρεία, χειροτονηθήσεται ἀκωλύτως καὶ ἀνεμποδίστως, παρὰ μηδενὸς εὑρίσκων τὴν τυχοῦσαν διενόχλησιν. συγχωρεῖ δὲ αὐτὸν ἡ μετριότης ἡμῶν καὶ εἰς ἅπερ αὐτῇ ἐξωμολογήσατο, ἅτινα οὐκ ἦν ἐμπόδιον εἰς ἱερωσύνην, καὶ ἐπεύχεται αὐτῷ σωτηρίαν ψυχικὴν καὶ ἄλλο πᾶν ἀγαθόν. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ δὴ τῷ διαληφθέντι κῦρ Μωυσεῖ καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος κατὰ μῆνα μάιον τῆς ἐνισταμένης ἑβδόμης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ωο ἑβδόμου ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

In margine adscripta sunt haec:

† Ἀπηλείφθη ὡς ψευδὴς ἡ λεγομένη αὕτη ἀθῴωσις, ὅτι ὁ ἁγιώτατος πατριάρχης κῦρ Κάλλι τος καλῶς διέγνω, μὴ προβῆναι αὐτὸν εἰς ἱερωσύνην. ἀλλὰ καὶ ἡ ἐξομολόγησις αὐτοῦ αὕτη ψευδὴς ἦν· ὑπὲρ γὰρ τὰ τεσσαράκοντα ὢν καὶ εἰς ἱερωσύνην ἐλθεῖν σπουδάζων, ἃ ἐβούλετο, ἐκεῖνα καὶ ἐξωμολογήσατο, ὑπέκρυφε γὰρ, ὅτι τὸ μοναδικὸν ἀπεδύσατο σχῆμα καὶ κατὰ κοσμικοὺς διῆγε, καὶ ὅτι ὤμοσε, μηδέποτε ζητῆσαι ἱερωσύνην, ἵνα τὰ ἄλλα πάντα διὰ τὸ πλῆθος ἐάσωμεν †.

CCCIV. (6880—1371) octobri. ind. X.

Professio fidei monachi Xenophontis, abiurantis Barlaam et Acindyni errores.

Πιστεύω εἰς ἕνα θεὸν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς κ. τ. λ.

† Ἐπεὶ δὲ ὑπωπτεύθην παρά τινων εὐσεβῶν, ὅτι οὐ φρονῶ καὶ ἐγὼ, ἅπερ ἡ τοῦ θεοῦ ἁγία ἐκκλησία καὶ φρονεῖ καὶ δοξάζει, ἀλλὰ τὰ τοῦ Βαρλαὰμ καὶ τοῦ Ἀκινδύνου δυσσεβῆ δόγματα, καὶ τούτου ἀνενεχθέντος τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ καὶ αὐθέντῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, παρέστην καὶ αὐτὸς καὶ ὡμολόγησα, ὅτι καὶ ἐφρόνουν καὶ φρονῶ, ἅπερ ἡ τοῦ Χριστοῦ ἁγία ἐκκλησία καὶ φρονεῖ καὶ κηρύττει, καὶ ἀπῃτήθην δοῦναι ταύτην μου τὴν ὁμολογίαν ἐγγράφως· ἤδη ὁμολογῶ ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ αὐθέντου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι στέργω καὶ ὁμολογῶ καὶ ἀσπάζομαι καὶ φρονῶ τὰ ὀρθὰ καὶ ὑγιῆ δόγματα τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, καὶ ἀναθεματίζω τὸν Βαρλαὰμ καὶ τὸν Ἀκίνδυνον καὶ πάντας τοὺς ὁμόφρονας αὐτῶν καὶ τὰ συγγράμματα αὐτῶν, ὡσαύτως ἀναθεματίζω καὶ πᾶσαν τὴν αἵρεσιν καὶ κακοδοξίαν αὐτῶν, καὶ εὔχομαι μετὰ ταύτης μου τῆς ὁμολογίας ἀπελθεῖν καὶ τῷ τοῦ Χριστοῦ μου βήματι παραστῆναι. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσά μου ἔγγραφος ὁμολογία, μηνὶ ὀκτωβρίῳ ἰνδ. δεκάτης †.

† Ὁ Ξενοφόν μοναχος †.

CCCXV. (6879—1371) 31. maii. ind. IX.

Decisio synodalis de restituendis fundis ecclesiae Methymnae.

† Φθάνει πρό τινος ἤδη καιροῦ ὁ ἱερώτατος μητροπολίτης Μηθύμνης καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν ἱερᾶς καὶ μεγάλης συνόδου χειροτονηθεὶς ἀρχιερεὺς τῆς ἐκκλησίας ταύτης· ἐπεὶ δὲ ταύτην καταλαβὼν εὗρεν ἔρημον ταύτην καὶ στερουμένην τῶν ἰδίων κτημάτων κατεχομένων παρὰ τῶν κληρικῶν ἀμετόχως καὶ παρὰ πάντα δικαίου λόγον πρόφασιν εὑρισκόντων τοὺς προτέρους ἀρχιερεῖς τῆς ἐκκλησίας ταύτης, οἵτινες ἀπεχαρίζοντο πρὸς τοὺς προγόνους καὶ τοὺς γονεῖς αὐτῶν ταῦτα, καὶ διὰ τὸ λανθάνειν τὴν δωρεὰν καὶ τὴν χάριν, καὶ σκιάν τινα τέλους δῆθεν ὑπὲρ αὐτῶν ἐποίουν, καὶ βουλομένων κατὰ διαδοχὴν κατέχειν ταῦτα ὡς ἐκεῖνοι, μεθ' ὧν ἦν καὶ ὁ τοῦ πρωτονοταρίου τῆς ἐκκλησίας ταύτης πατὴρ, ὁ Οἰκονόμος ἐκεῖνος, ἀφαρπάσας τὰ πλείω τῶν κτημάτων καὶ κρείττω, οὗτινος τὸ χρεὼν λειτουργήσαντος οὗτος ὁ υἱὸς ἐκείνου πάντων ἐγκρατὴς γεγονὼς ἀμετόχως ἀποστερεῖ τῶν ἰδίων κτημάτων αὐτήν. καὶ πολλοὺς σπουδάσας ὁ ἱερώτατος μητροπολίτης Μηθύμνης εἰς τοῦτο, ὥστε ἐπανασώσασθαι τῇ ἐκκλησίᾳ τὰ κτήματα καὶ μὴ παντελῶς περιλειφθῆναι ἐστερημένην καὶ ἐνδεᾶ, τοὺς μὲν τῶν κληρικῶν εὗρε καταπειθεῖς ἀπολύσαντας τῇ αὐτοῦ παραινέσει, ἅπερ κατεῖχον, τῶν δὲ λοιπῶν μὴ βουλομένων, ἀλλὰ δυναστείᾳ χρωμένων καὶ μάλιστα τοῦ πρωτονοταρίου, ἐδεήθη ὁ μητροπολίτης τῆς ἡμῶν μετριότητος τυχεῖν συνοδικῆς αὐτῆς διαγνώσεως καὶ βοηθείας· αὕτη συνδιασκεψαμένη τῇ περὶ αὐτὴν ὁμηγύρει τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τὸ παρὸν ἀπολύει συνοδικὸν σιγιλλιῶδες γράμμα, δι' οὗ καὶ παρακελεύεται κατὰ τὴν τῶν ἱερῶν κανόνων διαταγὴν, ἐπανασωθῆναι τὴν ἐκκλησίαν τὰ κτήματα αὐτῆς, ὅσαπερ ἔφθασαν οἱ πρότερον ἀρχιερεῖς δοῦναι πρός τινας τῶν κληρικῶν· εἰ γὰρ καὶ γράμματα ἐκείνων προτείνουσιν εἰς δικαίωσιν, ἀλλ' οὐδεὶς τῶν ἀρχιερέων ἔχει ἄδειαν διδόναι εἰς τελείαν δεσποτείαν καὶ διακατοχὴν τὰ τῶν ἐκκλησιῶν ἀκίνητα κτήματα, ἀλλὰ μέχρι μὲν ὅλης τῆς ζωῆς αὐτοῦ στέργει τὸ γινόμενον παρ' αὐτοῦ, μετὰ δὲ τὸν αὐτοῦ θάνατον ἐπαναστρέφονται πρὸς τὴν ἐκκλησίαν, τοῦτο

διακελευομένων καὶ τῶν ἱερῶν κανόνων καὶ τῶν φιλευσεβῶν νόμων. ταῦτα μὲν ὀφείλει στέρξειν καὶ ὁ πρωτονοτάριος καὶ ἀπολῦσαι, ἅπερ κατέχει τῆς ἐκκλησίας κτήματα ὡς ἀπὸ διαδοχῆς τοῦ πατρὸς αὐτοῦ, καὶ ἔχειν ἐκεῖνα μόνα, ἅπερ ἂν διακρίνοι ὁ μητροπολίτης δοῦναι αὐτῷ, εἴπερ ἄρα καὶ διακρινεῖ, ὁμοίως καὶ οἱ λοιποὶ κληρικοὶ ὀφείλουσιν ἐμμένειν πᾶσι καὶ μόνοις τοῖς δοθεῖσιν αὐτοῖς χάριν κληρικάτων, τὰ δὲ λοιπὰ ἀπολῦσαι, ὥστε πρὸς τὴν ἐκκλησίαν ἀντιστραφῆναι· ἀλλὰ οὐδὲ ἀπὸ τούτων, ἅπερ εἰς τὰ ἴδια κληρικάτα ἔχουσι, ἔξουσιν ἐπ' ἀδείας ποτὲ ἀποχαρίζεσθαι πρός τινα ἢ λεγατεύειν ἢ εἰς προῖκα διδόναι, ἀλλ' ἐν μόνῃ τῇ ζωῇ αὐτῶν ἔσονται κατέχοντες ταῦτα, μετὰ δὲ τὸν αὐτῶν θάνατον ἐπαναστρέφονται καὶ αὐτὰ πρὸς τὴν ἐκκλησίαν, ὥστε ἀπὸ τούτων διδόναι τὸν μητροπολίτην πρὸς τοὺς ἑτέρους κληρικοὺς τοὺς ἀναγομένους καὶ προκόπτοντας. ταῦτα μὲν οὖν ὀφείλουσιν ἅπαντες οἱ τῆς εἰρημένης ἐκκλησίας κληρικοὶ στέργειν καὶ τούτοις ἐμμένειν, ἅπερ συνοδικῶς παρακελεύεται ἡ μετριότης ἡμῶν· εἰ δέ τις καὶ μετὰ τὴν παροῦσαν παρακέλευσιν ἀντιλέγειν πειραθείη καὶ ἀντιπράττειν καὶ ἀνθίστασθαι, τῷ παρ' ἡμῶν συνοδικῷ ἐπιτιμίῳ τοῦ ἀφορισμοῦ καθυποβληθήσεται, ὁποῖος ἂν εἴη. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος ἐπὶ τῷ προσεῖναι τῇ ἁγιωτάτῃ τῆς Μηθύμνης ἐκκλησίᾳ εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους δι' ἀσφάλειαν, παρακελευομένης καὶ τοῦτο, ὡς εἴπερ εἰσὶν οἱ τῶν κληρικῶν διάδοχοι καὶ αὐτοὶ κληρικοὶ καὶ ὑπηρεσίαν διδόντες τῇ ἐκκλησίᾳ, ὀφείλουσιν καὶ οὗτοι κληρονομεῖν τὰ τῶν γονέων κληρικάτα καὶ κατέχειν αὐτά, ὥσπερ καὶ ἐκεῖνοι· εἰ δὲ οὐκ εἰσὶ κληρικοί, τότε ὀφείλουσιν ἀντιστρέφεσθαι τὰ κτήματα κατὰ τὴν παροῦσαν παρακέλευσιν τῆς ἡμῶν μετριότητος ἀπολυθεῖσαν εἰς τὴν περὶ τούτου ἀσφάλειαν †.

† Ἀπελύθη τῇ λα'. εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς· μηνὶ ματῳ ἰνδ. θ' †.

CCCXVI. (6880—1371) octobri. ind. X.

Promissio sacerdotis Georgii Panormeni.

† Ἐγὼ Γεώργιος ἱερεὺς ὁ Πανορμηνὸς ποιῶ τὴν παροῦσάν μου ὑπόσχεσιν ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ λέγω καὶ ἀσφαλίζομαι, ὅτι ἐὰν ἀνα-

φανῇ ποτε μετὰ ἐξετάσεως, ἵνα εἰσέλθω εἰς καπηλεῖον ἢ ἵνα κλέψω τὸ τυχὸν, καθὼς κατηγοροῦσί μου τινὲς, ὅτι ποιῶ, ἵνα καταδικάζωμαι, καθὼς οἱ θεῖοι καὶ ἱεροὶ κανόνες παρακελεύονται, ἢ ἐὰν ποιήσω ἕτερόν τι ἀπειρημένον τοῖς ἱεροῖς κανόσι. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις μηνὶ ὀκτωβρίῳ ἰνδ. δεκάτης †.

† Ὁ εὐτελὴς ἱερεὺς Γεώργιος ὁ Πανορμηνὸς βεβαιῶν ὑπέγραψα †.

CCCXVII. (6879—1371). 11. augusti. ind. IX.

Patriarcha confert metropolitae Sugdaeae Ialitam et iura patriarchalia curanda in ecclesia Gotthiae (τὴν Ἰαλίταν καὶ τὰ περὶ αὐτὴν πάντα καὶ ὅσα ἐν τῇ ἐνόρια τῆς Γοτθίας πατριαρχικὰ δίκαια).

CCCXVIII. Sine anno.

Litterae Casimiri regis Lachiae ad patriarcham de metropolita Galitzae.

† Πιττάκιον τοῦ κράλη τῆς Βλαχίας, τοῦ Καζημήρου, πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ὅπερ καὶ ὁ ἐκεῖθεν ἐπίσκοπος ἐλθὼν κῦρ Ἀντώνιος εἰς μητροπολίτην Γαλίτζης ψήφῳ τῆς ἱερᾶς καὶ θείας συνόδου προεβιβάσθη †.

† Πρὸς τὸν πρωτόθρονον πανιερώτατον πατριάρχην Κωνσταντινουπόλεως οἰκουμενικῆς συνόδου προσκύνημα καὶ πολὺς δαρμὸς τοῦ προσώπου ἀπὸ τὸν υἱόν σου, τὸν κράλην Καζήμηρον τῆς γῆς τῆς Λαχίας καὶ τῆς Μικρᾶς Ῥωσίας καὶ ἀπὸ τοὺς ῥηγάδας τῆς Ῥωσίας, οἵτινες εἰς τὴν τῶν χριστιανῶν πίστιν πιστεύουν, καὶ ἀπὸ τοὺς ἄρχοντας τῶν Ῥώσων πολὺς δαρμὸς τῶν μετώπων· ζητοῦμεν παρά σου τοῦ ἡμετέρου ἀρχιερέως· πᾶσα γῆ φθείρεται νῦν ἄνευ νόμου, ὅτι ὁ νόμος χαώνεται· ἐξ αἰῶνος αἰώνων μητρόπολις ἠκούετο ἡ Γάλιτζα εἰς πάντα τὰ μέρη, καὶ θρόνος ἦν μητροπόλεως ἐξ αἰῶνος αἰώνων· πρῶτον ἦν μητροπολίτης τῆς ὑμῶν εὐλογίας ὁ Νίφων, δεύτερος μητροπολίτης ὁ Πέτρος, τρίτος μητροπολίτης ὁ Γαβριὴλ, τέταρτος μητροπολίτης ὁ Θεόδωρος, οὗτοι πάντες ἦσαν εἰς αὐτὸν τὸν θρόνον τῆς Γαλίτζης,

ἦσαν συγγενεῖς οἱ ῥηγάδες τῆς Ῥωσίας ἡμέτεροι, καὶ οὗτοι οἱ ῥῆγες διέβησαν τῆς Ῥωσίας, καὶ ἡ γῆ χήρα ἦν, καὶ μετὰ ταῦτα ἐκέρδησα ἐγὼ, ὁ κράλης τῆς Λαχίας, τὴν γῆν τῆς Ῥωσίας. καὶ νῦν, ἅγιε πάτερ πατριάρχα τῶν οἰκουμενικῶν συνόδων, ζητοῦμεν παρὰ σοῦ τοῦ ἡμετέρου ἀρχιερέως, ὅτι μὲ τοῦ θεοῦ τὸ ἔλεος καὶ τὴν ὑμῶν εὐλογίαν καὶ μετὰ τῶν ἡμετέρων ῥηγάδων καὶ ἀρχόντων ἐκλεξάμεθα ἄνθρωπον ἄξιον, καλὸν, καθαρᾶς πολιτείας καὶ τεταπεινωμένης καρδίας, τὸν ἱερώτατον ἐπίσκοπον Ἀντώνιον, εἰς τοῦτο εἰς τὴν ὑμετέραν εὐλογίαν καὶ διὰ τὸν θεὸν καὶ δι' ἡμᾶς καὶ τὰς ἁγίας ἐκκλησίας, ἵνα ἐγένετο ἡ εὐλογία σας καὶ ἐπάνω τοῦ ἀνθρώπου τούτου, ἵνα μὴ ἐκλείπῃ ὁ θρόνος τῆς τοιαύτης μητροπόλεως, χειροτονήσατε μητροπολίτην τὸν Ἀντώνιον, ἵνα μὴ ὁ νόμος χαωθῇ τῶν Ῥώσων, ἵνα μὴ καταλυθῇ· εἰ δ' οὐ γενήσεται τὸ ἔλεος τοῦ θεοῦ καὶ ἡ εὐλογία σας τούτῳ τῷ ἀνθρώπῳ, μετὰ ταῦτα μηδὲν λυπεῖσθε καθ' ἡμῶν· ἡ ἡμῶν ἀνάγκη ἔσεται εἰς τὴν τῶν Λατίνων πίστιν βαπτίζειν τοὺς Ῥώσους, εἰ οὐκ ἔστι μητροπολίτης εἰς τὴν Ῥωσίαν, διότι ἡ γῆ οὐ δύναται εἶναι ἄνευ νόμου †.

CCCXIX. 6879 (1371) maio. ind. IX.

Synodus episcopo Antonio confert metropolim Galitzae et per adiunctionem episcopatus Cholmen, Turobum, Peremusthlin et Volodimirum.

† Πρᾶξις συνοδικὴ ἐπὶ τῷ ἀπὸ τῆς Μικρᾶς Ῥωσίας ἐλθόντι ἐπισκόπῳ κῦρ Ἀντωνίῳ μετατεθέντι εἰς μητροπολίτην Γαλίτζης †.

† Τῆς ἁγιωτάτης μητροπόλεως Γαλίτζης ἐκ πολλῶν ἤδη χρόνων γυμνίου χηρευούσης ἀρχιερέως, ἐπεὶ ἀναγκαῖον ἦν προστήσασθαι ταύτης μητροπολίτην ἐπὶ διδασκαλίᾳ τῶν θείων τοῦ Χριστοῦ ἐντολῶν καὶ τῇ ἐντεῦθεν αὐξήσει καὶ ἐπιδόσει τοῦ χριστωνύμου λαοῦ, ἔδοξε τῇ ἡμῶν μετριότητι ἅμα τῇ περὶ αὐτὴν ἱερᾷ καὶ θείᾳ συνόδῳ συνδιασκεψαμένῃ φηφίσασθαι ἀρχιερέα εἰς τὴν τοιαύτην ἁγιωτάτην μητρόπολιν Γαλίτζης, καὶ ἐπεὶ οἴκοθεν ἐλθὼν ὁ θεοφιλέστατος ἐπίσκοπος κῦρ Ἀντώνιος, χρόνον πολὺν ἐνταῦθα προσκαρτερήσας καὶ ἀκριβεῖ δοθεὶς βασάνῳ καὶ ἐξετάσει καὶ δοκιμασίᾳ, προεκρίθη καὶ ἐξελέγη παρὰ τῆς συνοδικῆς ταύτης ψήφου εἰς τὴν προεδρίαν καὶ προστασίαν τῆσδε τῆς ἁγιωτάτης μητροπόλεως Γαλίτζης ἁρμόδιος καὶ ἱκανὸς, κἀντεῦθεν προεβιβάσθη καὶ ἐγένετο οὗτος ἐξ ἐπισκόπου μητροπολίτης τῆς τοιαύ-

της μητροπόλεως συνοδικῇ ψήφῳ καὶ γνώμῃ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἡρακλείας, τοῦ Νικαίας, τοῦ Βρύσεως, τοῦ Ἀθηνῶν, τοῦ Σηλυβρίας, τοῦ Σωζοπόλεως καὶ τοῦ ἀρχιεπισκόπου Δέρκω, ὀφείλει ἔχειν τὴν τοιαύτην ἀγιωτάτην μητρόπολιν, ἀπολαύων τοῦ ταύτης ὀνόματος ἔν τε στάσεσι καὶ καθέδραις ταῖς μετὰ τῆς ἱερᾶς συνόδου καὶ ἀλλαχοῦ, καὶ τοῦ ἐν τοῖς ἱεροῖς διπτύχοις, ὡς εἴθισται, μνημοσύνου κατὰ τὴν κανονικὴν ἀκρίβειάν τε καὶ παρατήρησιν, ὀφείλων ἐγκαθιδρυθῆναι καὶ τῷ ἱερῷ συνθρόνῳ τῆς κατ' αὐτὸν ἐκκλησίας, σφραγίζειν τε ἀναγνώστας καὶ ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν καὶ πάντα τὰ ἱερὰ πράττειν ἀκωλύτως, ὡς γνήσιος ἀρχιερεὺς καὶ ὢν καὶ ὀνομαζόμενος, ἔτι τε ἐπιλαβέσθαι καὶ τῶν ὁθενδήποτε διαφερόντων τῇ κατ' αὐτὸν ταύτῃ ἐκκλησίᾳ δικαίων, καὶ μὴ ἔχειν ἄδειάν τινα τῶν ἁπάντων ἢ τῶν πλησιοχώρων ἀρχιερέων ἢ καὶ ἄλλον τινὰ ὑποκρατῆσαί τι τῶν ὑπὸ τὴν ἐνορίαν πᾶσαν αὐτοῦ δικαίων καὶ χεῖρα πλεονεκτικὴν αὐτοῖς ἐμβαλεῖν, ἐπεὶ οὗτος καὶ μόνος ἐστὶ τῆς ἐκκλησίας ταύτης καὶ προστάτης καὶ ἀρχιερεύς, καὶ τῶν αὐτῆς δικαίων καὶ οἰκονόμος καὶ κύριος καὶ διδάσκαλος ἀποκατέστη παρὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ φροντιστὴς τῶν ὑπ' αὐτὴν εὑρισκομένων χριστιανῶν, καὶ ἀνάγκην ἔχει πᾶσαν παραινεῖν καὶ εἰσηγεῖσθαι αὐτοῖς τὰ ψυχωφελῆ καὶ ὁδηγεῖν αὐτοὺς ἐπὶ τὰ κρείττω καὶ σωτηρίας ἐχόμενα, ὡς λόγον ὑπὲρ αὐτῶν τῷ θεῷ ἐν ἡμέρᾳ κρίσεως ἀποδώσων. ὀφείλει δὲ λαβεῖν ἐπιδόσεως λόγῳ καὶ τὰς ἁγιωτάτας ἐπισκοπάς, τό τε Χόλμην, τὸ Τούροβον, τὸ Περεμούσκλην καὶ τὸ Βολοδίμοιρον, μέχρις ἂν διαλυθῶσιν αἱ ἐκεῖ νῦν οὖσαι μάχαι, καὶ γένηται εἰρήνη καὶ διάλυσις τῶν σκανδάλων, καὶ ἔχειν ἄδειαν διδάσκειν τὸν ἐν αὐταῖς χριστώνυμον τοῦ κυρίου λαὸν καὶ σφραγίζειν ἀναγνώστας ἐκ τῶν ἐν αὐταῖς, ὑποδιακόνους καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους χειροτονεῖν, ναὶ μὴν καὶ ἐπισκόπους, πλὴν ἐπεὶ οὐκ ἔχει ἀρτίως ἐπισκόπους, μεθ' ὧν ἂν χειροτονήσῃ αὐτούς, ὀφείλει μετὰ τὸ ἀπελθεῖν εἰς τὴν ἐκκλησίαν αὐτοῦ ἐκλέξασθαι, οὓς ἂν διακρίνοι, καὶ παραγενέσθαι πρὸς τὸν ἱερώτατον μητροπολίτην Οὐγγροβλαχίας, ὡς ἂν ἐκεῖ μετ' αὐτοῦ ποιήσηται καὶ τὰς ψήφους τῶν ἐπισκόπων καὶ τὰς χειροτονίας. ὀφείλουσι δὲ καὶ οἱ ἐν πάσῃ τῇ ἐνορίᾳ ὄντες τῆς κατ' αὐτὸν ἁγιωτάτης ἐκκλησίας καὶ οἱ τῶν εἰρημένων ἐπισκοπῶν, ἱερωμένοι, μονάζοντες,

ἄρχοντες, ἰδιῶται καὶ ὁ λοιπὸς χριστώνυμος τοῦ κυρίου λαὸς τιμὴν ἀπονέμειν αὐτῷ καὶ αἰδῶ καὶ ὑποταγὴν καὶ εὐπείθειαν τὴν προσήκουσαν ὡς ἀρχιερεῖ αὐτῶν γνησίῳ, διδασκάλῳ τε καὶ ποιμένι καταστάντι καὶ ἐκλεγέντι ψήφῳ τῆς ἱερᾶς καὶ θείας συνόδου καὶ ἐπικρίσει τῆς ἡμῶν μετριότητος, καὶ ὑπείκειν τούτῳ καὶ ὑποτάσσεσθαι, ἐφ' οἷς ἂν ἔχοι λέγειν πρὸς αὐτοὺς ψυχωφελέσι καὶ σωτηριώδεσι· ἡ γὰρ εἰς αὐτὸν γινομένη τιμὴ καὶ αἰδὼς εἰς αὐτὸν τὸν θεὸν τὴν ἀναφορὰν ἔχει, οὗ τὴν εἰκόνα φέρει ὁ ἀρχιερεύς. καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἀπολέλυται καὶ τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Γαλίτζης καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, ἡ παροῦσα αὐτῆς συνοδικὴ ψῆφος καὶ πρᾶξις κατὰ μῆνα μάιον τῆς θ' ἰνδ. τοῦ ,ϛωοθ ἔτους †.

† Εἶχε τὸ πρωτότυπον καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

CCCXX. Sine anno.

Algerdus, rex Lituanorum, litteris ad patriarcham datis refellit accusationes metropolitae Kioviae.

† Πιττάκιον τοῦ ῥηγὸς τῶν Λητβῶν, τοῦ Ἀλγέρδου, πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην †.

† Ἀπὸ τὸν βασιλέα Λητβῶν, τὸν Ἄλγερδον, εἰς τὸν πατριάρχην προσκύνημα. ἔπεμψας εἰς ἐμὲ γράμμα μετὰ τοῦ Θεοδώρου μου, ὅτι λυπεῖται πρὸς σὲ ὁ μητροπολίτης ἐπάνω μου. λέγει οὕτως· ἐκούρσευσέ μας ὁ βασιλεὺς, ὁ Ἄλγερδος. ἐγὼ οὐκ ἠρξάμην τοῦ κουρσεύειν, ἤρξαντο ἐκεῖνοι πρῶτον τοῦ κουρσεύειν, καὶ τοῦ σταυροῦ τὸ φίλημα, ὅπερ εἶχον πρὸς μὲ, οὐ κατέθηκαν, οὔτε τὰ ὁρκωμοτικὰ ἀπέπεμψαν πρός με, ἐκούρσευσάν με ἐννέα φορὰς, καὶ τὸν γυναικάδελφόν μου τὸν ῥῆγα Μιχαὴλ ἐνόρκως ἔκραξαν εἰς ἑαυτοὺς, καὶ ὁ μητροπολίτης ἐξέβαλεν ἀπ' ἐκείνου τὸν φόβον, ὅτι νὰ ἔλθῃ καὶ νὰ ὑπάγῃ μὲ τὸ θέλημάν του, καὶ ἐπίασάν τον, καὶ τὸν γαμβρόν μου, τὸν ῥῆγα τὸν Μπορίσην τοῦ Χαμηλοῦ Νοβογραδίου, ἐπίασάν τον, καὶ ἐπῆραν καὶ τὸ ῥηγατίον του, τὸν

γαμβρόν μου, τὸν ῥῆγαν τὸν Ἰωάννην τοῦ Νοβοσιλίου, καὶ τὸ ῥηγατίον του ἐκούρσευσαν, καὶ τὴν μάναν του ἐπίασάν την, καὶ τὴν θυγατέρα μου ἀπῆραν την, καὶ τὸν ὅρκον, ὃν εἶχον πρὸς ἐκείνους, οὐ κατέθηκαν, ἐπάνω τούτου τοῦ σταυροφιλήματος, ἐπήρασιν ἀπ' ἐμοῦ κάστρα τὸ Ῥζόβα, τὸ Σήζκα, τὸ Γούδην, τὸ Ὀσηέτζενο, τὸ Γορήσενο, τὸ Ῥάσνου, τὸ Λούμι τὸ μέγα, τὸ Κλήτζεν, τὸ Βσέλουκ, τὸ Βόλγο, τὸ Κοζλόβο, τὸ Λήπητζη, τὸ Τέσοβ, τὸ Χλέπεν, τοῦ Θωμᾶ τὸ κάστρον, τὸ Μπερεζούη, τὴν Κολούγαν, τὸ Μτζένισκον. ταῦτα πάντα εἰσὶ κάστρα, καὶ ταῦτα ὅλα ἀπῆραν, καὶ τοῦ σταυροῦ τὸ φίλημα οὐ κατέθηκαν οὔτε τὰ ὁρκωμοτικὰ ἀπέπεμψαν, καὶ ἡμεῖς ταῦτα πάντα μὴ ὑπομείναντες αὐτοὺς πάλιν ἐκουρσεύσαμέν τους, καὶ ἐὰν οὐδὲν ὀρθώνουν εἰς ἐμὲ, οὐδὲ τόρα τους θέλω ὑπομείνειν, κατὰ τὴν εὐλογίαν σου ὁ μητροπολίτης αὐτῶν εὐλογεῖ εἰς τὰς αἱματεκχυσίας μέχρι τοῦ νῦν. οὔτε εἰς τοὺς πατέρας μας τοιοῦτοι μητροπολῖται οὐκ ἐγένοντο, οἷος οὗτος ὁ μητροπολίτης, εὐλογεῖ τοὺς Μοσχοβίωτας εἰς αἱματεκχυσίας, καὶ εἰς ἡμᾶς οὐδὲν ἔρχεται, οὔτε εἰς τὸ Κύεβον ὑπαγένει, καὶ ὅστις φιλήσει σταυρὸν εἰς ἐμὲ, καὶ φύγῃ πρὸς ἐκείνους, ὁ μητροπλίτης ἐκβάλλει τοῦ σταυροῦ τὸ φίλημα ἀπ' ἐκείνου. γίνεται τοῦτο εἰς τὸν κόσμον, ὅτι νὰ ἐκβάλωσι τοῦ σταυροῦ τὸ φίλημα; ὁ Ἰωάννης τοῦ Κοζέλησκου, δοῦλός μου, ἐφίλησεν εἰς ἐμὲ μὲ τὴν μάναν του καὶ μὲ τὰ ἀδέλφιά του καὶ μὲ τὴν γυναῖκά του καὶ τὰ παιδία του, ὅτι νὰ ἔνε εἰς ἐμέναν, καὶ ἐκεῖνος τὴν μάναν καὶ τοὺς ἀδελφοὺς καὶ τὴν γυναῖκα καὶ τὰ παιδία ἀφεὶς ἔφυγε, καὶ ὁ μητροπολίτης ὁ Ἀλέξιος τοῦ σταυροῦ τὸ φίλημα ἐξέβαλεν τῆς το . . . . . ὁ Ἰωάννης τοῦ Βαζεμίσκου ἐφίλησε σταυρὸν, καὶ ἔφυγε καὶ τοὺς ἐγγυητὰς ἐξέδωκε, καὶ ὁ μητροπολίτης ἐξέβαλέν τον ἀπὸ τοῦ σταυροῦ τὸ φίλημα. ὁ Ναγούμπνικος ὁ Βασίλειος ἐφίλησεν εἰς τὸν ἐπίσκοπον, καὶ ὁ ἐπίσκοπος ἐγένετο ἐγγυητὴς τούτου, καὶ ἐκεῖνος ἐξέδωκε τὸν ἐπίσκοπον εἰς τὴν ἐγγυὴν, καὶ ἔφυγε, καὶ ὁ μητροπολίτης ἐξέβαλέν τον ἀπὸ τοῦ σταυροῦ τὸ φίλημα, καὶ ἄλλοι πολλοὶ ἔφυγον, καὶ ἐκεῖνος λύει αὐτοὺς τοῦ ὅρκου ἤτοι τοῦ φιλήματος τοῦ σταυροῦ. ἔπρεπε τὸν μητροπολίτην, ἵνα εὐλογῇ τοὺς Μοσχοβίωτας, ὅτι νὰ ἐβοηθοῦσάν μας, διότι ἡμεῖς μαχόμεθα μετὰ τῶν Ἀλαμάνων δι' ἐκείνους, καὶ λαλοῦμεν τὸν μητροπολίτην πρὸς ἑαυτοὺς, καὶ ἐκεῖνος οὐδὲν ἔρχεται πρὸς ἡμᾶς; δὸς ἡμῖν ἄλλον μητροπολίτην εἰς τὸ Κύεβον, εἰς τὸ Σμολένισκον, εἰς τὸ Τυφέριν, εἰς τὴν Μικρὰν Ῥωσίαν, εἰς τὸ Νοβοσίλιν, εἰς τὸ Χαμηλὸν Νοβογράδιν †.

CCCXXI. (6879—1371) augusto. ind. IX.

Patriarchae litterae ad metropolitam Kioviae et totius Russiae de metropolita Galitzae.

† Πιττάκιον πατριαρχικὸν πρὸς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας †.

† Ἱερώτατε μητροπολῖτα Κυέβου καὶ πάσης Ῥωσίας, ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. οἶδεν ἡ ἱερότης σου, πόσην ἀναδοχὴν καὶ εὐμένειαν δεικνύει εἰς σὲ ἡ μετριότης ἡμῶν. ἔγραφά σοι γὰρ κατὰ τὸν πέρυσι καιρὸν μετὰ τοῦ ἀνθρώπου σου, τοῦ Ἀββακοὺμ, καὶ ἔδειξά σοι, ὅτι φίλον σε εἶχον ἀπ' ἀρχῆς, καὶ πάλιν οὕτω σε ἔχω, καὶ ἀγαπῶ καὶ ἀναδέχομαί σε· πάλιν οὖν τὰ αὐτά σοι γράφω, ὅτι τὴν φιλίαν, ἣν εἶχον πρὸς σὲ, καὶ τὴν ἀναδοχὴν πάλιν ἐκείνην ἔχω καὶ τὴν ἀγάπην καὶ τὴν εὐμένειαν. ἀκούω δέ τινα παρὰ τῶν ἐρχομένων αὐτόθεν γινόμενα παρὰ τῆς σῆς ἱερότητος, καὶ λυποῦμαι, ἤκουσα γὰρ, ὅτι ἀφῆκας τοὺς χριστιανοὺς πάντας τοὺς εὑρισκομένους αὐτόθι εἰς πάντα τὸν τόπον τῆς Ῥωσίας, καὶ κάθησαι εἰς ἓν μέρος, τὸ δὲ ἄλλο ἀφῆκας ἀποίμαντον καὶ χωρὶς διδασκαλίας καὶ πνευματικῆς ἐπισκέψεως. διὰ τοῦτο καὶ ἡ μετριότης ἡμῶν ἐλυπήθη καὶ ἡ ἱερὰ σύνοδος, ὅτι οὐ γίνεται καλῶς, οὐδὲ κατὰ τὴν τῶν ἱερῶν κανόνων παρακέλευσιν· ὥσπερ γὰρ ἡ μετριότης ἡμῶν ἐτάχθη παρὰ θεοῦ ποιμὴν καὶ διδάσκαλος πάσης τῆς οἰκουμένης, οὕτως ἐχειροτόνησα καὶ τὴν σὴν ἱερότητα πατέρα καὶ διδάσκαλον παντὸς τοῦ ἔθνους αὐτοῦ, ἵνα διδάσκῃς πάντας καὶ ἐπιμελῆσαι πάντων ἐπίσης, καὶ ἔχῃς μετὰ πάντων ἀγάπην καὶ φιλίαν πατρικὴν, καὶ εἴπερ συμβήσεται καὶ μέσον αὐτῶν ἔχθρα, ἵνα ἔχῃς σὺ ἀνάγκην ὥστε εἰρηνεύειν αὐτοὺς πρὸς ἀλλήλους ὡς πατὴρ καὶ διδάσκαλος. γνωστὸν οὖν ἔστω σοι, ὅτι διότι ἀφῆκας τοὺς τοσούτους χρόνους τὴν Μικρὰν Ῥωσίαν, καὶ οὐκ ἐπεσκέψω αὐτὴν, ἔπεμψεν ἐνταῦθα εἰς τὴν ἡμῶν μετριότητα ὁ κράλης τῆς Λαχίας, ὁ Καζίμοιρος, ὅστις κρατεῖ καὶ τὴν Μικρὰν Ῥωσίαν, καὶ οἱ ἕτεροι ῥῆγες ἔπεμψαν ἐνταῦθα ἐπίσκοπον καὶ γράμματα μετ' αὐτοῦ, λέγοντες, ὅτι „πᾶσα ἡ γῆ φθείρεται ἄνευ νόμου, ὅτι ὁ νόμος χαώνεται, ἐπεὶ οὐκ ἔστιν ἀρχιερεὺς, καὶ διὰ τοῦτο ἐξελεξάμεθα ἄνθρωπον καλὸν, καθαρᾶς πολιτείας, τὸν ἐπίσκοπον Ἀντώνιον,

εἰς τοῦτο, καὶ διὰ τὸν θεὸν καὶ τὰς ἁγίας ἐκκλησίας καὶ δι' ἡμᾶς χειροτονήσατε τοῦτον, ἵνα μὴ ὁ νόμος χαωθῇ τῶν Ῥώσων καὶ ἡ πίστις τῶν Ῥώσων, ἵνα μὴ καταλυθῇ· εἰ δ' οὐ γενήσεται τὸ ἔλεος τοῦ θεοῦ καὶ ἡ εὐλογία σας εἰς τὸν ἄνθρωπον τοῦτον, μετὰ ταῦτα μηδὲν λυπεῖσθε καθ' ἡμᾶς, ἡ ἡμῶν ἀνάγκη ἔσται εἰς τὴν τῶν Λατίνων πίστιν βαπτίζειν τοὺς Ῥώσους, διότι ἡ γῆ οὐ δύναται εἶναι ἄνευ νόμου." ταῦτα ἔγραφε καὶ ἀνέφερε καὶ πρὸς ἐμὲ καὶ πρὸς τὴν σύνοδον, καὶ ἡ ἀναφορὰ αὐτοῦ ἐνταῦθα φυλάσσεται. τί οὖν ἔπρεπεν, ἵνα ποιήσωμεν; σὲ ποιοῦμεν εἰς ταῦτα κριτήν, τί λέγεις; ἔπρεπεν, ἵνα ἀποπέμψωμεν αὐτὸν, καὶ ἵνα ἐάσωμεν καὶ ἡμεῖς τὸν λαὸν τοῦ θεοῦ οὕτω χωρὶς ἐπισκέψεως καὶ ἐπιμελείας πνευματικῆς, ὥσπερ ἀφῆκας καὶ σὺ αὐτόν; οὐδόλως ἔπρεπε τοῦτο, καὶ παρὰ τοῦ θεοῦ γὰρ μεγάλην καταδίκην εὑρήσειν ἐμέλλομεν καὶ παρὰ τῶν ἀνθρώπων πολλὴν μέμψιν καὶ κατηγορίαν, ἄλλως τε καὶ, εἰ ἦν ὁ αὐθέντης τοῦ τόπου ὀρθόδοξος καὶ τῆς ἡμετέρας πίστεως, ἴσως ἐμέλλομεν προσκαρτερήσειν τοῦτο καὶ παραπετάσειν, καίτοιγε οὐδὲ τοῦτο ἦν ἂν καλὸν, διὰ σὲ δὲ ἴσως ἐποιοῦμεν τοῦτο. ἐπεὶ δὲ οὐκ ἔστιν ἡμέτερος, ἀλλὰ λατῖνος, ἔπρεπεν, ἵνα ἀποπέμψωμεν αὐτὸν κενόν; καὶ ἔμελλε ποιήσειν παραυτίκα μητροπολίτην λατῖνον, καθὼς ἔλεγε, καὶ βαπτίζειν τοὺς Ῥώσους εἰς τὴν πίστιν τῶν Λατίνων, ὅπερ διακρίνοις σὺ, ὅτι καλὸν ἦν, εἰ ἐγένετο; ἐγὼ πολλὰ εὐχαριστῶ τῷ θεῷ, ὅπως οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἔγραψε καὶ ἐζήτησε παρ' ἡμῶν μητροπολίτην· διὰ ταῦτα ἀναγκασθέντες ἡμεῖς ἐχειροτονήσαμεν, ὃν ἀπέστειλεν, ἐπεὶ οὐκ ἔπρεπεν, ἵνα ποιήσωμεν ἄλλως· δεδώκαμεν δὲ αὐτῷ τὴν Γάλιτζαν, ἵνα ἔχῃ ὡς μητρόπολιν, ἐπισκοπὰς δὲ τὸ Βολοδίμοιρον, τὸ Περεμούσθλιν καὶ τὸ Χόλμιν, ἅτινά εἰσιν ὑπὸ τὴν ἐξουσίαν τοῦ κράλου τῆς Λαχίας, πλέον δὲ τούτου οὐδὲν ἐδώκαμεν αὐτῷ, οὔτε τὸ Λουτζικὸν, οὔτε ἄλλο τίποτε. οἶδα μὲν οὖν ἐγὼ, ὅτι ἡ ἱερότης σου λυπηθήσεσθαι μέλλεις, πῶς ἐγένετο τοῦτο, ἀλλὰ οὐδὲν ἔπρεπεν, ἵνα γένηται ἄλλως· πῶς γὰρ ἐμέλλομεν ἀφήσειν τὸ πρᾶγμα οὕτως, ἵνα ἔχῃς καὶ σὺ μεγάλην ἁμαρτίαν, διότι ἀφῆκας τοὺς χριστιανοὺς τὸν τοσοῦτον καιρὸν χωρὶς διδασκαλίας; διὰ τὴν ἀνάγκην γοῦν ταύτην ἐγένετο, καὶ πρέπει, ἵνα μὴ λυπῆσαι, ἀπὸ σοῦ γὰρ ἐγένετο τοῦτο. γνωστὸν ἔστω σοι καὶ τοῦτο, ὅτι ἐγὼ διὰ τὴν ἀγάπην σου ἀκούσας τὴν κατάλυσιν τῶν χριστιανῶν τὴν γενομένην αὐτόθι παρὰ τοῦ μεγάλου ῥηγὸς τῶν Λιτβῶν, τοῦ Ἄλγερδου, ἔγραψα πρὸς ἐκεῖνον περὶ

τούτου, ἐκεῖνος δὲ ἀντέγραφέ μοι, λέγων οὕτως. „ἐγὼ οὐκ ἠρξάμην, ἤρξαντο ἐκεῖνοι τοῦ κουρσεύειν πρῶτον, καὶ τοῦ σταυροῦ τὸ φίλημα, ὅπερ εἶχον πρός με, οὐ κατέθηκαν, οὔτε τὰ ὁρκωμοτικὰ ἔπεμφαν πρός με, ἐκούρσευσάν με ἐννέα φοράς, καὶ τὸν γυναικάδελφόν μου τὸν ῥῆγα Μιχαὴλ ἐνόρκως ἔκραξαν εἰς ἑαυτούς, καὶ ὁ μητροπολίτης ἐξέβαλλεν ἀπ' ἐκείνου τὸν φόβον, ὅτι νὰ ἔλθῃ καὶ νὰ ὑπάγῃ μὲ τὸ θέλημάν του, καὶ ἐπίασάν τον· τὸν γαμβρόν μου, τὸν ῥῆγα τὸν Μπορήσην τοῦ Χαμηλοῦ Νοβογραδίου, ἐπίασάν τον, καὶ ἐπῆραν καὶ τὸ ῥηγατίον του· τὸν γαμβρόν μου, τὸν ῥῆγα τὸν Ἰωάννην τοῦ Νοβογραδίου, καὶ τὸ ῥηγατίον του ἐκούρσευσαν, καὶ τὴν μάναν του ἐπίασαν· καὶ τὴν θυγατέρα μου ἐπῆράν την, καὶ τοῦ σταυροῦ τὸ φίλημα οὐ κατέθηκαν· ἐπάνω τούτου τοῦ σταυροφιλήματος ἀπῆραν ἀπ' ἐμοῦ κάστρα ἔγγυς τῶν εἴκοσιν, ἐκεῖνος δὲ γράφει καὶ τὰ κάστρα κατ' ὄνομα. καὶ ἡμεῖς ταῦτα μὴ ὑπομείναντες αὐτοὺς πάλιν ἐκουρσεύσαμεν, καὶ ἂν οὐδὲν ὀρθώσουν εἰς ἐμέ, οὐδὲ τόρα τοὺς θέλω ὑπομείνειν. κατὰ τὴν εὐλογίαν σου ὁ μητροπολίτης αὐτῶν εὐλογεῖ εἰς τὰς αἱματεκχυσίας. μέχρι τοῦ νῦν οὔτε εἰς τοὺς πατέρας μας τοιοῦτοι μητροπολῖται οὐκ ἐγένοντο, οἷος οὗτος ὁ μητροπολίτης, εὐλογεῖ τοὺς Μοσχοβίωτας εἰς αἱματεκχυσίας, καὶ εἰς ἡμᾶς οὐκ ἔρχεται, οὔτε εἰς τὸ Κύεβον ὑπαγένει. ὁ Ἰωάννης τοῦ Κοζέλισκου καὶ ὁ Ἰωάννης τοῦ Βασέμισκου καὶ ὁ Ναγούμπνικος ὁ Βασίλειος ἐφίλησαν σταυρὸν εἰς ἐμέ, καὶ ἔδωκαν καὶ ἐγγυητάς, τελευταῖον ἀφῆκαν τὰς γυναῖκας καὶ τὰ παιδία των, καὶ ἔφυγον καὶ ἀπῆγαν ἐκεῖ, καὶ ὁ μητροπολίτης ἐξέβαλε τοῦ σταυροῦ τὸ φίλημα ἀπ' ἐκείνους. ἔπρεπε τὸν μητροπολίτην, ἵνα εὐλογῇ τοὺς Μοσχοβιώτας, ὅτι νὰ βοηθοῦν ἡμᾶς, διότι ἡμεῖς μαχόμεθα μετὰ τῶν Ἀλαμάνων δι' ἐκείνους, καὶ λαλοῦμεν τὸν μητροπολίτην πρὸς ἑαυτούς, καὶ ἐκεῖνος οὐδὲν ἔρχεται. δὸς ἡμῖν ἄλλον μητροπολίτην εἰς τὸ Κύεβον, εἰς τὸ Σμολένισκον, εἰς τὸ Τιφέριν, εἰς τὴν Μικρὰν Ῥωσίαν, εἰς τὸ Νοβοσίλιν καὶ εἰς τὸ Χαμηλὸν Νοβογράδιν." ταῦτα πάντα ἔγραφεν ἐκεῖνος πρὸς ἐμέ. διὰ τοῦτο ἀπέστειλα ἐγὼ πρὸς τὴν σὴν ἱερότητα τὸν γνήσιον τὸν ἰδικόν μου τὸν Ἰωάννην, ὅστις ἐστὶν ἄνθρωπος φρόνιμος καὶ καλὸς καὶ ἐπιτήδειος καὶ πεπαιδευμένος καὶ κατὰ πάντα ἡμέτερος, καὶ γράφω σοι, εἴ τι ἀναγκαῖον ἦν, ἵνα ἔλθῃς σὺ ἐνταῦθα διὰ ταῦτα πάντα. ἐπεὶ δὲ οὐκ ἔχεις εὔκολον σὺ, πέμψον ἄνθρωπον ἰδικόν σου καλὸν, ἵνα ἔλθῃ, καὶ μάθωμεν ἀκριβῶς περὶ πασῶν τῶν

ὑποθέσεων, καὶ σκεφώμεθα καὶ ἴδωμεν, πῶς μέλλομεν πράξειν, μήποτε ποιήσωμεν τίποτε, καὶ γένηται εἰς βάρος σου. μηδὲν γοῦν γένηται ἄλλως. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ αὐγούστῳ ἰνδ. θ' †.

CCCXXII. (6880—1371) septembri. ind. X.

Patriarcha metropolitam Kioviae in ius vocat.

† Ἕτερον πιττάκιον πατριαρχικὸν εἰς τὸν αὐτόν †.

† Ἱερώτατε μητροπολῖτα Κυέβου καὶ πάσης Ῥωσίας, ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ἡ μετριότης ἡμῶν ἔπεμπεν αὐτόθι πρὸς σὲ τὸν γνήσιόν μου τὸν ἰδικόν μου Ἰωάννην τὸν Δοκιανόν. ἀφ' ὅτου γοῦν ἐγράφησαν τὰ γράμματά μου καὶ ἡτοιμάσθη καὶ οὗτος, καὶ ἤρχετο αὐτόθι, ἦλθεν ἀπὸ τοῦ ῥηγὸς τοῦ Τιφερίου τοῦ Μιχαὴλ καὶ τῶν ἀδελφῶν αὐτοῦ ὁ ἀρχιμανδρίτης ὁ Θεοδόσιος, καὶ ἔφερε τῇ ἡμῶν μετριότητι γράμμα καὶ ἀναφορὰν ἐκείνων, οἵτινες λέγουσι κατὰ τῆς σῆς ἱερότητος πολλὰ, καὶ ζητοῦσιν, ἵνα κριθῶσι μετὰ σοῦ. ἐπεὶ γοῦν ζητοῦσι κρίσιν, διέκρινεν ἡ μετριότης ἡμῶν, ἵνα γένηται. διὰ τοῦτο γράφω πρὸς τὴν σὴν ἱερότητα, ἵνα ἢ σὺ αὐτὸς ἔλθῃς ἐνταῦθα, ὥστε κριθῆναι μετ' αὐτῶν, ἢ κατὰ πᾶσαν ἀνάγκην πέμψῃς ἄρχοντας καλοὺς ἰδικούς σου, καὶ κριθῶσιν ἀντί σου, ἐδόθη δὲ καὶ διωρία μέχρι καὶ τοῦ σεπτεβρίου τῆς σὺν θεῷ ἐλευσομένης ἐνδεκάτης ἰνδικτιῶνος. γενέσθω γοῦν ἀπαραιτήτως, καθὼς σοι γράφω, καὶ ἢ σὺ ἔλθῃς, ἢ πέμφον ἄρχοντας ἰδικούς σου, ἵνα ἀπολογηθῶσιν, ὅτι ἐτάχθη, ἵνα καὶ ὁ ῥῆγας Μιχαὴλ καὶ οἱ ἀδελφοὶ αὐτοῦ πέμψωσιν ἀνθρώπους αὐτῶν, καὶ μέλλουσιν ἐλθεῖν. εἰ μὲν ἔλθῃς ἢ σὺ ἢ ἄνθρωποί σου, καλόν· ἐὰν δὲ οὐδὲν γένηται τοῦτο, πρόσεχε, ἵνα μὴ λυπηθῇς ἐπάνω ἡμῶν. ἡμεῖς γὰρ, ὅσον πρέπει εἰς τὴν φιλίαν σου, ποιοῦμεν. ἐκεῖνοι ἐζήτησαν, ἵνα συγχωρηθῶσιν παρὰ τῆς ἡμῶν μετριότητος, ἐπεί εἰσιν ἐπιτετιμημένοι παρά σου, ἐγὼ δὲ οὐδὲν ἔκρινα καλὸν, ἐπεὶ ἐπετιμήθησαν παρὰ σοῦ, ἵνα ἔχωσι παρ' ἐμοῦ συγχώρησιν. λέγω δὲ, ὅτι ὁπότ' ἂν ἴδῃς τοὺς ἀνθρώπους αὐτῶν ἐρχομένους ἐνταῦθα, ἔρχονται δὲ καὶ οἱ ἄνθρωποί σου, συγχώρησον αὐτοῖς, ἐπεὶ

εἰς κρίσιν ἔρχονται, καὶ πρὸ τῆς κρίσεως οὐκ ὀφείλουσιν καταδικάζεσθαι καὶ ἐπιτιμᾶσθαι, μετὰ δὲ τὴν κρίσιν, εἴ τι ἂν εὑρεθείη δίκαιον ἢ καταδίκη, μέλλουσι λαβεῖν αὐτό. τοῦτό μοι δοκεῖ δίκαιον, καὶ γενέσθω. τοῦτο γενέσθω καὶ πρὸς τὸν ἐπίσκοπον. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος. ὁ ἀρχιμανδρίτης οὗτος ὁ Θεοδόσιος, ἐπειδὴ ἦλθε καὶ προσκύνησέ με, μηδὲν τύχῃ παρά σου ὀργῆς, ἀλλὰ τυχέτω συγχωρήσεως †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ σεπτεβρίῳ ἰνδ. δεκάτης †.

CCCXXIII. (6880—1371) septembri. ind. X.

Patriarcha monet regem Tverii Michael, ut mittat legatos.

† Εὐγενέστατε μέγα ῥῆγα τοῦ Τιφερίου Μιχαήλ· ὁ ἀρχιμανδρίτης Θεοδόσιος, ὃν ἔπεμψας εἰς τὴν ἡμῶν μετριότητα, μετὰ τοῦ ἀνθρώπου σου ἦλθε, καὶ ἔφερέ μοι καὶ τὰ γράμματά σου, ἀφ' ὧν ἐγνώρισα, ὅσα ἔγραφες καὶ ἐζήτεις. ἀπέστειλα γοῦν τὸν γνήσιόν μου, τὸν ἰδικόν μου τὸν Ἰωάννην εἰς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, τοῦτον λέγω, ὅστις φέρει πρὸς τὴν εὐγένειάν σου τὸ παρὸν γράμμα, καὶ ἔγραφα πρὸς ἐκεῖνον τὸν μητροπολίτην, ἵνα πέμψῃ ἄρχοντας αὐτοῦ, καὶ ἔλθωσιν ἐνταῦθα, καὶ γένηται κρίσις, καθὼς ἐζήτεις. ἐτάχθη δὲ καὶ διωρία μέχρι καὶ τοῦ σεπτεβρίου μηνὸς τῆς σὺν θεῷ ἐλευσομένης ἐνδεκάτης ἰνδικτιῶνος. γράφει γοῦν καὶ πρὸς τὴν σὴν εὐγένειαν ἡ μετριότης ἡμῶν, καὶ παρακελεύεται, ἵνα, ὁπόταν γνωρίσῃς, ὅτι ἔρχονται ἄνθρωποι τοῦ ἐκείνου ἐνταῦθα, πέμψῃς καὶ σὺ εὐθὺς ἰδικούς σου καλοὺς ἄρχοντας, ἵνα γένηται ἡ κρίσις. εἰ μὲν οὖν ἔλθοιεν καὶ οἱ ἐκείνου ἄνθρωποι καὶ οἱ ἰδικοί σου, ἤδη καλόν, καὶ γενήσεται ἐνταῦθα ἡ κρίσις· ἐὰν δὲ οὐκ ἔλθωσιν, τότε γενήσεται τὸ ἄλλο, ὃ ἐζήτησας. πρόσεχε δὲ, μήποτε οἱ μὲν ἐκείνου ἄνθρωποι ἔλθωσιν, οἱ δὲ τῆς εὐγενείας σου οὐδὲν ἔλθωσι, ἀλλὰ πέμψον καὶ σὺ τοὺς ἰδικούς σου, ὁπόταν μάθῃς, ὅτι οἱ τοῦ ἐκείνου.... περὶ τῆς συγχωρήσεως μέλλεις μαθεῖν παρὰ τούτου τοῦ ἀνθρώπου μου †.

† Εἶχε καὶ διὰ τιμίας πατριαγχικῆς χειρὸς τὸ· μηνὶ σεπτεβρίῳ ἰνδ. ι' †.

CCCXXIV. (6880—1371) septembri. ind. X.

Patriarcha metropolitam Ioanninorum in ecclesiam suam proficisci iubet.

† Πιττάκιον εἰς τὸν Ἰωαννίνων †.

† Ἱερώτατε μητροπολῖτα Ἰωαννίνων. παρακελεύεταί σοι ἡ μετριότης ἡμῶν, ἵνα ἐξέλθῃς τοῦ μοναστηρίου αὐτοῦ, καὶ ἀπέλθῃς εἰς τὴν ἐκκλησίαν σου, γίνωσκε γὰρ, ὅτι καὶ βάρος ἐπιτιμίου ἀφορισμοῦ ἐκφωνεῖ αὕτη συνοδικῶς κατὰ σοῦ, ἵνα μὴ γένηται ἄλλως. ἄπελθε γοῦν χωρίς τινος λόγου καὶ προφάσεως, ἀσυγχώρητος γὰρ ἔσῃ, μέχρις ἂν ἀπέλθῃς εἰς τὴν ἐκκλησίαν σου. εἰ δὲ ἔχεις ἀναγκαῖον, καὶ βούλει ἐλθεῖν ἐνταῦθα, οὐδέν σε κωλύομεν, ἀλλ' ἐλθὲ, καὶ ἐὰν θέλῃς, ἵνα ἔλθῃ καὶ ὁ Ναυπάκτου, ἐλεύσεται καὶ ἐκεῖνος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ σεπτεβρίῳ ἰνδ. ι' †.

CCCXXV. (6880) 1371 septembri. ind. X.

Patriarcha confirmat iura metropolitae Larissae, committens eidem iura patriarchalia curanda.

I. † Ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Λαρίσσης, ὑπέρτιμος καὶ ἔξαρχος δευτέρας Θετταλίας καὶ πάσης Ἑλλάδος καὶ τὸν τόπον ἐπέχων τῆς Σίδης, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸς, ἀνήνεγκεν εἰς τὴν ἡμῶν μετριότητα, ὡς πολλῶν ἐξ ἀρχῆς ὑποτεταγμένων ἐπισκοπῶν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, ἀρτίως διὰ τὰς πλείους ὑπὸ βαρβάροις τελεῖν καὶ ἀλλοφύλοις ἔθνεσι καὶ πολὺν χρόνον ἔχειν δίχα τῆς δεούσης ἀρχιερατικῆς ἐπισκέψεως εἰς τοσοῦτον κατέστη τὸ κατ' αὐτὰς, ὥστε καὶ ἀγνοεῖν τοὺς εὑρισκομένους ἐκεῖ, εἴ γε καὶ ἐτέλουν ὅλως ὑπὸ τὸν τῆς μητροπόλεως Λαρίσσης θρόνον· εἰ δέ που καί τινες εἰσὶν οἱ τοῦτο κατὰ διαδοχὴν ἔχοντες ἐκ προγόνων, ἑκόντες καὶ οὗτοι τοὺς ἀγνοοῦντας ὑποκρινόμενοι μετὰ τῶν ἄλλων ἀποπέμπονται τὸν ἱερώτατον μητροπολίτην Λαρίσσης, βουλόμενον διορθοῦσθαί τινα τῶν δεομένων τῆς παρ' αὐτοῦ διορθώσεως, ἔν τισι καὶ χειροτονεῖν ἐπισκόπους, καὶ ζητοῦντά τινα δίκαια αὐτοῦ, λέγοντες, μὴ ἔχειν ἄδειαν ταῦτα διενεργεῖν ἐν αὐταῖς, μηδὲ γὰρ ὑποκεῖσθαι τούτους τῇ κατ' αὐτὸν ἐκκλησίᾳ. καὶ ἐζήτησε διὰ ταῦτα καὶ παρεκάλεσε τὴν ἡμῶν μετριότητα ὁ ἱερώτατος μητροπολίτης Λαρίσσης

ἐπιχορηγηθῆναι αὐτῷ γράμμα σιγιλλιῶδες αὐτῆς, παρακελευόμενον ἄδειαν ἔχειν αὐτὸν ἐπὶ πάσαις ταῖς ἄνωθεν ὑποτεταγμέναις τῇ τῆς Λαρίσσης ἐκκλησίᾳ ἐπισκοπαῖς πάντα διενεργεῖν ἀκωλύτως τὰ ἀρχιερατικά. ἡ μετριότης ἡμῶν τὴν αὐτοῦ δέησιν εὔλογον κρίνασα καὶ δικαίαν καὶ κανονικὴν, τὸ παρὸν ἀπολύει σιγιλλιῶδες γράμμα, δι' οὗ καὶ παρακελεύεται, ὡς ἂν πᾶσαι αἱ ὑπὸ τὴν ἁγιωτάτην τῆς Λαρίσσης μητρόπολιν ἐπισκοπαὶ, ἡ Δημητρίας, τὸ Φάρσαλον, ἡ Θαυμακὸς, τὸ Ζητούρνιον, ἡ Ἔζερ, τὸ Λοιδορίκιον, ἡ Μουντινίτζα, ἡ Σταμὴ, ἡ Τρίκη, ἡ Δομένικος, ἡ Κατρία, τὸ Γαρδίκιον, ἡ Περιστερὰ, τὸ Ῥαδοβίσδιον, ἡ Πατζουνὰ καὶ ἡ Βέσαινα ὧσιν ἅπασαι ὑποτεταγμέναι τῇ ἐκκλησίᾳ ταύτῃ τῆς Λαρίσσης, καθὼς καὶ ἀπ' ἀρχῆς ἦσαν, καὶ ἔχῃ ἄδειαν ὁ ἱερώτατος μητροπολίτης Λαρίσσης πάντα διενεργεῖν ἀκωλύτως ἐν αὐταῖς τὰ ἀρχιερατικὰ κατὰ τὴν διαταγὴν τῶν ἱερῶν κανόνων· καὶ διδάσκῃ τὸν ἐν αὐταῖς χριστώνυμον τοῦ κυρίου λαὸν, καὶ ἐξετάζῃ τοὺς ἱερεῖς, καὶ ἀνακρίνῃ καὶ ἀνερευνᾷ πάντα μετὰ τῆς δεούσης νομίμου καὶ κανονικῆς ἀκριβείας, καὶ λαμβάνῃ καὶ ἀποφέρηται πάντα τὰ κανονικὰ αὐτοῦ δίκαια ἀνεμποδίστως πάντῃ καὶ ἀταράχως, ἔνθα δ' ἂν διακρίνῃ, καὶ ἐπισκόπους χειροτονήσῃ, ὀφείλοντας καὶ αὐτοὺς ὑποκεῖσθαι τούτῳ καὶ κεφαλὴν ἔχειν αὐτὸν καὶ κατὰ πάντα αὐτῷ ὑποτάσσεσθαι, ὀφειλόντων καὶ πάντων τῶν εὑρισκομένων ἐν αὐταῖς ἱερωμένων, μοναχῶν, ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος στέργειν αὐτὸν καὶ τιμᾶν ὡς οἰκεῖον ποιμένα καὶ διδάσκαλον καὶ ὑποταγὴν ἀπονέμειν αὐτῷ καὶ εὐπείθειαν τὴν προσήκουσαν, γινωσκόντων, ὡς εἴ τις ἀντιλέγειν αὐτῷ πειραθείη καὶ ἀνθίστασθαι, τῷ παρὰ τῆς ἡμῶν μετριότητος ἐπιτιμίῳ τοῦ ἀφορισμοῦ καθυποβληθήσεται. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος τῷ ἱερωτάτῳ μητροπολίτῃ Λαρίσσης, ὑπερτίμῳ καὶ ἐξάρχῳ δευτέρας Θετταλίας καὶ πάσης Ἑλλάδος καὶ τὸν τόπον ἐπέχοντι τοῦ Σίδης, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, ἐπὶ τῷ προσεῖναι αὐτῷ καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ εἰς ἀσφάλειαν κατὰ μῆνα σεπτέβριον τῆς ἐνισταμένης ι' ἰνδ. τοῦ ,ς ω π' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· Φιλόθεος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

II. † Ἐδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Λαρίσσης κατὰ μῆνα σεπτέβριον τῆς ι' ἰνδικτιῶνος δι' ἐνταλτηρίου γράμματος τὰ ὑπὸ τὴν ἐνορίαν αὐτοῦ πᾶσαν πατριαρχικὰ δίκαια, ἵνα κρατῇ αὐτὰ ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ πάσης. τούτου γὰρ χάριν ἐγένετο ἐνταῦθα καὶ ἡ παροῦσα παρασημείωσις †.

CCCXXVI. Sine anno.

Patriarcha tollit sententiam episcopi Hierissi non rite latam.

† Πιττάκιον πατριαρχικὸν τῷ ἐπισκόπῳ Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους †.

† Ἐπίσκοπε, ἐπίσκοπε· οὐδὲ ἐγὼ λέγω, ὅτι ὁ δεῖνα οὐκ ἔστιν ἁμαρτωλός, ἀλλὰ λέγω μὲν καὶ ἐγὼ, ὅτι ἴσως ἁμαρτωλός ἐστι, καὶ ἐνδέχεται εἶναι ἀληθὲς τοῦτο, πλὴν λέγω, ὅτι ἀκανόνιστον ἐποίησας τὴν κρίσιν σου καὶ διὰ τοῦτο καὶ ἄδικον καὶ παράλογον. τῶν γὰρ ἱερῶν κανόνων λεγόντων, ὑπὸ ἓξ ἐπισκόπων κρίνεσθαι τὸν πρεσβύτερον ἐπὶ ἐγκληματικαῖς ὑποθέσεσι, σὺ συνῆξας πρεσβυτέρους καὶ πνευματικοὺς, καὶ κατεδίκασας πρεσβύτερον μόνος μετ' αὐτῶν, σύνοδον δῆθεν συγκροτήσας καὶ τόμον καθαιρέσεως τολμήσας ἀκανονίστως ἐκθέσθαι. καὶ οὐδὲν λέγω, ὅτι ἐὰν συνάξῃς πάντων τῶν ἀνθρώπων τὰς ἁμαρτίας τῶν μετὰ τὴν χάριν, ἀλλ' ἐὰν συνάξῃς πάντων τῶν ἱερέων τὰς ἁμαρτίας ἀπὸ τοῦ πρώτου λαβόντος τὴν χάριν μέχρι καὶ τοῦ τελευταίου, καὶ θῇς ἐπ' αὐτῷ, οὐδὲ οὕτως ἐποίησας καλῶς, καὶ αὐτὸς μὲν ὁ μυρίας ἁμαρτίας, ὡς λέγετε, πεποιηκὼς οὔπω κατεδικάσθη δικαίως. σὺ δὲ, ἐπίσκοπε, οὐκ ἔκρινας οὐδὲ κατεδίκασας κανονικῶς καὶ δικαίως. καὶ λέγω καὶ γράφω τοῦτο πολλάκις, καὶ σὺ οὐδὲν θέλεις οὐδόλως, ἵνα ὁμολογήσῃς, ὅτι κακῶς ἐποίησας· ἀλλὰ γίνωσκε, ὅτι καὶ δίκαια καὶ ἀληθῆ ἐὰν ὦσιν ἴσως τὰ κατ' αὐτοῦ λαληθέντα καὶ γραφέντα, ἀλλ' ἐπεὶ ἡ κρίσις σου ἐκείνη κατέλυσε τοὺς ἱεροὺς κανόνας, καὶ ἄδεκτός ἐστι καὶ ὁ λεγόμενος ἐκεῖνος τόμος καὶ καταλελυμένος καὶ ἀπόβλητος, ἕως ἂν γένηται σύνοδος κανονικὴ καὶ δικαία ἢ παρὰ τοῦ μητροπολίτου σου ἢ πατριαρχικὴ, καὶ τότε γενήσεται καὶ ἡ δικαία καὶ ἔννομος κρίσις τε καὶ ἀπόφασις, καὶ τότε ἴσως μαθήσῃ καὶ σὺ πράγμασιν αὐτοῖς τὴν ἐπὶ τούτοις κανονικὴν καὶ ἔννομον κρίσιν τε καὶ ἀπόφασιν, ἐπεὶ λόγοις τε καὶ γράμμασιν ἐνιαυτὸν ὅλον ἐκεῖνα διδασκόμενος παρ' ἐμοῦ οὔπω καὶ νῦν ἐδυνήθης μαθεῖν. περὶ δὲ τῶν

Λαυριωτῶν τί ἵνα σοι γράφω; ἡ Λαύρα καθ' ἑαυτὴν οὐδὲν εἰρηνεύει, καὶ μετὰ σοῦ πῶς μέλλοι εἰρηνεύειν; οἱ καλοὶ ἄνθρωποι καὶ οὐδὲν εἰρηνεύουσι μετὰ τῆς Λαύρας. ὅταν δῶ ὁ θεὸς καὶ εἰρηνεύσει ἡ Λαύρα πρὸς ἑαυτὴν, τὴν εἰρήνην ἐκείνην λέγω τὴν τοῦ Χριστοῦ, τότε μέλλομεν καὶ ἡμεῖς γράφειν, καὶ μέλλουσιν εὑρίσκειν τὰ γράμματα ἡμῶν τόπον, καὶ τότε εἰρηνεύσεις καὶ σὺ μετὰ τῆς Λαύρας. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ σοῦ †.

CCCXXVII. (6880—1371) decembri. ind. X.

Promissio presbyteri Andreae Chrysomeni.

† Ἐγὼ ὁ παπᾶς Ἀνδρέας ὑπόσχομαι ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ἐὰν εὑρεθῶ ποτε μεθύων, ἵνα ᾧ καθῃρημένος καὶ ἀργὸς πάσης ἱερωσύνης. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις ἐνώπιον τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ καὶ τῆς ἱερᾶς συνόδου, μηνὶ δεκεβρίῳ ἰνδ. δεκάτης †.

† Ὁ ἀπὸ τοῦ κλήρου τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας Ἀνδρέας ἱερεὺς ὁ Χρυσομένος †.

CCCXXVIII. Sine anno.

Patriarcha regem Tverii hortatur, ut in gratiam redeat cum metropolita Kioviae.

† Πιττάκιον πατριαρχικὸν πρὸς τὸν ῥῆγα Τυφερίου †.

† Εὐγενέστατε μέγα ῥῆγα τοῦ Τυφερίου Μιχαήλ. γνωστὸν ἔστω σοι, ὅτι ἐγὼ ἔπεμπον ἄνθρωπόν μου εἰς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Ἀλέξιον, διὰ δουλείας ἰδικάς μου, ὅτε δὲ ἐξήρχετο ὁ ἄνθρωπός μου, ἦλθε πρὸς τὴν ἡμῶν μετριότητα μετὰ γράμματός σου ὁ ἀρχιμανδρίτης Θεοδόσιος, καὶ ἀπὸ τοῦ γράμματός σου ἐγνώρισα, ὅσα ἔγραφες, πρὸς δὲ τοῖς ἄλλοις ἔγραφες καὶ ἐζήτεις κρίσιν, ἵνα κριθῇς μετὰ τοῦ μετροπολίτου σου, καὶ ἐγὼ κατὰ τὸν δίκαιον λόγον ἔγραφα πρὸς ἐκεῖνον, ἵνα ἢ ἐκεῖνος αὐτὸς ὁ μητροπολίτης ἔλθῃ εἰς τὴν κρίσιν, ἢ πέμψῃ ἄρχοντάς του, πέμψῃς δὲ καὶ σὺ ἄρχοντας ἰδικούς σου, καὶ κριθῶσι μετ' ἐκείνων. ἔγραφα δὲ

τότε καὶ πρὸς τὴν σὴν εὐγένειαν περὶ τούτου, τὰ αὐτὰ λέγων καὶ πρὸς σὲ, ἅπερ ἔλεγον καὶ πρὸς ἐκεῖνον, ἤγουν ἵνα γένηται κρίσις καὶ κριθῆτε. νῦν δὲ φαίνεταί μοι καλὸν, καὶ γράφω σοι, ὅτι οὐδὲν πρέπει, οὐδὲ συμφέρον ἔνι οὔτε εἰς τὴν ψυχήν σου, οὔτε εἰς τὴν τιμὴν τοῦ γένους σου, ἵνα ἔχῃς μετὰ τοῦ μητροπολίτου κρίσεις καὶ μάχας καὶ σκάνδαλα, διότι αἱ μάχαι καὶ τὰ σκάνδαλα τοῦ διαβόλου ἔργα εἰσί. ποῖος τῶν ῥηγῶν ἐκρίθη ποτὲ μετὰ τοῦ μητροπολίτου; ὁ πατήρ σου ἐκρίθη ποτὲ ἢ ὁ πάππος σου ἢ ποῖος ἄλλος τοῦ γένους σου; ἄφες γοῦν καὶ σὺ τὰ σκάνδαλα καὶ τὴν κρίσιν, καὶ πρόσελθε καὶ εἰρήνευσον μετὰ τοῦ πατρός σου, τοῦ μητροπολίτου, καὶ ζήτησον παρ' αὐτοῦ συγχώρησιν, νά σοι συγχωρήσῃ, καὶ ποίησον μετάνοιαν, ἵνα σὲ δέξηται καὶ ἀγαπᾷ καὶ ἔχῃ σε ὡς υἱόν του· αὐτὸς πατήρ σου ἔνι καὶ ὡς πατήρ. εἴπερ ἐποίησεν εἰς σὲ τίποτε, ἔπρεπεν, ἵνα τὸ ὑπομείνῃς, καὶ νὰ τὸν προσέλθῃς μᾶλλον, καὶ νὰ ζητήσῃς παρ' αὐτοῦ εὐλογίαν καὶ συγχώρησιν, οὐχ ἵνα ζητῇς κρίσιν, οὐδὲ ἔχῃς ὄχλησιν, οὕτως ἔπρεπεν, ἵνα ποιήσῃς τότε· ἐπεὶ δὲ οὐκ ἐποίησας τοῦτο τότε, νῦν ποίησον αὐτό, καὶ ζήτησον παρ' αὐτοῦ εὐλογίαν καὶ συγχώρησιν, καὶ εἴπερ ἔσφαλες καὶ τίποτε, ποίησον τὴν διόρθωσιν, τοῦτο ἔνι εἰς τιμὴν καὶ δόξαν σὴν καὶ τοῦ γένους σου, καὶ εἰς ὠφέλειαν τῆς ψυχῆς σου. ἐγὼ ἔγραφα νῦν καὶ πρὸς τὸν μητροπολίτην σου, καὶ ἐὰν ποιήσῃς μετάνοιαν, μέλλει σε δέξασθαι καὶ ἀγαπᾶν πλέον παρὸ πρότερον, ὡς υἱόν του γνήσιον· μηδὲν οὖν ποιήσητε ἄλλως, παρὸ γράφω πρὸς ἐσᾶς· εἰ δὲ οὐδὲν βούλεσθε τοῦτο, ζητεῖτε δὲ κρίσιν, ἐγὼ ταύτην οὐδὲν τὴν κωλύω, προσέχετε δὲ, μήπως φανῇ εἰς ἐσᾶς βαρύ. ποιήσατε γοῦν, ὅπερ γράφω καὶ συμβουλεύω, ὅτι τοῦτο συμφέρει εἰς ἐσᾶς, καὶ ἐὰν ποιήσητε, καθὼς γράφω, εἰρηνικὴν κατάστασιν, τότε πέμψον καὶ σὺ καὶ ὁ μητροπολίτης ἀνθρώπους σας, ὅτι τὸ γνωρίσω καὶ ἐγὼ, καὶ τότε μέλλω σε ἀγαπᾶν καὶ ἐγὼ καὶ εὔξασθαι καὶ εὐλογήσειν καὶ συγχωρήσειν καὶ ἔχειν ὡς υἱόν μου γνήσιον. γνωστὸν ἔστω σοὶ καὶ τοῦτο, ὅτι ἡ παράβασις τοῦ φιλήματος τοῦ σταυροῦ ἐστιν ἄρνησις τοῦ Θεοῦ, οὕτω γὰρ διδάσκουσιν ἡμᾶς τοῦτο οἱ ἅγιοι πατέρες, ὅτι ἡ ἐπιορκία ἄρνησίς ἐστι τοῦ Θεοῦ, καὶ ὁ ἀρνησάμενος τὸν Θεὸν πρὸς τίνα ἄλλον Θεὸν μέλλει καταφυγεῖν; ἕτερος γὰρ θεὸς οὐκ ἔστι πλὴν τοῦ Θεοῦ ἡμῶν. οἱ ἅγιοι ἀπόστολοι καὶ ἡμέτεροι πατέρες καὶ πρὸ τούτων ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διδάσκουσιν ἡμᾶς, ὅτι ὁ ἀρνησάμενος τὸν Θεὸν

τῇ κολάσει παραπέμπεται, ὁ δὲ μὴ ἀρνησάμενος τὸν θεὸν ἀλλὰ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἔχει ζωὴν αἰώνιον. διὰ τοῦτο γράφω καὶ παραινῶ σοι ὡς πατήρ σου, ἵνα προσέχῃς καὶ τηρῇς τὸ φίλημα τοῦ σταυροῦ, κρεῖττον γὰρ ἐστί σοι μὴ παραβάντι τὸ φίλημα τοῦ σταυροῦ ἀποθανεῖν σωματικῶς ἢ τοῦτο παραβάντι ἀποθανεῖν ψυχικῶς καὶ ζῆν σωματικῶς. πρόσεχε γοῦν, ὅσον ἔνι δυνατόν, καὶ μὴ παράβαινε τὸ τοῦ σταυροῦ φίλημα, εἰ καὶ θάνατος πρόκειταί σοι, ἀλλὰ σπούδασον καὶ ἐπιμελήθητι, ὅση σου δύναμις, ἵνα ποιῇς οὕτως, καθώς σοι παρακελεύομαι †.

CCCXXIX. (6880—1372) 5. aprili. ind. X.

Hieromonachus quidam et populus Phari, qui christianos profugos Turcis tradiderant, condemnantur.

† Μηνὶ ἀπριλλίῳ, ἡμέρᾳ ε', ἰνδ. δεκάτης, προκαθημένου τοῦ πανναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, συνεδριαζόντων αὐτῷ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Βρύσεως, τοῦ Σωζοπόλεως, τοῦ ἀρχιεπισκόπου Μαρωνείας καὶ τοῦ Τενέδου διὰ γνώμης, ἐλαλήθη κατὰ τοῦ ἀπὸ τοῦ Φάρου ἱερομονάχου τοῦ ....., ὅτι χριστιανοί τινες αἰχμάλωτοι τῆς αἰχμαλωσίας διαδράντες καὶ πρὸς τὸ εἰρημένον κάστρον ἐλθόντες κατέφυγον εἰς τὸν τοῦ ἁγίου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου ναόν, ἐν ᾧ ἦν οὗτος ἱερατικῶς ἐκδουλεύων· ζητουμένων δὲ αὐτῶν παρὰ τοῦ ἐκεῖσε λαοῦ ἐπὶ τῷ πρὸς τοὺς Τούρκους πάλιν αὐτοὺς ἀγαγεῖν, οὗτος οὐ μόνον αὐτῶν τὴν πονηρὰν γνώμην οὐκ ἐκώλυσεν, ἀλλὰ καὶ κοινῇ μετ' αὐτῶν καὶ μάλιστα πρὸ τῶν ἄλλων αὐτὸς τοῦ τε θείου ναοῦ τούτους ἐξέβαλον, καὶ ἔν τινι σανδαλίῳ τούτους εἰσήγαγον, καὶ τοῖς ναύταις ἀπελθόντες πρὸς τοὺς Τούρκους παρέδωκαν, τῶν δὲ αἰχμαλώτων καὶ ταῦτα μετὰ δακρύων ζητούντων, ἀπολυθῆναι παρ' αὐτῶν, καὶ πρὸς τοὺς Τούρκους (μὴ) πάλιν ἐπανελθεῖν, ἐγίνωσκον γὰρ, ὡς ἐπειδὰν οἱ Τοῦρκοι τὴν αὐτῶν φυγὴν μάθωσι, κακῶς αὐτοὺς τιμωρήσουσι καὶ φονεύσουσι, αὐτοὶ οὐκ ἠθέλησαν, ἀλλὰ παρέδωκαν αὐτοὺς τοῖς Τούρκοις. τούτου γοῦν οὕτω γεγονότος καὶ οὐκ ἄλλως, ὡς ἐγνωρίσθη καὶ παρὰ τοῦ τιμιωτάτου σακελλίου τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, διακόνου κῦρ Ἰωάννου τοῦ Τοξοτηνοῦ, ἀπελθόντος ὡς ἔξαρχος ἐκεῖ ἐξ ἀποστολῆς

τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τὴν περὶ τούτου ποιησαμένου ἔρευναν, οὐ μὴν ἀλλὰ καὶ αὐτοῦ τούτου τοῦ ἱερομονάχου ὁμολογήσαντος τοῦτο καὶ δι' ἀνάγκην τινὰ διατεινομένου τοῦτο πεποιηκέναι, διέγνωσται τοῖς ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, ἐπιψηφισαμένου καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, τοῖς μὲν ἄλλοις ἐκείνοις τοῖς λαϊκοῖς φονέως δοθῆναι ἐπιτίμια, τοῦτον δὲ καθῃρημένον εἶναι καὶ γεγυμνωμένον πάσης ἱερωσύνης· ὅσον γὰρ τὸ κατ' αὐτοὺς αὐτοὶ ἐφόνευσαν ἐκείνους, παραδοθέντες γὰρ εἰς τοὺς Τούρκους παρ' αὐτῶν οὐ μόνον πολλὰς τιμωρίας ἔπαθον, ἀλλὰ καί τινες ἐξ ἐκείνων ἀπέ(θανον), τῇ ὁμολογίᾳ ἐγκαρτερήσαντες. ἔσται γοῦν οὗτος ἀπὸ τοῦ νῦν καθῃρημένος, καὶ οὐ διαπράξεταί τι ποτὲ ἱερατικὸν κατὰ τὴν ἐξενεχθεῖσαν κατ' αὐτοῦ συνοδικὴν ταύτην διάγνωσιν, ἐπεὶ καὶ εἰς ἀσφάλειαν καὶ τὸ παρὸν ἐγεγόνει σημείωμα †.

CCCXXX. Sine anno.

Metropolita Maroneae in metropolim Mesembriae transfertur.

† Ἐκκλησιαστικὸς οὗτος νόμος καὶ καλῶς ἔχων ἀρχῆθεν ἐπικρατήσας τῇ τῆς ἐκκλησίας περιωπῇ, τὸ ἀπὸ ἐκκλησιῶν εἰς ἐκκλησίας μετατιθέναι καὶ ἀπ' ἐλαττόνων εἰς μείζους προάγειν θρόνους τοὺς ποιμαντικὴν ἀνῃρημένους ἀξίαν καὶ τῷ τῆς ἀρχιερωσύνης κοσμηθέντας σεμνώματι καὶ μάλισθ' ὅταν πρὸς τὰς τοῦ καιροῦ μεταβολὰς καὶ τὸ τῶν πραγμάτων ἄστατον οἰκονομικῶς οἱ τῆς ἐκκλησίας προεστηκότες ἀντιτάττεσθαι βούλωνται καὶ τὰς περιλειφθείσας τῶν χωρῶν καὶ τῶν πόλεων ὠφελεῖν τε καὶ διασώζειν, πνευματικῆς προμηθείας ἀξιοῦντες αὐτάς· οὐ γὰρ δὴ δίκαιον κρίνουσιν, οἷς εἰς τὸ μηδὲν... τὰ τῆς αὐτῶν ἕκαστον λαχούσης, ὡς μηδὲ δύνασθαι μὴ μόνον ἐν ταύταις διάγειν, ἀλλ' οὐδ' ἀπελθεῖν πρὸς αὐτὰς, τούτους ἀπρονοήτως μένειν ἐν παραβύστῳ καθημένους καὶ ἑτέρων σχολάζοντας, ἀλλ' ὁμοῦ καὶ τούτοις τὴν ἀνάγκην θεραπεύοντες καὶ τὴν χρείαν ὀφειλομένως ἀποπληροῦντες, ὁμοῦ δὲ καὶ ταῖς δεομέναις ψυχαῖς τῆς αὐτῶν ὠφελείας ὡς ἰατροὺς ἑτοίμως αὐτοὺς παρεχόμενοι πρὸς τὸ λυσιτελοῦν τοῖν μεροῖν ἑκατέροις τὰ πράγματα μεθιστᾶσι τὴν παντοδύναμον τοῦ θείου πνεύματος χάριν καὶ συνεργὸν καὶ συντελεστὴν προβαλλόμενοι. τούτῳ δὲ τῷ κανόνι ἀναγκαίως στοιχοῦσα καὶ ἡ μετριότης ἡμῶν, τῇ παρούσῃ

πράξει τοιοῦτον ἐπιτίθησι τέλος, συνεπιψηφιζόμενον ἔχουσα ἑαυτῇ καὶ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων τὸν θεῖον χορόν. ὁ γὰρ ἱερώτατος ἀρχιεπίσκοπος Μαρωνείας συνοδικῇ ψήφῳ τὴν πνευματικὴν αὐτῆς προστασίαν δεξάμενος καὶ μέλλων πρὸς αὐτὴν ἀπιέναι, τὸ τοῦ καιροῦ ταραχῶδες καὶ τὴν ἀλλοπρόσαλλον μετάπτωσιν τῶν πραγμάτων ἔσχεν αὐτὸν ἐμποδίζουσαν καὶ κωλύουσαν καθάπαξ αὐτοῦ τὴν ὁρμήν· ἐπίδρομαι γὰρ τῶν ἀθέων ἐθνῶν καὶ τὰ τούτοις ἑπόμενα καὶ ἀπορία δεινὴ καὶ μεγίστη σύγχυσις αὐτὴν κατασχοῦσαι καὶ πρότερον τοῦ κατ' αὐτὴν ἀδρανῶς ἔχοντος καὶ τὸν ταύτης ποιμένα διατρέφειν ἀξίως οὐκ εὐποροῦσαν, νῦν μᾶλλον εἰς τὸ μηδὲν καταντῆσαι πεποιήκασι ταύτην καὶ τὴν τῆς χώρας καλλονὴν ἑκάστοτε περικείροντες καὶ πιμπρῶντες καὶ δηοῦντες καὶ ἄκοσμον πάνυ καὶ κατηφῆ καὶ πολλῶν ἀξίαν θρήνων αὐτὴν ἐργαζόμενοι· ἀλλ' ἐπεὶ ταύτης διαφθαρείσης σχεδὸν καὶ ἔτι καὶ χείρονα πείσεσθαι προσδοκωμένης ὀσημέραι, εἰ μὴ θεὸς τὴν ἄμαχον ὀρέξει χεῖρα κατὰ τῶν κοιναῖς ἁμαρτίαις ἐφοπλιζομένων ἡμῖν, οὐ δίκαιον ἦν τοῦτον μὲν σχολάζειν, τὴν δὲ ταῖς τῷ καθ' ἡμᾶς ὑποτεταγμέναις θρόνῳ συντεταγμένην ἀγιωτάτην μητρόπολιν Μεσημβρίαν ἐπὶ πολὺν περιῶφθαι χηρεύουσαν χρόνον καὶ γνησίου ποιμένος στέρησιν ἀποδυρομένην, κοινῇ διασκέψει τὸ πρᾶγμα ἐκδίδωσιν ἡ μετριότης ἡμῶν, καὶ κοινῶς ὁμονοοῦσα τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Ἐφέσου, τῷ Ἡρακλείας, τῷ Βρύσεως καὶ τὸν τόπον ἐπέχοντι τοῦ Κυζίκου, ἔχοντι καὶ τὴν γνώμην τοῦ Τενέδου, τῷ Σίδης, ἔχοντι καὶ τὴν γνώμην τοῦ Σωζοπόλεως, τῷ Ἰωαννίνων καὶ τῷ Βάρνης, μετέθηκεν αὐτὸν εἰς τὴν εἰρημένην τῆς Μεσημβρίας μητρόπολιν, γνησίου στερουμένην, ὡς εἴρηται, ἱεράρχου καὶ πνευματικῆς ἐπισκέψεώς τε καὶ ἀνακρίσεως .....

reliqua desunt.

CCCXXXI. (6880—1372) 22. aprilis ind. X.

Presbyter Stylianus Clidas excommunicatur.

† Μηνὶ ἀπριλλίῳ, κβ' ἡμέρᾳ, πέμπτῃ, ἰνδ. ι', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλίοις τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, συνεδριαζόντων αὐτῷ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἐφέσου, τοῦ Ἡρακλείας, τοῦ Βρύσεως, τοῦ Σωζοπόλεως, καὶ τοῦ

ἀρχιεπισκόπου Μαρωνείας καὶ τοῦ .... ἐλαλήθη κατὰ τοῦ πρεσβυτέρου Στυλιανοῦ τοῦ Κλειδᾶ, ὅτι ὑπερπύρων τινῶν ἀπολεσθέντων ἐν τῇ τῶν Μαγκάνων σεβασμίᾳ μονῇ καὶ πολλῶν ὑποπτευομένων, μοναχός τις Δρουγγάριος λεγόμενος ἀπελθὼν πρὸς αὐτὸν ἐζήτησε παρ' αὐτοῦ προσφορὰν, ἣν καὶ ἄλλοτε αὐτὸν εἶδε δόντα πρὸς ἕτερον ἐπὶ εὑρέσει σωμίων, ὃς δὴ καὶ κατὰ τὴν αὐτοῦ ζήτησιν ἐδεδώκει τὴν προσφορὰν, γράψας ἐπ' αὐτῇ καὶ γράμματά τινα. παρὼν δὲ καὶ αὐτὸς καὶ πρὸς ταῦτα ἀπολογίαν ἀπαιτούμενος, πρῶτον μὲν τὸ πρᾶγμα ἠρνεῖτο, (ἀπ)ελεγχθεὶς δὲ παρὰ τούτου τοῦ μοναχοῦ, ἀφορισμὸν δεξαμένου καὶ ἔμπροσθεν αὐτοῦ τοῦτο ὁμολογήσαντος, ὡμολόγησε μὲν καὶ αὐτὸς, ὅτι ἐδεδώκει πρὸς αὐτὸν προσφορὰν, πλὴν ἦν ἀγτίδωρον τῆς μεγάλης πέμπτης. ἐπεὶ γοῦν οὕτως εὑρέθη τὰ τῆς ὑποθέσεως, διέγνωσται τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, σύναμα τοῖς δηλωθεῖσι ἱερωτάτοις ἀρχιερεῦσιν, ὅτι ἐπεὶ καὶ τὰ ἐν προσχήματι γοητείας γινόμενα ἡ τοῦ θεοῦ ἐκκλησία καθάπαξ ἀπαγορεύει, οὐ μὴν ἀλλὰ καὶ τὸν ταῦτα ἐργαζόμενον ἢ καὶ τὸν χρώμενον τούτοις, ὁποίου ἂν εἴη τάγματος, κολάζουσι οἱ ἱεροὶ καὶ θεῖοι κανόνες, εἶναι καὶ τοῦτον κατὰ τὴν τούτων παρακέλευσιν καθῃρημένον ἀπὸ τοῦ νῦν καὶ ἀργὸν καὶ γεγυμνωμένον πάσης ἱερατικῆς ὑπηρεσίας. διὰ γὰρ τοῦτο ἐνεγράφη καὶ ἐν τῷ παρόντι κωδικίῳ τὰ τῆς αὐτοῦ καθαιρέσεως, ὡς μηδέποτε ἀναχθῆναι τοῦτον εἰς ἱερωσύνην †.

Finis tomi prioris.

INDEX CHRONOLOGICUS.

I. Patriarcha Ioannes XIII. Glycys.

pag.

S. a. *Patriarcha confirmat iura et privilegia monasterii Mesopotami* 1

— *Ioannes XIII., ad solium patriarchale evectus, patriarcham Magnae Antiochiae Cpolim vocat* 2

1315. iulio. *Synodus confert patriarchae reditus quatuor sedium metropolitanarum* 3

— — *Patriarcha monachos monasteriorum Batopedii et Esphigmeni in Monte Sancto monet, ut lites componant* 6

— septembri. *Synodus absolvit monachum Ignatium monasterii Sanctae Annae* 11

S. a. *Synodus dirimit controversiam matrimonialem* 14

— *Patriarcha episcopum Chii a clericis suis accusatum in ius vocat* 16

— *Patriarcha clericos insulae Chii in synodum vocat, ut accusationem contra episcopum comparatam probent* 17

— *Synodus metropolitae Philipporum mandat, ut simul cum archiepiscopo Dramae causam quandam diiudicet* 17

— *Synodus metropolitae Antiquarum Patrarum confert metropolim Lacedaemoniorum per adiunctionem* 19

— *Gregorius, patriarcha Alexandriae, profitetur orthodoxam fidem* 20

— *Patriarcha respondet ad professionem fidei Gregorii, invitans eum, ut Cpolim veniat* 22

— *Patriarcha nunciat patriarchae Hierosolymorum, se solium patriarchale ascendisse* 25

1315, 2. decembris. *Synodus condemnat quosdam ecclesiasticos* 26

S. a. *Monachus Ioannicius promittit, se amplius sacra non esse celebraturum* 28

1315, decembri. *Synodus dirimit tres controversias* 28

S. a. *Synodus episcopum Sinopes a sede sua pulsum praeponit ecclesiis Sidae, Sylaei et Leontopoleos vacantibus propter incursiones infidelium* 34

— *Synodus episcopum Zeli praeponit metropoli Amasiae, quae ob dominationem Persarum antistite diu carebat* 35

— *Patriarcha notum facit fidelibus metropolis Myrorum, presbyterum Michaëlem Archontem aliosque rite ordinatos esse* 37

— *Synodus dirimit controversiam* 38

pag.

1315, decembri. *Synodus revocat decretum, per quod cura animarum in ecclesia Leontopoleos demandabatur episcopo Sinopes, praeponitque ei ecclesiae metropolitam Pisidiae* ... 39

— — *Synodus condemnat duos clericos* ... 41

1316, ianuario. *Patriarcha metropolitam Thessalonices iubet dissentientibus clericis poenas ecclesiasticas imponere* ... 42

S. a. *Synodus dirimit controversiam de hereditate* ... 44

— *Synodus metropolitae Chalcedonis confert archiepiscopatum Maroneae per adiunctionem* ... 45

1316, februario. *Synodus concedit promotionem duorum lectorum* ... 46

— aprili. *Synodus metropolitae Dyrrhachii confert metropolim Selymbriae per adiunctionem* ... 48

— — *Patriarcha metropolitam Melenici in ius vocat* ... 50

— — *Synodus archiepiscopo Nymphaei a sede sua pulso dat episcopatum Derci* ... 50

— — *Synodus dirimit quasdam controversias* ... 52

— maio. *Patriarcha metropolitam Attaliae vetat in alienis dioecesibus iura episcopalia exercere* ... 57

— — *Synodus electionem episcopi Macrae et Libysii irritam facit* ... 58

— — *Patriarcha metropolitae Melenici in ius vocato concedit dilationem termini* ... 58

— iunio. *Synodus absolvit presbyterum Gavianum Bogomilorum haereseos accusatum* ... 59

— iunio-augusto. *Synodus dirimit quasdam controversias* ... 61

— octobri. *Synodus dirimit quasdam controversias* ... 64

1317, maio. *Synodus metropolitae Christupoleos confert metropolim Dramae per adiunctionem* ... 68

— iulio. *Synodus Callisto, electo metropolitae Amasiae, dat episcopatum Limniorum* ... 69

— augusto. *Synodus archiepiscopo Messenes confert metropolim Arcadiopoleos per adiunctionem* ... 71

S. a. *Synodus metropolitae Heracleae Ponticae confert episcopatum Amyclii per adiunctionem* ... 73

1317—18. *Synodus iubet examinari causas ecclesiasticas in metropoli Sugdaeae* ... 75

— — *Synodus respondet ad petitionem metropolitae Attaliae de pravis moribus, qui in eius dioecesi invaluerunt* ... 76

1318, augusto. *Synodus metropolitae Larissensi, qui ob bellum suam dioecesim ingredi non potest, permittit, ut iura episcopalia exerceat in episcopatu Charmaenes* ... 79

— octobri. *Synodus metropolitae Prusae mandat, ut inspiciat metropolim Apameae et monasterium patriarchale Agaurorum* ... 80

— — *Synodus Theodosio, metropolitae Melitenes, confert metropolim Keltzenes per adiunctionem* ... 81

— — *Synodus eidem committit inspectionem iurium patriarchalium in quibusdam ecclesiis* ... 83

— — *Synodus confirmat exemptionem monasterii patriarchalis Marmarianorum a potestate episcopi Larissensis* ... 85

pag.
1318, novembri. *Imperator Andronicus II. Palaeologus metropolitae Apro confert locum metropolitae Euchaetorum* 89
— — *Synodus confirmat praecedentem gratiam imperialem* 90
S. a. *Synodus confert metropolitae Smyrnensi episcopatum Chii per adiunctionem* 92
— *Synodus confirmat imperatoris mandatum, quo episcopatus Ioanninorum in metropolim erigitur* 93
— *Elenchus possessionum patriarchalium in insula Lemno et apud Varnam* 95

II. Patriarcha Esaias.

1323, decembri. *Imperator archiepiscopatum Bryseos erigit in metropolim* 96
— — *Patriarcha confirmat antecedens privilegium imperiale* 97
1324, martio-aprili. *Synodus dirimit duas controversias* 98
— maio. *Patriarcha dirimit controversiam* 101
— maio-augusto. *Synodus dirimit quasdam controversias* 102
1324, septembris 19. *Synodus dirimit controversiam spectantem metropolim Mitylenes* 111
— — *Patriarcha confirmat decisionem praecedentem synodi* 115
Acta antiquiora de eadem re: Decisiones tres patriarchae Arsenii anni 6764—1256, *martio ind. XIV. et anni* 6755—1246, *novembri ind. V. et conventio inter Manuelem Xerum et Pothum, metropolitam Mitylenes, anni* 6733—1225, *februario ind. XIII.* 118
1324, septembri. *Synodus sancit, a metropolibus et archiepiscopatibus patriarchae pendenda esse tributa annua* 126
S. a. *Patriarcha Gregorio, patriarchae Alexandriae, notum facit, se solium patriarchale ascendisse* 129
1324, novembri. *Imperator chrysobullo confirmat erectionem archiepiscopatus Bryseos in metropolim* 131
1325, maio-iunio. *Synodus dirimit sex controversias* 132
— septembri. *Synodus dirimit controversiam* 140
1327, ianuario. *Synodus committit metropolitae Caesareensi curam quarundam ecclesiarum Orientis per adiunctionem* 143
— septembri. *Synodus dirimit controversiam* 144
1329, aprili. *Synodus confirmat mandatum imperatoris, quo metropolitae Serrarum subiicitur episcopatus Nicopoleos* 146
— — *Imperator confirmat praecedentem actionem synodalem* 148
— decembri. *Synodus dirimit controversiam* 149
1330, februario-aprili. *Synodus dirimit tres controversias* 151
S. a. *Patriarcha scribit Catholico ecclesiae armeniacae, se eum cum tota eius ecclesiae recipere in sinum ecclesiae orthodoxae* 158
— *Patriarcha scribit de eadem re ad regem Armeniae* 162
1331, aprili. *Synodus dirimit controversiam* 164
1334, novembri. *Patriarcha Georgio Pepagomeno confert iura patroni in ecclesia S. Demetrii* 568

III. Patriarcha Ioannes XIV. Calecas.

pag.

1337. iulio. *Patriarcha concedit Ignatio Calotheto monasterium Sosthenii* 168
S. a. *Synodus excommunicat metropolitam Philipporum* 168
— *Synodus poenis ecclesiasticis afficit quosdam rebelles Epiri* 171
— *Synodus absolvit quosdam ecclesiasticos* 174
1338, februario. *Synodus dirimit controversiam* 178
— novembri. *Tribunal ecdici afficit poena ecclesiastica Tzerentzem Georgium* 180
— — *Patriarcha eundem iterum admonet* 181
S. a. *Cyrillus, metropolita Sidae, pollicetur, se in ecclesia sua esse mansurum* 182
— *Patriarcha remissionem promittit Nicaeensibus reversuris in sinum ecclesiae* 183
— *Ieremias, metropolita Chersonis, pollicetur, se in ecclesia sua esse mansurum* 184
— *Macarius, metropolita Bitzynes, pollicetur, se in ecclesia sua esse mansurum* 184
— *Patriarcha scribit ad clerum Constantinopoleos de incantationibus* 184
— *Patriarcha mandat quibusdam magistratibus, ut ecclesiasticos in persequendis incantatoribus adiuvent* 188
1339, iunio. *Synodus constituit, excommunicato metropolitae Philipporum hyperpyra centum annua esse pendenda a duobus episcopatibus ecclesiae Philippopoleos, qui antistitibus carent* 190
— — *Synodus dirimit controversiam ortam inter metropolitam Thessalonices et monasterium Acapnii* 191
— iulio. *Patriarcha respondet metropolitae Russiae, interroganti de metropolita mortuo miracula patrante* 191
1340, februario. *Synodus dirimit controversiam* 194
— maio. *Synodus concedit cuidam clerico facultatem promotionis* 196
S. a. *Patriarcha monet Nicaenos, ut perseverent in fide christiana* 197
1340, maio. *Synodus statuit, ut monasterium patriarchale Hodegetriae in regione Didymotichi iterum sit coenobium virile* 198
S. a. *Patriarcha monet metropolitam et clerum Trapezuntis, ne amplius imperatoris Basilii Comneni adulterio conniveant* 199
— — *Patriarcha iubet colligi scripta theologica damnati monachi Barlaam* 201
1340, iulio. *Synodus condemnat dogmata monachi Barlaam* 202
— novembri. *Synodus dirimit controversiam ortam inter metropolitas Lacedaemoniae et Antiquarum Patrarum de episcopatu Amyclii* 216
1341, maio. *Synodi decretum de quodam monasterio monialium* 221
1342, aprili. *Synodus decernit, Michaëlem Cabasilam non esse reum munerum acceptationis* 226
— iunio. *Patriarcha scribit metropolitae Philadelphiae, ut provideat in causa Ioannis Ianuensis* 227
— augusto. *Synodus affirmat, ecclesiam Pyrgii esse in numero metropolium* 228
— — *Patriarcha dirimit controversiam* 231
1343, martio. *Patriarcha declarat, monasterium Salvatoris in oppido Sebriae esse patriarchale* 232
— — *Imperator confirmat, quae de asylis stabilita sunt* 232

pag.
1343, aprili. *Synodus metropolitam Coi transfert in metropolim Corinthi* 233
— — *Synodus absolvit metropolitam Pyrgii accusatum a metropolita Ephesi* 235
1344, novembri. *Patriarcha notam facit monachis Montis Sancti decisionem synodi in causa Barlaam et Palamae* 238
1345, aprili. *Synodus episcopum Sozopoleos nominat metropolitam Pisidiae* ... 242
1347, februario. *Libellus synodalis confirmans condemnationem monachorum Barlaam et Acindyni* 243

IV. Patriarcha Isidorus.

1347, augusto. *Patriarcha metropolitae Philadelphiae committit iura patriarchalia curanda in dioecesi Smyrnensi* 256
— — *Patriarcha decernit, ut ecclesia Chariupoleos iterum subiiciatur metropoli Heracleae* 257
— — *Patriarcha metropolitae Sebasteae committit iura patriarchalia curanda in eius dioecesi* 257
— — *Patriarcha confirmat mandatum imperatoris, quibusdam ecclesiasticis conferentis ius ornari crucibus* 258
— — *Synodus statuit, metropoles Alaniae et Soteropoleos iterum esse uniendas* 258
— — *Synodus metropolitae Traianupoleos confert episcopatum Mosynopoleos* 260
— septembri. *Synodus confert metropolitae Cyzici episcopatum Ganni per adiunctionem* 261
— — *Imperator Ioannes Cantacuzenus metropolitae Kioviae notum facit, constitutiones prioris patriarchae spectantes ecclesiam Russiae esse rescissas* 261
— — *Imperator Ioannes Cantacuzenus decernit, ut tota Russia iterum subiiciatur metropoli Kioviae* 263
— — *Imperator Ioannes Cantacuzenus notum facit Demetrio Ljubart, principi Vladimiriae, episcopum Galitzae iterum subiectum esse metropolitae Kioviae* 265
— — *Synodus confirmat chrysobullum imperatoris, quo iterum tota Russia uni subiicitur metropolitae Kioviae* 267
— — *Patriarcha metropolitam Galitzae in ius vocat* 271
S. a. *Metropolitae Monembasiae Iacobi Kukunari epistola ad patriarcham* ... 271
1348, maio. *Synodus dirimit controversiam* 272
— septembri. *Synodus metropolitam Antiquarum Patrarum transfert in metropolim Monembasiae* 274
S. a. *Patriarcha concedit, ut mutua dentur trecenta hyperpyra, quae ecclesiae S. Sophiae erant relicta* 275
1348, octobri-decembri. *Synodus dirimit tres controversias* 276
— decembri. *Patriarcha monet metropolitam Bizyes, ut se suspicione liberet* 284
— — *Patriarcha Georgium Perdicam mittit ad metropolitam Bizyes* 285
S. a. *Patriarcha tollit excommunicationes pronunciatas ab Ioanne XIV. Caleca* 286
1350, februario, *Patriarchae Isidori testamentum* 287
S. a. *Eusebius, electus metropolita Sugdaeae, fidem profitetur* 294

V. Patriarchae Callistus et Philotheus.

pag.

1350, septembri. *Maximus Calopherus promittit, se obtemperaturum esse patriarchae* 295

— — *Synodus absolvit hieromonachum Niphonem* 296

S. a. *Patriarchae exhortatio ad populum, cum Amarantina quaedam, quae magicas exercuerat artes, vitam amplecteretur monasticam* 301

1350, decembri. *Patriarcha nominat visitatores, eisque clerum in disciplinam tradit* 306

1351, octobri. *Patriarcha confirmat iura monasterii Muguliorum* 312

— decembri. *Patriarcha confirmat praebendam Amarantinae datam ab imperatore* 317

1352, septembri. *Patriarcha monet visitatorem Constantinopoleos Scutariotam, ut clerum moderetur* 318

S. a. *Patriarcha monet metropolitam Kioviae, ut pacem faciat cum duce Tverensi Michaële* 320

1352, octobri. *Imperator monet patriarcham, ut diiudicet causam metropolitae Caesareae* 322

S. a. *Patriarcha in ius vocat monachum Ioannicium* 323

1353, decembri. *Synodus metropolitae Traianupoleos confert ecclesiam Peritheorii per adiunctionem* 325

1354, ianuario. *Patriarcha concedit metropolitae Antiquarum Patrarum, ut sedeat in monasterio dicto Mega Spelaion* 326

— — *Patriarcha committit metropolitae Monembasiae iura patriarchalia curanda in tota Peloponneso* 328

— — *Macarius, metropolita Antiquarum Patrarum, confirmat, monasterium dictum Mega Spelaion non esse metropoleos* 329

— februario. *Synodus metropolitae Pegarum confert metropolim Sozopoleos* 330

— martio. *Patriarcha populum Peritheorii monet, ut episcopo obediat* 331

— — *Patriarcha iubet metropolitam Philadelphiae monasterium David inspicere* 333

— — *Patriarcha metropolitae Philadelphiae committit iura ecclesiastica curanda in Antiqua Phocaea* 334

— — *Patriarcha inspectionem monasterii Hodegon committit metropolitae Macrae* 335

— iunio. *Synodus Alexium, episcopum Vladimiriae, nominat metropolitam Kioviae et totius Russiae* 336

— — *Synodus dirimit controversiam* 340

S. a. *Synodus iudicium fert de duobus magis* 342

— *Synodus calumniae condemnat tres monachos* 344

— *Manuel Calochaeretes abiurat doctrinam Acindyni* 346

1354, iulio. *Patriarcha monet episcopum Novogradii, ut obtemperet metropolitae Kioviae* 347

— — *Patriarcha monet episcopum Novogradii, ut quendam Theodoritum excommunicatum habeat* 350

S. a. *Synodus statuit, ut Vladimiriae sit sedes metropolitae Kioviae et totius Russiae* 351

pag.
S. a. *Episcopi, qui patriarcham sequi non poterant, confirmant decisiones eius* 353
— *Patriarcha Callistus rediens ad solium patriarchale, iubet acta iterum codici mandari* ... 354
— *Patriarcha metropolitae Bizyae per adiunctionem confert archiepiscopatum Derci* ... 355
1355, 17. augusti. *Actio synodalis de matrimonio contrahendo inter Andronicum, filium imperatoris Ioannis Palaeologi, et Kyratzam, filiam Ioannis Alexandri, Bulgarorum regis* ... 432
1355, decembri. *Exhortatio patriarchae ad clerum in Trinovo de patriarcha Trinovi et de ritu baptizandi* ... 436
1356, iulio. *Synodus excommunicat metropolitam Alaniae* ... 356
1357, aprili. *Patriarcha nominat metropolitam Rhodi et Cycladum* ... 363
— iunio. *Professio fidei Georgii Vaccae* ... 365
— — *Patriarcha curam patriarchalis monasterii S. Cyrici committit Dionysio, cathegumeno eiusdem monasterii* ... 366
— — *Synodus metropolitae Mesembriae restituit duo castella* ... 367
1357, decembri. *Patriarcha iterum monet visitatores, ut clerum moderentur, et clericos, ut dignitati suae convenienter vivant* ... 368
S. a. *Patriarcha dirimit controversiam ortam inter monachos monasterii Iberorum in monte Atho* ... 375
— *Patriarchae Constantinopolitani epistola ad patriarcham Antiochiae de monasterio Hodegon* ... 379
1359, ianuario. *Synodus dirimit controversiam* ... 382
— maio. *Synodus transfert metropolitam Bitzines in metropolim totius Ungrovlachiae, constituens, ut ecclesia Ungrovlachiae subiecta sit ecclesiae Constantinopolitanae* ... 383
— — *Epistola patriarchae ad voevodam Ungrovlachiae Alexandrum de eadem re* ... 386
— *Synodus dirimit controversiam* ... 388
1360, novembri. *Synodus dirimit controversiam* ... 391
S. a. *Patriarchae exhortatio de matrimoniis impuberum* ... 397
— *Metropolitae Sidae litterae haereticae* ... 399
— *Patriarcha Sidae metropolitam Cyrillum, haereseos damnatum, restituit. Accedunt litterae quattuor eundem metropolitam spectantes* ... 404
1360, decembris 4. *Nicolaus renunciat dioecesi Chimarrhae et Kozilae, fidemque profitetur* ... 411
1361, ianuario. *Patriarcha Philotheus litteris datis ad patriarcham Antiochiae conqueritur de episcopo Tyri et Germanipoleos* ... 412
— februario. *Synodus monasterium Varangiotissae committit Alexio Sophiano patrono* ... 423
— iulio. *Synodus statuit de mittendis in Russiam legatis, qui diiudicent dissensionem ortam inter metropolitas Kioviae et Lithuaniae* ... 425
— — *Patriarcha metropolitae Lithuaniae scribit de legatis in Russiam missis ad compositionem litis ante dictae* ... 434
S. a. *Patriarchae litterae ad imperatorem consilium ei dantis in rebus Ianuensium et Venetorum* ... 442
1362, septembri. *Synodus episcopum Cephalleniae transfert in metropolim Naupacti* ... 413

pag.
S. a. *Patriarcha litteras Pachomio, patriarchae Antiochiae, contrarias subditicias dicit* 415
— *Synodus mores pravos in matrimoniis abolet* 416
— *Monachi duo libidinosi puniuntur* 443
1363, martio. *Metropolita Sugdaeae et Phullorum, quem hostes a sede sua expulerunt, in metropolim Aeni transfertur* 443
— — *Monachus Maximus pollicetur, se mulierem quandam amplius non esse visurum* 443
— — *Monachus quidam excommunicatur* 444
— aprili. *Patriarcha episcopum Platamonis absolvit* 444
S. a. *Metropolita Caesareae transfertur in metropolim Thessalonices* 445
1363, aprili. *Patriarcha metropolitam Smyrnae monet, ut in suam metropolim proficiscatur* 445
1364, septembri. *Metropolita Alaniae et Sozopoleos confirmatur in ecclesiis ei collatis* 477

VI. Patriarcha Philotheus iterum.

1364, octobri. *Philotheus ad patriarchatum redit* 448
S. a. *Matthaeus Cantacuzenus iurat, se imperatori esse obtemperaturum* 448
1364, octobri. *Actio synodalis de patriarcha Callisto* 450
S. a. *Patriarcha Bulgariae regem monet, ut maneat in pacto cum imperatore facto* 453
— *Metropolita Keltzenes transfertur in metropolim Myrorum* 454
— *Episcopus Tzurules fit metropolita Berrhoeae* 454
1365, ianuario. *Metropolita Heracleae Ponticae transfertur in archiepiscopatum Derci* 454
— — *Monacha Martha fit patrona monasterii Pausolype* 454
— — *Patriarcha abbati monasterii Serapionis committit iura patriarchalia curanda in insula Chio* 455
— — *Presbyter Georgius Probatianus condemnatur* 456
— — *Actio synodalis de sacrilegia committentibus* 457
— — *Monachus Theophilus excommunicatur* 461
— — *Patriarcha monacho Lucae committit patronatum monasteriorum patriarchalium in Pteleo* 474
— — *Esaias monachus excommunicatur* 488
— februario. *Actio synodalis, qua statuitur, episcopatum Pyrgii esse metropoleos Ephesi* 461
— martio. *Metropolitae Bizyae confertur metropolis Methymnae per adiunctionem* 463
S. a. *Synodus Antiochiae confirmat, Pachomium rite electum esse patriarcham* 463
— *Synodus metropolim Caesareae Cappadociae confert Methodio* 468
— *Synodus Methodio, metropolitae Caesareae, confert metropoles Tyanorum et Mocesi et archiepiscopatum Nazianzi per adiunctionem* .. 468
— *Synodus eidem metropolitae confert metropoles Sebasteorum et Iconii per adiunctionem* 468

pag.
S. a. *Ioanninorum ecclesia in metropolim evecta confertur Sebastiano* 468
1365, maio. *Archiepiscopatus Leucadis per adiunctionem confertur metropolitae Ioanninorum* 472
— iunio. *Litterae patriarchales de stauropegio in Mizisthra* 474
— — *Metropolita Traianupoleos transfertur in metropolim Lacedaemoniae* .. 465
S. a. *Episcopatus Polystyli per adiunctionem confertur archiepiscopo Maroneae* 474
— *Archiepiscopo Maroneae per adiunctionem confertur episcopalis administratio insulae Thasi* 474
1365, iulio. *Presbyter quidam sacrilegii condemnatur* 475
— — *Ignatius, episcopus Nysae, in metropolim Chersonis transfertur* 475
— augusto. *Episcopus Polystyli transfertur in ecclesiam Christupoleos* 475
— decembri. *Patriarcha concedit, ut vinea infantis cuiusdam vendatur* 478
1366, maio. *Iura monasterii Brontochii in Peloponneso confirmantur* 479
S. a. *Hieromonacho Neophyto committuntur metropoles Athenarum et Euripi* ... 483
1366, maio. *Excommunicatio Basilii cuiusdam* 484
— iulio. *Monasterio S. Petri apud Capham, ecclesiae Sugdaeae, confirmantur iura monasterii patriarchalis* 486
1367, iunio. *De hieromonacho quodam Myrone* 490
— — *Hieromonachus Theodosius profitetur, Theodulum post ipsius mortem posse ire in monasterium Nicolai* 528
— — *Hieromonachus Theodulus promittit, se esse post obitum Theodosii habitaturum in monasterio designando a patriarcha* 529
— iulio. *Archiepiscopus Leucadis transfertur in metropolim Naupacti* 493
— octobri. *Abramius quidam condemnatur* 528
— novembri. *Christianupoleos praesul in ius vocatur* 494
— — *Synodus decernit, fundos ecclesiasticos non posse cedi imperatori* ... 507
1368, ianuario. *Tabularius Marulas condemnatur* 496
— — *Ecclesiae Ephesi et Pyrgii eidem conferendae sunt praesuli* 497
— martio. *Despota Serbiae Ioannes Ungleses ecclesias partium sibi subditarum subiicit ecclesiae Cpolitanae* 560
— aprili. *Patriarcha episcopo Hierissi et Montis Sancti iura episcopalia in Montem Sanctum tuetur* 555
— iulio. *Dionysius Tzamancus fit abbas monasterii Cyrici et Iulittae Sozopoli* 487
S. a. *Nicephorus Gregoras excommunicatur a Philotheo, metropolita Selybriae* 490
— *Episcopus Pamphili in metropolim Antiquarum Patrarum transfertur* ... 490
1368, septembri. *Metropolita Bizyae, qui et locum tenebat episcopi Staurupoleos, in metropolim Mesembriae transfertur* 500
— octobri. *Metropolitae Gotthiae committitur ecclesia Chersonis* 500
— — *Metropolitae Peritheorii per adiunctionem confertur metropolis Tenedi* 501
— — *Episcopo Amiclei confertur administratio omnium bonorum patriarchalium, quae in Peloponneso reperiuntur* 501
1369, aprili. *Monachus quidam Theodoretus abiurat errores Latinorum et Barlaam et Acindyni* 501
S. a. *Metropolitae Mesembriae confertur metropolis Varnae per adiunctionem* 502
1369, aprili. *Hieromonachus Macarius nominatur abbas monasterii Iesu Christi Acropolitae Mesembriae* 502

pag.
1369, maio. *Dionysius, episcopus Athyra, in metropolim Aeni transfertur* 505
S. a. *Matthaeus, episcopus Faustinorum, in metropolim Tyanorum transfertur* 505
— *Patriarcha episcopum Iustinianae primae et totius Bulgariae vocat in synodum oecumenicam, deliberaturam de unione ecclesiae orientalis cum occidentali* 491
1369, maio. *Patriarcha declarat, Moysen Phacrasam posse ordinari sacerdotem* 572
— iunio. *Demetrius Chlorus et Daniel abiurant Latinorum et Barlaam et Acindyni errores* 503
— — *Episcopus Mocesi transfertur in episcopatum Tamisi* 505
— augusto. *Michaël Strategus promittit, se leges ecclesiasticas esse observaturum* 506
— — *Athanasius, episcopus Sozopoleos, transfertur in metropolim Pisidiae* 509
— — *Metropolitae Pisidiae per adiunctionem confertur administratio archiepiscopatus Mysthiorum* 509
— — *Ecclesia Sardium subiicitur metropoli Philadelphiae* 509
— septembri. *Nilus, metropolita Meliti, in metropolim Sozopoleos transfertur* 511
— — *Harmodius, episcopus Boreae Potamiae, transfertur in metropolim Tenedi* 511
— octobri. *Synodus metropolitae Stauropoleos confert per adiunctionem metropoles Mileti et Antiochiae ad Maeandrum* 511
— — *Niphon hieromonachus abiurat errores Barlaam et Acindyni* 530
— decembri. *Synodus metropolitae Sidae, exarcho Pamphyliae, confert per adiunctionem metropoles insulae Rhodi et Cycladum insularum.* 511
1370, ianuario. *Georgius Triclines fit megas chartophylax ecclesiae* 531
— ianuarii 21. *Hieromonachus Mancapha condemnatur* 531
— februario. *Patriarcha Cpolitanus litteris ad patriarcham Antiochiae datis conqueritur de quodam Marco* 511
S. a. *Synodi decretum de non alienandis bonis ecclesiae* 513
1370, aprili. *Relatio legatorum de patriarcha Alexandriae* 532
— maii 12. *Synodi decretum de incantationibus* 541
— iunio. *Philippus Lomelenus Latinorum errores abiurat* 506
— — 19. *Synodi decretum de bonis metropoleos Methymnae alienatis* 515
— — *Patriarchae litterae exhortatoriae datae ad Demetrium, Magnum Ducem Russiae* 516
— — *Eiusdem litterae exhortatoriae datae ad metropolitam Kioviae et totius Russiae* 518
— — *Eiusdem litterae exhortatoriae datae ad principes Russiae* 520
— — *Idem episcopum Novogradii monet, ut cruces phelonii deponat, et pareat metropolitae Kioviae et Demetrio, Magno Duci Russiae* .. 522
— — *Idem excommunicat principes russicos, qui contra Lituanorum principem bellum gerere recusarunt* 523
— — *Idem excommunicat Smolenisci principem Svetisthlavum* 524
S. a. *Idem statuit, episcopatum Lituaniae subiectum esse metropoli Kioviae* 525
1370, iulii 24. *Patriarcha metropolitae Varnae committit iura patriarchalia curanda in eius metropoli* 528
— augusto. *Daniel Critopulus, metropolita partis Ungrovlachiae, promittit, se metropolitae Ungrovlachiae non esse exhibiturum molestiam* ... 532
S. a. *Hyacinthus, metropolita Ungrovlachiae, rogat patriarcham, ut fratrem ipsius ordinet metropolitam eiusdem ecclesiae* 533

pag.

1370, novembri. *Ioannes Platynteres profitetur, episcopum Acheloi veniam esse adeptum a metropolita Ioanninorum* 534
— — *Anthimus nominatur metropolita partis Ungrovlachiae* 535
— — *Ioannicius, metropolita Mocesi, promittit, se mansurum esse in sua ecclesia* 536
— — *Synodus Athanasio, metropolitae Caesareae Cappadociae, per adiunctionem confert metropolim Nazianzi* 536
— — *Ioannicius, episcopus Nyssae, in metropolim Mocesi transfertur* 537
— — *Patriarcha metropolitae Caesareae Cappadociae confert iura episcopalia curanda in ecclesiis Tyanorum et Mocesi sede vacante* .. 537
— novembris 6. *Monachus quidam Arsenius condemnatur* 538
— novembris 20. *Metropolitae Caesareae et Mocesi mittuntur in ecclesiam Iconii, in qua Tagaris quidam iura episcopalia sibi arrogaverat.* 537
— novembri. *Synodus Niphoni, praesuli Cotyai, per adiunctionem confert ecclesias Synadam, Hierapolim et Chonas* 539
— decembris 1. *Monachus Macarius fit abbas monasterii Krytzos dicti, quod est in urbe Magnesia* 539
— — *Synodus episcopum Acheloi transfert in metropolim Corinthi* 540
1371, martii 21. *Ioannes Paraspondelus condemnatur* 540
— martio. *Metropolitae Amaseae, exarcho Euxini Ponti, per adiunctionem confertur metropolis Neocaesareae* 551
S. a. *Praesuli Philippupoleos committuntur iura patriarchalia curanda in eius ecclesia* 551
— *Metropolitae Bidynae conferuntur iura episcopalia in ecclesia Triaditzin* 551
— *Isaaco hieromonacho confertur administratio bonorum metropoleos Zichnorum* 552
— *Patriarcha concedit cuidam Callisto ius excipiendi confessiones monachorum ipsi subditorum* 552
— *Patriarcha metropolitae Christupoleos committit administrationem insulae Thasi* 552
1371, maio. *Ecclesiae partium subiectarum Ioanni Unglesae reconciliantur cum ecclesia Cpolitana* 553
— — *Metropolitae Serrarum confertur locus metropolitae Traianupoleos* .. 558
— — *Metropolitae Melenici confertur locus metropolitae Rhodi* 558
— — *Metropolitae Dramae confertur metropolis Philipporum: eidem committuntur iura patriarchalia curanda in partibus subiectis Serbiae despotae Unglesae* 558
— — *Tres presbyteri abiurant Abramii cuiusdam errores* 560
— — *Synodus metropolitae Athenarum confert per adiunctionem ecclesias Thebarum, Novarum Patrarum et Aeginae* 564
— — *Litterae patriarchales ad clerum Thessalonicensem de commemoratione patriarchae* 564
— — *Georgius Perdica et Moyses Phacrasa nominantur exarchi ecclesiae Thessalonicensis* 566
— — *Hieromonachus Simeon abiurat errores Barlaam et Acindyni* 568
— — *Patriarcha decernit, monasterium a monacho Callisto Angelicuda apud Melenicum conditum esse patriarchale* 569

pag.
1371, maio. *Decisio synodalis de restituendis fundis ecclesiae Methymnae* 575
S. a. *Litterae Casimiri, regis Lachiae, ad patriarcham de metropolita Galitzae* 577
1371, maio. *Synodus episcopo Antonio confert metropolim Galitzae et per adiunctionem episcopatus Cholmen, Turobum, Peremusthlin et Volodimirum* 578
— augusti 11. *Patriarcha confert metropolitae Sugdaeae Ialitam et iura patriarchalia curanda in ecclesia Gotthiae* 577
S. a. *Algerdus, rex Lituanorum, litteris ad patriarcham datis refellit accusationes metropolitae Kioviae* 580
1371, augusto. *Patriarchae litterae ad metropolitam Kioviae et totius Russiae de metropolita Galitzae* 582
— septembri. *Patriarcha profitetur, Theodoretum quendam veniam esse adeptum* 514
— — *Patriarcha metropolitam Kioviae in ius vocat* 585
— — *Patriarcha monet regem Tverii Michaël, ut mittat legatos* 586
— — *Patriarcha metropolitam Ioanninorum in ecclesiam suam proficisci iubet.* 587
— — *Patriarcha confirmat iura metropolitae Larissae, committens ei iura patriarchalia curanda* 587
— — *Patriarcha tollit sententiam episcopi Hierissi non rite latam* 589
— octobri. *Professio fidei monachi Xenophontis, qui abiurat errores Barlaam et Acindyni* 574
— — *Promissio sacerdotis Georgii Panormeni* 576
— decembri. *Promissio presbyteri Andreae Chrysomeni* 590
— — *Patriarcha regem Tverii Michaël hortatur, ut in gratiam redeat cum metropolita Kioviae* 590
1372, aprilis 5. *Hieromonachus quidam et populus Phari, qui christianos profugos Turcis tradiderant, condemnantur* 592
S. a. *Metropolita Maroneae in metropolim Mesembriae transfertur* 593
1372, aprilis 22. *Presbyter Stylianus Clidas excommunicatur* 594
1374, februario. *Musulmanus Antonius abiurat errores Latinorum* 550

Typi et charta Leopoldi Sommer.

Narodna in univerzitetna knjižnica
LJUBLJANA